UNIVERSITY OF TORONTO
3 1761 01280121 3

Toronto University Library

Presented by

Messrs. Joseph Baer & Co

through the Committee formed in

The Old Country

to aid in replacing the loss caused by

The disastrous Fire of February the 14th 1890

Digitized by the Internet Archive
in 2009 with funding from
University of Toronto

https://archive.org/details/rhetoresgraeciem08walzuoft

# RHETORES GRAECI

EX

CODICIBUS FLORENTINIS MEDIOLANENSIBUS MONACENSIBUS NEAPOLITANIS PARISIENSIBUS ROMANIS VENETIS TAURINENSIBUS ET VINDOBONENSIBUS

EMENDATIORES ET AUCTIORES EDIDIT

SUIS ALIORUMQUE ANNOTATIONIBUS INSTRUXIT INDICES LOCUPLETISSIMOS ADIECIT

## CHRISTIANUS WALZ

PROFESSOR TUBINGENSIS.

*VOL. VIII.*

STUTTGARTIAE ET TUBINGAE
sumtibus J. G. COTTAE.
LONDINI
apud BLACK, YOUNG et YOUNG. Tavistock Street.
LUTETIAE
apud FIRMIN DIDOT.
MDCCCXXXV.

PA
3484
W35
v.8

145-34
3/8/91

TUBINGAE, typis Hopferi de l' Orme.

## ARGUMENTUM VOLUMINIS OCTAVI.


| | | |
|---|---|---|
| I. | *Σωπάτρου διαίρεσις ζητημάτων* - - | 1—385. |
| II. | *Κύρου περὶ διαφορᾶς στάσεως* - - | 386. |
| III. | *Ἀνωνύμου προβλήματα ῥητορικὰ* - | 400. |
| IV. | *Ἀλεξάνδρου περὶ σχημάτων* - - | 414. |
| V. | *Φοιβάμμωνος* — — — - - | 487. |
| VI. | *Τιβερίου* — — — - - | 520. |
| VII. | *Ἡρωδιανοῦ* — — — - - | 578. |
| VIII. | *Πολυβίου Σαρδιανοῦ περὶ σχηματισμοῦ* | 611. |
| IX. | *Ἀνωνύμου περὶ σχημάτων* - - | 617. |
| X. | *Ζωναίου* — — — - - - | 671. |
| XI. | *Ἀνωνύμου περὶ συνεκδοχῆς* - - | 691. |
| XII. | *Ἀνωνύμου περὶ σχημάτων* - - | 694. |
| XIII. | *Ἀνωνύμου περὶ σχημάτων* - - | 698. |
| XIV. | *Ἀνωνύμου περὶ ποιητικῶν τρόπων* - | 714. |
| XV. | *Τρύφωνος περὶ τρόπων* - - - | 726. |

XVI. *Γρηγορίου τοῦ Κορινθίου περὶ τρόπων* 761.

XVII. *Ἀνωνύμου περὶ τρόπων* - - - 779.

XVIII. *Κοκονδρίου* — — — - - - 782.

XIX. *Γεωργίου τοῦ Χοιροβοσκοῦ περὶ τρόπων* 799.

# I.

# ΣΩΠΑΤΡΟΥ

## ΔΙΑΙΡΕΣΙΣ ΖΗΤΗΜΑΤΩΝ.

Duo fuere Sopatri, Apameae nati, [vide Suid. s. v. *Σώπατρος* et Eudoc. p. 382.] quorum alter scholae Plotinianae successor a Constantino Imperatore primum magno in honore habitus, deinde calumniatorum impulsu occisus est, teste Eunapio Vit. Soph. p. 21. sqq. ed. Boiss. coll. p. 12., alter ducentis annis junior [Fabric. Bibl. Gr. T. VI. p. 103.] Athenis rhetoricam professus est, quod apparet ex *διαιρέσει ζητημάτων* p. 309. Ald. ubi de se ipse dicit: *Σώπατρος ἐγὼ τῶν Ἀθηναίων διδάσκαλος.* Hujus expositiones ad Hermogenis status volumine quarto et quinto edidimus: hunc librum, post Aldum non amplius typis repetitum, Carponiano filio inscripsit, vide p. 318. et 341. Ald. Cum editione Aldina contuli codicem Vind. 84. Par. 2976. Ex Veneto et Par. 2924. [Par. 1.] 2975. [Par. 2.] pauca specimina sumsi. Quinque hi codices sec. XV. scripti eidemque familiae adnumerandi parcam bonarum lectionum messem praebent, et non solum in lacunis, sed saepius etiam in vitiis, quae typothetarum culpae tribui solent, cum Aldina consentiunt, unde non raro ad conjecturas confugiendum fuit. Melioris notae est Med. Plut. LVIII. 21., ex quo plures lacunas explevi: quo minus integrum conferrem, temporis impedivit angustia.

# ΣΩΠΑΤΡΟΥ

## ΔΙΑΙΡΕΣΙΣ ΖΗΤΗΜΑΤΩΝ.[1]

287 Μετὰ τὰ κατὰ Κύζικον Ἀλκιβιάδης αἰτήσας φρουρὰν τοῦ σώματος κρίνεται τυραννίδος ἐπιθέσεως.

### ΣΤΟΧΑΣΜΟΣ ἉΠΛΟΥΣ.

Αὐθάδης ἐστὶν Ἀλκιβιάδης καὶ μεγαλόφρων· φιλότιμον γὰρ αὐτὸν τά τε ἄνωθεν ποιεῖ πολιτεύματα καὶ τὰ περὶ Κύζικον [2] κατορθώματα· οὕτω γὰρ αὐτὸν εἰςάγει καὶ Θουκυδίδης, ὅτε πρὸς Νικίαν ἀποτείνεται, φάσκοντα μᾶλλον ἑτέρων αὐτῷ προςήκειν τὴν ἀρχήν· πρὸς δὲ τούτοις καὶ Πλούταρχος κατὰ τὸν βίον αὐτοῦ τὸ αὔθαδες δείκνυσιν ἐν τοῖς μάλιστα πάντων τούτῳ προςεῖναι· γνωστέον δὲ ὅτι πολὺ τὸ πομπικὸν ἔχειν ὀφείλει τὸ ζήτημα, ἵνα μετὰ τῆς ἀπολογίας καὶ πομπεύειν ἔχῃ [3] τοῖς κατορθώμασιν· εἰς τοσοῦτον γὰρ αὐτῷ τὰ τῶν λόγων ἐπῆρθαι [4] προσῆκεν, ὡς καὶ δοκεῖν τῆς γραφῆς ὡς μὴ προσηκούσης αὐτῷ καταφρονεῖν· ὅταν γὰρ λέγῃ τόσα καὶ τόσα τρόπαια καὶ μάχας ὑπὲρ τῆς πόλεως καὶ φιλοτιμίας πολλάς, πῶς οὐ τὰ τῆς γραφῆς ἀνοίκεια τῷ τοιούτῳ ἐναποδείκνυται; [5] ἐχέτω οὖν τὰ προοίμια ἄξιόν τι

1 Ald. ζητιμάτων. 2 Par. 1. Κίζικον. 3 ἔχει Ald. Vind. Par. 1. ἔχῃ Med. Par. 2. 3. 4 Ald. Vind. Par. 1. 2. 3. ἐπῆρθε. Med. ἐπῆρθαι. 5 Par. 1. 2. ἐν ἀποδείκν. Ald. ἓν αποδείκνυται. sine spiritu super α.

τῆς μεγαληγορίας Ἀλκιβιάδου, καὶ πεφαντασμένον εὐθὺς ἀπὸ τῶν προτάσεων· οἷον οὕτως· ἄνδρες οἱ δι' Ἀλκιβιάδην ἐλεύθεροι· ἢ οὕτως· ἄνδρες οἱ τοσούτων τυράννων τυραννοκτόνοι, ἰδεῖν εὐτυχήσαντες, ὁποῖοι καὶ οἱ Λακεδαιμόνιοι· δεύτερον δὲ προοίμιον καλῶς ἂν ἔχοι τοιαύτην ἔχον πρότασιν· ἓν μὲν οὖν οἶδα κακῶς βουλευσάμενος, ὅτι τῶν συκοφαντῶν [6] τινα πρὸς σφαγὴν [7] οὐκ ᾔτησα· τρίτον ὁμοίως τῆς μεγαληγορίας καὶ τοῦ φιλοτίμου τοῦ [8] Ἀλκιβιάδους ἄξιον. κατάστασις· καταστῆναι μᾶλλον ἁρμόττει νῦν ἐν τούτῳ τῷ προβλήματι τὰ γενόμενα, ἢ διηγήσασθαι· εἰ μὲν γὰρ ἦν μηδὲν μηδαμοῦ λυπήσας Ἀλκιβιάδης τὴν πόλιν, ἀλλ' ὤφθη πανταχοῦ γνήσιος, εὔνους, [9] διηγήσασθαι ἄλλον, ἀλλ' οὐχὶ καταστῆναι προσῆκον ἦν· ὁ μὲν γὰρ Κέφαλος [10] παρὰ Πολέμωνι μηδεμίαν καθ' ἑαυτοῦ πώποτε δεδωκὼς τοῖς πολίταις λαβὴν [11] διηγεῖται τὴν πολιτείαν τὴν ἑαυτοῦ, μηδενὸς ἁμαρτήματος αὐτὸν ἀναγκάζοντος τὴν αἰτίαν ἀπολύσασθαι, ὅπερ οἰκονομίας τῆς ἐν ταῖς [12] καταστάσεσιν ἴδιον· ὁ δὲ Ἀλκιβιάδης πολλά τε κατὰ τῆς πόλεως πεπραγμάτευται· καὶ γὰρ Δεκέλεια διαβέβληκεν αὐτὸν, καὶ ἡ πρὸς Λακεδαιμονίους μετάστασις, καὶ τὰ κατὰ Σικελίαν ἀτυχήματα, καὶ πολλὰ ἕτερα, ἃ πάντα λυποῦντα κατὰ τὴν κατάστασιν ἀναγκαῖον προδιοικήσασθαι· τότε γὰρ μάλιστα τὴν καλλίστην ἐργασίαν κατάστασις ἐπιδέξεται, ὅταν, ὡς ἔφην, ἔχῃ καὶ διοικήσεις τινῶν λυπηρῶν, καὶ ἀπολογίαν τῶν ἐγκλημάτων ἐσχηματισμένην, ἀπεναντίας τούτων οὔσης τῆς διηγήσεως καὶ ψιλὴν τῶν πεπολιτευ-

---

6 Ald. Codd. omnes συκοφάντων τινά. 7 Par. 2. φαγήν. 8 τοῦ Ald. Vind. Med. om., recepi ex Par. 1. 2. 3. 9 Ald. Vind. Parr. ἔννους. Med. εὔνους. 10 Dem. pro cor. p. 310. De Polemone sophista vide Westerm. hist. Eloq. Gr. p. 212. 11 Par. 3 λαβεῖν. super ειν est ην. 12 ταῖς Ald. Vind. Parr. om., recepi ex Med.

μένων ἐχούσης ἔκθεσιν· ἐν οὖν τῷ προκειμένῳ ζητήματι τρία κατὰ τὴν κατάστασιν ἐργασόμεθα· πρῶτον μὲν τὸ φιλοτιμήσασθαι τοῖς κατορθώμασι· δεύτερον τὸ διοικήσασθαι τὰ κατὰ τῆς πόλεως ὑπ' Ἀλκιβιάδου γενόμενα· τρίτον τὸ διὰ τῶν κατορθωμάτων ὑπεμφαίνειν, ὅτι πρὸς τυραννίδα οὐχ ἑώρακε· τὸ μὲν οὖν πρὸς τυραννίδα μὴ βλέπειν οἰκονομεῖται τῇ τε Σωκρατικῇ παιδεύσει καὶ τῇ ἐν φιλοσόφῳ [13] ἀγωγῇ καὶ τῷ ἐν δημοκρατίᾳ τετράφθαι καὶ τῷ γινώσκειν, ὡς ἡ τοιαύτη πολιτεία καλόν· τὴν δὲ φιλοτιμίαν ἕξει τὰ κατορθώματα· διοικήσεις δὲ τὰ κατὰ τῆς πόλεως ὑπ' Ἀλκιβιάδου γενόμενα τῷ φάσκειν αὐτὸν πρὸς καιρὸν τετηρῆσθαι μειζόνων κατορθωμάτων· καταστήσεις δὲ οὕτως· ἐγὼ γὰρ, ὦ ἄνδρες δικασταὶ, φιλοσοφίας ἐραστὴς [14] ἦν, καὶ τὰ κάλλιστα [15] παρὰ Σωκράτους ἐμάνθανον, καὶ διδασκόμενος ὅτι καλὸν ἡ πολιτεία
288 διετέλουν τῷ φιλοσόφῳ συνών· πλατύνειν δὲ δεῖ ὡς οἷόν τε· καὶ ἐὰν ᾖ καὶ ἠθοποιΐαν εὐθὺς πλάσαι παρὰ Σωκράτους πρὸς Ἀλκιβιάδην· εἶτα μετὰ τὴν ἠθοποιΐαν ἐπήγαγεν· ἐπειδὴ εἰς τὴν πολιτείαν ἐμαυτὸν δεῖν ᾠήθην ἐγγράψαι, εὐθὺς ἐποιούμην ἐπιδόσεις χρημάτων, χορηγίας, τριηραρχίας, Ἀργείους ἐποίουν, Ἠλείους, Μαντινεῖς συμμάχους τῇ πόλει· οὕτως ἐπλήρουν Ἀθηναίοις τὸ σπουδαζόμενον, καὶ τὸν ἐπὶ Σικελίαν πλοῦν εὐτρεπίζειν συνεβούλευον, ἵν' [16] ὅλην νῆσον τοῖς Ἀττικοῖς Ἀλκιβιάδης προσθῇ πράγμασι· μέλλοντος οὖν μου πρὸς τὴν ἀναγωγὴν τὰ παρὰ τῶν βασκαινόντων ταῖς ἐμαῖς πολιτείαις ἀπεδείκνυτο· ἐνταῦθα καλὸν καὶ ἠθοποιΐαν εἰπεῖν τοιαύτην ὡς ἐννοοῦντες οἱ βασκαίνοντες τοῦ κατορθώματος τὴν ὑπερβολὴν πρὸς αὐτοὺς ἔλεγον· Ἀλκιβιάδης δεινὸς, βελτίων πάντων ἡμῶν εἶναι βουλόμενος, ἂν λάβῃ Σικελίαν, τίς ἔσται; τίς ἐνέγκαι μετὰ ταῦτα τὸν Ἀλκμαιωνίδην [17] δυ-

13 Fort. scribendum: ἐν φιλοσόφου, sc. οἴκῳ. 14 Ald. Vind. ἐρηστής. 15 Med. κάλιστα. 16 Vind. ἵνα. 17 Ald.

νήσεται; οὕτω κατ' ἐμοῦ δραματουργοῦσιν ἐγκλήματα, Ἑρμῶν περικοπὰς καὶ δημοσίᾳ τελούμενα τῆς Ἐλευσῖνος ἀπόῤῥητα· ὡς οὖν ἐπέγνων ἐγὼ τὸ γενόμενον καὶ τὸν φόνον ἐκ τῶν ἐγκλημάτων ἐγνώριζον, προςῆλθον ὑμῖν, ὦ δικασταί· [18] προςῆλθον αἰτῶν κρίσιν καὶ δικαστήριον, καλὸν εἶπον ἀπιέναι στρατηγὸν ἐπὶ πολεμίους ἀνεύθυνον, εἶπον πολλάκις ὡς δεινοί τινες οἱ συκοφάνται τυγχάνουσιν· ὡς δὲ ταῦτα [19] λέγων οὐκ ἔπειθον, οὐδὲ τὰς εὐθύνας διδόντος ὁ δῆμος ἠνέσχοντο, ᾄσας [20] ἐκεῖνον παιᾶνα τὸν κάλλιστον ἐπὶ τοὺς πολεμίους ἀνηγόμην, ἔπλεον ἐπὶ Σικελίαν θαῤῥῶν μετὰ τῆς [21] νίκης, τὸ τρόπαιον πιστεύων ὡς ἀποδώσων Σικελίαν τῇ πόλει· εἶτα πλησίον γενόμενος [22] καὶ τῷ Ῥηγίῳ προςβαλὼν Κατάνην εὐθὺς Ἀθηναίων προςετίθην τοῖς κτήμασι, καὶ Συῤῥακουσίους μετὰ τὴν Κατάνην αἰχμαλώτους ἤλπιζον· εἶχον γοῦν αὐτοὺς διπλῷ καὶ μεγάλῳ τειχίσματι· ἀλλ' οἵ γε χρηστοὶ συκοφάνται τῷ μεγέθει τῶν κατορθωμάτων ἐφθόνησαν· λογισάμενοι γὰρ ὡς μείζων ἔσομαι τοιαῦτα τῇ πατρίδι χαρισάμενος, κἀμοὶ μᾶλλον ὁ δῆμος πρὸς πάντα πεισθήσεται, τὴν ὑπερβολὴν εὐδοξίας οὐ φέροντες τὴν πόλιν ἔπειθον κατ' ἐμοῦ, τὸν δῆμον ἅπαντα λοιδοροῦντες ἐμὲ συνετάραττον, Ἀλκιβιάδης, λέγοντες, ἀσεβεῖ· πάλιν συμπόσια καὶ παρὰ πότον μυστήρια· [23] δεῖ δὲ ἐν τοῖς τοιούτοις ὡς οἷόν τε μάλιστα τοῦ δήμου μὴ καθάπτεσθαι, ἀλλὰ ἠρέμα καὶ [24] ὑπεραπολογεῖσθαι αὐτοῦ λέγοντα· ὅτι

---

Codd. Ἀλκιμεωνίδην. Plut. Alc. init. πρὸς δὲ μητρὸς Ἀλκμαιωνίδης ἦν, ἐκ Δεινομάχης γεγονὼς τῆς Μεγακλέους. 18 Ald. Codd. ὧδε, ortum ex compendio scribendi pro ὦ δικασταί. Vide Epist. crit. p. 28. 19 ταῦτα recepi ex Med. abest ab Ald. Vind. Par. Tum Ald. Codd. λέγειν. scr. λέγων. 20 Med. Par. ἄσας. Vind. Ald. ὥσας. 21 τῆς ex Med. recepi. abest ab Ald. Vind. Par. 22 Med. γενόμενος (γιγν. superscr.). 23 Plut. Alc. c. 19. μυστηρίων παρ' οἶνον ἀπομιμήσεις. 24 καὶ Ald. Vind.

δεινοί τινες ἐστὲ περὶ τὰς θεὰς καὶ τὴν Ἐλευσῖνα καὶ τὰ μυστήρια· καὶ περὶ τῆς τελετῆς ἀκούοντες ἠχθέσθητε· εἶτα μετὰ ταῦτα κατ' ἀκολουθίαν ἐρεῖς· ὡς οὖν τὴν Σαλαμινίαν [25] εἶδον, τῇ νήσῳ προςπλέουσαν, ἐλογιζόμην· μὴ νενικήκασιν οἱ συκοφάνται, κατ' ἐμοῦ λοιδορησάμενοι;[26] μὴ κατ' ἐμοῦ πάλιν ὁ δῆμος παρώξυνται· λαβὼν δὲ τὰ παρ' ὑμῶν γράμματα, καὶ μαθὼν ὡς ἐπὶ κρίσιν Ἀλκιβιάδην Ἀθηναῖοι κεκλήκασιν, πρὸς ἐμαυτὸν ἔλεγον, φεῦ τοῦ πράγματος· οὐ ταύτας ἔχω παρὰ τοῦ δήμου τὰς ὑποσχέσεις, „οὐ βούλεται πρὸ [27] Σικελίας ἀπολογεῖσθαι τὸν στρατηγὸν ἡ πόλις;“ τί οὖν, ἔφην, ποιήσομεν; πεισθῶ τῷ γράμματι; δέδοικα τὸν δῆμον παρὰ τῶν κατηγόρων πειθόμενον· δεινός ἐστιν ὀργιζόμενος· οὐ περιμενεῖ τὴν ἀπολογίαν, διὰ

---

Par. om., recepi ex Med. *Καὶ* etiam siguificans saepius excidit. Menand. *διαίρ. ἐπιδεικτ.* p. 636. *ἥξεις πάλιν ἐφ' ἕτερον μέρος, ἐν ᾧ μνησθήσεται τῶν τόπων.* Med. 2. *καὶ τῶν τόπ.* ib. p. 639. *ἐπειδὴ δέ μοι ὁ λόγος τετόλμηκεν εἰς τὸν μέγιστον τῶν θεῶν.* Med. 2. *καὶ ὁ λόγος.* Vit. Josephi c. 27. *εἰ μὴ ὑπὲρ αὐτῶν ἔφη, πολῖται, μισεῖν δύνασθε Ἰώσηπον* Par. 1423. *καὶ ὑπὲρ* c. 45. *ἔταξα δὲ καθ' ἕκαστον αὐτῶν πιστῶν ἕνα.* Cod. *καὶ καθ' ἕκ.* c. 49. *παραινέσας δὲ τοῖς Γαλιλαίοις.* Cod. *δὲ καὶ τοῖς.* Pausan. I. 1. 4. *ἔστι δὲ καὶ ἄλλος Ἀθηναίοις ὁ μὲν ἐπὶ Μουνυχίᾳ λιμήν.* Neapol. *καὶ* om. 25 Med. *Σαλαμινίαν.* Ald. Vind. Par. *Σαλαμῖνα.* [Par. ad marg. *Σαλαμινίαν.*] 26 Med. Par. *λοιδορούμενοι.* in Par. super *ου* scriptum *ησ.* 27 Codd. et Ald. *πρὸς Σικ.* in Par. *ς* expunctum. *Πρὸ Σικελίας* dicitur *βραχυλόγως* pro: *πρὸ τοῦ διατελέσθαι τὰ κατὰ Σικελίαν.* Cfr. Nicol. Soph. p. 356. *καὶ τί δεῖ τὰ πρὸ τῆς Τροίας εἰπεῖν.* Synes. Calv. Enc. c. 14. *Λακεδαιμόνιοι γὰρ μετὰ Θυρέαν, Ἀργεῖοι δὲ πρὸ Θυρέας ἐκόμησαν.* Eodem modo usurpatur *μετὰ*, cujus exempla collegi in Epist. crit. p. 26. ubi hunc ipsum locum fusius tractavi. — *Αἱ τοῦ δήμου ὑποσχέσεις* quae fuerint, docet Plut. Alc. c. 19. *ἀλλὰ νῦν μὲν ἀγαθῇ τύχῃ πλεέτω, τοῦ δὲ πολέμου διαπραχθέντος ἐπὶ τοῖς αὐτοῖς νόμοις ἀπολογείσθω παρών.*

τὴν Ἐλευσῖνος ὕβριν ἀχθόμενος· τί οὖν ἐπὶ τούτοις ποιῶ· ἀνάγομαι μὲν ἐπ' ὀλίγον τῇ Σαλαμινίᾳ πειθόμενος· ἀποδρὰς δὲ τούτους πρὸς ἐμαυτὸν εἶπον τοὺς λόγους· ἔκφυγε τὴν Ἀθηναίων ὀργὴν, ἂν ἐπιθυμῇς [28] τῇ πόλει χαρίζεσθαι· καιρός σοι μειζόνων κατορθωμάτων γενήσεται· δεινὸν ὅτι μὴ Σικελίαν ἀποδέδωκα τῇ πόλει· τί οὖν, ἀλλ' ἀντὶ ταύτης ἀποδώσω μᾶλλον σεμνοτέραν, ἢ τὸ Σικελίας ἐγίγνετο τρόπαιον· γενόμενος οὖν παρὰ Λακεδαιμονίοις ἐπὶ Σάμον [29] ὥρμησα τοὺς Ἀθηναίους καταγομένους ὁρῶν· καὶ μετ' αὐτῶν θᾶττον γενόμενος Κύζικον εἶχον μεῖζον ἢ τὸ Σικελίας κατόρθωμα· εἶτα μετὰ ταῦτα λοιπὸν αὐξήσεις τὸ τρόπαιον, καὶ δυσχερανεῖς πρὸς τὴν κατηγορίαν· καὶ πλατυνεῖς ὡς δυνατόν ἐστι μάλιστα τὰ πράγματα.

## ΕΛΕΓΧΩΝ ΑΠΑΙΤΗΣΙΣ. 289

Ἡ τῶν ἐλέγχων ἀπαίτησις σκοπὸν ἔχει τὰ μὴ προσόντα τῷ κεφαλαίῳ ἀεὶ ἰσχυροποιεῖν, τὰ δὲ ὑπάρχοντα καθαιρεῖν· οἷον, ἐὰν μὴ ὦσι μάρτυρες, τὸ φάσκειν ὅτι ἡ τῶν μαρτύρων παράστασις ἰσχυροτάτη ἐστὶν ἀπόδειξις· ἐὰν δὲ ὦσι μάρτυρες, διαβάλλειν αὐτούς· [1] πάλιν ἐὰν ᾖ τὰ πράγματα τὰ καταμαρτυροῦντα, ἐπιζήτει | τοὺς μάρτυρας· τὰ δὲ εἰκότα διάβαλλε· ἐὰν δὲ ὦσι μάρτυρες, ἐπαίνει τὰ εἰκότα· καὶ τοὺς μάρτυρας διάβαλλε, καὶ καθόλου ἐν τῇ τῶν ἐλέγχων ἀπαιτήσει ἢ μάρτυρές εἰσιν, ἢ εἰκότα, ἢ καὶ ἀμφότερα· δεῖ οὖν πρὸς τὸ ἴδιον συμφέρον ἀεὶ τὸ κεφάλαιον μεταχειρίζεσθαι καὶ ὁρᾶν, τίσιν ὁ ἐναντίος πρὸς τὴν τῶν ἐλέγχων ἀπαίτησιν κέχρηται, [2] καὶ ταῦτα δια-

---

28 Vind. Par. ἐπιθυμεῖς (η supra). 29 Ald. σάμον. 1 Ald. Vind. αὐτά. Med. αὐτούς. Par. αὐτά (ους supra). 2 Ald. Vind. Par. κεχρήσεται. In Med. primum scriptum fuit χρήσεται. tum correctum κέχρηται.

*βάλλειν· ἐπαινεῖν δὲ ἐκεῖνα, οἷς οὐκ ἔχει χρήσασθαι· οἷον ἐν τῇ γυναικὶ τῇ κρινομένῃ [3] μοιχείας· ὅτι βασανιζόμεναι αἱ θεράπαιναι εἰρήκασιν φαρμακείαν μὲν μὴ συνειδέναι τῇ μητρὶ τῆς κόρης, μοιχείαν δὲ πρὸς τὸν τῆς κόρης νυμφίον· διαβάλλειν δεῖ τοὺς μάρτυρας, τουτέστιν τοὺς δούλους· ἰσχυρίζεσθαι δὲ τοῖς εἰκόσι· καὶ πάλιν ἐν τῷ ἀφορῶντι εἰς τὴν ἀκρόπολιν καὶ κρινομένῳ τυραννίδος διαβάλλειν μὲν τὰ εἰκότα, ἐπιζητεῖν δὲ τοὺς μάρτυρας· ὡς καὶ ἐπὶ τοῦ παρόντος ζητήματος ἰσχυριζόμενος Ἀλκιβιάδης τοῖς μάρτυσιν ἀσθενῆ πάνυ ἀποδείξει τὰ εἰκότα· οἷον εἰ ἔλεγες, ἀλλὰ μὴν τὸ μὴ παρέχειν τοὺς μάρτυρας, ἀξιοῦν δὲ καὶ μὴ παρόντων τῶν συνειδότων κρίνεσθαι, οὐχ ἑτέρου τινὸς ἢ βασκανίας τὸ τοιοῦτο τεκμήριον, καὶ τὰ τοιαῦτα· εἶτα ἀπόστρεφε τὸν λόγον, ἢ ἑτέροις τισὶν εἴδεσι ποίκιλλε τὴν ἀπαγγελίαν· οἷον, κρίνεις· εἰπέ μοι· καὶ τοὺς συνειδότας ἀφαιρεῖς τοὺς δικάζοντας καταδρομὴν ἐξ ἀκροπόλεως καὶ ἐγκαλεῖς, [4] καὶ τὴν παρασκευὴν οὐ δεικνύεις τῷ τὴν ἐπήρειαν ὑπομεῖναι μέλλοντι καὶ τὰ τοιαῦτα· εἶτα στρέφε κῶλον, καὶ τὸ λεγόμενον ἐνθύμημα ἔπαγε· οἷον οὕτως· καὶ μὴν εἰ δρᾶσαι μὲν τοιοῦτον τῶν συνεργούντων χωρὶς ἀδύνατον, πῶς κρίνεσθαι προσῆκον μὴ παρεστῶτος τοῦ κοινωνήσαντος; καίτοιγε ἴσμεν τοῦθ', ὅτι τῶν μεγίστων ἐγκλημάτων ὁ κατήγορος, ἂν ἀφέληται μάρτυρα· τὸ λοιπὸν αἰτία τυγχάνει, καὶ λόγος [5] ψιλὸς καὶ συκοφαντίας ἐπίδειξις· εἰ γάρ, οὐ δεῖ τὸν κατὰ τὴν πρᾶξιν αὐτὴν τοῦ συνεργοῦντος χωρίζεσθαι· ταύτῃ κἂν κρίνηταί τις ἐφ' οἷς ἀδικεῖν νομίζεται, τὴν τιμωρίαν ἀποφυγγάνει, τοῦ συνειδότος οὐ προκειμένου τῷ γράμματι· εἶτα παραδείγμασι τοῦτο βεβαίωσον· ὁ φονεὺς ἂν μὴ μάρτυρες παρῶσιν, οὐ κρίνεται· εἰ δὲ μή, παραγρα-*

3 Ald. Vind. *κριναμένῃ.* in Par. per correct. *κρινομένῃ.* Med. *κρινομένῃ.* 4 Ald. Vind. Par. *καλεῖς.* Med. *ἐγκαλεῖς.* — v. 20. Ald. Codd. *δοάσαιμι.* scr. *δρᾶσαι μέν.* 5 Ald. Vind. Med. Par.

φικοῦ ἐργασίαν ποιεῖς καὶ προϋποκείμενόν ἐστι τὸ λεγόμε-
νον· νεκρὸς γὰρ οὐ μαρτυρεῖ· ὁ λωποδύτης[5*] ὁμοίως, ὁ
τυμβωρύχος, ὁ προδότης, τἄλλα τὸν αὐτὸν τρόπον σχε-
δόν· εἶτα ἔπαγε τὸ περὶ τῆς τυραννίδος· δεῖ γὰρ τὰ παρα-
δείγματα προσάγειν τῷ ὑποκειμένῳ· οἷον οὕτως· τί οὖν
ὁ τύραννος οὐκ ἐὰν βούληται τυραννεῖν, δεῖ τὴν πανο-
πλίαν ἐπιδείκνυσθαι[6] πρότερον, τοὺς δορυφορήσαντας
ἐπιδείκνυσθαι, τοὺς συνειδότας ἔχειν τὸ δεσμωτήριον·
ἀλλ' οὐδὲν τούτων ὁ κατήγορος ἐπιδείκνυσιν· αὐτὸς ἄρα
καθ' αὑτοῦ τὴν συκοφαντίαν ἐξήλεγξεν εἰκότως· πῶς γὰρ
ἔνεστιν ἀδικεῖν κατηγορεῖν, οὐκ ἔχοντας ᾧ δυνατὸν ἐλέγ-
χειν τὴν ἐπιχείρησιν· δύνασαι δὲ καὶ ἀντεγκληματικῷ νο-
ήματι χρήσασθαι· οἷον ἀλλ' εἰ καὶ χωρὶς μαρτύρων τὸ
κρίνειν συγκεχώρηται· ἐξ ὧν κἀμοὶ κρίνειν τὸν δεῖνα φό-
νου, τὸν ἐχθρὸν ἑτέρου τινὸς ἀδικήματος, τοὺς συκοφάν-
τας τυραννίδος, αὐτοῖς περιτρέψας τὸ ἔγκλημα, τοῦτο
ἑξῆς τὸ νόημα κατασκεύασον οὕτως· εἰ τούτοις τὸ χωρὶς
μαρτύρων κρίνειν συγχωρήσετε·[7] εἶτα ἐκ τούτου κωλυ-
θήσονται αἱ δωρεαὶ, μηδενὸς μηκέτι εὐεργετοῦντες τὸν
δῆμον, ἀλλὰ ἑκάστου διὰ τοὺς συκοφάντας περιορῶντος
τὴν πόλιν· τί λοιπὸν, ἢ τῶν συκοφαντῶν ὥσπερ τῶν
τυράννων ἡ πόλις γενήσεται· καὶ πολλοῖς ἄλλοις δυνήσῃ 290
νοήμασιν τὴν τῶν ἐλέγχων ἐκτείνειν ἀπαίτησιν, καὶ ἐν-
θυμήμασι, καὶ ἐπιχειρήμασι, τὰ μὲν φράζων κωλοειδῶς,[8]
τὰ δὲ ἐφαπλῶν, ὡς ἐπιχειρήματα, τὰ δὲ γνωμικῶς λέ-

---

λοιπός. in Par. supra lineam λόγος. 5* Ald. λωποδότης et p. 10. v.
23. λωποδοτεῖν. 6 Ald. Vind. πανοπλίαν δείκνυσθαι, τοὺς συνειδ. Par.
ν
δείκνυται. omissis πρότερον, τοὺς δορυφ. ἐπιδείκνυσθαι. recepi ex
ε
Med. 7 Vind. συγχωρήσεται. Ita p. 290. infra. ἀλλ' ἔστω
καὶ βούλεσθέ με τυραννεῖν. Med. Par. βούλεσθαι. p. 343. ἀλλὰ
σκέψασθε τί κατὰ τὸν βίον ἐστὶν, ὃ παθεῖν ἅπαντες φυλαττόμεθα.
Vind. σκέψασθαι. ib. λογίσασθε γὰρ πρὸς θεῶν. Vind. λογίσα-
σθαι. super αι est ε. 8 Ald. Par. Vind. κολοειδῶς. Med. κωλ.

γων· ταῦτα δὲ πάντα ποιήσεις ἰσχυροποιῶν τοὺς μάρτυρας, τὰ δὲ εἰκότα διαβάλλων, ἢ τοὐναντίον ἀσθενεῖς τοὺς μάρτυρας ποιῶν, τὰ δὲ εἰκότα ἰσχυρὰ πρὸς τὴν τοῦ ζητήματος χρείαν· τὰ δὲ εἰκότα τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ἐστὶ τὰ σημεῖα τοῦ ἐγκλήματος· εἶτα βουλήσει καὶ δυνάμει· σκοπός ἐστιν τῇ βουλήσει τὰς αἰτίας, δι' ἃς εἰκὸς ἦν ἑλέσθαι τυραννῆσαι, ἀνασκευάζειν μὲν τῷ φεύγοντι, κατασκευάζειν δὲ τῷ διώκοντι· τὸ δὲ δύνασθαι Ἀλκιβιάδην τυραννῆσαί φασιν ὁμολογεῖσθαί τινες, καὶ διὰ τοῦτο ἐκλιμπάνειν τὴν δύναμιν· ἡμεῖς δέ φαμεν, ὅτι καὶ εἰ δυνατὸς ἦν Ἀλκιβιάδης τυραννῆσαι, ἀλλ' οὖν γε τῷ [9] μὴ βούλεσθαι ἡ δύναμις ἀνατρέπεται· τεθήσεται οὖν τὸ κεφάλαιον οὕτως, τῇ βουλήσει λυόμενον· ἀμφότερα γὰρ ἀλλήλων ἤρτηται· καὶ οὔτε πρᾶξαι δυνατὸν μὴ βουλόμενον, οὔτε βούλεσθαι χρήσιμον, μὴ δυνατῆς οὔσης τῆς πράξεως· καὶ τὰ δύο ταῦτα κεφάλαια δείκνυσιν ἡ ἀλήθεια τοῦτον ἔχοντα τὸν τρόπον· δεῖ οὖν ἐν τοῖς τοιούτοις, ἐξ ἀντιθέσεως λαμβάνοντα τὸ κεφάλαιον, λύειν τῇ βουλήσει οὕτως· ὡς ἀχρήσιμον τὸ δύνασθαι τοῦ βούλεσθαι μὴ ὑπάρχοντος· καὶ ἐκτείνειν ἐὰν θέλῃς τὴν δύναμιν, δυνήσῃ πλείοσι χρήσασθαι παραδείγμασι· φονεύειν δυνάμεθα, ἀλλὰ τὸ μὴ βούλεσθαι νόμος [10] οὐδεὶς ἡμῖν ἐγκέκληκεν, λωποδυτεῖν, τυμβωρυχεῖν, καὶ τὰ τοιαῦτα· ἀλλὰ μὴν τὴν βούλησιν τοῖς ἐγκωμιαστικοῖς τόποις κατασκευάσομεν, συνάγοντες καὶ τὰς αἰτίας, δι' ἃς ἂν ἦν εἰκὸς ἑλέσθαι τυραννῆσαι τὸν Ἀλκιβιάδην· εἰσὶ δὲ αἱ αἰτίαι αἵδε· πρώτη, τὸ ἐπιθυμεῖν δυναστείας· δευτέρα τὸ μείζονος τιμῆς ὀρέγεσθαι· τρίτη, τὸ βούλεσθαι τοὺς ἐχθροὺς

---

9 Ald. Par. Vind. τό. Med. τό[ῷ]. cfr. p. 291. αἰτίαν ——— λύσεις τὸ μηδένα πρὸς σφαγὴν ᾐτηκέναι. Med. Par. τῷ. 10 Med. Par. φόνου. Ald. Vind. νόμου. οὐδείς. omnes ἡμῶν. scripsi: νόμος οὐδεὶς ἡμῖν ἐγκέκληκεν. cfr. p. 13.v. 7.

τιμωρήσασθαι· τετάρτη, τὸ τοὺς φίλους ἐθέλειν εὐεργετεῖν· εὑρήσεις δὲ καὶ ἄλλας, ἂν ὡς ἐπ' ἀληθείας σκοπῇς· τὴν μὲν οὖν ἀπὸ τῆς δυναστείας αἰτίαν οὕτω λύσεις, τῇ ἀναγωγῇ τῇ ἀπὸ Σωκράτους, καὶ τῷ εἰδέναι παρὰ τοῦ φιλοσόφου τὴν ἀρίστην πολιτείαν· λύσεις δὲ καὶ ταῖς πράξεσι τηρῶν ἁπανταχοῦ τὴν ἐργασίαν τὴν προσήκουσαν τῇ βουλήσει, λέγων ὅτι παρὰ Λακεδαιμονίοις γενόμενος οὐχ εἱλόμην τυραννῆσαι τῆς πόλεως, [11] ἀλλ' ἐξ ἐκείνων μᾶλλον τοῦτο ποιῆσαι δυνάμενος· πολλοὺς γὰρ κατέστησαν πολλάκις Ἀθηναίων τυράννους Λακεδαιμόνιοι· καὶ ὅτι τοὺς νόμους ἐγὼ ἀποδέδωκα τῇ πόλει τυράννους καθελών· ὁ τοίνυν ποιήσας ταῦτα, πῶς ἂν εἵλετο τυραννεῖν; εἶτα ἀπὸ τοῦ γένους· ἔφαμεν γάρ, ὅτι ἡ βούλησις ἀπὸ τῶν ἐγκωμιαστικῶν τόπων κατασκευάζεται· οἷον ὅτι Περικλῆς οὕτως εὐδόκιμος γέγονεν, οὐ δι' ἄλλο τι, ἢ διὰ τὸ δημοτικὸς εἶναι· οὐδαμῶς οὖν ἠβουλόμην ἐκείνου παρ' ὑμῖν ὀφθῆναι δεύτερος· εἶτα ὅτι Ξάνθιππος τυραννοκτονήσας καὶ νόμους καὶ ἀρίστην τὴν πολιτείαν κατέστησεν· πρὸς ὃν ἐγὼ μάλιστα τὸν ζῆλον ἔχων παρ' ὑμῖν [12] πολιτεύομαι· πρὸς δὲ τούτοις ὁ πατὴρ ὁ ἐμὸς οὐ μόνον περὶ Ἀρτεμίσιον ἐνδόξως ἐναυμάχησεν, ἀλλὰ καὶ περὶ Κορώνειαν [13] τέθνηκε· καὶ δυνατὸν εὐθὺς συνάψαι τὸ Δημοσθενικόν, [14] ὅτι οὐ μόνον τοῖς γονεῦσι γεγενήμεθα, ἀλλὰ καὶ τῇ πόλει· πρὸς δὲ [15] τούτοις εἰπεῖν δεῖ, ὅτι καὶ

---

11 Ald. Vind. ἀλλ' ἐξ ἐκ. Med. ἀλλ' om. Par. in textu ἀλλ' ἐκείνων. ad marg. ἐξ ἐκείνων. 12 Vind. ἡμῖν. 13 Ald. Vind. Med. Κρώνειαν (ο supra). Par. Κρώνειαν. 14 pro cor. p. 296. 15 Med. πρὸς τούτοις δέ. Saepe transponitur δέ. Joseph. bell. Jud. I. 28. 2. τῷ σῷ δὲ παιδί, Ἀντίπατρε, τὴν Ἀριστοβούλου θυγατέρα. Par. 1425. τῷ δὲ σῷ. VII. 6. 1. μετὰ ταῦτα δέ, πᾶν ὅσον ἦν στρατιωτικόν, συναγαγών. Par. 1427. μετὰ δὲ ταῦτα. II. 18. 3. τῇ δὲ τρίτῃ νυκτί. Par. 1429. τῇ τρίτῃ δέ. Vita Joseph.

ὀλίγαι ἡμέραι εἰσὶν ἀφ' οὗ κατώρθωσα [16] τὰ περὶ Κύζικον· οὐδὲν οὖν ἀπὸ τῆς πόλεως ἐν τῷ μεταξὺ πάλιν συμβέβηκεν ἀηδές· καὶ γὰρ τὰς ἀρὰς ἀνηράσασθε, [17] καὶ ὡς εὐεργέτην ἐστεφανώσατε, καὶ τὰ ἡμέτερα κηρύττετε κατορθώματα· εἶτα μετὰ ταῦτα τὰ συμβεβηκότα λέγων τοῖς τυράννοις κατασκευάσεις διὰ τοῦτο μὴ βούλεσθαι τυραννεῖν· οἷον, εἰ λέγεις ὅτι περιδεεῖς [18] εἰσιν οἱ τύραννοι, καὶ οἱ συνόντες αὐτοῖς μᾶλλον ἢ συναγωνίζονται· καὶ
291 θετικῶς δὲ καλὸν εἰπεῖν, ὅτι κακὸν ἡ τυραννίς· ἀλλ' ἔστω, καὶ βούλεσθαί [19] με τυραννεῖν· ἆρα ἂν εἴασαν αἱ Ἁρμοδίου καὶ Ἀριστογείτονος δωρεαὶ καὶ τὰ τοιαῦτα· φυλάττεσθαι δὲ δεῖ πανταχοῦ τῶν ἐγκωμίων τὴν ὑπτιότητα, [20] σχήμασι τὸν λόγον ποικίλλοντα· τὴν δὲ αἰτίαν, τὸ μειζόνων ἐπιθυμεῖν, λύσεις ἀπὸ τῶν κατορθωμάτων εἰςβάλλων οὕτως· πόθεν οὖν ἔτι λοιπὸν τῆς τυραννίδος ὀρέγομαι, ἢ ἵνα μείζων τῶν πολιτευμάτων γίνωμαι; Κύζικος γὰρ οὐκ ἤρκει μοι πληρῶσαι τὸ σπουδαζόμενον; Ἑλλήσποντος οὐκ ἀρκεῖ δι' ἐμοῦ ταννῦν ἀποδεδομένος τῇ πόλει πληροῦν [22] μοι τὴν ἐπιθυμίαν, συκοφάντα, καὶ μόνη πάλιν ἀττικίζουσα θάλασσα; ταῦτ' οὐχ ἱκανὰ μέγεθος περιθεῖναι καὶ μεῖζον ἀξίωμα; καὶ τὰ τοιαῦτα· μηδὲ λοιπὴν αἰτίαν τὸ εἰκὸς βούλεσθαί σε ζητοῦντα τοὺς ἐχθροὺς ἀμύνεσθαι τυραννήσειν, λύσεις τῷ [23] μηδένα πρὸς σφαγὴν [24] ἡτη-

c. 60. τοῖς δὲ περὶ τὸν Ἰωνάθην. Par. 1423. τοῖς π. τ. Ἰων. δέ. Chöробosc. de tropis ιδ'. παράφρασις δὲ ἡ ἐναλλαγὴ τῶν λέξεων. Morell. παρ. ἡ δὲ ἐν. 16 Ald. Vind. κατόρθωσα. 17 Ald. Vind. ἐνηράσασθε. Par. Med. ἀνηράσασθαι. Vid. Epist. crit. p. 57. 18 Vind. περιδεεῖς (δειλοι). 19 Ald. Vind. βούλεσθε. Med. Par. βούλεσθαι 20 Med. ὑπτιότητα. Par. ὑπιότητα (η τ). Vind. ὑπιότητα. Ald. ἠπιότητα. cfr. p. 349. φυλάττου δὲ τοῦ λόγου τὸ ὕπτιον. 21 Med. γίνομαι. 22 Ald. Codd. πληροῖ. sensus postulat πληροῦν. 23 Par. Med. τῷ. Ald. Vind. τό. 24 Ald. Vind. προςφαγήν.

κέναι κατὰ τὴν δωρεάν· τὸ δὲ τοὺς φίλους ἐθέλειν εὐεργετεῖν κατασκευάσεις, ὅτι ἤρκει μοι καὶ [25] ἡ πολιτεία· εἶτα ἐρεῖ τὴν δύναμιν λέγων, ὡς οὐδὲν ὄφελος δυνάμεθα, ἐὰν μή τις βούληται ἀρχήν· καὶ τοῦτο κατασκευάσεις, ὡς προεῖπον τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους· λύσεις τῷ ἀντιληπτικῷ καὶ τῷ χρώματι· ἀντιληπτικῷ, ὅτι ἐξῆν μοι ἣν δ' ἂν βούλωμαι λαμβάνειν δωρεὰν, οὐδεὶς γὰρ νόμος ἐγκέκληκεν· ὅπου γὰρ οὐ πρόςκειται τήνδε ἢ τήνδε αἰτεῖν, ἀλλ' ἁπλῶς ἀδιορίστως αἰτεῖν, πῶς οὐκ ἔξεστί μοι καὶ ταύτην λαμβάνειν τὴν δωρεάν; πλατυνεῖς δὲ τὴν ἀντίληψιν, ἂν θέλῃς ἀναγνώσει τοῦ νόμου καὶ τῇ κατὰ μέρος ἐξετάσει καὶ τοῖς τοιούτοις· εἶτα τῷ χρώματι· ὅτι διὰ τὸ φθονεῖσθαι καὶ πολλοὺς ἔχειν ἐχθροὺς, διὰ τοῦτο ταύτην ᾔτησα τὴν δωρεάν· εἶτα κατασκευάσεις τὸ χρῶμα ἀπὸ τῶν ἤδη γενομένων· ὅπου γὰρ ἐμοῦ μηδὲν τηλικοῦτον οἷον νῦν περὶ Κύζικον κατορθώσαντος τοσαῦται γεγόνασι διαβολαὶ καὶ φθόνοι διαχειρίσασθαί με καὶ ἀνελεῖν σπουδαζόντων τῶν κατ' ἐμοῦ νοσούντων τὸν φθόνον, πῶς οὐχὶ νῦν πλείων αὐτοῖς κατ' ἐμοῦ μᾶλλον ἡ σπουδὴ γενήσεται; πιθανὴ ἀπολογία· ὅτι εἰ τυραννῆσαι ἐβουλόμην, οὐκ ἂν ταύτην ᾔτησα τὴν δωρεάν· κατασκευάσεις δὲ αὐτὴν ἀπὸ παραδειγμάτων· ἀνδραφόνος οὐ φέρων [26] ἠμαγμένον τὸ ξίφος περιέρχεται· ὁ φαρμακὸς οὐ φανερῶς ἔχων τὸ δηλητήριον· καὶ ἀπὸ τῶν ὁμοίων παραδειγμάτων, κατ' ἀκολουθίαν τὰ αὐτά· εἶτα τῷ ὑποκειμένῳ συνάψεις τὰ παραδείγματα οὕτως· πῶς τοίνυν ἐγὼ τυραννῆσαι βουλόμενος ταύτην ἂν ᾔτησα τὴν δωρεὰν, φανερὸν ἐμαυτὸν κατασκευάζων διὰ τῆς δωρεᾶς; ἐπιλόγῳ [27] ἀπὸ ποιότητος· ἡ δὲ ποιότης, Ἀλκιβιάδης φιλότιμος· οὐκοῦν ἐχέτω φιλοτιμίαν πολλῶν ὑπό-

---

25 καὶ Ald. Vind. om., recepi ex Med. — v. 7. Ald. Codd. κέκληκεν. scr. ἐγκέκλ. ut p. 10. v. 23. 26 Par. οὐκ ἔχων. ita ut οὐκ manu secunda additum sit: ad marg. οὐ φέρων. 27 Ald. ἐπὶ λόγῳ.

σχεσιν τροπαίων ἀπὸ τοῦ μέλλοντος. ἀπὸ γνώμης· πῶς προσενεχθήσεται τῇ πόλει μετ' εὐνοίας πλέον ἢ οἱ πρόγονοι; ἀπὸ τοῦ δικαίου· ὅτι δίκαιον τιμωρήσασθαι τὸν κατήγορον, αὐτὸν δὲ ἀθῷον ἀφεθῆναι τοῦ βήματος· ἀπὸ τοῦ συμφέροντος· ὅτι συμφέρει ὑμῖν πρὸς εὐδοξίαν, πρὸς λύπην τῶν ἐχθρῶν, πρὸς τὸ μὴ Λακεδαιμονίους ἡσθῆναι, μὴ Συῤῥακουσίους πανηγυρίσαι, διὰ τὴν κατ' ἐμοῦ παρ' ὑμῶν ὀργὴν, μὴ πομπεῦσαι Πελοποννησίους[28] ἐπ' ἐμοί· καὶ τὰ τοιαῦτα· οἷον προσθήσω καὶ ἕτερα τῇ πόλει κατορθώματα· ἤδη κατὰ Λακεδαιμονίων χρήσομαι τῇ φρουρᾷ· ἐπὶ τὴν θάλατταν ἐξορμίσωμεν· ἑλκύσωμεν[29] ἀπὸ τῶν νεωρίων τὸ ναυτικόν· ἴδωσιν ἡμᾶς Πελοποννήσιοι κατ' αὐτῶν τὴν θάλατταν πλέοντας, ἀλλήλοις τὸν παίονα προσᾴδοντας· προσθήσω καὶ Σικελίαν τῇ πόλει· πληρώσω τροπαίων τὴν Ἀττικήν· γενέσθαι δεῖ τὴν Ἰταλίαν Ἀθηναίων ὑπήκοον· δι' ἐμοῦ πάντας ἀνθρώπους δουλεῦσαι τῇ πόλει· εἶτα κατάλυσον εὐκρότως τὸν ἐπίλογον· τελέσουσι φόρον ἡμῖν Λακεδαιμόνιοι· κἂν ἐπιπλέον ἡμῖν οἱ συκοφάνται διὰ ταῦτα βασκαίνωσιν,[30] ἢ ἄλλως πλήρωσον· ἵνα μὴ μόνον ὦσιν Ἀθηναῖοι θαλαττοκράτορες, ἀλλ' ἔχωσι δι' ἐμὲ καὶ τὴν Εὐρώπην ὁμοῦ μετὰ Λακεδαιμονίων ὑπήκοον.

## 292 ΑΠΛΟΥΣ ΑΛΛΟΣ.[31]

Δημοσθένει[32] φεύγοντι ἐγράφη καθόδου ψήφισμα· Δημάδης ἀντείρηκεν, οὐδὲν ἧττον ὁ δῆμος ἐψηφίσατο· κατιὼν Δημοσθένης εὕρηται νεκρὸς ἀσκύλευτος,[33] καὶ κρίνεται Δημάδης φόνου.

Ἡ κατάστασις Δημοσθένους ἔχει τὴν πολιτείαν, τὰς λευτουργείας,[34] τὴν εὔνοιαν, τὴν κατὰ Φιλίππου παῤ-

28 Vind. Par. Πελοπονησίους. 29 Ald. Vind. Par. ἑλκίσωμεν. Med. ἑλκύσ. in Par. correctum. 30 Ald. Codd. βασκαίνωσι 31 Ald. ἄλλως. 32 Vind. Δημοσθένη. 33 Ald. Vind. Par. 1. ἀσκήλευτος. 34 Med. λειτουργείας.

ῥησίαν, καὶ ὅσα τοιαῦτα· τὸ δὲ ἀποφανθῆναι παρὰ τῆς ἐξ Ἀρείου πάγου βουλῆς [35] τὸν Δημοσθένην, δῶρα παρὰ Ἁρπάλου λαβεῖν, λῆμμά ἐστιν· οὐ γὰρ δεῖ τὴν κατάγνωσιν ταύτην λογίζεσθαι· ὡς μὴ κατεγνωσμένου γὰρ Δημοσθένους τὸν ὅρον δεῖ λαβεῖν ὡς ἐν λήμματι, ἐλέγχων ἀπαιτήσει. ΑΠΟΦΕΥΓΟΝΤΟΣ. Εἰ παρά τινός [36] μου μαρτυροῦσι τὸν φόνον· βουλήσει· οὐκ ἂν ἐβουλήθην ἀποκτεῖναι, ἵνα μὴ ἐναγὴς γένωμαι, μηδὲ ὑπεύθυνος τιμωρίᾳ, μηδὲ χρήσωμαι κακοδοξίᾳ· δυνάμει· οὐκ ἂν ἠδυνήθην αὐτὸν ἀποκτεῖναι ὄντα μετὰ φίλων, μετ' οἰκετῶν. ΑΠ ΑΡΧΗΣ ΑΧΡΙ [37] ΤΟΥ ΤΕΛΟΥΣ. ΤΟΥ ΔΙΩΚΟΝΤΟΣ.

Ἀλλ' ἀντεῖπε τῷ ψηφίσματι, καὶ κατιὼν εὑρέθη νεκρός· καὶ ἱκανὰ ταῦτα τυγχάνει τεκμήρια τοῦ γε πεφονευκέναι.

## ΑΝΤΙΛΗΠΤΙΚΩ. [38] ΤΟΥ ΦΕΥΓΟΝΤΟΣ.

Ἔξεστιν ἀντιλέγειν, καὶ οὐδεὶς κωλύει νόμος· οὕτω γοῦν ἀντιλέγουσι πολλοὶ κἀν τοῖς δικαστηρίοις κἀν ταῖς ἐκκλησίαις κἀν τοῖς ἐπαίνοις· καὶ οὐδεὶς ἐκωλύθη ποτέ· οὐδὲ ἀντιλέγων ὑπώπτευται, χρώματι τοῦ ἀντειπεῖν, ὅτι ἐχθρὸς ὑπῆρχον καὶ οὐκ ἠβουλόμην τὸν ἐμοὶ διάφορον εὖ παθεῖν, ἀλλ' ἐν ἀτιμίᾳ τυγχάνειν ἀεί· καὶ ὅτι ὑπὲρ ὑμῶν καὶ τῆς πόλεως ἀντεῖπον, ἵνα μὴ πάλιν στάσεις καὶ ταραχὰς κατὰ τὴν πόλιν ἐργάσηται, πολέμους εἰσηγησάμενος, [39] καὶ μὴ συγχωρῶν τὸν δῆμον εἰρήνην ἀσπάζεσθαι· χρώματι ἄλλῳ τοῦ εὑρηκέναι νεκρὸν εἰκὸς ἀπὸ τῶν λῃστῶν τινων ἢ ἄλλων ἐχθρῶν αὐτοῦ ταῦτα παθεῖν· πιθανὴ ἀπολογία· ὅτι οὐκ ἂν κατιόντα [40]

---

35 Med. Par. βολῆς. in Par. ου supra lineam manu recentiori. 36 Med. περὶ τίνες. — v. 9. Ald. χρήσομαι. 37 Vind. ἕως. ad marg. γρ. μέχρι. 38 Abest hic titulus ab Ald. Vind. 39 Med. εἰσηγούμενος. 40 Vind. κατιόντας.

ἀπέκτεινα, ἵνα μὴ ὑποπτευθῶ· ἐπιλόγῳ κοινῷ καταδρομὴν ἔχοντι τοῦ προσώπου Δημάδου. ΕΠΑΙΝΟΣ ΔΗΜΟΣΘΕΝΟΥΣ. ὅτι πολλὰ ἂν ὠφέλησε τὴν πόλιν συμμάχους ἐπινοῶν, πόρους χρημάτων, τὸ συμφέρον εἰσηγούμενος, καὶ τὰ τοιαῦτα. ΑΝΤΕΓΚΛΗΜΑΤΙΚΟΣ. Δύο παίδων ὁ ἕτερος ἀποκηρυχθεὶς εἰργάζετο· ἰδὼν αὐτὸν ὁ πατὴρ ἐργαζόμενον ἐδάκρυσεν· ἐπανελθὼν εὕρηται νεκρὸς ἀσκύλευτος· ἀντεγκαλοῦσιν ἀλλήλοις ὅ τε ἐπὶ τῆς οἰκίας καὶ ὁ ἀποκήρυκτος. ΑΤΕΛΗΣ ΕΚ ΠΡΑΓΜΑΤΩΝ ΣΤΟΧΑΣΜΟΣ. Οὔτε γὰρ παρὰ τοῦ ἀποκηρύκτου, οὔτε παρὰ τοῦ ἀπὸ τῆς οἰκίας ἔστι τι πεπραγμένον ἐν τῷ πράγματι· τὰ δὲ δάκρυα εἴ τις λέγοι ὡς ἄντικρυς εἰς τοὺς παῖδας ἀναφέρεται, τοῦ μὲν ἀποκηρύκτου εἰς ἔλεον, τοῦ δὲ ἐπὶ τῆς οἰκίας εἰς τὸ μὴ ἀναληφθῆναι τὸν ἀποκήρυκτον, ἴστω περιστατικὰ τυγχάνειν· δῆλον γὰρ ὅτι τούτοις μόνοις εἰς τὴν τῆς βουλήσεως κατασκευὴν ὁ ἀποκήρυκτος πλεονεκτήσει τὸν ἐπὶ [41] τῆς οἰκίας· ἐρεῖ γὰρ ὅτι διὰ τοῦτο τὸν πατέρα ἀνῄρηκας, ἵνα μή με [42] ἀναλάβῃ, ἐλπίσας αὐτὸν ἐκ τῶν δακρύων με ἀναλήψεσθαι· πάλιν ἐροῦσί τινες, ὅτι ὑπὲρ μὲν τοῦ ἀποκηρύκτου ἔστι τὰ δάκρυα, κατὰ δὲ τοῦ ἐπὶ τῆς οἰκίας, οὔκουν ἑνὸς μέρους γίνεται τοῦ ἐγκλήματος σημεῖον [43] τὰ δάκρυα· δῆλον δὲ ὅτι οὐδέποτε ἐν ἀντεγκληματικῷ στοχασμῷ ἑνὸς μέρους εὑρίσκεται τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ἀλλὰ πάντως κοινὰ ἀμφοτέρων· ἐξ ὧν ἀμφότεροι ἀλλήλοις ἀντεγκαλοῦσιν· ἢ διπλᾶ εἰς ἑκάτερον μεριζόμενα· ὡς ἐπὶ τοῦ Δημοσθένους καὶ Αἰσχίνου, ἱεροσυλίας ἀλλήλοις ἀντεγκαλούντων, ὅτι ὁ μὲν εὕρηται χρυσίον κατορύττων, ὁ δὲ ὑπὲρ ἱεροσυλίας λόγον γράφων· δῆλον γὰρ ὅτι κατὰ μὲν Αἰσχίνου ἐστὶ τὸ κατορύττειν χρυσίον·

κατὰ

41 Ald. Vind. ἀπό. Med. Par. ἐπί. 42 Ald. Vind. Par. μήτε. Med. μή με. in Par. correctum. 43 Med. Par. σημεῖα.

κατὰ δὲ Δημοσθένους τὸ γράφειν τὸν λόγον· τέλειον δὲ ἓν μέρος ἐκ πραγμάτων καὶ προσώπων· καὶ ἓν ἀτελὲς ἐκ πραγμάτων οὐδὲ πώποτε[44] γίνεται· πάλιν τὰ σημεῖα ἐν στοχασμῷ, ἢ ἐν λόγοις ἐστὶν, ἢ ἐν ἔργοις, ἢ πάθεσιν· οὐδὲν δὲ φαίνεται οὐδέτερος αὐτῶν[45] ἐξ ἰδίου προσώπου διαπραξάμενος· πάλιν ἡ πιθανὴ ἀπολογία 293 ἀντιστροφὴ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ἐστίν· τὰ δὲ ἀπ' ἀρχῆς ἄχρι τέλους ἢ ἀναγκαῖά ἐστι πρὸς τὸ ἔγκλημα, τουτέστιν ἀκόλουθα τῷ ἐγκλήματι, ὡς τὸ ὅπλα ἔχειν τῷ τυραννεῖν, ἢ οὐκ ἀναγκαῖα πρὸς τὸ ἔγκλημα, ὡς τὸ δακρύειν τῷ τυραννεῖν· καὶ ἐὰν μὲν ᾖ ἀναγκαῖα τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, οὐκ ἐμπίπτει πιθανὴ ἀπολογία· οὐδεὶς γὰρ λέγει· ὅτι οὐκ ἂν εἶχον ὅπλα εἰ ἔμελλον τυραννεῖν· τί οὖν πρὸς τούτοις ἐστὶ τὰ τοῦ πατρὸς δάκρυα· ἢ ἀναγκαῖα καὶ ἀκόλουθα τῷ ἐγκλήματι, ἢ οὐκ ἀναγκαῖα οὐδὲ ἀκόλουθα. ὅτι μὲν οὖν οὐκ ἔστιν ἀναγκαῖα, οὐδὲ ἀκόλουθα τὸ δακρύειν τῷ φονεύεσθαι, δῆλον. λείπεται τοίνυν τὸ μὴ εἶναι αὐτὰ ἀκόλουθα τῷ ἐγκλήματι, καὶ ἐμπίπτειν τὴν πιθανὴν ἀπολογίαν· τοῦτο γάρ ἐστι τὸ συναγόμενον· ἀλλὰ πρόδηλον ὅτι οὐκ ἄν τις εἴποι, ὡς οὐκ ἂν ἐδάκρυσεν ὁ πατὴρ, εἰ ἔμελλον ἐγὼ φονεύειν αὐτόν. ἀνόητον γὰρ καὶ σφόδρα ἠλίθιον· ὥστε ἐκ τούτων ἁπάντων δηλονότι ἀτελής τε ὁ στοχασμὸς, καὶ τὰ δάκρυα οὐκ ἔστιν ἀπ' ἀρχῆς ἄχρι τέλους, ἀλλὰ περιστατικὰ, μόνην τῷ ἀποκηρύκτῳ τὴν βούλησιν τὴν κατὰ τοῦ ἐπὶ τῆς οἰκίας κατασκευάζοντα·[46] τοῦ γὰρ ἐπὶ τῆς οἰκίας λέγοντος ὅτι διὰ τοῦτο τὸν πατέρα ἀνήρηκας, διότι σε ἀπεκήρυξεν, οὗτος ἐρεῖ, ὅτι διὰ τοῦτο αὐτὸν ἀνῄρηκας, ὅτι ἔμελλέ με ἀναλήψεσθαι.

## ΠΕΡΙ ΔΙΑΙΡΕΣΕΩΣ.

Ἡ δὲ διαίρεσις μόνην ἔχει τὴν βούλησιν καὶ τὴν

44 Med. οὐδέποτε. 45 Vind. Par. αὐτόν. Med. αὐτῶν.
46 Ald. Vind. κατασκευάζοντι. Par. per correct. κατασκευάζοντα.

δύναμιν καὶ τὸν ἐπίλογον· οἷον μετὰ τὰς προκαταρκτικὰς ἐννοίας τὴν κατάστασιν θήσεις, ἐκ τῆς γενέσεως καὶ ἀνατροφῆς καὶ παιδείας· ἐν οἷς εὔνοιαν κατελέγξεις [47] τοῦ πατρὸς πρὸς τοὺς παῖδας καὶ διάθεσιν, καὶ μάλιστα πρὸς τὸν ἀποκήρυκτον· εἶτα φθόνον καὶ διαβολὴν καὶ ὀργὴν τοῦ πατρὸς, καὶ τῶν διαβαλλόντων παροξυσμὸν καὶ ἀποκήρυξιν καὶ τὰ τοιαῦτα. Ἡ [49] τῶν ἐλέγχων ἀπαίτησις καθόλου ἐν ἀντεγκληματικοῖς οὐκ ἐμπίμπτει· [49] ἐξισάζει γὰρ τὸ κεφάλαιον καὶ οὐχ οἷόντε τὸ αὐτὸ καὶ ἀπα:τεῖν καὶ παραιτεῖσθαι διδόναι, [50] καὶ εἰ Μινουκιανὸς ἐπὶ τοῦ ἰατροῦ εἶπεν ὅτι ἐμπεσεῖται ἐπὶ τοῦ ἑνὸς μέρους· ἐρεῖ γὰρ, φησὶν, ὁ ἰατρὸς, δὸς μάρτυρας, πόθεν ὠνησάμην τὸ φάρμακον· δῆλον δέ ἐστιν, ὅτι ἡ τῶν ἐλέγχων ἀπαίτησις τοῦ ἐγκλήματός ἐστιν. οἷον δὸς μάρτυρας, ὅτι τύραννός εἰμι, ὅτι φονεὺς, καὶ τὰ τοιαῦτα· τὸ μέντοι φαρμακείας οὔσης [51] καὶ φόνου, μὴ λέγειν ὅτι δὸς [52] τοὺς ἐλέγχους εἰ ἐγὼ ἀνεῖλον, ἀλλ' εἰ ἐπριάμην τὸ φάρμακον, καὶ παρὰ τοῦ, οὐκ ἔστι τῆς [53] τῶν ἐλέγχων ἀπαιτήσεως· δῆλον γὰρ ὅτι ἀναγκαῖόν ἐστι τὴν τῶν ἐλέγχων ἀπαίτησιν πάντως πρὸς τὸ ἔγκλημα γίνεσθαι. μετὰ ταῦτα θήσεις τὴν βούλησιν πρώτην·τὴν τοῦ μελετωμένου· ὅτι ουκ ἂν ἠβουλήθην· ὁ μὲν ἀποκήρυκτος λέγει ἐλπίζων αὐτὸν ἀπολήψεσθαί με. εἰδὼς ὅτι οἱ διαβάλλοντές εἰσιν οἱ τούτων αἴτιοι· καὶ πρὸς τούτοις, ὅτι ἐκ τῶν δακρύων

---

47 Vind. καταλέγξεις. 48 Post τοιαῦτα lacuna est in Ald. et Vind. nihil deest, nisi articulus ἡ, quem habent Med. Par. 3. Vind. in Par. 1. 2. post τοιαῦτα linea terminatur. In initio lineae sequentis ἡ, ut plerumque litterae unciales, deest. 49 Ald. et codd. ἐνπίπτει. Vind. ad marg. ἐμπ. tum pro sq. ἐξισάζειν, quod est in Ald. et codd. scripsi: ἐξισάζει. 50 Ald. Vind. Par. καὶ παραδιδόσθαι. Med. παραιτ. διδόναι. 51 οὔσης Ald. Vind. om., est in Par. 52 Par. δοὺς, ad marg. δός. 53 τῆς Ald. Vind. Par. om. recepi ex Med.

ἐλπίσας, ὅτι τυχὸν ἄν με ἀπολήψεται. σὺ δὲ ἀνῄρηκας, ἵνα μή με ἀναλάβῃ, μηδὲ τῆς οὐσίας σχῇς κοινωνόν· καὶ τὰ τοιαῦτα· ὁ δὲ ἐπὶ της οἰκίας ἐρεῖ, ὅτι οὐκ ἂν ἀνεῖλον τὸν πατέρα οὕτω τιμώμενος τῆς οἰκίας δεσπότης, καὶ τὰ τοιαῦτα· σὺ δὲ ἀνεῖλες μνησικακῶν, ὅτι σε ἀπεκήρυξεν· ἡ δύναμις τοῦ ἀποκηρύκτου· ὅτι οὐκ ἂν ἠδυνήθην ἀνελεῖν ἐκτὸς τοῦ χωρίου γενέσθαι μὴ δυνάμενος διὰ τὸ γεωργεῖν, καὶ θητεύειν μισθοῦ· σὺ δὲ ἐν ἐξουσίᾳ ὢν καὶ τοῦ πράττειν καὶ τοῦ φίλοις χαρίσασθαι, καὶ ἐξελθεῖν ἀνῄρηκας καὶ τὰ τοιαῦτα· καὶ ὅλους εὑρήσεις τοὺς τόπους τῆς βουλήσεως καὶ τῆς δυνάμεως, ἐπ᾽ ἀμφοτέρων τῶν προσώπων ἐμπίπτοντας· τοῦ μὲν μελετωμένου ἀνασκευαστικοὺς τοῦ ἐγκλήματος· τοῦ δὲ ἀντεγκαλουμένου κατασκευαστικούς· μετὰ ταῦτα θήσεις τὸν ἐπίλογον· 294
ἔστι δὲ κοινός, καταδρομὴν ἔχων τοῦ ἐγκαλουμένου.

## ΑΛΛΟΣ ΑΝΤΕΓΚΛΗΜΑΤΙΚΟΣ.

Ἀπολλυμένου χρυσίου ἐξ ἀκροπόλεως, εὑρέθη Δημοσθένης λόγον ὑπὲρ ἱεροσυλίας γράφων καὶ Αἰσχίνης [54] ἐπ᾽ ἐρημίας κατορύττων χρυσίον καὶ ἀντεγκαλοῦσιν ἀλλήλοις.

ΔΗΜΟΣΘΕΝΗΣ. Προοιμίοις χρήσῃ [55] τούτοις. Προσέθηκεν Αἰσχίνης, ὦ θεοί, ταῖς ἑαυτοῦ πολιτείαις τὸ λειπόμενον· οὐκ ἔτι [56] τὰ κοινὰ δίκαια τῶν Ἑλλήνων μισθοῦ τοῖς Μακεδόσι προΐεται, ἀλλ᾽ ἤδη καὶ κατ᾽ αὐτῶν ἐκτείνει τῶν θεῶν τὴν οἰκείαν ἀπόνοιαν, λόγῳ μὲν προδιδοὺς καὶ δημηγορίᾳ τὰς πόλεις, ἔργοις δὲ τὴν ἱεροσυλίαν ἐν χερσὶν ἐργαζόμενος. δεύτερον· ᾤμην μὲν οὖν μηδὲ λόγου προσδεῖσθαι τὴν γραφήν· ἐπειδὴ δὲ εἰς τοσοῦτον ἧκε τῆς γοητείας, καὶ τὴν πόλιν καθυποκρίνεται [57] καὶ πιθανὸς εἶναι δοκεῖ τὰ τῆς αὐτοῦ πονηρίας

54 Med. Αἰσχύνης. Par. καὶ ἐπ᾽ ἐρημ. Αἰσχύνης. 55 Med.
οι
χρήσῃ τοιούτοις. Par. χρήσῃ. Ald. Vind. χρήσοι. 56 Med. οὐκέτι. 57 Ald. Vind. Par. καθ᾽ ὑποκρίνεται.

ἐγκλήματα μετάγων εἰς ἕτερον, αὐτούς, ὦ Ἀθηναῖοι, [58] πρῶτον, παρακαλέσας τοὺς κρείττονας, ἐπὶ νοῦν τῷ δικαστηρίῳ παραστῆσαι κρίσιν καὶ ψῆφον τὴν εὔλογον δεῖξαι πειράσομαι τοῖς ἔργοις τὸ συναμφότερον, συκοφάντην αὐτὸν κατὰ Δημοσθένους, ὡς κατὰ [59] τῆς πολιτείας τὴν ἱεροσυλίαν τολμήσαντα. τρίτον· θαῤῥεῖ μὲν οὖν, ὡς ἔοικεν, Αἰσχίνης, ὅτι τῇ φωνῇ τὸν δῆμον καθυποκρινόμενος ἀπατήσει τὸ δικαστήριον, παρὰ τοὺς ὅρκους καὶ τὸ δίκαιον τὴν ψῆφον ἐνέγκαι, καὶ τὴν κρίσιν ποιήσασθαι. οὐ μὴν ὑμᾶς οὕτω νενόμικα τῶν δικαίων καταμελεῖν, ὡς ἀθῷον τοῦτον τηλικαῦτα τολμήσαντα διαδρᾶναι τὴν δίκην. ΚΑΤΑΣΤΑΣΙΣ. Οὐ νῦν δὲ Αἰσχίνης πρῶτον ἡμῖν, οὐδ' ἐντεῦθεν τῆς ἀσεβείας κατάρχεται· πάλαι ταύτην, ὦ Ἀθηναῖοι, [60] τὴν νόσον νοσεῖ, πάλαι ταύτην ἐμελέτα τῇ προαιρέσει τὴν τοῦ κέρδους ὑπόθεσιν· ἐξ οὗ μετὰ τῶν ἀνακτόρων προὐδίδου τὰς πόλεις, ἐξ οὗ τῆς ἀμφικτυονίας καὶ Πυλῶν εἴσω προήγαγε Φίλιππον, ἐξ οὗ τοιαύτην περὶ Δελφοὺς τὴν ἐρημίαν ἐπραγματεύσατο· δρᾶμα τῶν Φωκέων ἀληθινὸν [61] ποιήσας τὰς πόλεις, ἀμφικτύονα ποιήσας τὸν Φίλιππον, καὶ τῶν Πυθίων ἀγωνοθέτην ἐπιδείξας, ὥσπερ ἐν δράματι κατηγόρουν, ἐγραφόμην, καὶ τότε δυσσεβῆ τὴν πρᾶξιν ἀπεκάλουν γραφόμενος· ἐκεῖνα τῆς ἱεροσυλίας ἦν αὐτοῦ τὰ προοίμια, δημηγόρου πραχθέντα προσχήματι καὶ κρυπτόμενα· εἰ τότε κατηγοροῦντος ἐπείθεσθε, εἰ τὴν ἔξω τῆς Ἀττικῆς ἀσέβειαν καταγνόντες ὑμεῖς ἐκολάζετε, [62] οὐκ ἂν μετῆγεν εἴσω καὶ καθ' ἡμῶν τὰ τοιαῦτα τολμήματα· οὐ

---

58 Ald. Vind. ὦ θεούς. praeposito asterisco, quo haesitationem suam significare voluit editor. In Par. ὦ θ. i. e. ὦ Ἀθηναῖοι. cfr. Epist. crit. p. 27. 59 Par. ὡς καὶ τῆς. 60 Ald. Vind. ὦ θεοί. scr. ὦ Ἀθηναῖοι. 61 ἀληθινὸν Ald. Vind. om. est in Par. In eodem scriptum fuit ἐπιδείξας ποιήσας. Sed ἐπιδείξας expunctum. 62 Ald. Vind. Par. ἐκολάζετο, scripsi ἐκολάζετε.

δ' ἂν τῆς ἐφόρου θεᾶς τῶν ἀναθημάτων ἐφήπτετο· νῦν δὲ κέρδους τοῦ τοιούτου γευσάμενος, καὶ μεγέθει τοῦ πράγματος τὴν πίστιν τῶν ἐγκλημάτων ὑμᾶς[63] ἀφαιρούμενος τοὺς δικάζοντας ἐργασίαν ποιεῖται τὸ ἔγκλημα· καὶ οὐχ ὅπως τολμᾷ μόνον, ἀλλ' ἤδη[64] καὶ τὰ τοῦ συμβούλου τοιαῦτα πάρεστιν αἰτιώμενος, καὶ λόγοις πολυπραγμονῶν καὶ γυμνασίοις, ἣν φοιτῶντες ἐν διδασκάλοις ἐκ παίδων μέχρι γήρως κανῶνα εἰς παιδείαν αὐτοῖς προτεθείκαμεν, μεταφέρων εἰς ἔγκλημα αὐτὰ τῆς ἱεροσυλίας, αὐτὸς ἐπὶ τῆς ἐρημίας κατορύττων τὰ φώρια καταλαμβάνει τὸ δικαστήριον, φόβῳ τῆς κατηγορίας ἡμᾶς ἐπισχεῖν βουλόμενος· ταῦτα δὴ τῆς Αἰσχίνου πολιτείας τὰ συνήθη παλαίσματα· τούτοις καὶ νῦν οὐ ταῖς ἀληθείαις τεθάῤῥηκεν.

Ἐλέγχων ἀπαίτησις οὐκ ἐμπίπτει; διὰ τὸ ἐξισάζειν ἐν τοῖς ἐγκληματικοῖς, ὅπερ γὰρ ἐὰν εἴπῃ κατὰ τοῦ ἑτέρου, καὶ καθ' ἑαυτοῦ δῆλός ἐστι τοῦτο φθεγγόμενος.

## ΒΟΥΛΗΣΕΙ ΜΙΚΤΗ.

Πάλιν ἐξ ἀμφοτέρων ὡς ἐπὶ τῆς καταστάσεως· μὴ γὰρ ἑλεῖν τὸν κατηγορηθέντα βούλεται, διασῦραι σπουδάζει τὴν κατ' αὐτοῦ[65] γραφήν· καὶ τοσοῦτον μᾶλλον ὑποπτεύειν ἄξιον, ὅσῳ καὶ μᾶλλον ἐσπούδακεν, οὐ διδοὺς τῶν ἐγκλημάτων λόγον, ἀλλ' ἀντὶ τῆς ἀπολογίας εἰσάγων γραφήν. ὢ τῆς συκοφαντίας, ὢ πάντα ἂν εἰπὼν καὶ τολμήσας Αἰσχίνη,[66] ἐφ' ἱεροσυλίᾳ κρίνειν[67] τὸν ῥήτορα, τὸν Παιανιέα, τὸν ἐκ παίδων ἐλεύθερον, τὸν ὑπὲρ τῆς 295
πατρίδος ἅπαντα πολιτευσάμενον, τὸν χορηγὸν πολλάκις ἐκ Διονύσου γεγενημένον, τὸν ὅλης φυλῆς ἑστιάτορα, τὸν

63 Ald. ἡμᾶς. Vind. Par. ὑμᾶς. 64 Vind. εἴδη. 65 Ald. Vind. αὐτόν. Par. αὐτοῦ. 66 Par. αἰσχύνη. 67 Ald. Par. κρίνει. Vind. κρίνειν.

ἐκ παίδων τριήραρχον, τὸν πολλὰς πατράσι γενομένοις συνεκδόντα παρθένους εἰς γάμον· ταῦτα [68] καὶ τοιαῦτα ἐρεῖς δακρύων, ὅτι ὁ ἀεὶ χρημάτων καταφρονήσας οὐκ ἂν ἱεροσύλησα, εἶτα ὑπὲρ τούτων καὶ τῆς ὑπὲρ τούτων εὐνοίας ἐμαυτὸν ἀφηρούμην· εἰπέ μοι· οὐχ ὑπεῖχον Κλειτάρχῳ τὴν δεξιὰν τόσα διδόντι καὶ τόσα, ἵνα μένῃ [69] τῆς Θετταλίας ὁ κακοδαίμων δεσπότης· ἀφηρούμην δὲ τῆς παρθένου τὰ ἀναθήματα· οὐ διέφθειρέ μου τῷ Μακεδονικῷ χρυσίῳ τὴν γνώμην ὁ Φίλιππος, πλέον διδοὺς ὅσῳ καὶ πλέον ᾔδει μισθούμενος, ἀλλ' ὑπὲρ αὐτοῦ τοῦ δικαίου διατελῶ κατ' ἐκείνου πολιτευόμενος· μεταβέβλημαι δὲ ἐξαίφνης, καὶ τῶν ἀναθημάτων ἅπτομαι, ἐκ ποίας προδοσίας εἰπέ μοι τὴν ἀρχὴν τῆς ἀσεβείας λαμβάνων; ἂν δείξῃς τὸ κέρδος πολιτευόμενον γνωρίζω τὸ ἔγκλημα· τοῦτο τῆς ἱεροσυλίας ἀρχή· τοῦτο καὶ πέρας ἐκείνου γίνεται· ποῖον τοιγαροῦν τοιοῦτον Δημοσθένους πολίτευμα; δεῖξον, εἰπέ μοι, σιωπᾷς, οὐ λέγεις; οὐκοῦν τὰ σαυτοῦ μοι σκόπει· καὶ γνώσῃ τὸ ἔγκλημα· τίς, ὦ θεοί, τίς ἐπὶ Φωκεῦσιν ἐλάμβανε· τίς ὁ Φωκέας πολλάκις ἐπὶ τῆς ἐκκλησίας κατοδυρόμενος; τίς ὁ Φιλίππῳ συνεξαπατήσας τὴν πόλιν; τίς τὴν ἀπάτην διήλεγξεν; τίς ὁ πρεσβεύειν αἱρούμενος καὶ τοῦτο πάλιν παραγραφόμενος ὅρκου προσχήματι; ὁ ταύτην, ὦ θεοί, τὴν πολιτείαν πολιτευσάμενος δυσσεβής, ἀλάστωρ, τῆς ἐνεγκούσης πολέμιος· ὁ οὐδένα γενεθλίων [70] θεῶν ἢ πατρίδος λόγον ποιησάμενος πότ' ἂν θεῶν ἱεροῦ τε καὶ φείσαιτο, πῶς δὲ [71] ἑτέρου τινὸς καὶ οὐκ Αἰσχίνου τὸ ἔγκλημα.

Ἡ δύναμις ἐκλιμπάνει διὰ τὸ ἰσάζειν [72] ὥσπερ ἐπὶ τῶν ἐλέγχων.

Τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ἐξ ἀντιθέσεως· ἑάλως γάρ,

68 Ald. Vind. τοιαῦτα καὶ τοιαῦτα. corr. Par. 69 Ald. Vind. μένει. Par. μένῃ. 70 Ald. Vind. Par. ὃς οὐδένα γενεθλίῳ θεῶν ἢ πατρί. correxi ex conj. 71 Ald. Vind. δι'. Par. δέ. 72 Ald. Vind. ἐσάζειν. in Vind. supra lin. ἰσάζειν.

φασὶ, λόγον ὑπὲρ ἱεροσυλίας γράφων· λύσεις τῇ ἀντιλήψει καὶ χρώματι· ὅτι οὐ γράφομεν μόνον καθ᾽ ἑαυτοὺς μελέτης καὶ εὐπορίας ἕνεκα τῆς εἰς τοὺς λόγους τὰ τοιαῦτα γυμνάσματα, ἀλλ᾽ ἤδη καὶ ἐπὶ τῶν δικαστηρίων αὐτῶν συνηγοροῦμεν μοιχοῖς, ἀνδροφόνοις, τυμβωρύχοις καὶ τοῖς τὰ δεινότατα δόξασιν ἐγχειρεῖν καὶ ἐργάζεσθαι· καὶ οὐχ ὅτι συνηγορεῖν ἀνεπίφθονον· διὰ τοῦτο καὶ τῶν ἐγκλημάτων τὰς κρίσεις διώκονται· εἰ τοίνυν συναγορεύειν ἔξεστι, πολὺ δήπου πρότερον καὶ τὸ συγγράφειν συγκεχώρηται· συνηγόρεις,[73] Αἰσχίνη, Πλουτάρχῳ τῆς Εὐβοίας τυράννῳ ποτέ· ἀλλ᾽ οὐδεὶς εἶπεν Αἰσχίνην εἶναι τὸν τύραννον, οὐδ᾽ ἄλλον ὅτι Κλειτάρχῳ παρίστατο· τῷ χρώματι λύσεις πάλιν, τὰ κατὰ Δημοσθένους ἀπ᾽ ἀρχῆς ἄχρι τέλους. εἰ δ᾽ ἄρα δεῖ τι καὶ τοιοῦτον εἰπεῖν, καὶ λόγον δοῦναι τοῦ λόγου, μελέτη τὸ σπούδασμα ὃν γυμνασίᾳ πρὸς λόγων ἐπίδοσιν τὸ γινόμενον ἦν· σὺ δὲ ἀγνοεῖς εἰκότως, Αἰσχίνη, χθὲς[74] γὰρ δὴ καὶ πρῴην Ἀθηναίων ἐγένου, καὶ σύμβουλος, καὶ φυλῇ[75] ἐνεγράφου, καὶ ἐτέλεις ἐξ ἐκείνης εἰς ῥήτορας· ἀλλ᾽ ἄκουε δὴ παρ᾽ ἡμῶν ἃ τὴν πρώτην ἡλικίαν μανθάνειν[76] εἰς διδασκάλου φοιτῶντα ἐχρῆν· μέγας εἰς σοφίαν Γοργίας, μύδρον εἶναι λέγων[77] τὸν ἥλιον· καὶ τῷ λόγῳ φιλονεικῶν πρὸς τὴν τοιαύτην ὑπόθεσιν. Σωκράτης παρ᾽ ἡμῖν εἰς παιδείαν θαυμάζεται, καὶ μάρτυς αὐτῷ τῆς σοφίας ἐκ τριπόδων ὁ Πύθιος· τὸ δὲ τῆς δόξης αἴτιον γυμνασία τῶν λόγων· καὶ τὴν σὴν σκόπει τραγῳδίαν, πόθεν εἰς τὰς σκηνὰς εἰσέδυ καὶ μέγαν ἦρεν Αἰσχύλον καὶ Διονύσου φίλον· τὸν Ὅμηρον αὐτὸν εἴ τις λογίζοιτο τῶν λόγων πάντων πα-

73 Vind. συνειγόρεις. 74 Dem. pro cor. p. 270. 75 Ald. Vind. Par. φυλῆς. scripsi φυλῇ. 76 Post μανθάνειν in Ald. Vind. Par. est ἔδει. quod delevi. 77 Sine dubio in libro περὶ φύσεως, in quo more sophistarum etiam de rebus physicis egit.

τέρα καὶ δογμάτων γενόμενον, οὐ μελέτης δίχα καὶ τῆς τοιαύτης ἀσκήσεως σοφὸν εὕροι γενόμενον, ἀλλὰ κἂν μάχας λέγῃ καὶ συνουσίας κρειττόνων καὶ δεσμοὺς[78] καὶ μοιχείας[79] αὐτῶν καὶ δοράτων βολὰς[80] ἐξ ἀνθρώπων

---

78 Ald. Vind. Par. δραμοὺς, in Par. supra lineam manu seriori positum est σ, unde olim in epist. crit. p. 29. legendum censui δρασμοὺς, Eur. Iph. T. 892. ναΐοισι δρασμοῖς. Aristid. Panath. p. 140. καὶ νικῶντος ἤδη τοῦ δρασμοῦ. Ὑπὲρ τῶν τεττ. p. 194. ἀλλ' ἐξεχέοντο ὑπὸ τοῦ δέους οἱ λόγοι, καὶ ὁ δρασμὸς ἐνίκα. alia vide apud Jacobs. ad Achill. T. p. 569. sed recepi conjecturam, quam Finkhius meus in censura epistolae ephemeridibus scholasticis 1831. nr. 32. inserta proposuit: δεσμοὺς, coll. Platone de rep. II. p. 378. D. Ἥρας δὲ δεσμοὺς ὑπὸ υἱέος καὶ Ἡφαίστου ῥίψεις ὑπὸ πατρὸς — καὶ θεομαχίας, ὅσας Ὅμηρος πεποίηκεν, οὐ παραδεκτέον εἰς τὴν πόλιν. ib. III. p. 390. C. οὐδ' Ἄρεός τε καὶ Ἀφροδίτης δεσμὸν δι' ἕτερα τοιαῦτα. Adde Lucian. Jup. trag. c. 20. ὅτε μὲν γὰρ πάλιν ῥαψῳδῶν ἀκούουσιν, ὅτι καὶ ἐρῶμεν, καὶ τιτρωσκόμεθα, καὶ δουλεύομεν, καὶ δεσμούμεθα, καὶ στασιάζομεν. Dion. Hal. II. p. 90. Sylb. οὐδέ γε πόλεμοι καὶ τραύματα καὶ δεσμοὶ καὶ θητεῖαι θεῶν παρ' ἀνθρώποις. Quamquam etiam φυγαὶ θεῶν non raro apud veteres auctores memorantur. cfr. Aristid. Or. III. p. 25. ἀπορῶ, ὅπῃ ποτὲ χρή με διαθέσθαι μεθ' ὑμῶν, πότερα ὡς τοῖς πολλοῖς δοκεῖ, καὶ Ὁμήρῳ δὲ συνδοκεῖ, θεῶν παθήματα συμπεισθῆναι καὶ ἡμᾶς, οἷον Ἄρεος δεσμὰ καὶ Ἀπόλλωνος θητείας, καὶ Ἡφαίστου ῥίψεις εἰς θάλατταν, οὕτω δὲ καὶ Ἰνοῦς ἄχη καὶ φυγάς τινας. Plut. de Is. et Osir. c. 25. τὰ γὰρ Γιγαντικὰ καὶ Τιτανικὰ παρ' Ἕλλησιν ᾀδόμενα, καὶ Κρόνου τινὲς ἄθεσμοι πράξεις, καὶ Πύθωνος ἀντιτάξεις πρὸς Ἀπόλλωνα, φυγαί τε Διονύσου καὶ πλάναι Δήμητρος, οὐδὲν ἀπολείπουσι τῶν Ὀσιριακῶν καὶ Τυφωνικῶν. Euseb. Praep. Evang. XV. 1. ἐν πάσαις πόλεσι θεῶν τελεταὶ καὶ μυστήρια — παραδίδοται, ὡς εἰσέτι καὶ νῦν τῶν θεῶν γάμους καὶ παιδοποιΐας θρήνους τε καὶ μέθας, καὶ τῶν μὲν πλάνας, τῶν δὲ ἔρωτας — παραλαμβάνειν.

79 Ald. Codd. μοιχίας. 80 Ald. Vind. βουλάς. Par. per corr. βολάς. vide Epist. crit. p. 29.

ὑφίστασθαι, τὴν χρείαν εἰδότες πρὸς τὸν μῦθον οὐδὲν ἐταράχθημεν· ὅλως δὲ ὧδέ πως ἁπάντων ἐστὶν ἀλογώτατον, 296 παρέντα τὰ πράγματα λόγους περιεργάζεσθαι· τί γὰρ δὴ τότε πρὸς θεῶν, τὸν Ἀτρομήτου παῖδα ἐρωτήσατε, τί τὸ χρυσίον κατώρυττε; τί τοῦτο μόνον ἁπάντων ὧν κέκτηται κρύπτειν ἐσπούδαζε, καὶ τὴν Φίλωνος μὲν οὐσίαν τοῦ κηδεστοῦ κατὰ τὴν οἰκίαν ἀποκειμένην ἔχει, τουτὶ δὲ μόνον λανθάνειν ἐσπούδαζεν; εἰπὲ, λέγε τούτου τὴν αἰτίαν, Αἰσχίνη. ΠΕΡΙ ΜΕΤΑΛΗΨΕΩΣ. Εἶτα θήσεις τὸ ἀντιληπτικὸν Αἰσχίνου· ὃ λύσεις μεταληπτικῶς, συντρέχων τῇ ἐξουσίᾳ· κατορύττειν ἔξεστιν, ἂν πολεμίων ἔφοδος ᾖ, ἂν ἡ χώρα λῃστεύηται· ὅτε δὲ τούτων ἐκτὸς πόλις ἐστὶ, καὶ δέους ὑμεῖς καὶ δειμάτων τοιούτων ἐλεύθεροι, τί δεῖ κατορύττειν ἐπὶ τῆς ἐρημίας τὰ πράγματα.

Εἶτα θήσεις καὶ τὸ χρῶμα Αἰσχίνου, ἀσφαλείας ἕνεκά φησι κατορύττειν τὰ χρήματα.

Τί γάρ σοι τῶν ἐπὶ τῆς ἑστίας ἀπώλετο; οὐκ ἔχεις τὰ κατὰ Φωκέων, εἰπέ μοι, σωζόμενα; οὐ μένει σοι τῶν χρημάτων ἡ κτῆσις ἀκέραιος, ἣν κατὰ τῆς Θρᾴκης εἶχες δεξάμενος; ποῖον τῆς οἰκίας σου μέρος ἐπιβεβούλευται; ποίας εἰσῆλθες λῃστείας ἰδίαν γραφήν; οὐκ ἔστιν εἰπεῖν· ἀλλ' οὐκ ἔχων ὅ τι πρὸς ἀλήθειαν ἐρωτῶσιν ἡμῖν ἀποκρίνασθαι, τὰ τοιαῦτα πλάττεται· βούλεσθε,[1] ὦ Ἀθηναῖοι, τὴν ἀληθεστέραν ἐγὼ πρὸς ὑμᾶς αἰτίαν τοῦ κατορύττειν εἴπω τὰ χρήματα; ᾔδει[2] σπουδὴν οὐ μετρίαν ὑμᾶς ποιησομένους, μετὰ τὴν ἱεροσυλίαν καὶ ζήτησιν· ᾔδει πᾶσαν ἑστίαν ὑμᾶς ἐρευνήσοντας· καὶ τῶν χρημάτων τὴν ζήτησιν πᾶσαν ἡλικίαν καὶ δῆμον εἰς αὐτὸν μερισόμενον. καὶ θᾶττον οὕτως ἐπὶ τῆς ἑστίας ἁλώσεσθαι.

1 Par. βάλεσθε. tum Ald. Vind. Par. ὦ θεοὶ, in Par. supra lin. ὦ Ἀθην. 2 Ald. Vind. ἤδη. Par. ᾔδει.

οὐ μὴν οὐδὲ τῶν φίλων ἢ γνωρίμων τινὶ παραθέσθαι ῥᾴδιον αὐτῷ κατεφαίνετο· καὶ γὰρ ὁ καιρὸς κατεκώλυσε, καὶ λαθεῖν ζητοῦντα τὸ ἔγκλημα προσεπιθεῖναι καὶ μαρτυρίαν αὐτᾷ κατεφαίνετο·[3] οὗτος ὁ φόβος αὐτῷ τὴν ἐρημίαν ἐξεύρηκε, διὰ ταῦτα ἐπὶ ταύτης κατορύττει[4] τὰ χρήματα· ἀλλ' οὐκ ἦν ὡς ἔοικεν, ὦ Ἀθηναῖοι,[5] λανθάνειν τοὺς κρείττονας, εἰς τοὺς θεοὺς οὕτω τολμήσαντα· ἀλλ' ὅσῳ τὸν ἐπὶ τῆς οἰκίας ἔλεγχον ἀπεκρύπτετο, τοσούτῳ καὶ μᾶλλον εὑρίσκεται· καθ' αὑτοῦ μάρτυς οἷς ἐποίει, γιγνόμενος. *Πιθανὴ* ἀπολογία οὐκ ἐμπίπτει· οὐδεὶς γὰρ λέγει· ἀλλ' εἰ ἱεροσυλήσας ἐτύγχανον, οὐ κατώρυττον[6] τὰ χρήματα, ἢ οὐκ ἂν εἰς ἀπολογίαν ἔγραφον λόγον· ἀντιστρέφει γὰρ ἡ πιθανὴ ἀπολογία τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους· γράφεις λόγον περὶ ἱεροσυλίας, ἱεροσυλήσας ἄρα· ἀλλ' εἰ ἱεροσυλήσας ἐτύγχανον, οὐκ ἂν λόγον ἔγραφον; οὐδεὶς τοῦτο λέγει· μωρὸν γάρ, ἀλλ' ἀντὶ τῆς πιθανῆς ἀπολογίας τοιοῦτον ἦν δυνατὸν λέγειν· οὐκ εἴ τις λόγον ὑπὲρ ἱεροσυλίας γράψει, ἢ κατορύττει ἐπ' ἐρημίας τὰ χρήματα, οὗτός ἐστιν ἱερόσυλος· οὐκ ἔστιν δὲ αὕτη κυρίως πιθανὴ ἀπολογία· ἐπιχειρήσεις οὖν οὕτω· μικροῦ δέ με παρῆλθεν εἰπεῖν, ὃ καὶ τοῦτον ἱεροσυλοῦντα δείκνυσι, καὶ Δημοσθένη τῶν ἐγκλημάτων ἐλεύθερον· τῷ μὲν γὰρ οὐκ ἦν ἔχοντι μὴ κατακρύπτειν· ἢ πάντως ἐπ' αὐτοφώρῳ[7] τῆς ἱεροσυλίας ἁλίσκεσθαι· ἐμοὶ δὲ εἴ τι τοιοῦτον ἑαυτῷ συνεγίνωσκον, οὐκ ἀνάγκη συγγράφειν τὸν λόγον· οὐδ' ἐν τῷ φανερῷ τοῦτο ποιοῦντα δείκνυσθαι· ἐπιλόγῳ λοιπόν· ἐγὼ γάρ, ὁμολογήσω δὲ πρὸς ὑμᾶς, ὦ δικασταί,[8]

---

3 Ald. Vind. repetunt h. l. vv. καὶ γὰρ ὁ καιρός. deleta sunt in Par. 4 Ald. Vind. Par. κατορύττειν. delevi ν. 5 Ald. Codd. ὦ θεοί. 6 Ald. Vind. Par. κατόρυττον. 7 Ald. Vind. αὐτοφόρῳ. scr. αὐτοφώρῳ. 8 Ald. Vind. ὧδε. in Par. $\overset{\delta}{\text{ὦ}}$. lege ὦ δικασταί. idem vitium redit paullo post et p. 297.

καὶ φιλοτιμοῦμαι [9] τῷ λόγῳ. καὶ πανταχοῦ τῆς οἰκουμένης αὐτὸν διαπέμψω. μετὰ τοῦτο δικαστήριον· ἐπὶ τούτῳ παρ' ὑμῖν [10] συνάξω καὶ θέατρα, καὶ τοῖς νέοις καὶ τοῖς διδασκάλοις αὐτὸν ἀναγνώσομαι· ὁ μὲν ἐπαινέσας τὰ τῆς διανοίας εὑρήματα, ὁ δὲ τὴν λέξιν, ὡς ἐπιχώριον. ἄλλος τὴν τῶν ὀνομάτων εὐρυθμίαν θαυμάσῃ· πάντες δὲ εἶναι σοφὸν νομιοῦσι τὸν λόγον, οὐχ ἱεροσύλου τὸ σπούδασμα· ἀλλὰ τί ταῦτα μέλλομεν; τί δὲ οὐ τὴν δικαίαν ψῆφον ὑμεῖς ὑπὲρ τῆς Πολιάδος ἐξοίσετε; περιαγγελλέτω [11] τις, ὦ δικασταί, τῶν Ἑλλήνων ἁπανταχοῦ τοῖς πᾶσιν εὐσεβὲς κηρύττων, τὸ κήρυγμα· εἴ τις που Φω- 297
κέων εἴτε ποῦ τῶν δυστυχῶν Ὀλυνθίων λανθάνει περισωζόμενος, σπευδέτω, παρ' Ἀθηναίους ἡκέτω· δεῦτε οἱ Θετταλοί· δεῦτε οἱ δι' Αἰσχίνην δεκαδαρχούμενοι· ἡκέτω, διὰ τοῦτον δουλεύων Μεσσήνιος· ἥκετε καὶ ὑμεῖς Ἀρκάδες, αὐτόχθονες, δι' Αἰσχίνην μεταβαλόντες [12] τὴν τύχην καὶ τέως Φιλίππῳ διὰ τοῦτον δουλεύοντες· κομιζέτω τις τῇ Παρθένῳ τὰ χαριστήρια· ὁ μὲν ὕμνον ποιήσας αὐτῇ· ὁ δὲ κοσμῶν ἀναθήμασιν· ὁ δὲ δεικνὺς προσόδῳ τὴν χάριν· αὕτη τὸν Ἀτρομήτου τὸν προδότην ὑμῶν μανῆναι παρεσκεύασεν· αὕτη τῆς ἱεροσυλίας τὸν ἔλεγχον τοῖς δικασταῖς ἐκκαλύψασα μίαν ὑπὲρ ὑμῶν ἀναγκαίαν λαμβάνει διὰ τῶν Ἀθηναίων τὴν δίκην· εἰ ταύτην ἐλθόντες ἐπόψεσθε, εἰ τῆς Ἀττικῆς πεπεισμένοι κηρύγμασιν ἥξετε, [13] τῶν προλαβόντων ἀτυχημάτων ἕξετε παραμυθίαν· καὶ περὶ τῶν μελλόντων ἀγαθὰς τὰς ἐλπίδας, ἃς Δημοσθένης ὑμῖν μετὰ τῶν Ἀθηναίων κατεπαγγέλλεται· ἐκποδὼν Αἰσχίνης· οὐδεὶς ἔτι παρενοχλήσει προδότης πολιτευόμενος·

---

9 Ald. Vind. φιλοτιμοῦ καί. In Par. corr. φιλοτιμοῦμαι. 10 Ald. Vind. ἡμῖν. Par. ὑμῖν. 11 Ald. Vind. Par. περιαγγελέτω. tum Ald. Vind. iterum ὧδε. 12 Vind. μεταβαλλόντες. 13 Ald. Vind. εἴξετε. in Par. corr. ἥξετε.

ἀποδώσει τὴν ἐλευθερίαν ὑμῖν Δημοσθένης λέγων, καὶ στρατευομένους τῶν Ἀθηναίων ἡ πόλις.

## ΑΝΤΕΓΚΛΗΜΑΤΙΚΟΣ ΑΤΕΛΗΣ ΕΚ ΠΡΑΓΜΑΤΩΝ.

Ἀριστεὺς αἰχμαλώτῳ καὶ μητρυιᾷ συνοικῶν εὑρέθη τεθνεὼς ἐπὶ σημείοις φαρμάκων· καὶ ἀντεγκαλοῦσιν ἀλλήλαις ἥ τε μητρυιὰ καὶ ἡ [14] αἰχμάλωτος.

Παθητικὸν τὸ ζήτημα· χηρεύει γὰρ ἀριστέως ἡ πόλις, καὶ ὁ τῆς ἐλευθερίας αἴτιος φαρμάκοις ἀνῄρηται· προστίθησι δὲ τῷ πάθει καὶ τῷ τὴν ἀθλίαν αἰχμάλωτον οὖσαν καὶ ξένην τῇ συμφορᾷ προσθήκην ποιεῖν· καὶ ἡ ποιότης δὲ τῆς μητρυιᾶς, σπουδὴν παρέχει τῷ δράματι· ὅθεν καὶ τοῖς προοιμίοις μετὰ πάθους χρησόμεθα· οὐκ ἤρκεσεν, ὦ δικασταὶ, [15] τῇ μητρυιᾷ τὸν ἀριστέα διαφθεῖραι φαρμάκῳ, ἀλλ' ἔτι καὶ τὴν ἀθλίαν ταύτην αἰχμάλωτον [16] συκοφαντεῖν ἐτόλμησε, προσθεῖναι τῷ ἀριστεῖ τῆς ἀνδρείας σύμβολον ἐθελήσασα· οὐ μὴν ἀνύσει τοῦτον ἑαυτῆς τὸν σκοπὸν, ἐὰν ὑμεῖς μετὰ ὅρκων καὶ περὶ νόμων φυλάξητε δίκαια. Οἶδα μὲν οὖν ὅτι τὸ μῖσος τῆς μητρυιᾶς πλέον ἢ τῆς ἀριστείας ἐπηύξησεν εὔκλεια· τὸ γὰρ ἀοίδιμον [17] τὸν ἀριστέα γενέσθαι κατὰ πόλιν παρώξυνε πρὸς τὸν φόνον τὴν μητρυιάν. Σοφίσασθαι μὲν οὖν ἡ μητρυιὰ βουλομένη τὸ ἔγκλημα, ἐπ' ἄλλον μετατίθησι τὴν γραφὴν παρατρέψαι τῆς ἀληθείας θέλουσα τοὺς δικάζοντας· οὐ μὴν οὕτω ῥητορεύσει ποτὲ, ὡς αὐτὴν [18] μὲν ἐλευθέραν ἀπολῦσαι τοῦ βήματος, ὑπεύθυνον δὲ ἄλλον τὸν μηδὲν ἀδικήσαντα παραστῆσαι τῇ δίκῃ. Ποιότης τῆς μητρυιᾶς τῇ καταστάσει τὴν ὕλην ποιεῖ· οἷον, ἀλλὰ

---

14 ἡ Ald. om., est in Vind. et Par. 15 Ald. Vind. ὧδε. 16 Par. per litteras transponit αἰχμ. ταύτην. ib. ad marg. συκοφαντεῖν. 17 Par. αἴδιον (μ superscr.). 18 Ald. Vind. Par. αὐτῆς. scr. αὐτήν.

γὰρ ἄνωθεν αἱ μητρυιαὶ τοῖς προγόνοις πολέμιαι. τούτων δὲ ἔνιαι φανερῶς διὰ τὸ μῖσος τὴν ἔχθραν ἐνδείκνυνται· αἱ δὲ λόγῳ τὴν ἐπιβολὴν ἐπικρύπτουσιν, ὅσαι δειναὶ κρύπτειν εἰσὶ τὴν προαίρεσιν· ἐροῦσι γὰρ πρὸς ἑαυτὰς πολλάκις, ἂν ἐνδείξωμαι τὴν διάνοιαν, οἴχεταί μοι τὰ τῆς μηχανῆς·[19] φυλάξει γὰρ ὁ πρόγονος τὴν ἐπήρειαν καὶ τεῖχος αὐτῷ πρὸς τῷ μὴ παθεῖν ὁ τῆς μητρυιᾶς γενήσεται χωρισμός·[20] συνόντα δὲ καὶ τραπέζης καὶ ἄλλων κοινωνοῦντα ῥᾷστα χειρώσομαι· τοιαύτην ἐπινοήσασα τέχνην πέρας ἐπέθηκε τῷ βουλήματι· κακοήθης δὲ καὶ δύστροπος ἡ μητρυιὰ τυγχάνουσα διπλοῦν ἀνθ' ἁπλοῦ[21] τὸ δρᾶμα συντίθησι· τὸν μὲν γὰρ πρόγονον ταῖς μαγγανείαις[22] διεχρήσατο· τὴν δὲ ἀθλίαν αἰχμάλωτον προσθεῖναι ἐκείνῳ προῄρηται· ταύτην γὰρ αὐτῷ εὔνουν ἠπίστατο οὖσαν· ἐπὶ ταύτην οὖν ἄγει τὸ ἔγκλημα, τὴν μάλιστα πάντων ἐκείνῳ κεχαρισμένην, ἣ καὶ μητρὸς εὔνοιαν καὶ γαμετῆς ἐπλήρου κηδεμονίαν·[23] ἤρων γὰρ ἀλλήλων ἀντίῤῥοπον ἔρωτα, καὶ φιλοτιμίαν εἰς προσθήκην ἑκατέροις εἶχεν ὁ πόθος· ἡ δὲ θεοῖς ἐχθρὰ καὶ βάσκανος, αὕτη μόνη μὲν ἄρχειν τῆς οἰκίας ἐπιθυμήσασα, τῇ δὲ τούτων ὁμονοίᾳ φθονήσασα, τὸν μὲν ἤδη φαρμάκῳ διεχρήσατο, τὸ δὲ λειπόμενον[24] προσθεῖναι τὴν αἰχμά- 298
λωτον βούλεται. *ΕΠΙ ΤΗΙ ΚΑΤΑΣΤΑΣΕΙ Δ' Η ΒΟΥΛΗΣΙΣ.* Τῶν γὰρ πραγμάτων οὐκ ὄντων, τὰ τῶν πραγμάτων ἐκλιμπάνει κεφάλαια· ἐλέγχων ἀπαίτησις, ἀπ' ἀρχῆς ἄχρι τέλους, χρῶμα, πιθανὴ ἀπολογία· μόνη οὖν βουλήσει καὶ δυνάμει διαιρεθήσεται· προηγησάμην οὖν, εἰσάξεις τὴν βούλησιν· δῆλον γὰρ ὡς ἡ αἰχμάλωτος[25] πάντων ἀποστερηθεῖσα τῶν ἀπὸ τύχης καλῶν, γένους,

---

19 Ald. Vind. μοιχανῆς. 20 Ald. Vind. χορισμός. 21 Vind. ἀνθ' ἅπλοῦν. 22 Ald. Vind. Par. μαγκανείαις. 23 Vind. κηδαιμονίαν. 24 Ald. Vind. λοιπόμενον. 25 Ald. ἐχμάλωτος πάντων ἀποστερησθεῖσα.

*πατρίδος, φίλων, τῶν ἐν τῇ πόλει γνωρίμων, μόνην δὲ τῶν συμφορῶν παραμυθίαν ἔχουσα τὸν ἀριστέα, οὐκ ἂν ἑαυτὴν ἀποστερῆσαι τῆς τούτου κηδεμονίας ἠθέλησεν, ἵνα πᾶσιν ἀνθρώποις εὐεπιβούλευτος ᾖ, πενίᾳ συζῶσα καὶ δυστυχήμασιν· οὐκ ἂν οὖν ἠβουλήθη τοιούτοις ἑαυτὴν περιπεῖραι κακοῖς ὑπὸ ψεκτοῦ [26] φόνου, στενοχωρίᾳ τροφῶν, τρυφῆς ἐκ τοῦ συνοικεῖν καὶ τὰ τοιαῦτα· τὴν δὲ μιαρὰν μητρυιὰν πολέμιον τῷ προγόνῳ φύσει τυγχάνουσαν, διὰ τὸν φόνον εἰκὸς μηδὲ μιᾶς ἀποσχέσθαι κατὰ τοῦ ἀριστέως ἐπιβουλῆς; ᾤετο γὰρ ἐκποδὼν ποιησαμένη τὸν πρόγονον πάντων ἐγκρατὴς, τῶν ἔνδον γενήσεσθαι, τῇ δὲ παντάπασιν ἐρήμῳ καὶ ξένῃ οὐδὲν ἐπῄει τοιοῦτο λογίζεσθαι· τὸ γὰρ κατὰ μηδένα τρόπον ἐλπίζειν κληρονομεῖν, οὐδὲ βραχεῖά τις ἐλπὶς ὑπολείπεται· οὐ μὴν οὐδὲ ἀπέχθειά τις ἐτύγχανεν οὖσα τῇ αἰχμαλώτῳ πρὸς αὐτόν· ᾔδει [27] γὰρ εὐεργέτην καὶ σωτῆρα γενόμενον. ἡ μὲν γὰρ τῆς πατρίδος ἅλωσις τοῦ δαίμονος ἔργον ἦν· ἡ δὲ δυστυχημάτων ἀφαίρεσις καὶ ἡ τῶν ἀγαθῶν μετάδοσις εὐεργεσίαν εἶχεν ἀναμφισβήτητον· χάριν οὖν ἀπὸ τῆς εὐεργεσίας ἡ αἰχμάλωτος εἶχεν ἀναμφισβήτητον [28] καὶ περιόντος μὲν τῶν καλῶν αὐτῷ συναπολαύειν ἐξῆν, ἀναιρεθέντος δὲ συναπολέσθαι πάντα ἀναγκαίως ὠφείλετο· εἶτα ἡ δύναμις· σκεψώμεθα δὴ ποτέρῳ τούτων τὰ [29] τῆς ἐπιβουλῆς ἐτύγχανε ῥᾴδια· ἡ μὲν γὰρ αἰχμάλωτος οὔτε συγγενῶν οὔτε φίλων οὔτε οἰκετῶν ηὐπόρει, οὐδ' εὕρισκεν ὅστις αὐτῇ διακομίσει [30] τὸ φάρμακον· ἡ μητρυιὰ δὲ πάντας εἶχε συμπράττοντας, συγγενεῖς, φίλους, οἰκέτας, γνωρίμους· ᾔδει καὶ τίνες εἰσὶν ἐν τῇ πόλει πωλοῦντες τὰ δηλητήρια· ἡ δὲ αἰχμάλωτος πάντων τούτων ἄπειρος ἦν,*

E

26 Par. *ψικτοῦ.* 27 Ald. *ᾔδη.* Par. Vind. *ᾔδει.* 28 Ald. Vind. *ἀναμφίτητον*, sq. asterisco. 29 Ald. *τάς.* 30 Ald. *διακωμίσει.* 31 Ald. *γνωρίσμους.*

*ξένη τυγχάνουσα καὶ ἀγνὼς τῶν ἐν τῇ πόλει τυγχανόντων ἀνθρώπων· τίσι δὲ μᾶλλον ὑπακούειν ἔθος τοὺς γόητας; οὐ τοῖς ἀργύριον*[32] *πλεῖστον παρέχουσιν; οὐκοῦν ἡ μὲν μητρυιὰ χρημάτων ηὐπόρει· ἡ δὲ οὐδὲν πρὸς τὸ πρίασθαί τι τούτων ἐκέκτητο· καὶ ἡ μὲν εἶχε συνεστῶτας πολλούς, ἡ δὲ πάντων ἔρημος ἦν, καὶ τοῖς μὲν λάθρα διαλεχθῆναι τοῖς πιπράσκουσιν ἦν· τῇ δὲ αἰχμαλώτῳ τοῦτο πάντως μᾶλλον ἀδύνατον· οὔτε γὰρ ἐντυχεῖν τοῖς τὰ τοιαῦτα δεινοῖς εὐχερὲς ἦν αὐτῇ, οὔτε ἐξειπεῖν ἀσφαλές· οὐδὲ γὰρ ὥραν ἢ καιρὸν τοῦ ἀριστέως ὅλως ἀπελιμπάνετο, συνοῦσα διόλου καὶ πληροῦν τὴν ὑπηρεσίαν καὶ τὴν χρείαν σπουδάζουσα· φόβῳ γὰρ τοῦ λυπῆσαι τὸν ἀριστέα ἢ κινῆσαι πρὸς ἀγανάκτησιν οὐδ' ὅλως ἐκτὸς τῆς οἰκίας τῶν περιβόλων ἐγένετο· εἰ γὰρ καὶ σμικρὰν ἦν αὐτῷ παρασχομένη λύπης αἰτίαν, πάντων ἂν τῶν καλλίστων ἐξέπεσε, καὶ ἀβίωτος ἦν ὁ βίος αὐτῇ, μᾶλλον δὲ οὐδὲ ἔξω κινδύνου προσκρούσασα ἦν τῷ ἀριστεῖ. οὐκοῦν τὸ μὲν περιεῖναι τὸν ἀριστέα εὐδαιμονίαν ἑαυτῆς ἡ αἰχμάλωτος ὑπελάμβανε· τὸν δὲ ἐκείνου θάνατον, δυστυχίαν ἀνήκεστον. διὰ ταῦτα περιέπειν ἐσπούδαζε· πολλὴν αὐτοῦ τῆς σωτηρίας ἐποιεῖτο τὴν πρόνοιαν. ἐντεῦθεν τῆς μητρυιᾶς ὁ φθόνος, ἐντεῦθεν τὸ μῖσος ἐφύετο. ΕΠΙΛΟΓΟΣ ΤΟΥ ΠΑΘΟΥΣ ΕΧΩΝ ΤΗΝ ΑΥΞΗΣΙΝ. Φεῦ τοῦ δράματος· νεανίας ἐν πολέμοις ἀήττητος, ἐν ἀριστείαις ἀοίδιμος, ἐκ μέσης ἀριστείας ἀνήρπασται· καὶ τοὺς μὲν πολεμίους διέφυγεν ἄτρωτος· τὸν δὲ παρὰ τῆς μητρυιᾶς πόλεμον οὐ διέφυγεν· ὦ μητρυιᾶς βέλη, τῶν φανερῶν χαλεπώτερα· οὐκ ἐνῆν προϊδέσθαι ταῦτα καὶ προφυλάξασθαι· οὐκ ἐνῆν ἐκκλῖναι βαλλόμενον· ὁ μὲν οὖν γενναῖος ἐκεῖνος, ὁ τοὺς πολεμίους τρεψάμενος, φαρμάκοις ἡλίσκετο, ἀφύλακτος, ὡς ἐν πατρῴᾳ διάγων ἑστίᾳ·* 299 *δεινὸν δὲ οὐδὲν πείσεσθαι προορώμενος· ἡ δὲ τῶν κακῶν*

---

32 Ald. ἀργυρίων.

αὐτουργὸς αὕτη ποινὴ προσῆξε τὸ φάρμακον· προσενεχθέντος δὲ, μικρὸν ὕστερον σπαραγμοὶ τῶν ἐντὸς, καὶ τοῦ χρώματος ἐπὶ τὸ χεῖρον τροπὴ, καὶ σπασμοὶ νεύρων καὶ χειρῶν ἐκτάσεις καὶ ἀφωνία πολλὴ, δεινὸν οἱ παραγενόμενοι διηγοῦντο θέαμα· ὀψὲ καὶ μόλις ὁ δείλαιος, ἔφασαν, ἐπέγνω τὸν ἀρχηγὸν τῶν κακῶν· καὶ τῇ μὲν ἀχθόμενος καὶ καταρώμενος ἐδήλου τὸ μῖσος τῷ βλέμματι·[33] τὴν δὲ αἰχμάλωτον ὕστατα πάντων ἠσπάζετο περιβάλλων ἀνόητα, χεῖρας ὀρέγων, τὴν δεξιὰν ἐμβάλλων, εὐμενῶς λαμβανόμενος, οἰκτείρων τοῦ πάθους ἑαυτόν· ἐλεεινὸς δὲ καὶ ὁ τῆς αἰχμαλώτου θρῆνος ἐπ' αὐτῷ κινηθείς· εἴθε δορὶ πληγεῖσα τὸ σῶμα μετὰ τῶν ἄλλων ἐκείμην· ὦ καὶ τῆς ἐνεγκαμένης ἐμοὶ προτιμώτερε· ὦ καὶ ἀγχιστέων ἐμοὶ προσηνέστερε· νῦν ὄντως πεπτώκαμεν· νῦν ἀληθῶς ἐγενόμην αἰχμάλωτος, νῦν ἐλεεινὴ, νῦν ἀθλία· περιόντος δέ σου ζήλου μᾶλλον ἢ ἐλέου τυγχάνειν ἀξία· οἰκτείρατε οὖν, ὦ δικασταὶ, πρῶτον μὲν τὸν ἀριστέα, τὸν οὕτως ὠμῶς ἀνηρπασμένον, εἶτα τὴν στερηθεῖσαν τῆς προσδοκωμένης[34] ἐλπίδος· ἐλεεινὰ γὰρ τῶν παθῶν τὰ ἀνήμερα· τὴν δὲ αὐτόχειρα τοῦ δράματος ὑπὲρ ἀμφοτέρων ἀμύνεσθε· μᾶλλον δὲ τῷ κειμένῳ δότε τὴν χάριν· οὐδὲν γὰρ προγόνοις μητρυιᾶς χαλεπώτερον· ἴσασι δὲ τὴν ὑπερβολὴν τοῦ κακοῦ, ὅσοι πεῖραν ἐδέξαντο, οὓς ἐξ ὧν πεπόνθασι χρὴ συνοργίζεσθαι, καὶ τὴν μητρυιὰν τιμωρήσασθαι, ἵνα μὴ τῶν ἀριστέων τὴν πόλιν ἀποστερῆτε.

## *ΠΡΟΚΑΤΑΣΚΕΥΑΖΟΜΕΝΟΣ ΣΤΟΧΑΣΜΟΣ.*

*Πλούσιος καὶ πένης ἐχθροὶ τὰ πολιτικά. πολέμου καταλαβόντος τὴν πόλιν, ὁ πλούσιος κεχειροτόνηται στρατηγὸς, καὶ τοῦ πένητος παῖδες τρεῖς κατελέγησαν στρατεύεσθαι· φήμης γενομένης ἐν τῷ*

στρα-

---

33 Ald. Par. Vind. κλέμματι. scripsi βλέμματι. Vide Epist. crit. p. 30. 34 Ald. προδοκωμένης.

στρατοπέδῳ, ὅτι προδιδόασιν[35] οἱ τοῦ πένητος παῖδες, ὁ στρατηγὸς λαβὼν τὸν πρῶτον ἐβασάνισεν· οὐδὲν ἐξειπόντα ἀπέκτεινεν· τὸν δεύτερον ὁμοίως· τὸν τρίτον ἐξειπόντα ἀπέκτεινεν· οὐκ ἐπεξεισιν ὁ πατὴρ, καὶ κρίνεται συνειδότος.

*Πικρὸς καὶ ἀπαραίτητος ἐχθρὸς ὁ πλούσιος, ὃς καὶ σιωπὴν ἐγκαλεῖ, καὶ μετὰ τριῶν παίδων ἀναίρεσιν ἐπεμβαίνει[36] δυστυχοῦντι τῷ πένητι· μικτὸς δὲ ὁ λόγος, ἔκ τε ἀγῶνος καὶ πάθους· ὁ μὲν γὰρ φόνος πάθος ποιεῖ· ἡ δὲ ἀπόδειξις τοῦ συνεγνωκέναι τὸν ἀγῶνα συνίστησιν. ΠΡΟΟΙΜΙΟΝ ΠΡΩΤΟΝ. Ὤιμην μὲν, ὦ δικασταὶ, ὅτι τρεῖς παῖδας ὁ πλούσιος ἀνελὼν κόρον εἰλήφει τῆς ἔχθρας, καὶ παυσάμενος τῶν πολέμων ἐτύγχανε· νῦν δὲ, ὡς ἔοικεν, ἀπέραντόν ἐστι καθ' ἡμῶν[37] τὸ δεινὸν, καὶ οὐ παύσεται πάντα καθ' ἡμῖν ὁ πλούσιος μηχανώμενος, ἕως οὗ καὶ τὴν ἑστίαν αὐτὴν καὶ τὸ γένος αὐτὸ διαχρήσηται· οὕτως ἀείμνηστον ἔχει τὸν πόλεμον· εἶτα ἀπόδοσις· ὑμέτερον εἶναι μὴ ταῖς τούτου κακοτεχνίαις προσέχειν τὸν νοῦν, ἀλλὰ τὰ δίκαια κατὰ τοὺς νόμους βουλεύσασθαι, ἵνα δυνηθῶ καὶ θρηνῆσαι τοὺς παῖδας καὶ τιμωρήσασθαι διὰ τὸν[38] τῶν παίδων φόνον τὸν πλούσιον. ΔΕΥΤΕΡΟΝ ΠΡΟΟΙΜΙΟΝ. Οἶδα μὲν οὖν, ὡς εἴ τίς ἐστιν τοῖς τελευτήσασιν αἴσθησις, παρεστᾶσιν οἱ παῖδες κρινομένῳ μοι τήμερον, καὶ τῷ πατρὶ βοηθῆσαι βουλόμενοι, καὶ τὸν πλούσιον τιμωρήσασθαι. ΤΡΙΤΟΝ ΠΡΟΟΙΜΙΟΝ. Χαίρει μὲν οὖν ὁ πλούσιος, ὁρῶν οὕτω δυστυχοῦντα τὸν πένητα, καὶ παρὰ τῶν παίδων οὐκ ἔτι δορυφορούμενον, ἀλλὰ καὶ τῆς ἐπιτιμίας τὸ λοιπὸν κινδυνεύοντα. Ἡ ΚΑΤΑΣΤΑΣΙΣ. Ἀλλὰ γὰρ οὐχ οὕτως*

---

35 Ald. Vind. Par. προδιδόασαν. 36 Vind. ἐπαιμβαίνει (ε superscr.) δυστοχοῦντι (υ superscr.). 37 Vind. ὑμῶν. 38 Vind. διὰ τῶν (ὸ superscr.) παίδων. Ald. Par. διὰ τὸν παίδ.; vera lectio elicienda ex varietate Vind. Cfr. Ep. crit. p. 32.

ἀπάνθρωπον [39] ἡγούμην τὸν [40] πλούσιον, ὡς ἄρδην μοι τοὺς παῖδας [41] ἀνελεῖν ἀδίκως· ἐμνησικάκει μὲν γάρ μοι, καὶ πολλάκις ἠπείλει βλάβην καὶ συμφοράς· ᾤμην δὲ 300 λοιδορίαν εἶναι ἢ σώματος αἰκίαν τὴν ἀπειλήν, [42] ἢ νὴ Δία φυγὴν, ἤ τινα ἄλλην τοιαύτην ἐπήρειαν· χρήματα γὰρ οὐκ ἦν μοι· διόπερ οὐκ ἐδεδοίκειν τὴν τούτων ἀφαίρεσιν· εὐήθης ὤν τις ἐλάνθανον μικρὰ τῆς ἔχθρας τὰ ἐπίχειρα προσδοκῶν· ἐκβέβηκε δὲ οἷον οὐκ ἔδει τῆς ἐπηρείας τὸ πέρας· τοῦ γὰρ κακῶς μὲν ποιεῖν καιρὸν ἐπιτηδειότατον τὴν στρατείαν ἡγούμενος τῷ ταύτης προσχήματι τὴν εἰς ἐμὲ δυσμένειαν ἐπεδείκνυτο· καὶ τὸ τῆς ἀρχῆς εὔφημον ὄνομα μιαιφονίας ἐγίγνετο πέρας· λογοποιοὺς γὰρ ἐν τῷ στρατοπέδῳ καθεὶς, ὡς οἱ ἐμοὶ προδιδόναι μέλλουσι παῖδες, οὐ πρότερον πικρῶς σπανίζων ἐπαύσατο, πρὶν ἀπολέσαι μὲν τοῖς κολαστηρίοις τοὺς δύο τοὺς πρώτους, καταπλῆξαι δὲ τοῖς ἀλγηδόσι τὸν τρίτον, ἵνα τῷ τῶν στρεβλωτηρίων [43] φόβῳ τὸ δοκοῦν τούτῳ καὶ ἄκων φθέγξηται· καὶ μετὰ τὸ δρᾶμα τοσοῦτον κἀμὲ τοῖς παισὶ προσαπολέσθαι ζητεῖ. ΚΑΙ ΑΛΛΩΣ Η ΚΑΤΑΣΤΑΣΙΣ. Ἡ πολιτεία τοῦ πένητος ἀπὸ διανοίας. ἐπειδὴ γὰρ ἐπηρείᾳ τῆς τύχης ἠπόρουν χρημάτων, ἵνα μηδὲν ἐν περιουσίᾳ χρησιμεύσω τῇ πόλει, ἄλλως ἐπεδεικνύμην τὴν εὔνοιαν, νόμους εἰσφέρων, γράφων ψηφίσματα, γνώμας λυσιτελεῖς εἰσηγούμενος, ἐλέγχων τοὺς ἀδικοῦντας τὴν πόλιν τὰ παράνομα λέγοντας, τοὺς μὴ βουλομένους τριηραρχεῖν, μὴ χορηγεῖν, μήδ' ὅλως εἰσφέρειν· ταῦτά μοι τὸν φθόνον παρὰ τοῦ πλουσίου [44] κεκίνηκεν, ὡς λέγειν πολλάκις, πῶς παύσω τὴν πολιτείαν τὴν κατὰ τῶν πλουσίων τοῦ πένητος; πῶς σιωπᾷν ἐπὶ τῆς ἐκκλησίας ποιήσω τὸν πένητα; ἂν οἰκείας ὀδύρηται συμφορὰς, ἂν

39 Ald. ἀπ' ἄνθρωπον. 40 τὸν Ald. Vind. om.; est in Par. 41 Ald. παῖδα. 42 Ald. ἀπηλήν. 43 Ald. Codd. στρεβλοτηρίων. 44 Ald. Codd. πλησίον. scripsi πλουσίου.

θρηνήσῃ τὴν τύχην, ἂν οἰκείοις [45] σχολάσῃ τοῖς πάθεσιν, ὀδυρεῖται τότε τὰς ἑαυτοῦ συμφορὰς, δακρύσει τὰ δυστυχήματα· ταῦτα καὶ τὰ τοιαῦτα καθ' ἑαυτὸν ἐννοῶν, πολέμου μέλλοντος, καὶ τριῶν ἢ τεττάρων χειροτονησάντων αὐτὸν, στρατηγὸς ἀνεῤῥήθη, καὶ μετὰ τὴν ψῆφον τὸ τῆς πόλεως ἀξίωμα λαβὼν χαίρειν μὲν εἴασε τοὺς χορούς· ἐπὶ [46] δὲ τοὺς παῖδας τοὺς ἐμοὺς ἐστρατεύετο, καὶ τὰ ἑξῆς· φήμη τὸ βασανίζειν τὸν πρῶτον, καὶ ζητεῖν ἀπάνθρωπα βασανιστήρια· ἐν δὲ τούτοις κατάμιξον καὶ θρῆνον τοῦ πατρός· ὡς δὲ βασανιζόμενος ὁ πρῶτος ἀπέθανεν, εὐθὺς ἐστρέβλου τὸν δεύτερον, οὐδαμοῦ τὸ δικαστήριον, οὐδὲ τὸ παραδοῦναι τοῖς νόμοις τοὺς παῖδας σκοπῶν, ἀλλ' ἀνελὼν καὶ τὸν δεύτερον ὡς [47] ἐπὶ ἑρμαίοις, καὶ τὸν τρίτον παρήρχετο· ἀλλ' ὁ δυστυχὴς πολὺ τῆς ἐλπίδος ἐσφάλην· θαῤῥήσας γὰρ, ὅτι δικαστηρίῳ παραδοθήσεται, καὶ κατὰ νόμους τὰ τῆς ὑποθέσεως ἐξετασθήσεται, ὡμολόγησε τὴν προδοσίαν· ὁ δὲ καὶ τρίτον ἀνελὼν, καὶ τὸν πατέρα συντίθησι τοῖς παισὶ κειμένοις νεκροῖς· καὶ συνειδότος με κρίνων ἐπὶ τοὺς δικάζοντας ἤγαγε. μετὰ ταῦτα θήσεις γραφικὸν, ὥς φησι Πορφύριος, ἀπὸ τοῦ πρώτου· φησὶ γὰρ οὐκ ἄλογον εἶναι τὴν τοῦ συνειδότος κατηγορίαν· μὴ ἐννομίμῳ [48] δικαστηρίῳ κριθέντων ἐκείνων, μηδὲ ἁλόντων κατὰ νόμους, ἀλλ' ὑποπεσόντων ἐχθρῶν κακοηθείᾳ· τινὲς μὲν οὖν ἐπὶ τούτου τοῦ ζητήματος καὶ τῶν τοιούτων χρῶνται παραγραφικῷ· τινὲς δὲ οὔ· λύσεις δὲ τὰ παραγραφικὰ, ὅτι ταῦτα μὴ θαῤῥοῦντός ἐστι τῇ γραφῇ· οὐ γὰρ δεῖ τὴν κατηγορίαν διασύρειν, ἀλλ' ἀπολογεῖσθαι πρὸς

45 Ald. Vind. Par. οἰκείους. 46 Ald. Codd. ἐπεί. scripsi ἐπί. Contra p. 427. ὁ δημοτικὸς, ὁ φιλόπολις, ἐπὶ τὴν αὐτοῦ δόξαν ἐξήλεγξε, πῶς λιπεῖν τὴν τάξιν ἐτόλμησε; scripsi ἐπεί. 47 ὡς Ald. Vind. om., recepi ex Par. Vide ad Theon. Prog. c. 1. fine. 48 Ald. Vind. ἐνομίμῳ.

τὸν προκείμενον· οὐδὲ τρόπον αἰτιᾶσθαι, ἀλλὰ τὴν γραφὴν λύειν, τῷ πρὸς τὸν προκείμενον ἀπολογήσασθαι. ΕΛΕΓΧΩΝ ΑΠΑΙΤΗΣΙΣ ΤΟΥ ΠΡΩΤΟΥ ΣΤΟΧΑΣΜΟΥ. Τίς οὖν, εἰπέ μοι, πίστις τῆς ἐκείνων γέγονε προδοσίας; τίς μαρτυρία; τίς ἔλεγχος; τί τεκμήριον ἄλυτον; ποῦ τοῖς πολεμίοις ὤφθησαν κοινολογούμενοι, δῶρα ἔχοντες, αὐτομολοῦντες; τίς τῶν συνειδότων αὐτοὺς κατεμήνυσεν;[49] συνομώσας ἑάλω τίς; ἐπιστέλλοντες τοῖς πολεμίοις ὤφθησαν; τούτων γὰρ ἕν τι δεῖξον, καὶ συναπόλεσον κἀμὲ τοῖς παισίν· ἀλλὰ τὴν φήμην εἰς μαρτυρίαν καλεῖς, ἣν οὐ δύνασαι παραστῆσαι τῷ βήματι· ἣν αὐτὸς θρυλλήσας διέσπειρας· εἰ δὲ κατήγορος σύ, καὶ τὰ
301 ψευδῆ μαρτυρεῖς, καὶ σφαγεὺς ἄδικος τῶν ἀθλίων παίδων γεγένησαι· τί καὶ νῦν δυστυχῶν παίδων δυστυχῆ πατέρα συκοφαντεῖς; εἶτα ἐπάγαγε παραδείγματα· πολλαὶ δίκαι πολλάκις εἰς τοῦτο τὸ δικαστήριον ἐῤῥώσθησαν· ἀλλ' ἐφ' ἑκάστης μάρτυρες παρεμίχθησαν, μοιχείας, φόνου, τυραννίδος, τυμβωρυχίας·[50] ἐπειδὴ γὰρ αὐτόπτας τῶν ἐγκλημάτων οὐχ οἷόν τέ ἐστιν γενέσθαι τοὺς δικαστάς, ἀναγκαίως εἰσάγονται μάρτυρες, οἵ τινες καὶ βασάνῳ μαρτυρῆσαι δύνανται τὴν ἀλήθειαν, καὶ ὅσα τοιαῦτα. ΠΕΡΙ ΒΟΥΛΗΣΕΩΣ ΚΑΙ ΔΥΝΑΜΕΩΣ. Βουλήσει καὶ δυνάμει τὰς αἰτίας τιθείς· ἀλλ' εἰκὸς ἦν αὐτοὺς χρημάτων ἐφιεμένους ἐπὶ τὴν προδοσίαν ἐλθεῖν· καὶ τὸ μὴ βούλεσθαι πάντως εἰκὸς, οὐ γὰρ ὅστις πένης, πάντως καὶ πονηρός· μᾶλλον γὰρ ὑμῶν τῶν τοῦ πλείονος ὀρεγομένων οἱ τοῖς ὀλίγοις ἀρκούμενοι σωφρονέστεροι ὄντες, πρὸς τὸ δεινὸν ἀτολμότεροι,[51] δεδοικότες τοὺς νόμους, ἀπὸ τῶν πατέρων καλῆς ἀγωγῆς μεμνημένοι, τὴν ἀδοξίαν τῆς κατηγορίας τοὺς δικαστὰς ὑμῶν εὐλαβούμενοι· οὐδεὶς λῃστείας κρίνει τὸν πένητα, διότι χρη-

49 Ald. κατεμύνησεν. 50 Ald. Codd. τυμβωρύχος. 51 Ald. Vind. Par. ἀτολμώτεροι, et paullo post omnes ἐνδοξώτατοι.

μάτων οὐκ εὐπορεῖ· ἕτερον γὰρ τρόπος καὶ τύχη καὶ παιδεία καὶ βούλησις· οὐ γὰρ ἐπάναγκες εἶναι δεινοὺς τοὺς μικρὰ κεκτημένους· οὐδ' ἐπιθυμεῖν χρημάτων, τοῖς ὀλίγοις ἀρκεῖσθαι μεμαθηκότας· εἶτα ἡ δύναμις. ἀλλὰ γὰρ οὐδὲ πένησιν οὐδὲ στρατιώταις περὶ προδοσίας [52] διαλέγεσθαι τοῖς πολεμίοις ἔθος· ἀλλὰ τοῖς δυνατοῖς ἐν φάλαγγι· τίνες δὲ μᾶλλον ἢ στρατηγοὶ ἐν τῷ στρατοπέδῳ ὀνομαστότεροι; [53] οὗτοι κατὰ τὸ πλῆθός εἰσιν ἐνδοξότατοι, τούτοις ὑπάρχει τὸ δύνασθαι, τούτοις πιστεύουσιν οἱ πολέμιοι, τούτοις θαῤῥοῦσιν παρέχειν τὰ χρήματα· τοῖς δὲ πένησι καὶ οὐδὲ ἔχουσιν ἀξίωμα οὐδὲ προσεύχεταί τις, οὐδὲ κοινολογεῖται τοῖς ῥήμασι· ταῦτα στρατηγῶν ὑπάρχει τολμήματα, ταῦτα ὑπάρχων, ταῦτα ἐπιχειρούντων δημόσια, οὐκ ἀδόξων ἀνδρῶν, οὐκ ἀνωνύμων, οὐ τῶν ἀγνώ-

---

52 Ald. Vind. προσοδίας. 53 Ald. Codd. τίνες δὲ μᾶλλον ἢ στρ. ε. τ. στρ. μᾶλλον ὀνομαστότατοι. Delevi alterum μᾶλλον, et scripsi ὀνομαστότεροι. Comparativum et superlativum saepissime confundi constat. Cfr. Herm. ad Vig. p. 717. Kruger ad Dion. Hal. ep. ad Pomp. 6, 3. Menand. de encom. p. 604.: τὸ δὲ Δωριέων ἀνδρικώτερον, τὸ δὲ Ἰώνων ἐλλογιμώτατον. Riccard. 2. ἐλλογιμώτερον. Ibid. infr.: χρὴ δὲ τὰς νεωτέρας μηδὲν ἐλάττονας σεμνότητι τῶν παλαιοτάτων δεικνύειν. Med. 1. παλαιοτέρων. Id. διαίρ. ἐπιδεικτ. p. 628.: χαριέστατος δ' ἂν οὕτω γένοιτο. Med. 2. χαριέστερος δ' ἂν οὗτος. p. 636. infr. πυνθάνεσθαι δεῖ περὶ αὐτῶν τὰ βέλτιστα. Par. Med. 2. βελτίω. Alex. de fig. II. κδ. τί γὰρ ἂν γένοιτο συκοφαντίας καὶ παρανομίας δεινότατον. Par. δεινότερον. T. VII. p. 125. v. 31. ταῦτα δὲ καθ' ἑαυτὰ ἀσθενέστατα τῶν ἄλλων ὑπάρχει. Par. 1. ἀσθενέστερα. Joseph. bell. Jud. III. 10. 10. τῶν δὲ νέων ἐπιλέξας τοὺς ἰσχυροτάτους. Par. 1429. ἰσχυροτέρους. VII. 8. 7. ὕπνος δὲ τεκμήριον ἡμῖν ἔστω τῶν λόγων ἐναργέστατον. Par. 1423. ἐναργέστερον. VII. 7. 4. καταστήσαντες εἰς τὸ φανερώτατον. Par. 1427. φανερώτερον. VII. 5. 3. λαμπρότατον δὲ ἦν Τίτῳ καὶ αὐτὸς ὁ πατὴρ ὑπαντῶν. Par. 1423ι 1425. λαμπρότερον.

στων πολλοῖς. τίς ἐστιν τυραννεῖν δυνατός; οὐχ ὁ τολμηρός; οὐχ ὁ πλούσιος; πένητι δὲ πόθεν παράνομόν τι τολμᾷν ἐρήσω καὶ μόνῳ, καὶ τοῦτ' εἰδότι ποιεῖν, ὅπερ ὁ καθηγούμενος ἐν τῷ στρατοπέδῳ κελεύσειε; καὶ τὰ τοιαῦτα. θήσεις ἄλλα παραδείγματα ἀπ' ἀρχῆς ἄχρι τέλους· εἶτα λέγεις, ὡς ἐξεῖπε πρὸ [54] τῶν βασάνων τὴν προδοσίαν ὁ τρίτος· οὐ λέγεις δὲ, ὡς οἱ πλείους ὄντες ἰσχυρῶς βασανισθέντες οὐδὲν ὡμολόγησαν· [55] ὁ τρίτος καθωμολόγησε· τί γὰρ οὐκ ἔμελλεν ἀπολωλότων ἀδελφῶν δύο, διότι μὴ ἀπεῖπον ἑαυτῶν μήδ' ἐπήγαγον ἑαυτοῖς αἰτίαν ψευδῆ, εἶτα καὶ τὸν ἐκ τῶν βασάνων φόβον οὐ μικρὸν ὁρῶν, καὶ σοὶ χαρίσασθαι βουλόμενος, εἰ συκοφαντήσειεν αὐτὸς ἑαυτὸν, εἶπεν, ὅπερ ἠνάγκαζες· σὺ δὲ οὔτε τῶν ἀρνησαμένων, οὔτε τοῦ φόβῳ τῶν κολαστηρίων ὁμολογήσαντος ἀπέσχου· χρώματι τοῦ ὁμολογῆσαι τὸν τρίτον· δοκεῖ δὲ ὁ τρίτος μοι βεβουλεῦσθαι σωφρόνως· εὐτυχῶς γὰρ εἰπεῖν οὐκ εἴασας· κακόηθες γὰρ οὐδ' ὁποῦν τοῖς ἀδελφοῖς συνειδὼς, εἶτα κολαζομένους ἀπανθρώπως ὁρῶν, δυεῖν ἡγεῖτο θατέρου τεύξεσθαι, μᾶλλον δὲ ἀμφοτέρων τυχεῖν, καὶ βασάνων ἀπαλλαγήσεσθαι, καὶ δικαστηρίῳ παραδοθήσεσθαι· ὅπου κατὰ νόμους ἡ κρίσις γενήσεται· ἀλλ' ἀμφοῖν ἀπέτυχεν ὁ δυστυχής· καὶ γὰρ βιαζόμενος τέθνηκεν· καὶ δικαστήριον οὐκ εἶδεν ἔννομον· καὶ γὰρ ἔξαρνον ἀναιρεῖσθαι χρὴ, ἢ τό γε δὴ σχετλιώτατον αὐτὸν ἑαυτοῦ κατήγορον γενέσθαι καὶ βασανίζεσθαι φρίττοντα. Ἐλέγχων ἀπαίτησις, τοῦ συνειδέναι·[56] πλὴν ἐκείνην προσθεῖναι τὴν εὐπορίαν εὔλογον, [57] εἰ ἀπεδείχθησαν οἱ παῖδες οὐ προδεδωκότες, οὐδὲ ὁ πατὴρ σύνοιδε·[58] πῶς γὰρ δύναται συνειδέναι τοῖς μηδὲν πεποιηκόσι δει-

54 Ald. πρὸς τῶν λασάνων. corr. Vind. et Par. 55 Par. ὁμολογοῦσιν· ad marg. ὡμολόγησαν. 56 Ald. συνηδέναι. 57 Par. ἄλογον. ad marg. εὔλογον. paullo ante Vind. προσθῆναι. 58 Ald. Codd. σύνειδε. in Par. primum fuit συνεῖδε. scripsi σύνοιδε.

νόν; ἡ λύσις· αὐτοῦ ἐπεξιέναι ὑποπτεύεται συνειδότος· μενόντων οὖν τῶν σημείων, ὑποψία μένει· ὥστε ἀναγκαίως ἡ ἐργασία γίνεται τοῦ δευτέρου στοχασμοῦ τοῦ μὴ συνειδέναι· ἀλλ' ἔστω, δεδόσθω προδεδωκέναι τοὺς παῖδας· τίνες γὰρ τοῦ συνειδέναι με μάρτυρες; τίνες διελέγχουσι τοῖς παισὶ τῆς προδοσίας κοινωνεῖν; τοῖς δικασταῖς τοὺς 302 μαρτυροῦντας παράστησον, δούλους, ἐλευθέρους, ξένους, πολίτας, στρατιώτας· οὐ γὰρ δίκαιον ἀμάρτυρον εἰσάγειν τὴν δίκην· οὐδὲ δυνατὸν μαρτύρων χωρὶς καταψηφίσασθαι τῶν κατηγορουμένων ἐκτός· ἀλλ' ἢ παρέχειν ἀνάγκη τοὺς μάρτυρας, ἢ συκοφαντοῦντας τιμωρήσασθαι τὸν κατήγορον, καὶ τὰ τοιαῦτα. εἶτα ἡ βούλησις τοῦ πένητος· ὅτι οὐκ ἂν ἠβουλήθην οὕτω ἀδίκου κατὰ πατρίδος κοινωνῆσαι πράγματος· οὐδὲ ὑπεύθυνον ἐμαυτὸν ποιῆσαι τοῖς νόμοις· οὐδὲ μισηθῆναι παρὰ τῶν πολιτῶν, καὶ τὰ τοιαῦτα. Ἡ δύναμις ἐκλιμπάνουσα τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους· ἀλλὰ δῆλος εἶ, φησὶ, συνειδὼς τοῖς παισὶν, ἐξ ὧν οὐκ ἐγράψω με φόνου· λύσεις τῷ χρώματι· δυσχεραίνων πάθει καὶ σχολάζων ταῖς οἰμωγαῖς· τρεῖς ἦσαν παῖδες νεκροί· ἔρημος ἡ ἑστία τῶν παίδων ἐτύγχανε· τούτων οἱ τάφοι τὴν ἀσχολίαν εἰργάζοντο· τούτων τὰ πάθη τέως σιωπᾶν κατηνάγκαζε· τὴν σιωπὴν ἐγκαλεῖς, ὅρα τῆς συμφορᾶς τὸ μέγεθος· τὸν ποιητὴν σκόπει τοῦ δράματος. ἄρα τοῖς ὁσίοις τῶν παίδων καταμελήσαντα ἔδει τρέχειν εἰς δικαστήριον και ἐᾶσαι τοὺς παῖδας κειμένους. γράφεσθαι δὲ καὶ λέγειν ἐπὶ τοῦ βήματος, οὐκ εἴα κατηγορεῖν με τὰ δάκρυα, καὶ τὰ τοιαῦτα· εἶτα [59] τῷ ἀντιληπτικῷ· ἐπειδὴ ἅπαντα [60] βιάζει καὶ καιρὸν καὶ γνώμην καὶ δυστυχοῦντά με τῆς σιωπῆς ἀπαιτεῖς τὴν αἰτίαν· οἱ νόμοι μοι τὸν καιρὸν τῆς κατηγορίας ἐδείκνυον· οἱ νόμοι τῆς γραφῆς τὴν ἐξουσίαν παρείχοντο, [61] σαφῶς

---

59 Par. Vind. εἶπα. 60 Ald. Codd. ὃ πάντα. scripsi ἅπαντα. 61 Vind. παρέχοντο.

ἡμῖν τοῖς πεπονθόσι κηρύττοντες· κατηγόρησον, ὅτε προῄρησαι, οὐκ ἐμπρόθεσμός[62] ἐστιν ἡ γραφή· εἰ διὰ νόσον[63] οὐ δύνασαι, ῥαΐσας γράφου. εἰ σιωπᾷν ἀναγκάζει διὰ τὸ πάθος καὶ δάκρυα, τῇ δυνάμει τῇ σεαυτοῦ τὴν κατηγορίαν συμμέτρησαι· ἀνέῳκταί σοι τὸ δικαστήριον, ὅτε προῄρησαι· κατηγορεῖ τις καὶ μοιχείας, καὶ ὅτε βούλεται· καὶ ἑξῆς ἄλλα[64] θεὶς παραδείγματα ἔπαγε τὸ προκείμενον· οἷον συμβουλεύει καὶ τοῖς πολεμίοις στρατηγοῖς, ὅτε συμφέρον ὁρᾷ πρὸς συμβολὴν, τότε παρασκευάζεται, οὐχ ὅτε τοῖς πολεμίοις δοκεῖ. οὕτω κἀγὼ ἐσιώπησα νῦν, δακρύων, ἐπιπενθῶν, τῆς οὐσίας ἐπιμελούμενος· παυσάμενος δὲ τῶν κακῶν καὶ τὴν ἀνακωχὴν[65] τῶν δυστυχημάτων εὑρὼν ἐπ᾽ ἀδείας[66] εἰσῄειν γραφόμενος· οὐ γὰρ οὕτως[67] ἀνόσιος ἦν, ὡς μὴ δεῖξαι τὴν ἐπιβουλὴν, καὶ ποιῆσαι τοῖς νόμοις ὑπεύθυνον τὸν οὕτως ἀναίτιόν με παρασκευάσαντα. Πιθανὴ ἀπολογία οὐκ ἐμπίπτει· οὐ πιθανὸν γὰρ στρέψαι τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους· εὔηθες γὰρ τὸ λέγειν, ἀλλ᾽ εἰ συνεγνώκειν τῇ προδοσίᾳ, οὐκ ἐσιώπων. ΟΙ ΕΠΙΛΟΓΟΙ ΛΟΙΠΟΝ. Ἀλλ᾽ εἴθε πρὸ τῆς τῶν παίδων τελευτῆς ὁ δαίμων ἐκτός με τῶν ἀνθρωπίνων καταστήσας ἐτύγχανε· διόλου γὰρ παθητικοὶ τυγχάνουσιν οἱ ἐπίλογοι· εἴθε πρὸ τῶν παίδων με, πλούσιε, διεχειρίσω τῷ ξίφει· τοσαύτην γὰρ καὶ τηλικαύτην συμφορὰν τῶν παίδων ἐκέρδαινον· εἴθε πρὶν[68] ἰδεῖν νεκρῶν πολυάνδριον κατ᾽ ἐμοῦ τὴν καιρίαν ἐπήνεγκες· νῦν δ᾽ ἀνήκεστον ἐμηχανήσω μοι συμφορὰν, ἐμὲ μὲν

---

62 Ald. Codd. ἐν πρόθεσμος. 63 post νόσον Ald. Vind. εἰ, Par. ἢ habent, quod delevi. 64 Ald. ἀλλὰ, scr. ἄλλα. 65 Ald. ἀνακοχήν. 66 Ald. Codd. ἐπαδείας. 67 Ald. Par. Vind. οὗτος, scripsi οὕτως. Vide Ep. crit. p. 32. 68 Ald. Codd. εἴθε πατρὶ ἰδεῖν. Πατρὶ, quod per compendium scribitur πρι, natum ex πρὶν, patris cogitatione scribae animo obversante. Vid. Ep. crit. p. 33.

ἐκ πολύπαιδος ἄπαιδα, τὴν δὲ πόλιν φάλαγγος ἀφελόμενος· ὠνειροπόλουν νικηφόρους ἐπανιόντας κοσμήσειν λαφύροις τὴν ἑστίαν, τροπαίοις δὲ τὴν πόλιν, μετέστησέ μοι τὰς ἐλπίδας εἰς τοὐναντίον ὁ πλούσιος. ἐδεξάμην οἴμοι τοὺς στρατιώτας νεκροὺς, τοὺς ὁπλίτας ἀνῃρημένους, οὐ τραυματίας ἐκ πολεμίας αἰχμῆς, ἵν' ἀριστεῖα μοι τοῦ πάθους ᾖ παραμύθιον, φέροντας τῆς ἀνδρείας γνωρίσματα· ἀλλ' ἐπιβουλῆς εἶδον τεκμήρια,[69] βασάνων σύμβολα, κολαστηρίων σημεῖα, κακούργων δυστυχῆ πάθη, καὶ συμφορὰς, καὶ ζῶντας ἀθλίους, καὶ νεκροὺς δυστυχεῖς· οὐ γὰρ νόμῳ κατακριθέντες ἑάλωσαν·[70] καταγνόντων τὴν κόλασιν, οὐ γὰρ ἂν οὕτως αὐτὸς ὠδυρόμην· ἀλλ' ὡς μὲν γεννήσας ἐδάκρυον, ὡς δὲ καταγνωσθέντων ἐκαρτέρουν τὸν θάνατον. ἐφ' ὑμῶν, ὦ δικασταὶ,[71] νῦν αὐθαίρετον 303 ὑποστήσομαι θάνατον· οὐ γὰρ ἀσφαλὴς ὁ πρὸς πλούσιον πόλεμος, οὐδὲ ἀκίνδυνον μείζονι κατὰ περιουσίαν προσκρούειν· ἀλλ' ἀνάγκη δουλεύειν στρεβλούμενον, καὶ τῶν νόμων κρείττονας[72] ὑπολαμβάνειν· οἷος ὁ πλούσιος· καὶ γὰρ ἂν δούλοις χρήσασθαι βούλωνται, τῶν ἀργυρωνήτων οἱ πένητες οὐδὲν διοίσομεν οἱ ἐλεύθεροι· ἀλλ' ἐπὶ τούτοις ἡ πόλις ἔσται· καὶ πάντων ὁ δῆμος ἄκυρος· οὐ τοσούτους τῶν πολεμίων ἄγει αἰχμαλώτους, ὅσους[73] τῶν πολιτῶν ἀπώλεσεν· οὐ φέρω τὸν ἀλάστορα τῶν παίδων ὁρᾷν, οὐδὲ ὑπομένω θεωρεῖν τὸν δήμιον τῶν παίδων γενόμενον· ἂν στρεβλουμένους τοὺς παῖδας λογίσωμαι, θεωρῶ τὴν κατασκευὴν ὅλην τοῦ δράματος· ὦ γῆρας ἄθλιον, ὦ γηροκόμων ἀπεστερημένον, ὦ πατέρων ἐγὼ δυστυχέστατος, ὅσων ἐξαίφνης παίδων ἀφῄρημαι· οὐδὲν ἀκίνδυνον ἄρα τυγχάνει διὰ τὸν πλούσιον· οὐ παῖδες τῆς

---

69 Vind. τεκμήριαν. 70 Sequitur in Ald. et Codd. ἀλλ' ὡς μὲν γεννήσας. quae verba cum paullo post repetantur, h. l. delevi. 71 Ald. ὧδε. 72 Par. κρείττους. ad marg. κρείττονας. 73 Ald. Codd. ὅσα.

οἰκίας ὑπερασπίζοντες. οὐκ ἀπραγμοσύνῃ καὶ σιωπῇ, ἀλλ' οἱ μὲν οὐκ ἔτ' εἰσίν, ἐγὼ δ' ἐπὶ ταύτην φεύγω γραφήν· δοκῶ δέ μοι καὶ τὰς τῶν τε τελευτηκότων παρεῖναι ψυχὰς ἀποιμωζούσας τὸ πάθος, καὶ τὴν ἄδικον καὶ πρὸ μοίρας φθορὰν ἐπιμαρτύρεσθαι, τιμωροὺς ἐπικαλουμένους δαίμονας, οἳ τοῖς οὐχ ὁσίως ἀνῃρημένοις ἀμύνειν λέγονται· φρίττω μεταξὺ τῶν λόγων τὴν ἀνθρωπίνην ἐννοῶν φύσιν, τὴν ὠμότητα λογιζόμενος, ἅπερ οὐκ ἐάσει καθ' ὑμῶν ἰσχῦσαι ψῆφος ὑμετέρα[74] φιλάνθρωπος.

*Εὔβουλος ἐγράψατο Ἀρίσταρχον ἐπὶ τῷ Νικόδημον[1] πεφονευκέναι· πρὸ τῆς δίκης ἔφυγεν Ἀρίσταρχος, καὶ κρίνεται Δημοσθένης συνειδότος.*

Βαρὺ κατὰ Δημοσθένους τὸ ἔγκλημα· οὐ γὰρ Δημοσθένους πολιτείας ἄξιον τὸ[2] φόνῳ συγγινώσκειν[3] καὶ κρίνεσθαι, καὶ ἀγῶνος δὲ ὁ λόγος μετέσχηκε· δεῖ γὰρ ἐνθυμηματικῶς ἀποδεικνύειν, ὡς οὐκ εἴ τις φίλος, οὗτος συγγινώσκει καὶ φόνῳ· δεῖ οὖν πρῶτον κατασκευάσαι μέχρι τοῦ χρώματος πᾶσι τοῖς τοῦ στοχασμοῦ κεφαλαίοις· ὅτι Ἀρίσταρχος οὐ πεφόνευκεν· εἶθ' οὕτως ἀπὸ τοῦ χρώματος μεταβῆναι ἐπὶ τὸ[4] δεῖξαι, ὅτι οὐδὲ Δημοσθένης συνεγίνωσκε. Παραπλήσιος δὲ τυγχάνει κατὰ τὴν ἐργασίαν ὁ προκατασκευαζόμενος στοχασμὸς τοῖς ἐμπίπτουσι στοχασμοῖς·[5] διαφέρει δὲ τούτῳ, ὅτι ἐν μὲν τῷ ἐμπίπτοντι πρῶτον ἔχει τὸ ἔγκλημα, ὅ ἐστιν προηγούμενον, δεύτερον δὲ τὸ ζήτημα, ὅ ἐστιν χρῶμα· ζητεῖται εἰ καὶ τὸν πένητα ὁ πλούσιος ἀνῄρηκεν, οὐκ ἀπαιτῶν τιμωρίαν τοῦ φόνου· οὕτω γὰρ οὐκ ἐγκαλεῖ τὸν φόνον,

74 Ald. Codd. ὑμετέρων, in Par. supra lin. α.

1 Par. Νηκόδημον (ι supra). 2 Ald. Vind. τῷ. Par. τό. 3 Ald. Codd. γινώσκειν, scripsi συγγινώσκειν, ut paullo post συγγινώσκει καὶ φόνῳ. 4 Ald. Codd. τῷ. 5 Ald. Vind. στοχασμοῦ. Par. στοχασμοῖς.

ἀλλὰ ζητεῖ, ἵνα ὁ φόνος ἀπόδειξις γένηται τοῦ προτέρου ἐγκλήματος· ἄλλο δὲ ζήτημα καὶ ἄλλο ἔγκλημα. ζήτημα γάρ ἐστιν, ὃ ζητεῖ μόνον, καὶ ἀποδείκνυσι τιμωρίαν οὐκ ἀπαιτῶν· ἔγκλημα δὲ, ὅταν καὶ τιμωρίαν ἀπαιτεῖ τοῦ γενομένου ἀδικήματος· ὁ δὲ προκατασκευαζόμενος πρῶτον μὲν ἔχει καὶ προηγούμενον τὸ ζήτημα· δεύτερον δὲ τὰ ἐγκλήματα, ὅπερ ἐν τῷ ἐμπίπτοντι ἀναστρέφει· πρῶτον γὰρ τυγχάνει τὸ ἔγκλημα καὶ προηγούμενον· διαιρεθήσονται οὖν μετὰ τὰς προκαταρκτικὰς ἐννοίας, τοῦτον τὸν τρόπον, καταστάσει· ἐπειδὴ γὰρ γενόμενος καθ᾽ ἡμῶν καὶ μετασχὼν τροφῶν, καὶ τῶν μυστηρίων ἀξιωθεὶς ἐδεόμην καὶ τῆς παρ᾽ ὑμῶν ἀρίστης παιδεύσεως, ἐζήτουν κατ᾽ ἐμαυτὸν, ὅς τις παρ᾽ ὑμῶν καὶ ἤθεσι καὶ λόγοις καὶ τὸν ἄριστόν με λόγον παιδεύσειεν· οὕτω περὶ πολλοῦ μὲν ἐξ ἀρχῆς ἐποιούμην τὸν Πλάτωνα, περὶ πολλοῦ δὲ τὸν Ἰσαῖον, καὶ τοὺς παρ᾽ ὑμῖν ἅπαντας ἐπ᾽ ἀρετῇ δόξαν ἀείμνηστον ἔχοντας· καὶ παρὰ μὲν τῶν ἐπιζητῶν δόγματα καὶ δικαιοσύνην καὶ τῆς ἄλλης ἀρετῆς σύμβολα· παρὰ δὲ τῶν λόγους καὶ τὴν ἐν τούτοις ἄσκησιν· εἶτα ἐπὶ τούτοις ἐντυχὼν τοῖς νόμοις τοῦ Σόλωνος καὶ τοῦ Δράκοντος νομοθέτου, θαυμάσας, ὅτι φιλάνθρωπον οὐδὲν ἐν τοῖς νόμοις κατὰ τῶν ἀνδροφόνων ἔγραψαν, ἠβουλήθην αὐτοῖς ἔργοις ἐπιδεῖξαι τῇ πόλει τὴν παίδευσιν· καὶ καταλαβὼν τὴν ἐκκλησίαν μετὰ τοῦ βήματος μετὰ νόμων ἐπολιτευό- 304
μην τοῦ Σόλωνος, σύμφορα τοῦ Δράκοντος νομοθετῶν ἐνθυμήμασιν· τοῖς παρ᾽ ἡμῖν ἐψηφισμένοις ἀκολουθῶν, νόμων πιστότερον τὴν τοῦ δήμου κρίνων προαίρεσιν· ἐντεῦθεν οἱ μὲν νέοι δι᾽ ἔρωτος τὴν ἐμὴν πολιτείαν ἐλάμβανον, καὶ ἀνθ᾽ ἑρμαίου τινὸς τὴν ἐμὴν συντυχίαν ἐσπούδαζον, ὀνειροπολοῦντες τὴν μίμησιν, πρὸ τῶν ὀφθαλμῶν τὴν ὠφέλειαν τιθέμενοι· οἱ δὲ τῷ χρόνῳ τὴν πολιτείαν φθάσαντες τὴν ἐμὴν ἐστενοχωροῦντο τῷ φόνῳ βασκαίνοντες, τὰς δημηγορίας διασύροντες τὰς ἐμὰς, τὰς πρά-

ξεις μεμφόμενοι, συντόμως εἰπεῖν ἐπὶ τοῖς λόγοις ἀρχόμενοι· τοιγαροῦν Ἀριστάρχου ζηλωτοῦ τῆς ἐμῆς πολιτείας ὑπάρξαντος, καὶ τῇ συντυχίᾳ τὴν ἐπιθυμίαν ἐκτείναντος, ἐπετήρουν τὸ μειράκιον ἅπαντες, ἐσκόπουν, ὅτῳ τρόπῳ τὴν καθ' ἡμῶν ἐπιβουλὴν ἐκπεράνοιεν, καὶ τὴν Νικοδήμου φιλίαν πόθεν συσκευάσαντες ἕνα λοιπὸν εἶχον σκοπόν, ὅπως ἐμὲ διαφθείροιεν· νῦν ἀνελεῖν Δημοσθένην καιρός, νῦν τὴν πολιτείαν ἀπώσασθαι, νῦν πληρῶσαι τὰ κατὰ τοῦ ῥήτορος δράματα, ἐκ ταύτης τῆς φιλίας Δημοσθένης ἁλώσεται, ἐκ ταύτης πληρῶσαι τὴν ἡμετέραν προαίρεσιν· τοῦτον νῦν Νικόδημος παρασκευάσει κατὰ Δημοσθένους τὸν φόνον· πληρώσει τὴν σκευὴν τὸ μειράκιον· ἂν τοῦτον ἀφανῆ καταστήσωμεν, συλληψώμεθα[6] καὶ Δημοσθένην τῇ κρίσει, καὶ τὰ τοιαῦτα· εἶτα τοιαῦτα καὶ τοσαῦτα πρὸς αὐτὸν λογισάμενοι, καὶ ταύτην τὴν ἔχθραν ταῖς ἐλπίσιν αὐξήσαντες, καιρὸν ἐπετήρουν πρὸς τοιαύτην βουλὴν ἐπιτήδειον, καὶ διατριβὴν μαθόντες τῶν μειρακίων ἐν Πειραιεῖ, καὶ συμποσίου[7] παρασκευήν, ἁφαρπάζουσι μὲν τὸ μειράκιον, γράφονται δὲ τὸν Ἀρίσταρχον, καὶ φόνου συντιθέντες[8] ἔγκλημα ἀπειλαῖς ὁμοῦ καὶ λοιδορίαις ἐθορύβουν Ἀρίσταρχον, ἕλκοντες, δεδιττόμενοι·[9] πολλάκις ἐκδειματοῦντες τοῖς σχήμασι· πῇ μὲν τοῖς δικασταῖς διανεύοντες, πῇ δὲ τὴν ἡμετέραν γνῶσιν ταῖς ἀπειλαῖς προλαμβάνοντες· καὶ τὰ τοιαῦτα ἐρεῖς κατασκευαστικὰ ὄντα τοῦ χρώματος Ἀριστάρχου, ὅτι φοβηθεὶς ἔφυγεν·[10] εἶτα ἐπάγει ταύτην Ἀρίσταρχος τὴν παρασκευὴν συσκεψάμενος, καὶ τὸν τρόπον ἐπιγνοὺς τοῖς ἐγχειρήμασι φεύγει πρὸ τῆς ψήφου τὸ

---

6 Ald. Codd. συλληψῶ. lectio fort. nata ex compendio scribendi συλληψώ (μ supra), i. e. συλληψώμεθα. 7 Ald. Codd. συμποσίῳ. Dativus ortus ex praecedente Πειραιεῖ. 8 Ald. Codd. συντεθέντες. 9 Ald. δὲ διττόμενοι. 10 Ald. ἔφηγεν.

δικαστήριον· καὶ τὴν ἀπολογίαν ἀφεὶς φυγῇ τὴν σωτηρίαν ἀσπάζεται· καὶ τὸ πλέον ὑπείξας [11] τῷ φόβῳ ἀφίησι καθ' ἑαυτοῦ τὴν ὑποψίαν ἀκέραιον· τοῦτον, ὦ ἄνδρες, τὸν τρόπον ἀφέντες τὸ δικαστήριον ταυτηνὶ τὴν καλὴν οἱ χρηστοὶ κατήγοροι καθ' ἡμῶν εὗρον ὑπόθεσιν· καὶ τοῦ συνειδέναι γραψάμενοι χειρώσασθαί με συκοφαντίᾳ προῄρηνται· εἶτα τούτοις ἔπαγε τὰ κινοῦντα τούτοις κρότον ἁπλᾶ καὶ θεατρικὰ νοήματα. Δημοσθένης Ἀριστάρχῳ τοῦ φόνου συνέγνωκεν· ὁ προπαιδευθεὶς τοῖς νόμοις τοῦ Σόλωνος, ὁ τὴν τούτων τιμωρίαν περὶ τῶν νόμων μαθών, ὁ σαφῶς εἰδώς, οἷα [12] Δράκων κατὰ τῶν τοιούτων διώρισε, καὶ τὰ τοιαῦτα. μετὰ τὴν κατάστασιν θήσεις τὸ παραγραφικὸν προηγουμένως· ὁ γὰρ ἕτερον μέρος μελετῶν θήσει αὐτὸ ἐξ ἀντιθέσεως· οἷον ἀλλ' οὐκ ὀφείλω, φησίν, κρίνεσθαι, μηδὲν μηδενὸς Ἀρίσταρχον ἐλέγξαντος, καὶ λύσεις κατ' ἀκολουθίαν· ὅτι καὶ ἐλεγχθέντος καὶ μὴ τὸ συνειδέναι δύνασαι κατ' αὐτὸ κρίνεσθαι, καὶ τὰ τοιαῦτα· ἐρεῖς οὖν τὰ παραγραφικὰ προηγουμένως· οἷον καί τοι ποῦ· οὐκ ἄτοπον μηδενὸς ἑλόντος Ἀρίσταρχον, ἐμὲ κρίνεσθαι καὶ συκοφαντεῖσθαι τανῦν, Ἀριστάρχου μηδέ πω πεφωραμένου [13] φονεύσαντος· εἰ μὲν γάρ, τοὺς συνειδότας ἀνερεύνα τῷ φόνῳ· εἰ δὲ μήπω τὴν κρίσιν [14] ἐπλήρωσεν, ἀνθ' ὅτου τοὺς συνεγνωκότας ἐπιζητεῖς, ἀγνοῶν ἔτι σαφῶς, εἰ τοῦτον ὑπάρχει τὸν τρόπον ἀνδροφόνος Ἀρίσταρχος. ἐλέγχει μὲν γάρ τις πρῶτον τοὺς ἁμαρτήσαντας, ἐπιζητεῖ [15] δὲ μετὰ τὴν κρίσιν τοὺς συνειδότας τοῖς πλημμελήσασιν· ἀδήλων δὲ τῶν πρώτων ἔτι φυλαττομένων, τῇ κρίσει παραβαίνειν τὴν τάξιν οὐκ εὔλογον. εἶτ' ἐπὶ τούτοις παραδειγματικῶς ἐπιχείρησον καὶ ἐπιφωνηματικῶς· οἷον [16] εἰ τυμβωρυχοίη τις, εἶτ' 305

11 Ald. ὑπείξοις. 12 Ald. οἷος. scr. οἷα. 13 Ald. πεφοραμένου. 14 Ald. Vind. κτίσιν. Par. κρίσιν per corr. 15 Ald. Codd. ἐπιζητεῖν. 16 Ald. Codd. εἶτα ἂν εἰ. scripsi οἷον εἰ.

ἄδηλος ὁ πράξας τυγχάνει, μὴ οἷόν τέ τινα συνειδότος κρίνεσθαι, μὴ γινωσκομένου τοῦ πράξαντος· καὶ τὰ τοιαῦτα παραδείγματα. εἶτα ἁπλᾶ ἐπιφώνησον· ἔλεγξον πρῶτον Ἀρίσταρχον, καὶ τὴν κατ' ἐμοῦ κρίσιν κατέπειξον. πρῶτόν μοι τὴν κατ' ἐκείνου ψῆφον ἐπίδειξον· καὶ γίνομαί [17] σοι πρὸς τὴν κρίσιν ὑπεύθυνος, καὶ ὅσα τοιαῦτα. μετὰ τὸ παραγραφικὸν ἔρχῃ ἐπὶ τὸ προκατασκευάζειν λοιπὸν, ὅτι Ἀρίσταρχος οὐκ ἐφόνευσεν· οἷον ἐλέγχων ἀπαιτήσει, τίς ἐλέγχει τὸν Ἀρίσταρχον, ὅτι πεφόνευκεν; τίς ἔλεγχος ἕστηκε, δοῦλος ἢ ἐλεύθερος; καί τοι προσῆκόν [18] ἐστιν ἐλέγχους ἐν ἅπασιν ὑπάρχειν τοῖς δικαστηρίοις, κἂν μικρὸν ὑπάρχῃ, [19] κἂν εὐτελὲς τὸ κατηγόρημα· ἂν δὲ τῶν δικαστηρίων ἀνέλῃς τὸν ἔλεγχον, ἀπέραντα ἔσται τοῦτον τὸν τρόπον τὰ κατηγορήματα. μᾶλλον δὲ πάντες ἁπλῶς ἔσονται ὑπεύθυνοι, χωρὶς μαρτύρων κρινόμενοι· ἔπειτα φόνου κατηγορῶν τις πῶς οἷός τέ ἐστιν χωρὶς μαρτύρων ταύτας καὶ τὰς παραπλησίας κρίσεις ἀποπληροῦν; πῶς δ' ἂν τῷ γραψαμένῳ πιστεύσειαν οἱ δικάζοντες αὐτόπται μὴ δυνάμενοι γενέσθαι τοῦ πράγματος; καὶ ὅσα τοιαῦτα. φανερὰ δέ ἐστιν ἐκ τῶν ἄλλων στοχασμῶν ἡ τοῦ κεφαλαίου τούτου κατασκευή. εἶτα ἡ βούλησις Ἀριστάρχου, τουτέστι τοῦ πρώτου στοχασμοῦ· οὐδ' Ἀρίσταρχος ἠβουλήθη ἀνελεῖν, [20] πρῶτον μὲν ἐναγὴς γενέσθαι σαφῶς παραιτούμενος, ἔπειτα τὰς κρίσεις, τὰς τιμωρίας, τοὺς νόμους τοῦ Σόλωνός τε καὶ Δράκοντος, οὐκ ἂν ἐπὶ ταύτην ἦλθεν ἂν τὴν ἐγχείρησιν· πρὸς δὲ τούτοις οὐδὲν λυπηθεὶς οὐκ ἂν ἐπεχείρησε φόνον ἐργάσασθαι, τὴν δημοκρατίαν εἰδὼς πάντων μᾶλλον παραιτουμένην τοὺς φόνους, καὶ ὁρῶν, ὅτι [21] εἰσὶν ἐν τοῖς

17 Vind. γίγνομαι. 18 Ald. Codd. προσήκων. in Vind. supra lin. προσῆκον. 19 Ald. ὑπάρχει. 20 Ald. Codd. ἀμελεῖν. in Par. per rasuram ἀνελεῖν. 21 Par. ad marg. ὅπως.

τοιούτοις ἅπαντες ἀπαραίτητοι, καὶ τὰ τοιαῦτα. εἶτα ἡ δύναμις. ἀλλ' οὐκ ἂν ἠδυνήθην ἀνελεῖν παρόντων καὶ συνεστιωμένων, πρὸς τούτοις ἐν Πειραιεῖ, τῷ κοινῷ Ἑλλάδος ἐμπορίῳ πολυανθρώπῳ τυγχάνοντι· εἶτα τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους. ἀλλ' ἔφυγε, φησὶν, ἑαυτοῦ καταγνοὺς ὁ Ἀρίσταρχος· λύσεις τῷ χρώματι· ὅτι νέος ὢν καὶ πραγμάτων ἄπειρος, φοβηθεὶς ἀνεχώρησε, καὶ τὰς γινομένας ἐν τῇ πόλει συστάσεις εὐλαβούμενος ἐξέκλινε τὴν ἐπιβουλήν· ἐκτενεῖς[22] δὲ αὐτὰ πλατύνων τὰ νοήματα, τῷ ἕκαστον ἀναπτύσσειν ἐπιχειρήματα· ὁτὲ μὲν κατ' εὐθεῖαν, ὁτὲ δὲ ἐκ τοῦ ἐναντίου· εὑρήσεις δὲ κατὰ πολλοὺς τρόπους ἐκτεῖναι τὸ προκείμενον, ὅτι ὁ φόβος καὶ τῶν προσηκόντων οἶδεν ἐκκρούειν. δῆλον γὰρ ὡς ἐνθυμηθεὶς ὡς ἐπιβουλαὶ καὶ συνεδρίαι καὶ φωνῆς ὑποκρίσεις τῶν κατηγόρων, καὶ τὰ ἄλλα τὰ παρ' αὐτῶν γενόμενα παρακρούεται τοὺς δικάζοντας, καὶ ὡς ἐντεῦθεν ἀναρπασθήσεσθαι, ἔφυγε καταπλαγείς. γνωστέον δὲ, ὅτι ἐν ταῖς τοιαύταις ὕλαις τῶν στοχασμῶν οὐκ ἐμπίπτει πιθανὴ ἀπολογία· οὐ γὰρ ἀντιστρέψαι δυνατὸν τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ὡς εἶπον καὶ ἀλλαχοῦ· μωρὸν γάρ ἐστι λέγειν, εἰ πεφόνευκεν, οὐ πέφευγεν ὁ Ἀρίσταρχος, τὸ δὲ λέγειν, οὐκ εἴ τις φεύγει ἑαυτῷ σύνοιδεν, πιθανὴ μὲν ἀπολογία οὐκ ἔστιν· ἐπιχειρήματα δὲ τῆς πιθανῆς ἀπολογίας καθάπερ τόπον τηροῦντα, καὶ κατασκευαστικὰ[23] τυγχάνοντα τοῦ χρώματας· οἷον πέφευγε διὰ τὸν φόβον, καὶ ὅτι τοῦτο ἀληθὲς, ἐκεῖθεν δῆλον· οὐ γὰρ εἴ τις φεύγει ἑαυτῷ[24] σύνοιδε· διὸ παρατηρεῖν δεῖ, τί μὲν ἀντιστρέφει κυρίως τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, καὶ τί μή· μετὰ ταῦτα ἀνέρχῃ ἐπὶ τὸν Δημοσθένους στοχασμὸν, ὅτι

---

Cfr. Xen. Cyrop. III, 3, 20. ὅπως ἐγὼ ἄχθομαι, μηδ' ὑπονοεῖτε.
οι
ubi Poppo. 22 Par. ἐκτενεῖς. 23 Ald. Codd. κατασκευαστικόν. 24 Ald. Codd. ἑαυτόν.

συνέστηκεν· ἀλλ' ἔστω, δεδόσθω ἀνῃρῆσθαι παρὰ τοῦ Ἀριστάρχου Νικόδημον· τίς με ἐλέγχει; οἶδε πρὸς ταύτην τὴν σκέψιν τὸν Δημοσθένην ὁρμήσαντα παῖς συμπαρὼν, ἑταῖρος, φίλος, συγκοινωνήσας τοῦ σκέμματος· ἀλλ' αὐτὸς Ἀρίσταρχος συνεγνωκέναι με κατήγγειλε· καὶ μὴν οὐ προσῆκον φθόνῳ τὰς κατηγορίας συνίστασθαι μηδὲ βασκανίᾳ καθιστᾷν τινα περὶ τῶν ὅλων εἰς κίνδυνον, ἀλλ' ἐλέγχοις ὑποδεικνύειν τὸ ἔγκλημα, καὶ μαρτυρίᾳ
306 πιστῇ[25] διελέγχειν τὰ δράματα· ἐκοινώνησε Δημοσθένης τοῦ σκέμματος· ἀναπολόγητον νῶτον μετὰ τὴν μαρτυρίαν ἀπέκτεινε· συνέγνωκεν Ἀρίσταρχος βουλευσαμένῳ τὸν φόνον· πίστωσαι ταύτην ἐλέγχων τὴν κοινωνίαν γραφόμενος· ἕως δὲ ἀποσυλᾷς τῆς γραφῆς τὴν ἀπόδειξιν, καὶ τὸν ἔλεγχον οὐ προστιθῇς κατηγορῶν, συκοφαντῶν Δημοσθένην, ἑάλωκας σοφιζόμενος τὴν γραφήν. οὐ γὰρ δυνατὸν τοὺς δικάζοντας μὴ πανταχοῦ τοὺς ἐλέγχους ἐπιζητεῖν. εἶτα βουλήσει Δημοσθένους· οὐ γάρ ἐστιν εἰπεῖν, ὡς ἐπὶ ταύτην[26] ἄσμενος ἐγὼ τὴν κοινωνίαν ἐλήλυθα· οὐδὲ συσκέψασθαι τοῦτον Ἀριστάρχῳ τὸν φόνον ὑπέμεινα· κρίνων αὐτὸς[27] τοὺς συνειδότας ἐπὶ τοῦ βήματος, αὐτὸς τοὺς κοινωνοὺς μετὰ τῶν ἁμαρτημάτων γράφεσθαι προδοσίας[28] εἰπὼν παραπρεσβείας, ἱεροσυλίας καὶ κλοπῆς· εἶτα αὐτὸς ἑτέρους τοῦ[29] συνειδέναι γραφόμενος, οἷς ἐγκαλῶ[30] περιπίπτειν ὑπέμεινα· μηδὲν ὑπὸ Νικοδήμου λυπούμενος, μηδὲν ἄδικον ὑπὸ τοῦ μειρακίου παθὼν, τοὺς νόμους εἰδὼς, αὐτὸς ἑτέροις τὴν κατὰ τῶν τοιούτων κόλασιν ἐξηγούμενος· καὶ τὰ τοιαῦτα. εἶτα ἐκ τοῦ προσώπου λάβε Ἀριστάρχου τῆς βουλήσεως ἐπιχείρημα· ὅτι οὐδ' ἂν αὐτὸ τὸ μειράκιον ἀνακοινώσασθαι ἠνέσχετο, εἰδὼς,

ὅτι

---

25 Ald. Codd. μαρτυρία πιστή. 26 Ald. Codd. ταύτης. 27 Ald. Codd. αὐτούς. 28 Ald. Codd. προδόσας. 29 Ald. Codd. τούς. 30 Ald. Codd. ἐγκαλῶν.

ὅτι οὐκ ἂν συνεχώρησα. φύσει δὲ φεύγουσι τὸ γινώσκειν τι τοιοῦτον τοὺς διδασκάλους οἱ νέοι διὰ τὸ μὴ τὸν αὐτὸν τρόπον ἐπὶ τῶν διδασκάλων ἐλέγχεσθαι· καὶ τοὺς πρεσβυτέρους[31] εἰώθασιν ἀποκρύπτεσθαι οἱ πάντες ἀκροώμενοι, διὰ τὸ μήτε συνεργεῖν καὶ ὡς οἷόν τε μάλιστα ἀποτρέπειν αὐτοὺς[32] τῶν τοιούτων πράξεων· ἡ δύναμις ἐπὶ τούτου μέρους ἐκλείπει· οὐ γὰρ δυνατὸν εἰπεῖν, ὅτι οὐκ ἂν ἠδυνήθη συγγνῶναι· θήσεις οὖν ἑξῆς τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους· ἀλλὰ φίλος ἦσθα,[33] φησὶν, Ἀριστάρχῳ, καὶ εἰκός σε συνεγνωκέναι τὸν φόνον· ταῦτα οὐκ ἔστιν ἀπ' ἀρχῆς ἄχρι τέλους· οὐ γὰρ ἔχει τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους τὸν χαρακτῆρα· ἀλλὰ ποιότης ἔστιν ἡ φιλία, ὅπερ οὐκ ἀπ' ἀρχῆς ἄχρι τέλους· ἀλλὰ μέρος ἐστὶ τῆς βουλήσεως· εἰκός σε φίλον ὄντα συνεγνωκέναι· διὸ καὶ ποιότης· καθόλου οὐχ οἷόν τε δίδοσθαι χρώματα·[34] ἔργων γὰρ καὶ παθῶν καὶ λόγων, ὧν ἕτεροι πεποιήκασιν ἄντικρυς εἰς ἡμᾶς ἀναφερομένων δίδοσθαι τὰ χρώματα,[35] μεμαθήκαμεν· διὸ καὶ λύσις ἐστὶν ἐπιχειρηματικὴ, ἀλλ' οὐ τὰς ἀφορμὰς ἀπὸ χρώματος ἔχουσα· ἐρεῖ οὖν οὐκ εἴ τις φίλος, οὗτος καὶ τῶν ἀποῤῥήτων κοινωνεῖ· καὶ διὰ τὴν φιλίαν ἅπαντα φέρειν δεῖν ἐς[36] μέσον οἴεται· εἶθ' ὅτι καὶ οἱ ἄλλοι πολλοὶ φίλοι Ἀριστάρχου· ἀλλ' οὐ διὰ τοῦτο ὡς κοινωνοὶ τῶν ἁμαρτημάτων εὐθύνονται· πρὸς δὲ τούτοις οἰκειοτέρα μᾶλλον Δημοσθένους ἡ Ἀριστάρχου μήτηρ· ἀλλ' οὐ διὰ τοῦτό τις τῆς μητρὸς ὡς συνειδυίας κατηγορεῖ· μετὰ ταῦτα τοὺς ἐπιλόγους θήσομεν, πιθανῆς γὰρ ἀπολογίας, ὡς προλαβόντες εἰρήκαμεν, οὐκ ἐμπιπτούσης διὰ τὴν ὕλην, ὥσπερ οὐδὲ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους, ἀλλὰ λύσαντες τὴν ἀπὸ ποιότητος ἀντίθεσιν ἐπὶ

---

31 Par. διδασκάλους, ad marg. πρεσβυτέρους. 32 Ald. Codd. αὐτά (οί). 33 Ald. Codd. οἶσθα. 34 Par. χρήματα. 35 Ald. Codd. χρήματα. 36 Ald. Vind. δεῖ. Par. δεῖν.

τοὺς ἐπιλόγους ἥξομεν· ἔχουσι δὲ οἱ ἐπίλογοι καὶ πομπείαν τῆς πολιτείας τῆς Δημοσθένους, καὶ φιλοτιμίαν πολλὴν καὶ καταδρομὴν τῶν συκοφαντῶν καὶ ποικιλίαν[37] διάφορον· οἷον ἀλλὰ μέχρι τινὸς συκοφάντου τανῦν ἐκτείνω τοὺς λόγους· Φιλίππου σαφῶς ὄντος ἐπικειμένου τοῖς Ἕλλησι τῶν κοινῶν ζητήσων τὰ Δημοσθένους σαφῶς πολιτεύματα, Θηβαίων, Φωκέων, Ὀλυνθίων, Θρᾴκης, καὶ κατὰ μέρος ἐπεξελθὼν τοῖς τοιούτοις ἔπαγε· ἀλλὰ τί ταῦτα διαπραξόμεθα; πῶς ἐπίδω καὶ κατὰ τῶν συκοφαντῶν καὶ κατὰ τοῦ Φιλίππου καλῶς ἐμαυτὸν, τοῖς μὲν συνήθεσιν ἐγὼ πολιτεύμασι χρήσομαι· πέμψω δὲ τοὺς ἀναζητοῦντας Ἀρίσταρχον, τοὺς ἀνερευνήσοντας ἅπαντας, τοὺς διδάξαντας τῶν κατηγόρων τὰ δράματα· φάνηθί μοι νῦν ἐπὶ τοῦ βήματος, Ἀρίσταρχε, κοινῇ τὴν ἐπιβουλὴν ἐλέγξωμεν, δεῦρο τοὺς φονεύσαντας μετὰ
307 τὴν ἀπολογίαν ζητήσωμεν, δεῦρο τελευταίαν ταύτην χάριν τῷ κειμένῳ παράσχωμεν· τάχα που ἐπὶ σοὶ κἀκεῖνος ἀγανακτεῖ· δυσχεραίνει κἀκεῖνος φίλον ὁρῶν οὕτω διαβαλλόμενον· ἀγανακτεῖ πάντως, εἴ τις ἐστὶν αἴσθησις τὴν συσκευὴν ταύτην θεώμενος, καλέσει μοί τις τὴν Ἀριστάρχου μητέρα· νῦν ἐπὶ τοῦ βήματος ἐλθὲ, γύναι, τῷ δήμῳ τὸν παῖδα καλέσασα[38] ἐπάγγειλαι· ἔγνω τὴν ἐπιβουλὴν τὸ δικαστήριον· οὐ παραχθήσεται[39] βασκάνων ῥητόρων δεινότητι·[40] οὐ παρασκευή τις ἑτέρα νικήσει τὸ δικαστήριον· ἀλλὰ σὺ μὲν, Ἀρίσταρχε, παρὼν, αἱρήσεις, ὡς πέπεισμαι, τὸν γραψάμενον· ἐγὼ δὲ ὑπὲρ τῶν Ἑλλήνων ἁπάντων σωτηρίας τὸν[41] Φίλιππον.

## ΕΜΠΙΠΤΩΝ ΣΤΟΧΑΣΜΟΣ.

*Πένης καὶ πλούσιος ἐχθροὶ τὰ πολιτικά· ὁ πένης ἀναχωρῶν*

---

37 Par. πολιτείαν, ad marg. ποικιλίαν. 38 Ald. Codd. καλέσας. 39 Ald. ταραχθήσεται. Vind. Par. παραχθ. 40 Ald. δεινώτητι. 41 Ald. τῶν.

ἀπὸ δείπνου ἐτρώθη, μέλλων τελευτᾶν ἔφη τὸν τρώσαντα κεκαυκέναι δαλῷ κατὰ πρόσωπον· κατὰ τὴν αὐτὴν νύκτα καὶ ἡ τοῦ πλουσίου κέκαυται οἰκία· καὶ εὕρηται ὁ πλούσιος κεκαυμένος τὸ πρόσωπον· καὶ κρίνεται φόνου ὑπὲρ τοῦ πένητος.

Τοῦ ἐμπίπτοντος στοχασμοῦ διπλοῦ τυγχάνοντος, τὸ μέν τοι μέρος αὐτοῦ ἐστιν ἔγκλημα, τὸ δὲ ζήτημα· ἐγκαλεῖται μὲν γὰρ ὁ φόνος, ζητεῖται δὲ, εἰ ὁ πλούσιος τὴν οἰκίαν ἐπυρπόλησε· καὶ καθόλου τοῦτ' ἐστιν [42] ἐν τοῖς ἐμπίπτουσι τὸ θεώρημα· οἷον, ἐν συμποσίῳ πλούσιος ὤμοσε τυραννήσειν· πένης ἐχθρὸς ὤμοσε τυραννοκτονήσειν· εὑρέθη ὁ πένης μετὰ τὸ δεῖπνον νεκρὸς ἀσκύλευτος· καὶ κρίνεται ὁ πλούσιος τυραννίδος ἐπιθέσεως· ἔγκλημα μὲν ἡ τυραννίς· ζήτημα [43] δὲ ἐνταῦθα ὁ φόνος· ζήτημα δὲ λέγεται τὸ ζητούμενον καὶ κατασκευαζόμενον μόνον, οὐ μὴν ἔχον [44] τιμωρίαν· ζητεῖται μόνον, εἰ ὁ πλούσιος ἀνεῖλε τὸν πένητα, καὶ ἐπὶ τούτου· ἐγκαλούμενος στρατηγὸς προδοσίας ἐδέδετο κατὰ νόμον παρὰ τῷ συστρατήγῳ, [45] ἕως ἂν εἴπῃ τοὺς συνειδότας· ἀνεῖλεν αὐτὸν ὁ συστράτηγος ὡς μοιχὸν, καὶ κρίνεται ὁ στρατηγὸς ὡς συνειδὼς τῇ προδοσίᾳ· καὶ γὰρ ἐνταῦθα ἔγκλημα μὲν τὸ συνειδέναι, ζήτημα δὲ ὁ φόνος· διὸ καὶ χρῶμά ἐστι τὸ ζητούμενον ἐγκλήματος ὁ ἐμπίπτων στοχασμὸς ὅλος· λέγοντος γὰρ τοῦ κατηγόρου τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ὅτι ἀλλ' ἔφησεν ὁ πένης κεκαυκέναι δαλῷ κατὰ τρόπον τοῦ τρώσαντος, καὶ σὺ τὰ σημεῖα φέρεις ἐπὶ τοῦ προσώπου τῆς καύσεως, ὁ πλούσιος λύει τῷ χρώματι [46] τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, φάσκων ἐκ τοῦ κεκαῦσθαι τὴν οἰκίαν πεποιθέναι τὸ πρόσωπον· καὶ ἀντιτιθέντος τὸ ζήτημα τοῦ κατηγόρου τῷ χρώματι, καὶ φάσκοντος ἐπίτηδες αὐτὸν κεκαυκέ-

---

42 Ald. Codd. τουτέστιν. 43 ζήτημα δὲ ἐντ. ὁ φόνος Vind. om. 44 Vind. Par. ἔχων. 45 Ald. συστρατηγῷ. 46 Ald. Codd. σώματι. in Par. corr. χρώματι.

ναι τὴν οἰκίαν, ἵνα διαδράσῃ τὸ ἔγκλημα, ἀνατρέχει ἐπὶ τὴν ἀρχὴν τῶν κεφαλαίων ὁ πλούσιος, καὶ χρῆται τῇ τῶν ἐλέγχων ἀπαιτήσει τοῦτον τὸν τρόπον· καὶ τίς μου καταμαρτυρεῖ, ὅτι τὴν οἰκίαν ἐγὼ πυρὶ κατηνάλωσα; εἶθ' οὕτως ἔρχεται ἐπὶ τὴν βούλησιν, καὶ παραλείψας τὴν δύναμιν, ἐπειδὴ ἐκλιμπάνει· δῆλον γάρ, ὅτι ἔνδον ὢν καὶ δεσπότης τυγχάνων καῦσαι τὴν οἰκίαν δυνατὸς ἦν· ἔρχεται ἐπὶ τοῦ λόγου ἀπ' ἀρχῆς ἄχρι τέλους, τοῦ δευτέρου οὐκ ἐμπίπτει, κατὰ τὸ δεύτερον μέρος· πλὴν εἰ μὴ ἡ ὕλη ἐκ τῶν παρειμένων δῷ τινα ἀντὶ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ἀντίθεσιν, ὡς ἐπὶ τοῦ στρατηγοῦ τοῦ ἀνελόντος τὸν συστράτηγον ὡς μοιχὸν καὶ κρινομένου συνειδότος· μετὰ γὰρ τὴν βούλησιν καὶ δύναμιν ἐκ τῶν παρειμένων ἀπ' ἀρχῆς ἄχρι τέλους πίπτει ἀντίθεσις, ὅτι ἔδει αὐτὸν ὡς μοιχὸν καταμηνῦσαι τῷ δήμῳ· διέλωμεν δὲ τὸ προκείμενον πλάσμα σαφέστερον προοιμίοις ἀπὸ βαρύτητος· ὅτι οὐκ ἤρκεσε τοσαύτῃ καὶ τοιαύτῃ συμφορᾷ κατὰ τὴν ἑστίαν περιπεσεῖν τοὺς οἰκείους τοῦ πένητος· ἀλλ' ἔτι [47] καὶ δικαστήριον ὁ πλούσιος συγκροτεῖ, ὡς οὐδὲν διαπραξάμενος ἄτοπον· δεύτερον ἀπὸ τῆς πολιτείας· τοῖς μὲν οὖν πολιτευομένοις καλῶς
308 τοιοῦτον εἶναι τῶν βεβιωμένων ὁ πλούσιος ἔδειξε τὸ τέλος [γεννήσεσθαι [48]] οὐ γὰρ ἀκίνδυνον ἐχθρὸν εἶναι πλουσίῳ· τὸ τρίτον ἀπὸ τῆς τύχης· τῶν θεῶν ἡ κατάστασις, ἡ τοῦ κατηγόρου τὴν ἀγωγὴν ἔχει τὴν ἀντιπολιτείαν κεκρυμμένην καὶ λανθάνουσαν· εἰ δὲ μή, ἐὰν λέγῃς ἐχθρὸν φανερὸν τὸν πλούσιον, ἀντιπίπτει οὗτος· πῶς οὖν ἐκαλεῖτο πρὸς ἑστίαν; φίλον [49] γάρ ἐστι τὸ καλεῖν ἐπὶ δεῖπνον τοὺς λόγῳ, τοῦ πένητος τὴν ἀναίρεσιν οἰκονομοῦντός σου

---

47 Ald. ἔστι, scr. ἔτι. 48 γεννήσεσθαι, quod est in Ald. et codd., delendum videtur. 49 Post φίλων Ald. ponit asteriscum; sed vitium latet in vv. τοὺς λόγῳ.

κατ' ἔμφασιν, ἐν τῇ καταστάσει, ὅτι ὁ πλούσιος [50] ἔκαυσε τὴν οἰκίαν, παραγραφικὸν οὐκ ἐμπίπτει· ΠΕΡΙ ΕΛΕΓΧΩΝ. Ἐλέγχων ἀπαίτησις· καὶ τίς μου καταμαρτυρεῖ, ὅτι ἐγὼ τὸν πένητα ἔτρωσα; λύσις, τὰ πράγματα, ἡ ἔχθρα· οὐ γὰρ δή που μετὰ μαρτύρων ἔμελλε τοῦτο ποιῆσαι, ἀλλὰ λάθρα κατὰ καιρὸν, ὥραν καὶ τρόπον πρὸς τὸ λαθεῖν ἐπισκεψάμενος· καὶ τὰ τοιαῦτα ἡ βούλησις καὶ ἡ δύναμις· ἡ μὲν γὰρ βούλησις ἔχει τὰς αἰτίας· [51] ἀνεῖλες, ὥστε ἀπαλλαγῆναι τῆς ἔχθρας, ὥστε μὴ εὐθύνεσθαι ἐν τῇ πολιτείᾳ, ὥστε μὴ ἐφορᾶσθαί τινα, μηδὲ κατηγορεῖσθαι παρὰ [52] τοὺς νόμους πολιτευόμενος· ἡ δύναμις πρόδηλον ἔχει τὴν κατασκευὴν, ὅτι ἠδυνήθη πλοῦτον ἔχων, οἰκείους, ἄλλους φίλους τοὺς ὑπηρετοῦντας αὐτῷ πρὸς ἡδονὴν, καιρὸν τὴν νύκτα, ἐν ᾗ πάντες ἠρέμουν. εἶτ' ἀπ' ἀρχῆς ἄχρι τέλους προηγουμένως τάξεις, ὅτι καὶ ἔφησεν αὐτὸς δαλῷ κεκαυκέναι [53] τὸ πρόσωπον τοῦ τρώσαντος· εἶτα ἐξ ἀντιθέσεως τὸ χρῶμα· ἀλλ' ἐκ τοῦ κεκαυκέναι τὴν οἰκίαν οὕτω περιφέρω τὸ πρόσωπον· λύσις· ἐξεπίτηδες ἔκαυσας, ἵνα μὴ ἐλεγχθῇς· [54] εἶτα ἐξ ἀντιθέσεως πάλιν, καὶ τίς μου καταμαρτυρεῖ, ὅτι τὴν οἰκίαν αὐτὸς ἔκαυσα· καὶ λύσιν ὁμοίως τὴν τῶν ἐλέγχων ἀπαίτησιν· καὶ πάλιν ἐξ ἀντιθέσεως τῇ βουλήσει· ἀλλ' οὐκ ἂν ἠβουλήθην κτῆμα ἐμὸν ἀφανίσαι πυρί· ἠβουλήθης μᾶλλον καταφρονῆσαι τοῦ κτήματος, πλούσιος ὢν, ἵνα μὴ ἔχωσιν ἐλέγχειν σε οἱ κατήγοροι διὰ τοῦ προσώπου καὶ τῆς ἐν αὐτῷ καύσεως· ἄλλως τε καὶ πλοῦτος, ἐπικαλύπτων τὴν ζημίαν, προθυμότερόν σε μᾶλλον ἐπὶ τοῦ καῦσαι τὴν οἰκίαν παρεσκεύασεν· ἡ δύναμις ἐκλιμπάνει ἀπὸ τοῦ πλούτου· προηγουμένως οὖν αὐτὴν τάξεις· καὶ ἠδύνασο καῦσαι ἔνδον ὢν ἀδιαφόρως μηδενὸς αἰσθανό-

---

50 Ald. Codd. πλοῦτος. 51 Ald. ἐτίας. 52 Ald. Codd. περὶ, scripsi παρά. 53 Par. κεκαυμέναι. 54 Vind. ἐλεχθῇς.

μενος· καὶ τὰ τοιαῦτα ἀπ' ἀρχῆς ἄχρι τέλους τοῦ δευτέρου μέρους οὐκ ἔστι· διὸ ἐπισυνάψεις [55] τὴν πιθανὴν ἀπολογίαν, ὅταν ἐμπίπτῃ· [56] ἐνταῦθα δὲ οὐκ ἐμπίπτει, οὐ γὰρ δύναται εἰπεῖν, οὐκ ἂν ἔκαυσα τὴν οἰκίαν, εἰ πεφονεύκειν. ἠλέγχετο γὰρ ἐκ τοῦ κεκαυκέναι τὸ πρόσωπον. οὐκοῦν μετὰ τὴν βούλησιν ὁ ἐπίλογος· ἔστι δὲ κοινὸς καταδρομὴν ἔχων καὶ αὔξησιν· ὅτι καὶ ἄδικόν ἐστιν καὶ ἄτοπον μὴ τιμωρήσασθαι· καὶ σύμφορον δὲ καὶ ἀπὸ ἐγκωμίου τοῦ πένητος, ὅτι καλὸς, ὅτι χρήσιμος τῇ πόλει, ὅτι τοιοῦτον πολίτην ἀπολέσας ὁ δῆμος μεγάλης ἀσφαλείας ἐστέρηται.

## ΣΥΓΚΑΤΑΣΚΕΥΑΖΟΜΕΝΟΣ ΣΤΟΧΑΣΜΟΣ. [1]

Γυνὴ καὶ ἀνὴρ κατὰ ταὐτὸ ἐκακώθησαν τῷ αὐτῷ νοσήματι· μετεπέμψαντο [2] ἰατρὸν φίλον τοῦ ἀνδρὸς, καὶ ὁ μὲν ἀνὴρ ἀπέθανεν, ἡ δὲ γυνὴ ὑγίανε· μετὰ ταῦτα ἔγημεν ὁ ἰατρὸς τὴν γυναῖκα, καὶ κρίνεται φαρμακείας [ἀπολογία]. [3]

Τοὺς συγκατασκευαζομένους στοχασμοὺς οὕτως ἂν ἄριστα διαιρήσεις, εἰ δι' ἀλλήλων κατασκευάζων τὰ ἐγκλήματα τὸ προηγούμενον πρῶτον κατασκευάζοις, εἶτα ἐπάγεις τὸ συγκατασκευαζόμενον, [4] καὶ πάλιν ἀνατρέχεις ἐπὶ τὸ προηγούμενον καὶ ἁπανταχοῦ λαμβάνεις τῶν ἑξῆς κεφαλαίων τὰ σπέρματα· οἷον ἐπὶ τῆς βουλήσεως ἤ τινος ἄλλου τῶν στοχαστικῶν κεφαλαίων· οὐκ ἂν ἠβουλήθην [5] φαρμάξαι διὰ τάδε καὶ τάδε· τοῦτο δὲ μὴ αἱρούμενος οὐδ' ἂν μοιχεῦσαι ἐπεχείρησα· εἶτα ἀνέδραμον ἐπὶ τὸ

---

55 Par. Vind. ἐπισυνάψοις. 56 Ald. Vind. ἐμπίπτει. Par. ἐμπίπτῃ. 57 Ald. ἠστέρηται.

1 Ven. λογισμός. 2 Ald. μετεπέμψατο. scr. μετεπέμψαντο. 3 ἀπολογία delendum videtur. 4 Ald. Vind. κατασκ. Med. Par. συγκατασκ. 5 Ald. Vind. Par. ἠβούλην. Ald. asterisco notat. Med. ἠβουλήθην.

προηγούμενον· μοιχὸς δὲ μὴ ὢν οὐδὲ φαρμακείας δικαίως ὑποπτεύομαι· ἔπειτα εἰ καὶ τῆς προαιρέσεως [6] ἦν, πῶς ἂν ἠδυνήθην φαρμάξαι; καὶ ὁμοίως τούτῳ τῷ τρόπῳ προϊτέον· ἰστέον δὲ, ὅτι ἐνταῦθα προεκλείπει ἡ δύ- 309
ναμις· ἰατρὸς γὰρ ὢν δῆλον ἦν, ὅτι ἠδύνασο φαρμάξαι· ὑποδείγματος δὲ ἕνεκα Σώπατρος ἐγὼ, τῶν Ἀθηναίων διδάσκαλος, μαθὼν ἐξεθέμην τὸ θεώρημα· τὸ δὲ πλάσμα σκοπήσωμεν τὸ προκείμενον· πάθους ἐστὶ καὶ βαρύτητος μεστὸν τὸ ζήτημα· ὅτε [7] γὰρ τοῦ φίλου θανόντος χορηγεῖ τὸ πάθος τῷ πλάσματι, ἥ τε [8] ποιότης ἡ καὶ τοῦ ἰατροῦ καὶ τὸ ἔγκλημα πολλὴν ποιεῖ τὴν βαρύτητα· δεῖ οὖν καὶ δυσχεραίνειν διόλου τῷ πάθει· ἐναντίον γὰρ τῇ περὶ τοῦ φόνου ὑπολήψει τὸ μὴ φέρειν εὐχερῶς τὸ συμβὰν, καὶ πρὸς τὴν γραφὴν ἄγειν· [9] τὸ γὰρ ἐπὶ μοιχείᾳ καὶ φόνῳ παρὰ [10] τὴν ἀξίαν εὐθύνεσθαι τοὺς ἐπιεικεῖς μᾶλλον ἐγείρει πρὸς ἀγανάκτησιν· εὐθὺς οὖν τὸν ἰατρὸν καὶ ἀπὸ προοιμίων ἐπιδείκνυσθαι δεῖ τὴν ἐπιείκειαν μετὰ τοῦ πάθους· τῇ μὲν ὕλῃ τοῦ πλάσματος πρὸς τὸ πάθος προσχρώμενον, [11] τῇ δὲ τοῦ ἤθους ἀρετῇ ἀπό τε τῆς τέχνης καὶ τοῦ προσόντος αὐτῷ τρόπου χρηστοῦ· μεμνῆσθαι δὲ δεῖ, ὅτι δι' ὅλου [12] τοῦ ἀγῶνος ἐν τοῖς κατασκευαζομένοις στοχασμοῖς θάτερον δι' ἑτέρου κατασκευάζεσθαι δεῖ· τὴν μὲν μοιχείαν διὰ τῆς φαρμακείας· ἡ γὰρ θατέρου κατασκευὴ [13] συγκατασκευάζει τὸ ἕτερον· καὶ γὰρ ὁ φεύγων τὸν ἕτερον ἀνελὼν ἀμφότερον συνῄρηκεν· καὶ γὰρ συμπλέκειν [14] εὔλογον τὰ ἐγκλήματα, ὡς τὸ εἰ-

6 Ald. Vind. τῆς πρυαιρ. εἰπεῖν ἦν. Med. εἰπεῖν om. Par. expunxit uterque ἦν. 7 Ald. Vind. ὅταν. Med. ὅτε. 8 Ald. Codd. ὅ τε. 9 Ald. Codd. ἄγων, scr. ἄγειν. In Ald. Vind. Par. Med. sequitur brevis lacuna, quae abest a Ven. 10 Ald. Vind. Par. περὶ, scripsi παρά. 11 Ald. Vind. Par. προσχώμενον, scripsi προσχρ. 12 Ald. Par. Vind. διόλου. 13 Par. κ τ παρασκευή. 14 Ald. συμπλέκει. Vind. Par. συμπλέκειν.

δος διδάσκει· συγκατασκευαζόμενον γὰρ ὀνομάζεται· καὶ πρὸς τὴν τοῦ ἑτέρου κατασκευὴν καταγινόμενον συνάγει εἰς τέλος ἀμφότερα τὰ ἐγκλήματα· καὶ οὐδαμοῦ διαιρεῖ τὴν μοιχείαν τῆς φαρμακείας· ἀλλ' ὥσπερ ὁ κατήγορος σημεῖον ἔχων τῆς μὲν φαρμακείας τὸν θάνατον, τῆς δὲ μοιχείας τὸν γάμον, καὶ κατασκευάζει δι' ἀλλήλων ἀμφότερα, τὸν αὐτὸν τρόπον δεῖ ποιεῖσθαι καὶ τὴν ἀπολογίαν τὸν φεύγοντα, καὶ μηδαμῶς διαιρεῖν ἀπ' ἀλλήλων τὰ ἐγκλήματα· ἀλλὰ τὴν μοιχείαν ἀναιροῦντα διὰ τῶν κατασκευῶν καὶ τὴν φαρμακείαν ἀνασκευάζοντα συνανασκευάζειν καὶ τὸ μὴ μεμοιχεῦσθαι τὸ γύναιον· ἐργαζόμενος δὲ τὰ προοίμια μὴ τροπικαῖς κέχρησο λέξεσιν· ἄτοπον γὰρ ἐν ἀρχῇ λόγου τοιαύταις χρῆσθαι λέξεσιν· μήτε καλοειδέσι νοήμασι καὶ στροφαῖς· ἀγῶσι γὰρ τὸ κῶλον μᾶλλον ἁρμόδιον· καὶ ἄμφω τοῦ προοιμιακοῦ χαρακτῆρος ἀλλότριον. γνωστέον δὲ καὶ τοῦτο, ὅτι κακὸν καὶ προοιμίων καὶ ἐπιλόγων ἀλλότριον· παθητικὰ γάρ ἐστι κατὰ φύσιν ἀμφότερα· καὶ γὰρ ἀρετὴ λόγου σαφήνεια· κεράσας δὲ τὸν ἀγῶνα τοῖς ἀγωνικοῖς καὶ ἀνθηροῖς καλουμένοις νοήμασιν εὐφρανεῖς μὲν ἐπιπολὺ τοὺς ἀκροατὰς τοῖς μελετηρίοις καὶ ἁπλοῖς χρώμενος. τοῖς γὰρ κώλοις ἐπιπολὺ χρῆσθαι δεῖ, συνέχει γὰρ τὸν νοῦν τῶν ἀκροατῶν· εἰπόντα τοίνυν δύο στροφὰς νοημάτων ἢ τρεῖς ἀπαλλάττεσθαι. ΠΕΡΙ ΠΡΟΟΙΜΙΩΝ ΑΠΟ ΒΑΡΥΤΗΤΟΣ. Τὸ πρῶτον εἰλήφθω σοι προοίμιον ἀπὸ βαρύτητος· οἷον οὐκ ἤρκεσεν, ὡς ἔοικεν, ὡδὶ τῇ τύχῃ μικροῦ πρόσθεν ἡ φθάσασα συμφορὰ, ἀλλὰ μετὰ τὸν φίλου θάνατον ὡς φαρμακὸς ἅμα καὶ μοιχὸς ἐξετάζομαι· οἰκεῖα δὲ τὰ ἀνακλητικὰ τὸ, οἴμοι, πρὸς πάθος, ἂν προοιμιακῶς λαμβάνηται καὶ τὰ παθητικά. Δεύτερον προοίμιον ἀπὸ τοῦ προσώπου τοῦ ἰατροῦ καὶ τῆς ποιότητος· εἴπομεν γὰρ, ὅτι δεῖ τὸν ἰατρὸν ὡς ἐπιεικῆ καὶ εὔτροπον διὰ τὴν τέχνην ὑπολαμβάνεσθαι πανταχοῦ·

οἷον· μικροῦ μὲν οὖν καὶ πρὸς τὴν ἀπολογίαν ἐμέλλησα,[15] τὰ πρόσθεν ὑπὲρ τῶν πολιτῶν ἐξειργασμένα μοι διαλῦσαι πιστεύσας[16] τὸ ἔγκλημα· ἐπειδὴ δέ μοι καὶ ὁ λόγος μετὰ τῶν βεβιωμένων νικήσει τὸν συκοφάντην καὶ τιμωρήσεται,[17] ἥκω ψήφῳ κυρῶν τὸν ἐμαυτοῦ τρόπον· μᾶλλον δὲ πάσης διαβολῆς ἰατρῷ τὴν προσήκουσαν προσφέρεσθαι· τρίτον προοίμιον ἀπὸ τοῦ κατηγόρου· ἐλέγχει μὲν οὖν ὁ κατήγορος αὐτοῦ τὴν προαίρεσιν, μετὰ τὸν γάμον εὐθὺς συνάγων τὸ δικαστήριον· καὶ φαρμακείας φέρων γραφὴν, ἢ φιλίας δεσμοὺς[18] ἀναιρεῖ· καὶ δημοτικὸς ἀνὴρ ἀποστρέφεται· ἔχεις καὶ ἀπὸ τοῦ φίλου τοῦ τετελευτηκότος προοίμια· ἢ γὰρ ἀπὸ προσώπου ἢ ἀπὸ πράγματος δεῖ λαμβάνειν τὰς προοιμιακὰς ἐννοίας· οἶδα 310 μὲν οὖν ὡς ἐφορᾷ,[19] καὶ παρέστηκε τῷ βήματι, καὶ ἀγανακτεῖ πρὸς τὴν κρίσιν· ἀλλ' ἐπιλογικὸν ὑπάρχει τὸ νόημα· διὸ οὐ χρηστέον, δυνατὸν δὲ ἦν μᾶλλον ἐννοίᾳ τοιαύτῃ χρήσασθαι· εἴθε μὲν οὖν αὐτὸς περιῆν φίλος, καὶ τῆς ἑαυτοῦ συνοίκου ταύτης ἀπήλαυνον· οὕτω γὰρ ἂν ἐγὼ καὶ τῶν τοῦ φίλου μετελάμβανον πλεονεκτημάτων πολλῶν καὶ καλῶν· καὶ διαβολῆς ἐκτὸς καὶ δικαστη-

---

15 Ald. Codd. ἐμέλησα, scripsi ἐμέλλησα. Frequens confusio. p. 447. μελλῆσαι. πρὸς τὴν λύτρωσιν φάσκων· εἰ γὰρ καταμέμφῃ σαυτὸν ὡς μελλήσαντα, τί μὴ ἐπαινεῖς μᾶλλον ὡς σπουδάσαντα. Ald. Codd. μελῆσαι et μελήσαντα. Joseph. b. Jud. IV. 5. 5. τοῖς δὲ Ἰδουμαίοις ἤδη τῆς παρουσίας μετέμελε. Par. 1425. μετέμελλε. Hermog. Progymn. fine: τί μέλλετε, τί βούλεσθε. Par. B. μέλετε. Liban. Progymn. p. 1048. l. 3.: τῷ δὲ οὐδὲν ἔμελλε χρημάτων. recte Jac. Leopardus emendat ἔμελε, quod conjecit etiam Reisk. Menand. διαίρ. ἐπιδεικτ. p. 36. καὶ μάλιστα ὅταν πρὸς τῇ λαλιᾷ ταύτῃ μέλλῃς ἕτερον εὐθὺς παρέχεσθαι λόγον. Med. 2. μέλλῃς. Par. μέλλεις. Joseph. bell. Jud. VII. 10. 1. οὐδεὶς ἐνέδωκεν, οὐδ' ἐμέλλησεν εἰπεῖν. Par. 1428. ἐμέλησεν. 16 Ald. Vind. διαλύσας. Par. διαλῦσαι πιστεύσας. 17 Ald. τιμορήσεται. 18 Vind. δεσμός. 19 Ald. ἐφωρᾷ.

ρίων ἐτύγχανον. Η ΚΑΤΑΣΤΑΣΙΣ. Ἐπειδὴ πάθος ἐστὶν ἐν ὅλῳ τῷ πλάσματι, δεῖ παρατηρεῖν, ὅτι καλὸν ἐν τοῖς τοιούτοις τῶν ζητημάτων προκαταστατικοῖς χρήσασθαι νοήμασι, καὶ μὴ ἁπλῶς εἰςβάλλειν εἰς τὴν κατάστασιν· σφόδρα γὰρ τὸ τοιοῦτον ἀῤῥητόρευτον· τοῦτο γὰρ πανταχοῦ καὶ Πολέμωνος ποιοῦντος αἰσθανόμεθα· δεῖ οὖν προπαθαίνεσθαι [20] ἐν τῷ καταστατικῷ· ἀπορῶ μὲν οὖν, πόθεν τῶν λόγων ἄρξομαι· καὶ γὰρ θρηνεῖν ὑπὸ τοῦ πάθους καταναγκάζομαι· καὶ σιωπᾷν οὐ συγχωρεῖ μοι τὰ πράγματα, εἶτα τὸ τοιοῦτον πάθος πρὸς ὀλίγον ἐκτείνας τῆς καταστάσεως ἅψῃ τοῦτον τὸν τρόπον· ἐσκόπουν γὰρ ὡδὶ τὸ κατ' ἀρχὰς τὸν βίον τοῦτον τὸν τρόπον ἐγώ· καὶ πρὸς πολλὰς [21] ὁδοὺς μεριζόμενος οὐκ εἶχον, ὅπου καὶ τράπωμαι· εἶτα ἐπέξελθε ἕκαστον ἐπιτήδευμα, ἑκάστου τὰ προσόντα καταλέγων ἐλαττώματα· ὅτι τοῖς ῥήτορσι τὸ φεύγειν ἀεὶ τοὺς συκοφάντας ἐπετείχιστο, καὶ τοῖς στρατηγοῖς· μετὰ τοὺς πολέμους εὐθύνεσθαι φόνοις ὁμοῦ καὶ σφαγαῖς συμπαλαίουσι· καὶ ἀεὶ πανταχόθεν πάντα ἄλλα διαβάλλων τὰ ἐπιτηδεύματα τῷ τοῦ ἰατροῦ τρόπῳ συνεστάναι· καὶ ἐπάγει πρὸς τοῦτο, ὅτι ἀπορῶ· ἰατρικὴν [22] μόνην εἶδον ἅπαντα πρὸς αὐτὴν συλλαβοῦσαν τὰ κάλλιστα· ἐντὸς ἐνταῦθα θετικοῦ ὀλίγον ἔπαινον ἰατρικῆς ἐπέξελθε· ὅτι καὶ πρὸς τὸ εὐεργετεῖν ἡ τέχνη ἐπιτηδείως ἔχει, καὶ πρὸς τοὺς θεοὺς ᾠκείωται οὕτως, διότι τῆς τέχνης κάλλιστον καὶ εὐεργετικὸν καὶ φιλάνθρωπον. Ἀσκληπιὸς προστάτης τῆς τέχνης, Ἀπόλλων καὶ τὰ τοιαῦτα· εἶτα ἂν θέλῃς ἐκτεῖναι κατάστασιν, ἠθοποιΐαν ὀλίγην πλάσον· ἐμψυχοῖς γὰρ τῇ ἠθοποιΐᾳ τὴν κατάστασιν πρὸς τοὺς θεοὺς τοῦ ἰατροῦ, καθάπερ εὐχήν· οἷον ὅτι ὑμεῖς, Ἀσκληπιὲ καὶ Ἄπολλον,

---

20 Med. προπαθαίνεσθαι. in Ald. Vind. Par. Ven. θ deest, unde lacuna orta est. 21 Par. πολλούς. 22 Vind. δὲ μόνην.

τῆς τέχνης ταύτης ὄντες προστάται, πάντας εὐποιεῖν ἀνθρώπους προείλεσθε, τὰς νόσους ἰώμενοι, τὰ βλάπτοντα προμηνύοντες· δότε τοίνυν κἀμοὶ προχείρως εὐεργεῖν, σώζειν, ἰᾶσθαι τοὺς κάμνοντας, καὶ τὰ τοιαῦτα· εἶτα λέγεις οὕτω τῆς τύχης Ἀσκληπιὸν προστησάμενος, καὶ τοῖς θεοῖς ἀναθεὶς ἐμαυτὸν ἔσωζον· ἰώμην τοὺς προςτυγχάνοντας· ἐντεῦθεν φίλοι καὶ συνήθεις πολλοί· σπουδὴ τῶν κατὰ πόλιν οἰκειοῦσθαί με σπουδαζόντων ῥητόρων, στρατηγῶν, πολιτευομένων ἀνθρώπων ἁπάντων συντόμως εἰπεῖν, μόνος σώζειν ἐπιστευόμην πάθους τοὺς κάμνοντας· μόνῳ πιστεύειν ἐθάῤῥουν ἅπαντας, συγγενεῖς, φίλους, τὰ φίλτατα· οὕτως ἐθαυμαζόμην μετὰ τῆς τέχνης τοὺς τρόπους, οὐ πρὸς χάριν ἰώμενος, οὐ μισθοῦ τὴν τέχνην ἐπιδεικνύμενος. ἀλλ' ὅλον ἐμαυτὸν ἀναθεὶς πρὸς τοὺς κρείττονας, καὶ πρὸς ἐκείνους ἀφορῶν ἐν ταῖς πράξεσιν ὅρον ἐποιούμην τῇ τέχνῃ σώζειν, καθάπερ ἐκεῖνοι, τῶν ζώων τὸ τιμιώτατον. εἶτα σύναψον οὕτω λοιπὸν τὰ πράγματα· ταῦτα ὁρῶν ὁ σεμνὸς ἐκεῖνος ἀνήρ· εἶτα σχετλίασον διὰ τὴν μνήμην τοῦ [23] φίλου, καὶ δυσχεραίνοντα δεῖξον σαυτὸν ἐν τούτῳ τῷ μέρει· ἡσθεὶς οὖν μοι τῷ τρόπῳ φίλον με πεποίηται· καὶ συνῆν ἀεὶ τὴν προαίρεσιν τὴν ἐμὴν, τὴν σωφροσύνην αὐτὴν ἐκπληττόμενος, θαυμάζων [24] τὸν βίον, ἤπιον ἐπαινῶν τὸν τρόπον· ὡς δὲ λοιπὸν ὁ χρόνος βάσανος [25] τῆς φιλίας ἐγένετο, καὶ σπουδάζειν ἦν εὐνοίᾳ νικᾷν τῷ θατέρῳ τὸν ἕτερον, ἀγαγέσθαι γύναιον ἐπεζήτησα· εἶτα πολλῶν οὐσῶν τὴν ἐξέτασιν ἐποιούμην πρὸς τὴν τοῦ φίλου σύνοικον ἀφορῶν· εἶτα πλάσον ἠθοποιΐαν ἐνταῦθα λόγων, ὅτι πρὸς ἐμαυτὸν πολλάκις, οὐδεμία βλασφημία οὐδὲ πώποτε λελύμαν- 311

23 Ald. Vind. Par. τῶν φίλων. in Par. supra lineam τοῦ φίλου. 24 Ald. Vind. θαυμάζειν. Par. θαυμάζειν. mox omnes ἐπαινῶ. 25 Ald. Vind. βάσανον.

ται· δεῖ οὖν καὶ κατὰ τὸν γάμον οὕτω διαθέσθαι, ὡς μηδὲ μίαν διαβολὴν ἰσχῦσαι· κοσμῆσαι[26] σωφροσύνῃ τὴν οἰκίαν, καὶ τὰ τοιαῦτα· ὡς δὲ ταῦτα διελογιζόμην κατ᾽ ἐμαυτὸν, νόσημα δεινὸν ἐνεχθὲν τὴν τοῦ φίλου κατέσχεν οἰκίαν· πάλιν τὸ οἴμοι καὶ σχετλιάζειν δεῖ πάθος κινήσαντα· εἶτα ὅτι πάντα ἐποίουν ἀπὸ τῆς ἰατρικῆς. παρατήρει[27] δὲ μηδαμῶς ὡρισμένως εἰπεῖν, οἵα ἦν ἡ νόσος. ἀορίστως γὰρ ὑπόκειται καὶ ἁπλῶς, ὡς ἐνόσησαν· εἶτα εἰπὼν, ὅτι πολλὰ τὰ ἀπὸ τῆς ἰατρικῆς, πάντα μοι γεγένηται, καὶ τὸ πάθος οὐδαμῶς ὑπεῖκεν, οὐ φαρμάκοις, οὐ τομαῖς, οὐ καύσεσιν, ἔπαγε ὅτι πρὸς αὐτὴν λοιπὸν γενόμενος τὴν τελευτὴν παρετίθετο τὴν οἰκίαν· πάντα μετὰ σχετλιασμοῦ λέγων· τὸ γὰρ ὀδύρεσθαι νῦν εὔκαιρον· εἶθ᾽ ὅτι καὶ πρὸς αὐτὴν ἔλεγε τοιαῦτα τὴν σύνοικον· ἐὰν θέλῃς ὑπὲρ αὐτῆς προστησόμενόν[28] τινα, ἔχεις τὸν φίλον· ἐὰν ἐπιζητήσῃς[29] σύμβουλον, τῷ ἰατρῷ πρὸς τὴν σκέψιν ἀρκέσθητι· ἂν ἀνδρὸς δεηθῇς, τοῦτον σύνοικον ἑλέσθαι θέλησον· εἶτα μετὰ τὸν θάνατον ἀναλαβὼν ἐπὶ τῆς οἰκίας τὸ γύναιον φαρμακείας ὁμοῦ καὶ μοιχείας εὐθύνομαι· καὶ γάμῳ μὲν ὁ συκοφάντης τὴν φαρμακείαν τεκμαίρεται· τῇ δὲ ἀπὸ τῆς εἱμαρμένης ἀνάγκῃ τὴν μοιχείαν σοφίζεται· μοιχὸς, ἢ φαρμακὸς ἐγὼ, Ἀσκληπιὸς τῆς βλασφημίας καὶ Ἀπόλλων· φαρμακὸς ἐγὼ καὶ τῇ τέχνῃ τοῖς νοσοῦσι λυμαίνομαι· ἵνα πῶς καλέσω συνεργοὺς πρὸς τὴν πρᾶξιν τοὺς κρείσσονας· ἐλέγχων ἀπαίτησις· ὅτι δίκαιον παρασχεῖν μάρτυρας τῶν ἐγκαλουμένων τὸν γραφόμενον, καὶ συστήσεις διὰ πολλοὺς μάρτυρας· καὶ κατασκευάσεις, ὅτι λαθεῖν οὐχ οἷόν τε ᾖ, τηλικαῦτα ἐγκλήματα ἐργαζόμενον· ἐὰν δὲ ἰδιοποιήσῃς ὡς ἐπ᾽ ἀληθείας τὴν ἀπολογίαν, καὶ συμπαθὴς τοῖς πράγμα-

26 Ald. Codd. κοσμίσαι. 27 Ald. Codd. παρετήρει. 28 Ald. Codd. προστησόμενος. 29 Par. Vind. ἐπιζητήσεις.

σιν εἰρήσεις πολλά· διαβαλεῖς [30] οὖν τοῖς εἰκόσι πιστεύειν· ἐρεῖς δὲ καὶ τοῦτο, ὅτι ἑνὸς παράσχου τοὺς μάρτυρας· καὶ ἀμφοτέρων ἑάλωκα· [31] καὶ κατασκεύασον ἐπὶ πολὺ τοῦτο τὸ δεινὸν παρασχεῖν μάρτυρας μοιχείας, λέγων, ὅτι μοιχὸν ἀδύνατον ἐν παραβύστῳ καὶ λάθρα γίνεσθαι· τίνι τοιγαροῦν ἐφθεγξάμην ἐρωτικόν· εἰπὲ τὸν λόγον· εἰπὲ τὸν κοινώσαντα· ὅπου δὲ τούτων ἀποδεικνύεις οὐδὲν συκοφαντείας ἑάλωκας· τὸ γὰρ τῆς φαρμακείας ἀπαιτεῖν μάρτυρας οὐκ ἰσχυρόν· ἰατρὸς γὰρ ὢν καὶ φαρμάξαι δυνατὸς ἦν λεληθότως. ἀλλὰ σὺ τῇ τῆς μοιχείας ἀναιρέσει αἰτῶν [32] πολλαχοῦ τοὺς μάρτυρας, ποικίλλων ἐπιχειρήμασι, σχήμασι λόγων πρὸς τοὺς δικαστὰς ἀποστρέφων τὸν λόγον, αἰτῶν ἑνὸς γοῦν τὴν ἀπόδειξιν, αἰτῶν τῆς μοιχείας τοὺς μάρτυρας, σχετλιάζων πολλάκις, λέγων, γάμων καὶ γενέσεως ἔφοροι δαίμονες, γαμῶν τις μοιχὸς ὀνομάζεται, καὶ τὸ [33] νόμῳ γινόμενον καλεῖς παρανόμῳ προῤῥήματι. ΒΟΥΛΗΣΕΙ ΚΑΙ ΔΥΝΑΜΕΙ. Φανερὸν ὅτι πᾶσα βούλησις καὶ δύναμις ἀπὸ τῶν ἐγκωμιαστικῶν τόπον κατασκευάζεται, καὶ τῇ τῶν αἰτιῶν ὑφεξαιρέσει· πρῶτον μὲν οὖν ἐπιχείρημα ἀπὸ τῆς ἀγωγῆς· ὅτι οἱ φαῦλόν τι πράττοντες ἐν τοῖς ἐλάττοσι δεινοῖς ἐντραφέντες πρότερον οὕτω τῶν μειζόνων δεινῶν ἐφίενται· εἰ μὲν οὖν αὐτὸς οὕτω βεβίωκα, ὡς προτέραν αἰτίαν ἢ μέμψιν συκοφαντίας παρασχεῖν, ἀκόλουθον ἂν ἦν με καὶ τὰ μείζω θρασύνεσθαι· εἰ δὲ οὐδαμῶς παρέσχον αἰτίαν οὐδεμίαν κατ' ἐμοῦ, πῶς ἐξαίφνης ἐπὶ τηλικαῦτα ἀνῆλθον ἐγκλήματα, τάξει προβαίνων τῶν ἀκολάστων ἐπὶ τὰ χείρονα, καὶ ὡς οὐκ ἂν ἠδυνήθην φαρμάξαι φίλον ἢ φίλου μοιχεῦσαι γύναιον, ἵνα καὶ τῆς φιλίας ἀποστερηθῶ, καὶ διαβάλω [34] πρὸς ἅπαντας ἐμαυτόν, καὶ γένωμαι τοῖς

---

30 Ald. Codd. διαβαλλεῖς. 31 Ald. Codd. ἑάλωμα. 32 Ald. Codd. αἱ τῶν π. τοὺς μάρτυρας ποικίλων etc. 33 Ald. Codd. τῷ. scribe τὸ vel τὸ τῷ. 34 Ald. Codd. διαβάλλω.

νόμοις ὑπεύθυνος· τιμωροῦνται γὰρ καὶ μοιχὸν καὶ φαρμακὸν οἱ νόμοι· εἶτα γνωμικῶς ἀπάντησον· παιδεύσεως[35] μὲν γὰρ διακρίνειν ἃ φεύγειν ἄξιον· ἀνοήτου δὲ περι-
312 πίπτειν πολλάκις ἐγκλήμασιν· εἶτ' ἄλλο προςθήσεις ἐπιχείρημα· εἰ μοιχὸς ἦν, πότ' ἂν εἱλόμην ταύτην ἀγαγέσθαι σύνοικον, ἧς αὐτὸς κατέγνωκα· καὶ ὅτι οὐδεὶς τινος καταγνοὺς τὰ χείρονα, τοῦτον ἐπὶ τοῖς αὐτοῖς ὡς βέλτιστον κρίνει καὶ σώφρονα· καὶ σχετλιάσαι καιρὸς οὕτω· μοιχὸς ἐγὼ διὰ τὸν γάμον· τῶν γάμων θεοὶ καὶ γενέσεως ἔφοροι· μοιχὸς θύσας γαμηλίοις καὶ τοῖς θεοῖς παρὰ τὴν πανήγυριν· καί ποτ' ἂν εἱλόμην οὕτω τοῖς θεοῖς εὔχεσθαι, ἢ καλεῖν ἐφ' οὕτως ἀνοσίοις ἔργοις τοὺς κρείττονας· εἶτα ἐρεῖς, πῶς δ' ἂν οὕτως ἀνόσιόν τι δρᾷν ἐκαρτέρησα, ἐν τοῖς βελτίστοις ἀεὶ συνειθισμένος διάγειν καὶ πολιτεύεσθαι· εἶτα ἐρεῖς, ὅτι οἱ θεοὶ, ἵν' εὖ ποιῶσι, τὴν τέχνην ταύτην πεπαίδευνται, καὶ τοῦτο τὸ μάθημα πρὸς ἡμᾶς ἐξαπέστειλαν ἑτοίμως ἡμᾶς ἐπὶ τὰς εὐεργεσίας ἔρχεσθαι προδιδάσκοντες· πότ' ἂν οὖν αὐτὸς οὕτω πράττειν ἡρούμην· ἀλλά με οἱ θεοὶ καὶ πάντες ἄνθρωποι διὰ τὴν πρᾶξιν ἐμίσησαν· πότε φονεύειν, ἵν' ὡς ἐναγῆ με πάντες ἐκτρέποιντο· καὶ τοῦτον ἐκτείνας τὸν νοῦν εἰπὲ ὅσα τοῖς φονεῦσι πρόςεστιν κακὰ, τὸ μὴ μεταλαμβάνειν πυρὸς, μὴ στέγης, μὴ ἱερῶν, μὴ σπονδῶν· πότε μοιχεύειν ἂν εἱλόμην, ἵνα τίς[36] μετὰ τὴν τοιαύτην ἐνέργειαν ἐπίστευσεν ἄν μοι τὰ φίλτατα; τίς δὲ τιμᾷν, τίς κολακεύειν, ὡς σώφρονα; εἶτα μετὰ ταῦτα πρὸς τοὺς θεοὺς τὸν λόγον ἀπόστρεψον, φεῦ τῆς λοιδορίας, Ἄπολλον ἀποτρόπαιε, σοὶ περὶ τῶν πρακτέων ἀεὶ καθ' ἑκάστην εὐχόμενος, τοιαύτην ὑπόθεσιν γράφω,[37] σὲ ζηλῶν ἐμιμησάμην

---

35 Ald. Codd. παιδεύσας. 36 Ald. Codd. τίς με μετά. delevi με ut natum ex sq. μετά. 37 Ald. Codd. γραφὴν, quod in Par. prima manu aliter scriptum fuisse, liquet ex rasura. Scripsi γράφω.

τοὺς πολεμίους κατὰ τοῦ γένους, καὶ πρᾶξιν ἀνήκεστον ἂν ἔδρασα, ἣν τάχα φεύγειν κἀκεῖνοι [38] κατὰ φίλων σπουδάζουσιν· εἶτα ἔπαγε· μὴ γὰρ ἠγνόουν τοὺς νόμους, μὴ γὰρ οὐκ ᾔδειν, ὡς μοιχὸς ἅμα καὶ φαρμακὸς παρὰ τοῖς νομοθέταις μεμίσηνται· πῶς τοίνυν πράττειν τοῦτ' ἂν εἱλόμην, ἃ μισεῖσθαι παρὰ τοῖς νόμοις καὶ παρὰ ἀνθρώποις ἐγίνωσκον; τῇ δυνάμει μετὰ τὴν βούλησιν, ὡς ἔθος, ὅταν ἐκλείπῃ [39] ἡ δύναμις, οὐ δεῖ σιωπᾷν· τὰ γὰρ παρὰ τῶν ἐναντίων προφερόμενα, ἐὰν μὴ λύωμεν, ἀλλ' ἐῶμεν διὰ τὸ προσὸν αὐτοῖς ἰσχυρὸν, οὐδὲν, ἀλλ' ἢ σιωπῇ τὴν διαβολὴν καθ' ἑαυτῶν [40] βεβαιώσωμεν· δεῖ οὖν τὰς οὕτω ἐκλειπούσας δυνάμεις λύειν, μάλιστα μὲν τῇ βοηθήσει, ὅτι μὴ βουλόμενος οὐδ' ἂν ἔπραξα· δεῖ γὰρ πρότερον βουληθῆναί τι ποιεῖν, εἶθ' οὕτως ἐγχειρεῖν τοῖς δόξασιν, ἔνθα δ' ἂν ἐλλείπῃ τὸ ἕτερον, μάταιον εὐθὺς καὶ τὸ κοινὸν λειπόμενον· οὔτε γὰρ πρᾶξαι δυνατὸν μὴ βουλόμενον, οὔτε βουλεύσασθαι χρήσιμον ἔργῳ περᾶναι τὸ δοθὲν, οὐκ ἰσχύσαντα ἐπικῦσαι τὴν δύναμιν· ἔστι καὶ ἄλλῳ ἐπιχειρήματι· ἐπειδὴ γὰρ δύο ἐστὶν ἐγκλήματα, ἥ τε μοιχεία καὶ ἡ φαρμακεία, τὸ μὲν δυνατὸν τῆς φαρμακείας ἐκλείπει· ἰατρὸς γὰρ καὶ τὸ δύνασθαι ἰατρὸν ἐπιβουλεύεσθαι [41] διωμολόγηται, τὸ δὲ δυνατὸν τοῦ μοιχεῖσαι ἐκλέλοιπεν· ἀλλ' ἔῤῥωται [42] πᾶσα ἡ κατασκευὴ τοῦ μὴ δύνασθαι μοιχεῦσαι· τῇ δὲ τοῦ μοιχεῦσαι κατασκευῇ ἄνελε τὸ φαρμάξαι μὴ δύνασθαι· ἅμα γὰρ [43] ποιεῖς καὶ τὴν τοῦ κατασκευαζομένου ἐργασίαν, καὶ τὸ δοκοῦν ἰσχυρὸν ἐκ σιωπῆς οὐκ ἐᾷς ἄλυτον· οἷον, οὔτε συνετύγχανον πρὸ [44] τῆς κακώσεως τῇ γυναικὶ, ἵνα καὶ μοι-

---

38 Ald. Codd. κακεῖνα. 39 Ald. Codd. ἐκλείπει. 40 Ald. Codd. ἑαυτοῦ. 41 Vind. ἐπιβουλεῦσθαι. 42 Ald. Codd. ἔρωται. 43 Par. δὲ, ad marg. γάρ. 44 Vind. πρός. Par. ὁ
προ. [ὁ supra lineam positum est πρὸς.]

χεῦσαι δυνηθῶ, οὔτε συνήθη τῶν ἀπὸ τῆς οἰκίας εἶχόν τινα, δι' οὗ τὴν ἐπιθυμίαν ἐκφῆναι[45] ῥᾴδιον ἦν· ἀλλὰ μὴν καὶ τὸ διαπέμψασθαι χρήματα ἦν πάντως ἀδύνατον· εἰ δὲ τοῦτο μηδ' ἕτερον γενέσθαι πρότερον ὡμολόγηται, τὸ μὴ τὴν ἀρχὴν μεμοιχεῦσθαι τὸ γύναιον οὐκ ἀμφίβολον· εἰ δὲ τοῦτο διωμολόγηται, καὶ τὸ τῆς μοιχείας ἐκ τούτων ἀνῄρηται, ἀνθ' ὅτου λοιπὸν τὸν φόνον εἰργαζόμην, ἢ φαρμάττειν ἠδυνάμην τὸν φίλον μήτε τῆς μοιχείας ὑπαρχούσης, μήτε τῆς προαιρέσεως δρᾷν τι συγχωρούσης ἀνήκεστον· μετὰ τὴν βούλησιν, καὶ τὴν δύναμιν τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους· ἀλλὰ τέθνηκε, φησὶν, ὁ ἀνήρ· καὶ δεῖ τοῦ θανάτου τὸν ἰατρὸν ὑπάρχειν ὑπεύθυνον· ἡ λύσις ἀπὸ τῆς φύσεως, οὐκ ἐπηρεία τέχνης.
313 ἰατρὸς ἄνθρωπος τῶν θεῶν κυριώτερος, καὶ τέχνη πρὸς θεῶν δυνατωτέρα τῆς φύσεως, ἵνα τι εἱμαρμένη καὶ μοῖρα μετὰ τὴν τέχνην μετάσχωσιν· εἶτα ἐρεῖς, ὅτι πάντα τὰ ἀπὸ τῆς τέχνης ἐποίησα, ὡς ἐνόμιζον τὸ πάθος βιάσασθαι· ἀλλ' οὐδαμοῦ κυριώτερος τῆς εἱμαρμένης γεγένημαι, ἰσχυρὸν τὸ πάθος ἦν καὶ πάσης τέχνης ἰατρικῆς δυνατώτερον· μηδαμοῦ δὲ τὴν τέχνην διέγραφεν· οὐ γὰρ ὡρισμένον καιρὸν ἔχει[46] τὸ νόσημα, ἀλλ' ἁπλῶς ὅτι νοσήσας ἀπέθανεν· λέγε οὖν ὅτι πάντα λογισμὸν ἐζήτησα, τοὺς ὁμοτέχνους εἰσήγαγον, οὐδένα παρῆκα σύμβουλον, οὐ φίλον, οὐ τεχνίτην, οὐκ ἄλλον τινά· οὐκοῦν ἔχεις εἰπεῖν, ὡς ἀσθενείᾳ τὴν τελευτὴν ἐπηγαγόμην· ἐπάγαγε τούτοις καὶ παραδείγματα· οἷον κυβερνήτης ἰσχυροτέρου γενομένου τοῦ κλύδωνος οὐκ εὐθύνεται· οὐδὲ στρατηγὸς πάντα πρὸς νίκην παρασκευάσας, κατὰ τῶν κρειττόνων ἥττων γενόμενος. ἀνθρώπου μὲν γὰρ τὸ καλῶς περὶ τῶν παρόντων βουλεύσασθαι, τῆς δὲ τύχης πρὸς τὴν προθυ-

45 ἐκφῆναι Ald. Vind. om., recepi ex Par. 46 Ald. Codd. ἔχεις.

θυμίαν ἡμῶν πέρας ἐπιθεῖναι τοῖς ἐπιχειρήμασιν· εἰπὲ τοῦτο τὸ ἐπιχείρημα, ὅτι, εἰ ἐφ' ἡμῖν ἐστιν τὸ ὑγιάζειν, οὐδεὶς ὅλως ὀφείλει τῶν ἀνθρώπων ἀπόλλυσθαι. εἰ δὲ τοῦτο τοῖς ἀνθρώποις ὤφειλε, πῶς ἡμεῖς περὶ ὧν τὰ τῇ φύσει δοκοῦντα ὑμῖν εὐθυνόμεθα·[47] ἀπ' ἀρχῆς ἄχρι τέλους. ἄλλο. ἀλλ' ἠγάγου, φησὶ, μετὰ τὴν τελευτὴν ἐκείνου τὸ γύναιον. λύσεις τῷ ἀντιληπτικῷ, ὅτι γαμεῖν ἔξεστι, καὶ εἰ μὲν παρὰ τὸ κοινὸν ἔθος ἠγαγόμην, ἠδίκησα, εἰ δ' ἐσφάλην οὐδὲν, οὐδὲ τὴν ἀρχὴν ὅλως ἠδίκησα· ἐργάσῃ δὲ ὡς ἔθος ἐστὶν τὰ ἀντιληπτικά· εἶτα ἐρεῖς, ὅτι κωλύεταί τις ἀγαγέσθαι γάμον ὃν βούλεται, καὶ πράξας ὡς νόμος δίδωσι μοιχὸς ὀνομάζεται· εἶτα πρόσθες ὅτι εἰ τοῦτο, μοιχεία, ὅρα πάντας εἶναι μοιχοὺς τοὺς ἀνθρώπους τοὺς οὕτω γαμήσαντας. εἶτα σχετλιάσας ἐπὶ τοῦτο καιρὸν ἔχεις ἐνταῦθα μάλιστα τὸν γάμον ἐπαινέσαι θετικῶς· λύσεις δὲ καὶ ἀπ' ἀρχῆς ἄχρι τέλους τῷ χρώματι, ὅτι διὰ σωφροσύνην ἠγαγόμην τὴν γυναῖκα· καὶ ἔχεις τὰς κατασκευὰς καὶ τὰς ἐργασίας ἀπὸ Μητροφάνους λαβὼν καὶ ζητημάτων ἐντεύξεως· εἶτα πιθανὴ ἀπολογία τοῦ γάμου· τῆς γὰρ φαρμακείας οὐκ ἔχεις· οὐδεὶς γὰρ λέγει, ὅτι οὐκ ἂν ἐφάρμαξα ἵνα ἀποθάνῃ· ἀλλὰ δύνασαι μὲν λέγειν, ὅτι οὐκ ἄν τις ἀπέθανεν οὗτος πεφάρμακται· οὐ μὴν τοῦτ' ἔστιν κυρίως πιθανὴ ἀπολογία, ἀλλ' ἐπιχείρημα τόπον τηροῦν, ὡς ἔφην ἐν ἄλλῃ διαιρέσει τῇ πιθανῇ ἀπολογίᾳ· ἡ γὰρ ἀληθὴς καὶ πιθανὴ ἀπολογία ἀντιστροφή ἐστι τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους· ἐρεῖς οὖν τοῦ γάμου τὴν πιθανὴν ἀπολογίαν, ὅτι οὐκ ἂν ἐγάμησα, ἵνα μὴ ὑποπτευθῶ· ἐξῆν γὰρ διατρίβειν μετὰ τῆς γυναικὸς ὁμοίως εἴπερ ἐμοίχευον. ΕΠΙΛΟΓΟΣ. Ἐπίλογός ἐστιν ἀπὸ τῆς ποιότητος τοῦ ἰατροῦ, ὁ μὲν γὰρ κοινὸς ἐπίλογος λαμβάνεται ἀπὸ δικαίου καὶ τοῦ συμφέροντος, ὅτι δίκαιόν ἐστιν τὸν οὕτω κατεγνωσμένον ἀνε-

47 Ald. Vind. εὐθυνόμενα. Par. εὐθινόμεθα.

λεῖν· καὶ ὅτι συμφέρον ἐστὶν, ἵνα μηδεὶς μηκέτι συκοφαντῇ· ἐνταῦθα δὲ ἀπὸ τῆς τέχνης λήψῃ τὸν ἐπίλογον· ὅτι ἀποδώσετε, ὦ ἄνδρες, τῇ πόλει, πολλοὶ κατὰ τὸν δῆμόν εἰσι καλούμενοι, πολλοὶ παρ' ὑμῖν ἰατροῦ δεόμεμενοι· ὁρᾶτε πόσοι περιεστᾶσι τὸ δικαστήριον πατέρες ὑπὲρ παίδων δεόμενοι, ἀδελφοὶ, φίλοι, συγγενεῖς, καὶ τὰ τοιαῦτα· χρήσει καὶ διατυπώσει· οἷον, ἐὰν ἐπὶ πολὺ κατάσχῃ τὸ δικαστήριον, οὗτοι οἱ περιεστῶτες ἔξωθεν τὸν συκοφάντην ἀναιρήσουσιν, ἐὰν ὀλίγον ἔξωθεν τοῦ δικαστηρίου αὐτὸν ἐξαγάγητε· ἀρκέσουσιν ἀντὶ δημίου οἱ δεόμενοι· διατύπωσον δὲ καὶ τὰ πάθη τῶν νοσούντων, καὶ ἠθοποιΐας εἰπέ· τοῦ μὲν λέγοντος, ὅτι πατὴρ διὰ τοῦτόν εἰμι· τοῦ δὲ γονεῖς ἔχοντος διὰ τὸν ἰατρόν· τοῦ δὲ τὸ περιεῖναι ἀνατιθέντος· τοῦ δὲ ἀδελφὸν ἔχειν φιλοτιμουμένου διὰ τὴν τέχνην· εἶτα μετὰ τὰ τοιαῦτα ἀποστρέψεις τὸν λόγον πρὸς τὴν γυναῖκα, λέγων ὅτι δεῦρο
314 γύναι, οὐδὲν ἄτοπον σώφρονα γυναῖκα παριέναι εἰς δικαστήριον. ἐκρίθης ὑπὲρ σωφροσύνης τήμερον· ψῆφον ἔχεις μαρτυροῦσαν τῷ βίῳ τὰ κάλλιστα· ἐρεῖς δὲ, ὅτι τάχα που πάρεστιν καὶ ὁ φίλος ἀγανακτῶν ἐπὶ τῇ κρίσει, τάχα δυσχεραίνει μέχρι πολλοῦ τὸν συκοφάντην ὁρῶν σωζόμενον· δότε τοίνυν τὴν ψῆφον, ἵνα μή τι δεινὸν ὁ φίλος ἐργάσηται ὡς παρ' ὑμῶν ἀδικούμενος· χρήσῃ δὲ καὶ βαρύτητι, ὅτι οὐκ ἔτι χρήσομαι τῇ τέχνῃ, οὔτ' ἰάσομαι οὐδένα· οὐκ ἔτι σώσω τὸν κάμνοντα· ἂν ἄλλο τι περὶ τοῦ συκοφάντου βουλεύησθε, ἀναχωρήσω τῆς πόλεως, παύσομαι τοῦ ποιεῖν τοὺς κάμνοντας εὖ, ἀπαλλαγήσομαι τοῖς θεοῖς τῆς ἐπιστήμης ἀπαλλαττόμενος, καταλύσω μέχρι τοῦ δικαστηρίου, ταμὰ [48] διὰ τῆς τέχνης εὐεργετούμενα· ἐὰν οὕτως συκοφαντεῖσθαι δέοι, ἐντεῦθεν παρεγγυῶ τῇ πόλει, ἐντεῦθεν προλέγω, οὐκ ἔτι τῆς τέχνης ἐπιμελήσομαι, οὐκ ἔτι βοηθήσω τοῖς κάμνουσιν,

48 Ald. Codd. τοὐμά. scr. ταμά.

οι νόσῳ φαρμάκῳ παραμυθήσομαι· ἰατρὸς οὐκ ἔτι διὰ τοὺς συκοφάντας ῥηθήσομαι.

## ΑΛΛΟΣ ΣΥΓΚΑΤΑΣΚΕΥΑΖΟΜΕΝΟΣ.

Νόμος τοὺς δεσμώτας τοῖς θεσμοφορίοις [1] λύεσθαι· ὑποπτεύσας τις ἐπὶ τῇ ἑαυτοῦ γυναικὶ τὸν οἰκέτην ἔδησε· καὶ δήσας ἀπεδήμησεν. ἐπιστάντων τῶν θεσμοφορίων, ἔλυσε τὸν οἰκέτην ἡ γυνή· ἀπέδρα ὁ παῖς. ἐπανήκων ὁ δεσπότης ἀποδημίας εὕρηται νεκρὸς ἀσκύλευτος· καὶ κρίνεται ἡ γυνὴ συνειδότος.

Ὁ ΚΑΤΗΓΟΡΟΣ. Πάθους ἐστὶν καὶ βαρύτητος ὁ λόγος μεστός· καὶ τὴν μὲν βαρύτητα ἡ δοκοῦσα μοιχεία ποιεῖ τῇ τῆς γυναικὸς ἀσελγείᾳ, καὶ ἡ πρὸς δοῦλον ὑποψία, καὶ τὸ δοκεῖν προσφάσει τῶν θεῶν λῦσαι τὸν οἰκέτην· τὸ δὲ πάθος ἡ τοῦ πολίτου ἀναίρεσις, καὶ ἡ κατὰ τὴν μοιχείαν [2] διαφορά· συνειδότος γὰρ ἐπὶ τῷ φόνῳ καὶ μοιχείας εὐθύνεται· προοιμιάσῃ ἀπὸ τῆς γυναικός· οὐκ ἤρκεσεν, ὦ δικασταί, [3] οὕτω τὴν γνώμην διαφθαρῆναι τῇ γυναικὶ, ἀλλ' ἔτι καὶ συνέγνω τῷ φόνῳ τὸν οἰκέτην τῶν δεσμῶν [4] ἀπολύσασα, ἵν' ἔρημον τοῦ ἀνδρὸς καταστήσασα τὴν οἰκίαν ἔχῃ παρ' ἑαυτῇ τὸν μοιχὸν, μᾶλλον δὲ τὸν οἰκέτην σωζόμενον. δεύτερον· ἡ μὲν οὖν τὸν φόνον λανθάνειν ἐνόμιζε· τρίτον ἀπὸ τοῦ ἀνδρός· τάχα μὲν οὖν εἴ τίς ἐστιν αἴσθησις, καὶ πάρεστι τῷ βήματι, καὶ χαλεπαίνων ἐπὶ τοῖς γεγενημένοις τολμήμασι συναγωνίζεταί μου τῷ λόγῳ, ἐπεγεῖραι πρὸς τιμωρίαν ἡμᾶς βουλόμενος. Η ΚΑΤΑΣΤΑΣΙΣ. Ποινὴν ὡς ἔοικεν ὁ δυστυχὴς ἐκεῖνος τὴν γαμετὴν ταύτην ἠγάγετο· θρῆνος ἦν ὁ ὑμέναιος· τάφος ὁ θάλαμος· ἔδειξε δὲ τὸ πέρας τοῦ δράματος, ὃ [5] πάλαι μὲν ἐσκευώρησε, νῦν δὲ κατώρθωσε· πάλαι γὰρ ὕποπτος ἦν· καὶ

1 Ald. θεσμοφόροις. scr. θεσμοφορίοις. 2 Ald. μοιχίαν. 3 Ald. Codd. ὧδε. 4 Ald. Codd. τῷ δεσμῷ. Vide Epist. crit. p. 28. 5 Ald. ὁ. scr. ὅ.

πολλὰ μοιχείας ὑπεδήλου τεκμήρια· πρὸς τὸν ἄνδρα μὲν στασιάζουσα, περὶ πλείστου δὲ ποιουμένη τὸν μαστιγίαν, καὶ τὸν μὲν ὡς κοσμίαν ἐγγυησάμενον ἀτιμάζουσα, προτιμῶσα δὲ δοῦλον ἀκόλαστον. τὸν μὲν γὰρ γήμαντα ἀπεστρέφετο καὶ ἀπέπεμπεν, [6] καὶ ταῦτα ποθοῦντα καὶ περιέποντα· τὸν δὲ φθόρον ὑπερηγάπα καὶ προσίετο κακονούστατον ὄντα καὶ ἀσελγέστατον, διαφέροντα δὲ τῶν ὁμοδούλων τὴν ὥραν· ἐκποδὼν δὲ τὸν ἄνδρα βουλευσαμένη ποιήσασθαι· μόλις ταύτην ἐξεύρηκε μηχανήν· ἐξαπατᾷ [7] γὰρ οἷα δὴ πανοῦργος γυνὴ, τὴν οὐκ εὐτυχῆ ταύτην ἀποδημίαν εἰς νοῦν ἐμβάλλουσα, συλλογισαμένη μὲν τὸν τῆς πανηγύρεως χρόνον, ἐπισταμένη δὲ πάλιν ὁπηνίκα ἐπάνεισιν οἴκαδε· ὡς δὲ τάχιστα τὴν ἑορτὴν ἀνήγομεν τῷ θεῷ, καὶ σκῆψις εὔλογος ἦν τοὺς κακούργους ἐᾷν, τηνικαῦτα τὸν οἰκέτην ἐξήγαγε· καὶ ὡπλισμένον τῷ ξίφει κατὰ τοῦ γήμαντος ἐπαφίησιν, οὐ πρότερον ἐπανήκειν προστάξασα, πρὶν ἂν ἐκεῖνον διαχρήσηται· ὁ δὲ ἀλητήριος ἆθλον τοῦ φόνου τὸν ταύτης γάμον ἡγούμενος, ἐπετήρει μὲν νύκτα ἀσέληνον, καιροφυλακεῖ δ' ἐρημίαν ὁδοιπόρων πολλὴν, καὶ ξιφήρης [8] κατὰ νώτου γενόμενος παίει τὴν κάραν· καὶ ὁ μὲν ἔκειτο πεπτωκὼς ἐλεεινὸν καθ' ἡμέραν θέαμα· ὁ δὲ ἀποδρὰς ᾤχετο, πρὸς μὲν τὸ παρὸν λήσειν ἐλπίζων, αὖθις δὲ τῇ
301 γυναικὶ συνεσόμενος ἐπ' ἀδείας πολλῆς. *ΠΑΡΑΓΡΑΦΙΚΟΝ.* Ἀλλ' οὔπω δῆλόν φησιν, εἰ τὸν δεσπότην ὁ θεράπων ἀνῄρηκεν· πῶς οὖν τοῦτο συνειδέναι τὴν ἄνθρωπον. *ΛΥΣΙΣ.* Πολλὰ τούτου καὶ ἐναργῆ τὰ τεκμήρια· πρῶτον μὲν ἡ βεβαία καὶ πιστὴ καὶ ἀληθὴς ὑπόνοια· δεύτερον τὰ δεσμά. τρίτον ἡ ἄφεσις. ἐπὶ πᾶσιν ἡ τῆς γυναικὸς κακόνοια· τὸ πρὸς τὸν ἄνδρα μῖσος· ταῦτα κρίνεσθαί σε ποιεῖ, καὶ εἰ μηδέπω ὁ πονηρὸς μα-

---

6 Par. ad marg. ἀπέφευγεν. 7 Ald. ἐξαπατῶ. scr. ἐξαπατᾷ. 8 Ald. Codd. ξιφήρεις.

στιγίας ἑάλωκε· πολλοὶ γὰρ πολλάκις καὶ τῶν πρώτων μὴ κεκριμένων τετιμώρηνται· τῆς δὲ μοιχείας καὶ δίκην ὑπεῖχεν ὁ παῖς τὸν δεσμόν· ἐκ δὲ τῆς μοιχείας καὶ τὸν φόνον ἔστιν εἰργασμένος· σὺ δὲ δικαίως ἀμφοῖν ὀφείλεις δίκην· καὶ γὰρ μοιχείᾳ καὶ φόνῳ διαῤῥήδην τυγχάνεις ὑπεύθυνος. *ΕΙΤΑ ΕΛΕΓΧΩΝ ΑΠΑΙΤΗΣΕΙ.* Εἶτα ἐπὶ τούτοις τῶν ἐγκλημάτων μάρτυρας ἀπαιτεῖς, ὥσπερ ἀγνοοῦσα, ὅτι θατέρου παρασχόντες τοὺς μάρτυρας καὶ θάτερον συναπεδείξαμεν· μάρτυς τοίνυν τῆς μοιχείας ἀνὴρ ὁ σὸς, οὐ ψευδῆ μαρτυρῶν· ὥστε καὶ μὴ τοιαύτην εἶναί σε τοῖς θεοῖς προσηύχετο· καὶ τέθνηκεν ὑπὸ δούλου μαστιγίου δολοφονηθείς·[9] ὥστε τῶν εἰκότων καὶ τῶν πραγμάτων ἐλεγχόντων τὰ δράματα, περιττὸν ἔτι ζητεῖν μάρτυρας· καὶ μὴν οὐδεὶς οὕτως εὐήθης[10] τυγχάνει, ὡς καὶ δημοσιεύειν μετὰ παῤῥησίας ποιεῖν δεινὸν οὕτως ἀπόῤῥητον· καὶ γὰρ ἡ μοιχεία κεκώλυται, καὶ τὸ φονεύειν ἀπείρηται· πῶς οὖν σὺ μάρτυρας παρ' ἡμῶν ἀπαιτεῖς, οὓς λανθάνειν πρὸ τούτων ἐσπούδακας· εἶτα κατὰ νόμον συνόντες ταῖς γυναιξὶ καὶ συνοικοῦντες νόμῳ λεληθότως αὐταῖς συγγινόμεθα· μοιχείαν δὲ πληροῦμεν,

---

9 Ald. Codd. δοροφορηθείς. Ald. asterisco notat. scripsi δολοφονηθείς. cfr. Plut. Pomp. c. 20. ἐν τούτῳ δὲ θνήσκει Σερτώριος, ὑπὸ τῶν φίλων δολοφονηθείς. Vide Epist. crit. p. 34.
10 Vind. Par. εὐήθεις. sq. ὡς requisitum a praecedente οὕτως posui contra Ald. et codicum auctoritatem. Fieri hoc potest duabus rationibus: aut ὡς cum καὶ confusum est, ut Vol. VII. p. 76. ὅπερ ἐστὶν ζηλωτὸν καὶ παγκόσμιον, καὶ πάντα νοῦν κοσμοῦν. Par. 2. Mon. Farn. ὡς πάντα. cfr. Jacobs ad Achill. T. p. 643. ad Philostr. p. 585.; aut ὡς excidit, ut p. 382. ἡ κρίσις τὸ μηδένα μηδὲ πώποτε μέμψασθαι, ὡς παρὰ τοὺς νόμους αὐτοῦ τι δικάσαντος. Ald. Vind. ὡς om. Joseph. b. j. V. 2. 5. προκαθίσας δὲ ἐπὶ θρόνου καὶ χρηματίσας ὡς βασιλεύς. Par. 1425. ὡς om. IV. 2,2. εἰδὼς δὲ, ὡς, εἰ βίᾳ ληφθείη, διαφθαρησόμενον ὑπὸ τῶν στρατιωτῶν ἀνέδην τὸ πλῆθος. Par. 1425. ὡς om.

ὁρώντων τινῶν, ἵν᾽ [11] εὐθυνόμενοι ἐφόρατοι παρὰ τοῖς δικάζουσι γενώμεθα· εἰ δὲ τοὺς συνειδότας τὴν μιαιφονίαν λέγεις, οὐδένα πλὴν σοῦ συνειδέναι φημί· ὥστε τὴν μιαιφονίαν ἐλέγχω μοιχείᾳ, καὶ τὴν μοιχείαν τῷ φόνῳ· ἄμφω δὲ διὰ θατέρου δείκνυται· ὥστε σπουδάσασα λανθάνειν, ἐν οἷς ἐτόλμας πράττειν ἃ μήδ᾽ ὅλως ἐχρῆν ἀκούσασα διελέγχῃ τοῖς πράγμασιν. Η ΒΟΥΛΗΣΙΣ. Καὶ τίς οὕτω γυνὴ, φησὶν, ἀλιτήριος, ὡς παρασκευάσαι τὸν ἑαυτῆς ἀναιρεθῆναι σύνοικον; τοῖς σοῖς, ὦ γύναι, κατὰ σοῦ χρήσομαι ῥήμασιν· ἡ μὲν γὰρ σώφρων καὶ σώζεσθαι τὸν ἄνδρα καὶ φυλάττειν βούλεται· ἡ δ᾽ ἕτερον πόθον καὶ ξένον νοσήσασα, ὡς τηρουμένη ἐπιβουλεύει τὸν χαρισμὸν πρὸς ἐπήρειαν· δηλεῖ [12] γὰρ ἔρως καὶ πόθος ὥρας καλῆς· πυρπολεῖταί τις, οὐ βλεπομένου πυρός· καὶ καιρίαν τιτρώσκεται, θεωροῦσα κάλλος ἀλλότριον· καὶ ποιεῖ θέα τὸν πόλεμον· ὄψις τὴν νόσον· ἱστορία τὸν κίνδυνον· κἂν ἀνάγκην λέγῃς τὸν ἔρωτα, ἢ βίαν ἕλκεσθαι τὸν μὴ πειθόμενον, πείθομαι ταῦτα τὴν μοιχείαν πεπληρωκέναι· ταῦτα τὸν φόνον ἐξείργασται· τύραννος ὁ ἔρως ἐστὶν, καὶ κατὰ τῶν θεῶν, ὥς φασιν, ἐστρατεύσατο, καὶ κατ᾽ ἀνθρώπων ἐξήγαγε πόλεμον· τιτρώσκων καρδίαν, ὅλῳ λυμαινόμενος σώματι, οὐδὲν φροντίζειν ποιῶν ἢ μόνον τοῦ πάθους· ἐρῶσα γυνὴ συνδιαφθείρει τῷ σώματι καὶ τὴν ὁμόνοιαν τὴν πρὸς τὸν σύνοικον, προὔδωκεν ὁμοῦ καὶ τὸν ἄνδρα· καὶ τῶν πρὸς ἐκεῖνον δικαίως [13] ἀμνημονήσασα πρὸς ἡδονὴν μόνην ἀπέκλινε, τραγῳδίαν τὴν γνώμην ποιήσασα, τῶν ἀπὸ τῆς σκηνῆς ἑαυτὴν ἀναπλήσασα· οὐ μὴν δίκαιον, οὐδὲ σύνοικόν σε καλεῖν· τῆς γὰρ προσηγορίας σοι ταύτης οὐδ᾽ ὅλως μέτεστιν, ἀφ᾽ ἧσπερ ἡμέρας ηὐτομόλησας πρὸς συνουσίαν παράνομον· ὅμοιον γὰρ τῇ γνώμῃ καὶ τὴν

---

11 Ald. Codd. ἦν. scripsi ἵν᾽. 12 Ald. Vind. δηλοῖ. Par. δειλοῖ. scripsi δηλεῖ. 13 Ald. Codd. δικαίως.

προσηγορίαν ἤμειψας τῆς γυναικός· καὶ διὰ τοῦτο μνησικακοῦσα μὲν ὑποπτεύοντι, χαλεπαίνουσα δὲ, διότι τὸν οἰκέτην δεσμώτην πεποίηκε, τὸν φόνον ἐπλήρωσας· ἡ δύναμις ἐκλιμπάνει ἀπὸ τῆς γυναικός· ἀπὸ δὲ τοῦ κατηγόρου ἔῤῥωται· ἀδείας μὲν ἐπειλημμένη διὰ τὴν ἀπουσίαν τοῦ ἀνδρός· δυναμένη δὲ τὸν φόνον ἐργάσασθαι, διὰ τὸ λῦσαι τῶν δεσμῶν τὸν παῖδα τὸν κακοδαίμονα· καιροφυλακεῖν δὲ τὴν ἐπάνοδον ὑποθεμένη τοῦ δυστυχοῦς, ᾗ καὶ ῥᾷστα τῷ βουλήματι τὸ πέρας ἐπέθηκας, 316
εἶτα προβάλλει τὴν ἄγνοιαν· ἣν πάντες σκῆψιν τῆς ἑαυτῶν ἀδικίας πεποίηνται· ἀλλ' οὐχ ἡ ἄρνησις ἀπολύει σε τῶν ἐγκλημάτων· κἂν γὰρ ἐπ' αὐτοφώρῳ [14] ληφθῇ τις οὐκ ἀπορήσει προφάσεων· ἀλλ' οὐ τὰς ἀρνήσεις τῶν πραγμάτων δεῖ πιστοτέρας ὑπολαμβάνειν. ΤΑ ΑΠ' ΑΡΧΗΣ ΑΧΡΙ ΤΕΛΟΥΣ. Καὶ μὴν σαφῆ καὶ ἄλυτα ταυτί· πρῶτον μὲν τὸ προαισθέσθαι τὴν μοιχευομένην· εἶτα πιστεύσαντα τὸν αἴτιον δῆσαι· πρὸς τούτοις δὲ τῶν δεσμῶν ἡ λύσις, ὁ δρόμος, ὁ φόνος· ὁρᾶτε γὰρ, ὢ τὸ κακὸν, ὅθενπερ τὴν ἀρχὴν εἴληφε· κατέγνω τῆς γυναικὸς ὁ ἀνήρ· πάντως που καὶ ἐναργῆ τὴν κατάγνωσιν εἴληφε τεκμήρια· οὐδεὶς γὰρ οὕτως ἀπόπληκτος, [16] ὡς αἰσχύνῃ περιβαλεῖν [17] καὶ γυναῖκα καὶ ἑαυτὸν καὶ παῖδας· συγκρύπτειν γὰρ τὰ αἰσχρὰ μᾶλλον, ἢ δημοσιεύειν ἔθος τοῖς ἅπασιν· ἤδη δέ τινες δι' ἀμετρίαν αἰσχύνης φόβῳ καρτεροῦσι· καὶ ἀνιώμενοι τοσοῦτον ἀπέχουσι καὶ τὴν αἰτίαν εἰπεῖν, καὶ τὸ μὴ ὂν περιάπτειν ὄνειδος. ΑΝΤΙΛΗΠΤΙΚΩ. Δίδωσι γὰρ ὁ νόμος, φησὶν, αὖ τῇ [18] πανηγύρει δεσμώτας λύειν. ΜΕΤΑΛΗΨΙΣ. Ὅταν μικρὰ πλημμελήσαντες τύχωσιν, ἢ κατηγορίαν, ἢ ὕβριν, ἢ χρημάτων βλάβην, ἢ ὅ τι δή ποτε εἴη, διότι καὶ δεσμῶν

14 Ald. αὐτοφόρῳ. 15 Ald. ὧδε. 16 Ald. ἀπόκλητος. Vind. Par. ἀπόκλητος. scripsi ἀπόπληκτος. 17 Vind. περιβαλλεῖν. 18 Ald. φησὶν αὐτῇ. scr. αὖ τῇ.

ἄξια δρᾶν· ἱκανὴν γὰρ ἡγεῖτο τιμωρίαν ὁ τιθεὶς τὸν νόμον [19] κατὰ τῶν τὰ τοιαῦτα ἡμαρτηκότων τὸν δεσμόν· οὐ μὰ Δία ὅςτις ἔνοχος τηλικούτῳ κακῷ, τοῦτον ἀφίησιν· οὐδὲν γὰρ δεινὸν ἔπασχον οὗτοί γε οἱ τοῖς μεγίστοις ἐγκλήμασιν εὐθυνόμενοι, εἰ πρὸς ὀλίγον τὸν δεσμὸν ὑπομένοντες εἶτα ἐπ' ἐξουσίας ἐπέραινον ἅπερ ἠβούλοντο· εἶτα ἐξάγειν δεσμωτηρίου δίδωσιν, οὓς μετέχειν ἱερῶν καὶ σπονδῶν εὐαγὲς, οὐ τοὺς ἀκαθάρτους καὶ ἐναγεῖς καὶ τῶν περιῤῥαντηρίων ἀπελαυνομένους, οἷος ἐκεῖνός ἐστιν, ὃν σὺ μὲν ἀφῆκας, εἵλου δὲ κινδυνεύειν αὐτίκα μάλα, ἢ ἐκεῖνον ὁρᾶν ἐν τῷ δεσμῷ συνεχόμενον· τοιγαροῦν οὐκ ἤρκεσέ σοι μοιχείας ἔχειν γραφὴν, ἀλλὰ καὶ φόνου κρίνεσθαι. ΤΗ ΜΕΤΑΘΕΣΕΙ ΤΗΣ ΑΙΤΙΑΣ, Ο ΚΑΛΕΙΤΑΙ ΧΡΩΜΑ. Ἀλλ' εἰκὸς ὑπ' ἐχθροῦ του, φησὶν, ἢ ὑπὸ κακούργων αὐτὸν ἀνῃρῆσθαι· καὶ τίνες ὑμῶν δυσμενέστεροι; τίνες δὲ πονηρότεροι; σημεῖον δὲ, πάντα γὰρ ἀδεῶς ἐτέλει τὸν βίον· πάσης ἐπηρείας ἐχθρῶν κρείττω τὸν χρόνον διαγέγονε παρεχόμενος· τηνικαῦτα δὲ ἐχθροὺς οἰκία ἐκτήσατο, ἡνίκα τὰ ἀπόῤῥητα διελέγχειν ἔμελλον· οὐδὲ γὰρ ὧν ἀδικήσωσιν οἱ πονηροὶ, δίκας ὑπέχειν βούλονται, ἀλλ' ὧν ἂν εὐθύνεσθαι μέλλουσι χαλεπαίνουσιν· εἶτα μετ' ἀδείας τὰ πρὸ τοῦ βαδίζων, καὶ παρ' ὅλον τὸν τῆς ἀποδημίας χρόνον ἀκινδύνως διάγων, δεινὸν οὐδ' ὁτιοῦν πέπονθεν· ἐκ δὲ τῆς ἀποδημίας ἐπανιὼν ὁπηνίκα τῆς ἐπανόδου τῆς οἴκαδε πάλιν εἴχετο, τότε δὴ τότε καὶ δυσμενεῖς ἅπαντες καὶ λησταὶ συνεῤῥύησαν· πόθεν οὖν εἰς τὴν κατὰ σοῦ ταύτην γραφὴν ὡρμήθημεν; εἰ μὲν καὶ τὸν πιστὸν ἐκ τῶν προϋπαρξάντων εἴχομεν· κλοπὴν μὲν καταμηνύει [20] φώρια· προδοσίαν δὲ δῶρα· καὶ τῶν [21] ἄλλων ἑκάστων ἔργων τὰς ἀποδείξεις ἐκ τῶν εἰκότων ἐλάμβανε· τί γὰρ δή

19 Ald. Codd. τῶν νόμων. 20 Ald. Vind. καταπνύει. Par. καταμπνύει. scripsi καταμηνύει. 21 Ald. Codd. τάς.

ποτε πάντα ἀφέντες ὑμεῖς καὶ πολίτας καὶ ξένους καὶ
μετοίκους, καὶ γείτονας καὶ τῶν οἰκετῶν τοὺς λοιποὺς
ἐπὶ σὲ καὶ τὸν σὸν κοινωνὸν τὴν αἰτίαν ἄγομεν; οὐ γὰρ
δὴ τοῦτ' ἂν εἰπεῖν ἔχῃς ὡς εὖνοι μὲν ἐκείνοις ἐσμέν·
προϋπῆρχε δὲ ἡμῖν τις πρός σε ἀπέχθεια· τὰ γὰρ πρα-
χθέντα ἐκείνους μὲν τῶν ἐγκλημάτων ἀφίησι, σὲ δὲ εἰ-
κότως ἐπάγει τῇ δίκῃ· εἰ μὲν γὰρ ἀναιρεθέντος του [22]
ἤχθου, ζητεῖν τὸν αἴτιον μεθ' ἡμῶν ἐχρῆν· ἐπειδὴ δὲ
ἕρμαιον ἡγῇ τὸν ἐκείνου θάνατον, οὐδεὶς πλὴν ὑμῶν ἐκεί-
νῳ πολέμιος. ΠΙΘΑΝΗ ΑΠΟΛΟΓΙΑ ΟΥΚ ΕΜΠΙ-
ΠΤΕΙ. Οὔτε εἰς τὴν μοιχείαν, οὔτε εἰς τὸν φόνον· οὐ-
δεὶς γὰρ λέγει· ἀλλ' εἰ ἐμοίχευον, οὐκ ἂν ἔλυσα· οὐδ'
ἂν λυθεὶς, ἀνεῖλεν ὁ παῖς· τίς οὖν εὐήθης φησὶν ὡς
δοῦναι καθ' ἑαυτῆς ὑποψίαν μοιχείας τῷ τὸν οἰκέτην
λῦσαι· ΛΥΣΙΣ. Κακοήθης μὲν οὐκ εὐήθης ἡ πρᾶξις
ἐλήλεγκται· [23] μᾶλλον δὲ τὸ κακόηθες εὔηθες ὂν ἐπι- 317
δείκνυται. σὺ μὲν γὰρ ᾤου τῶν δεσμῶν τὴν ἄφεσιν λύ-
σιν εἶναι τῶν ἁμαρτημάτων· λέληθε δὲ πίστις οὖσα μᾶλ-
λον εἶναι ἡ ἄφεσις· δι' ὧν γὰρ ἐκφεύξεσθαι τὴν ὑπό-
νοιαν ἤλπιζες, διὰ τούτων ἑάλωκας· ἐὰν μὲν γὰρ ἐχρῆν
τὸν οἰκέτην κατὰ χώραν μένειν καὶ μὴ τὸν τῆς μοιχείας
ἔλεγχον ἀφανῆ ποιεῖν· οὐδεὶς γὰρ οὕτως ἀπάνθρωπος,
ὡς τὸν μηδὲν ἠδικηκότα δεσμώτην ποιεῖν· ἀλλ' οἶμαι
πρὸς ἔλεγχον ἐναργῆ δήσας ἐφύλαττεν· ἐξὸν γὰρ αὐτῷ
καὶ ἀνελεῖν, εἴπερ [24] ἠβούλετο, κυρίους [25] ὑμᾶς ἐποίει τῆς
ψήφου, καὶ μᾶλλον εὐλαβείᾳ πλείονι τοῦ προσήκοντος,
ἢ ἐξουσίᾳ κατεχρήσατο· σὺ δὲ τὸν [26] ἐκ τῶν βασάνων
ἔλεγχον δείσασα λύεις μὲν τὸν οἰκέτην, φυγῆς δὲ δίδως
σύνθημα, καὶ ὀργῇ φέρουσα τὴν πρὸς τὸν ἄνδρα δυσ-

22 Ald. τοῦ. 23 Ald. Vind. ἐλήλεκται. Med. ἐλήλε$^{\gamma}$κται. Par. ἐλήλεγκται. 24 Ald. Codd. ἤπερ. 25 Ald. Codd. κυρίως. 26 Ald. Codd. τῶν.

χέρειαν. αὐτόχειρ ἐκείνου δι' ἀνδραπόδου γέγονας πονηροῦ. ΕΠΙΛΟΓΟΙ. Ἀλλ' ὦ τῆς δυστυχοῦς ἐκείνης ἐξόδου, δυστυχεστέρας δὲ ἐπανόδου· ἐριννύες ἄρα τῆς ὁδοῦ προεπόμπευον· χορὸς ἀλαστόρων τῆς πορνείας ἡγεῖτο· κἀκεῖνος μὲν τὴν ἐνέδραν ἠγνόει· συνεσκευώρεις δὲ, ὦ γύναι, τὸν φόνον, δεύτερον ἀγωνιστὴν τοῦ δράματος ἔχουσα δήμιον δοῦλον, σφαγέα δεσπότου, μαστιγίαν ἀνδρὸς ἀλιτήριον, ὃς ἐκ τοῦ δεσμωτηρίου δρόμῳ χωρήσας ἐπὶ τὴν καλὴν ἀριστείαν τῶν σῶν ἐντολῶν οὐκ ἠμέλησεν· οἵαν ἐκεῖνος ἀφῆκε φωνὴν ἀναιρούμενος· οἷον ὕπατον ἐφθέγξατο λόγον· οὐ γὰρ ἠγνόησε τὸν σφαγέα· κτείνει μὲν ξίφος οἰκεῖον καὶ γυναικὸς ἀκολάστου θυμός· τοιοῦτοι γὰρ τῶν ἐξ ἐπιβουλῆς κτεινομένων οἱ λόγοι· ἀφ' ἑστίας τὸ πάθος· οἴκοθεν ἡ προδοσία· καὶ ὁ μὲν οὕτως ἐξ ἀμφοτέρων ἀνήρπαστο· ἡ γυνὴ δ' ἤκουεν εὐαγγέλια τοῦ φόνου· ἴσως μὲν ἀποδεξαμένη τὸν αὐτόχειρα, λαθραίως[27] δὲ καὶ ἀγγέλου τινὸς ἥκοντος, ὥσπερ τι σκυθρωπὸν ἀγγέλλοντος τὸ πάθος· ἡ δ' ἥσθη μὲν πυθομένη, καὶ φαιδρὰ τοῖς ἔνδον ἐφαίνετο· ἐπῄνει δὲ τὸν ὑπηρετήσαντα τῷ βουλήματι, καὶ τίμιον ἦγε πολὺ μᾶλλον ἢ πρότερον. ὦ πλήρης ἑστία δραμάτων. ὦ μεστὴ παθῶν οἰκία· οὐκ ἦν, ὡς ἔοικε, γυναικὸς ἐπιβουλὴν μοιχευομένης διαφυγεῖν· πάντως ὑβρισθέντος, γάμου σώφρονος καὶ γάμος ἕπεται· ἀρχὴ μὲν φόνου μοιχεία· πέρας δὲ ταύτης ἀναίρεσις· ἐνθυμεῖσθε μιαιφόνον ἐντρυφῶντα τοῖς τοῦ δεσπότου κτήμασι· μὴ περιΐδητε τῶν μὴ προσηκόντων ἀπολαύοντα τὸν οἰκέτην· μισήσατε τῆς ἀκολασίας τὸν ἄνθρωπον· τῆς ἐπιβουλῆς τιμωρήσασθε· καθάρσιον ἔστω τοῦ ἄγους ὁ ταύτης θάνατος. διπλῶν ἀδικημάτων εἷς ἔστω κολάσεως τρόπος· ἐκκηρύττομεν δὲ κἀκεῖνον τῆς πόλεως· ἢ συλλα-

27 Ald. Vind. λαθραίου. Par. λαθραίως. mox omnes ἀγγέλλου.

βόντες ἐπὶ ταύτῃ κολάσωμεν·[28] μὴ σωζέσθω μηδεὶς, μὴ καθαρὸς τὰς χεῖρας· μηδὲ περιεῖναι συγχωρείσθω φόνῳ[29] τὰς χεῖρας μολυνόμενος· ταῦτα γὰρ δρῶντες, ὅσια καὶ συμφέροντα δράσομεν· εὑρήσεις δὲ καὶ ἀπὸ τοῦ κοινοῦ ἐπιλόγου τοῦ δικαίου προσθεῖναι καὶ[30] ἐκ τοῦ συμφέροντος ἐπιχειρήματα πολλά.

## *ΑΠΟ ΓΝΩΜΗΣ ΣΤΟΧΑΣΜΟΣ.*

Ἐν τυραννουμένῃ πόλει ἀνελθὼν τις ἀνεῖλε τὸν τύραννον, δωρεᾶς αὐτῷ προκειμένης· ῥήτωρ ἀντεῖπε, φήσας μεμηνέναι τὸν ἀνελόντα τύραννον· ἐνίκησεν. μετὰ ταῦτα ὡς μεμηνὼς ἀνεῖλε τὸν ῥήτορα, καὶ κρίνεται φόνου.[1]

Ὡς ἁπλοῦς διαιρεθήσεται ὁ ἀπὸ γνώμης στοχασμὸς ἐκλιμπάνοντος μόνου τοῦ κεφαλαίου τῆς τῶν ἐλέγχων ἀπαιτήσεως· γνώμης γὰρ καὶ προαιρέσεως οὔσης τῆς κατηγορίας, οὐ δυνατὸν λέγειν, ὅτι δὸς τοὺς ἐλέγχους τῆς πράξεως· ἵνα δὲ σαφεστέρα γένηται ἡ διαίρεσις ἐπὶ παραδείγματος ἴδωμεν[2] τὰ κεφάλαια· δώσεις δὲ τῷ δοκοῦντι μεμηνέναι συνήγορον· τὰ προοίμια, ὅτι οὐ μόνον οὐκ ἤρκεσεν ἀποστερῆσαι τὸν τυραννοκτόνον τῆς δωρεᾶς· ἀλλ' ὅτι καὶ παρὰ τὸν νόμον γραφόμενοι[3] φόνου κατηγορεῖν σπουδάζουσιν· ἢ οὕτως· ὅτι πολλὰ τὸν[4] τυραννοκτόνον παρὰ τοὺς νόμους ἠδίκησαν, καὶ ἀποστερήσαντες τῆς τιμῆς καὶ φόνου γραφόμενοι. *ΔΕΥΤΕΡΟΝ* 318
*ΠΡΟΟΙΜΙΟΝ*· Θαυμάζωμεν οὖν καὶ τοὺς πεπεισμένους τότε[5] τῶν δικαστῶν μὴ παρασχεῖν τὴν δωρεὰν, ἀπο-

---

28 Par. κολάσωμεν. 29 Ald. φθόνῳ. Par. Vind. φόνῳ. Cfr. epist. crit. 29. 30 Par. καὶ om. Ad marg. notat, pro ἐκ alios legere καί. 1 In Med. sequitur titulus περὶ τοῦ τυραννοκτόνου. 2 Ald. Vind. ἴδομεν. Par. Vind. ἴδωμεν. 3 Ald. Codd. γραφόμενα. 4 τὸν Ald. Vind. Par. om. est in Med. 5 Med. τό τε.

λαύειν μὲν ἐῶντας[6] τῆς ἐλευθερίας, μὴ διδόντας δὲ τὴν ἀμοιβήν· ἀλλὰ πεισθέντας τῷ κακοδαίμονι ῥήτορι, τὸν τυραννοκτόνον μεμηνέναι διαγορεύοντι. *ΑΛΛΟ ΠΡΟΟΙΜΙΟΝ*· Οἴομαι μὲν οὖν, ὅτι διὰ τὸ τῆς δωρεᾶς χηρεύειν, μᾶλλον δὲ διὰ τὴν ἐπίπλαστον σκῆψιν τοῦ ῥήτορος λυπούμενος ὁ ἄνθρωπος καὶ τότε πρῶτον ἐμάνη· λύπη γὰρ καθ' ὑπερβολὴν[7] ἐπισκήψασα δαιμονᾷν τῷ[8] νυσοῦντι ποιεῖ· ἢ οὕτως, ὅτι[9] μεμηνὼς ἀνεῖλε τὸν ῥήτορα καὶ δίκαιον νῦν γοῦν φυλάξαι τοὺς νόμους, καὶ ἀφεῖναι τὸν τοιαύτην μανίαν δυστυχήσαντα· *Η ΚΑΤΑΣΤΑΣΙΣ* ἔχει τὴν πολιτείαν, εἶτα τὴν τοῦ τυράννου παρανομίαν, κατ' αὔξησιν εἰσαγομένην καὶ δείνωσιν, εἶτα τὴν ἀναίρεσιν, καὶ τὴν ἐπὶ ἐλευθερίᾳ πομπὴν, καὶ συναγωγὴν τῆς ἐκκλησίας ἐπὶ τῇ δωρεᾷ, καὶ τὴν ἀντίῤῥησιν τοῦ ῥήτορος, καὶ τὴν πειθὼ τῶν πολιτῶν, καὶ τὴν ἐντεῦθεν ἄλλην γινομένην μανίαν, καὶ τὸν ὕστερον τοῦ ῥήτορος φόνον, καὶ τὴν νῦν ἐπὶ τούτῳ κρίσιν· μετὰ ταῦτα ἔρχῃ ἐπὶ τοὺς ἀγῶνας· ἰστέον δὲ καθόλου, ὅτι παραγραφικὸν ἐν τοῖς ἀπὸ γνώμης στοχασμοῖς οὐκ ἐμπίπτει· ζητουμένου γὰρ τοῦ εἰ ἀληθῶς μέμηνεν, ἢ οὔ, οὐ δυνατὸν λέγειν, ὅτι οὐκ ὀφείλω κρίνεσθαι, ὑπὲρ ὧν μαινόμενος ἔπραξα· τοῦτο γοῦν αὐτό ἐστι τὸ ζητούμενον, πότερον ἀληθῶς μέμηνεν, ἢ οὔ· ἡ τῶν ἐλέγχων ἀπαίτησις ὁμοίως καθόλου ἐν τοῖς ἀπὸ γνώμης στοχασμοῖς οὐκ ἐμπίπτει· ἡ βούλησις τοίνυν πρῶτον ὑπάρχει κεφάλαιον· ὅτι οὐκ ἂν, εἰ ἐσωφρόνει, ἠβουλήθη τὸν ῥήτορα διαχρή-

---

6 Ald. Codd. ἀπολαύοντα μὲν τῆς ἐλ., μὴ διδόντες δὲ τ. ἀ., ἀλλὰ πεισθέντες. Emendavi ex conj. Simili ratione p. 309. διαλῦσαι πιστεύσας ab Ald. et Vind. contracta sunt in διαλύσας. 7 Ald. Codd. καθ' ὑπερβολῆς. 8 Scribendum τὸν νοσοῦντα. 9 Ald. Vind. Par. οὐ. Med. ὅτι.

σασθαι, ἵνα μὴ ἐναγὴς γένηται, καὶ ἑαυτὸν ἀποστερήσῃ σπονδῶν, κρατήρων ἱερῶν, πανηγύρεων [10] συνόδου, καὶ τῶν τοιούτων· ἔτι δὲ καὶ τὴν ἀπὸ τῶν νόμων τιμωρίαν καὶ κρίσιν ὑφορώμενος, καὶ τὰ παρ' ὑμῖν δικαστήρια, καὶ τὴν περὶ πάντων κατάγνωσιν εὐλαβούμενος, ἐφύλαξα ἂν τοιοῦτόν τι δρᾶσαι· ἀλλ' ἐχθρὸς ἦν, ἔστιν αἰτία, ἀλλ' ἐν ἄλλοις αὐτὸν ἀμύνασθαι ἐζήτησεν, οὐκ ἐν φόνῳ, ἐν ᾧ καὶ αὐτῆς τῆς πράξεως εἶχεν εὐθύνεσθαι, καὶ τὰ τοιαῦτα· θὲς αἰτίας καὶ λῦσον· καὶ πληροῖς οὕτω τὴν βούλησιν. ΔΥΝΑΜΙΣ. Ἡ δύναμις οὐκ ἐμπίπτει καθόλου· οὐ γὰρ δυνατὸν εἰπεῖν, ὅτι οὐκ ἠδυνήθην ἀνελεῖν καὶ δοκῶν μεμηνέναι· λύσεις δὲ ὡς καὶ τὸ ἐν ἄλλοις εἶπον τῇ βουλήσει· ὅτι μὴ βουλόμενος οὐκ ἂν ἠδυνήθην, καὶ τὰ τοιαῦτα· τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους κατὰ τοῦ τυραννοκτόνου τυγχάνει, διὸ ἐξ [11] ἀντιθέσεως τεθήσεται· ἀλλ' αὐτόν φησιν μόνον ἀνεῖλε τὸν ἀντειπόντα· τῇ δωρεᾷ· ἕτερον δὲ οὐδένα τῶν πολιτῶν, ἀλλὰ τὸν ἀντειπόντα· λύσεις χρώματι ἀντεγκληματικῶς. ὅτι αὐτὸς αἴτιος ὁ ῥήτωρ ἦν, [12] συνεχῶς προϊὼν, συντυγχάνων, συγκαλούμενος, [13] ὀνειδίζων τὴν δωρεὰν, φάσκων νενικημένα συνεχῶς, ἀναγινώσκων τὸν περὶ τῶν τυραννοκτόνων νόμον, καὶ τὰ τοιαῦτα. Η ΠΙΘΑΝΗ ΑΠΟΛΟΓΙΑ ΟΥΚ ΕΜΠΙΠΤΕΙ. Οὐ γὰρ δυνατὸν εἰπεῖν, οὐκ ἂν ἀπέκτεινα φανερῶς, ἵνα μὴ φόνου κριθῶ· μωρὸν γάρ· ἐν μέντοι γε τῇ μητρυιᾷ τοιαύτη τις ἕπεται πιθανὴ ἀπολογία· ἀλλ' οὐκ ἂν τοῖτον τὸν τρόπον ἀνεῖλε τὸν τύραννον, καὶ τὸν υἱὸν ἔτρωσεν, εἰ μὴ ἀληθῶς ἐμαίνετο· δυνατὸν γὰρ καὶ ἑτέρως ἦν αὐτὸν ἀνελεῖν, ἅτε μεμηνυίας τῆς μητρυιᾶς· μετὰ ταῦτα θήσεις τοὺς ἐπιλόγους, ὄντας ἀπὸ τῆς ποιότητος ἐν μανίᾳ· ἀλλ' ἤδη

---

10 Ald. πανηγυριῶν. scr. πανηγύρεων. 11 Ald. Codd. διεξαντιθέσεως. Scripsi διὸ ἐξ ἀντ. 12 Ald. ἣν. 13 Ald. Codd. συνκαλούμενος.

τὴν ψῆφον ἐνέγκωμεν· δεινὸν γὰρ ὁρᾷ, δεινὸν βλέπει· καὶ κατ' αὐτῶν, ὡς ἔοικε, τῶν δικαίων χωρεῖ· ἀγνοεῖ πάντως κρινόμενος· οὐκ οἶδεν, [14] ὅπη τανῦν ἕστηκε· δησάτω τις αὐτόν· μᾶλλον δὲ μετὰ τῆς ψήφου φρουροὺς αὐτῷ χειροτονήσει τὸ δικαστήριον, καὶ τὰ τοιαῦτα. *ΠΑΡΑΔΟΞΟΣ ΣΤΟΧΑΣΜΟΣ*· Φευκτέον τὸ τοιοῦτον εἶδος· τῶν στοχασμῶν γὰρ ὑποπίπτει τῷ ὅρῳ· διὸ προσῃκασθαι τὴν τοιαύτην πλάσιν οὐκ εὔλογον· υἱὲ, Καρπωνιανὲ [15] τιμιώτατε· καὶ γὰρ εἰ τύχη σέ τις εὐδαίμων ὑπηρετεῖν βασιλεῖ στρατευόμενον παρεσκεύασεν, ἀλλ' ἐν ῥητορικῇ σοφιστικὸν ἔργον ποιεῖς, παρακολουθῶν τοῖς θεωρήμασιν ἅπασιν· πλὴν ἵνα μηδὲ τούτων ἄπειρος ᾖς, ἴσθι τὴν αὐτὴν αὐτοὺς ἔχειν διαίρεσιν· τοῖς ἁπλοῖς ἐκλιμπανόντων τῶν ἐλέγχων· οἷον εἰκός σε μὴ ἀνῃρηκέναι σκηπτῷ τὸν τύραννον, ἀλλὰ τὸ πῦρ αὐτομάτως πεσεῖν· ἢ εἰκός σε μάλιστα κατασπᾶσαι τὸν σκηπτὸν καὶ κεκληκέναι τοὺς θεοὺς, ἅτε δὴ δικαίου καὶ εὐσεβοῦς τοῦ πράγματος ὄντος, καὶ τὰ τοιαῦτα· καὶ οὕτω διόλου προβαίνουσιν οἱ ἀπαιδεύτως τοιοῦτον εἶδος τῶν στοχασμῶν προδεχόμενοι.

## ΟΡΙΚΑ ΚΑΤΑ ΚΡΙΣΙΝ.

Ἐρῶν τις [1] ἑταίρας τὸν υἱὸν ἀπεκήρυξεν· ὁ παῖς συνῴκησε τῇ ἑταίρᾳ· τεθνηκότα ἔθαψεν ἐν τοῖς ἑαυτῆς μνήμασι· καὶ ἀπελθὼν ὁ πατὴρ νυκτὸς ἔλαβεν αὐτὸν, καὶ κρίνεται παρὰ τῆς ἑταίρας τυμβωρυχίας.

Μεστὸν πάθους τὸ ζήτημα· ἡ γὰρ ἀποκήρυξις τοῦ παιδὸς, ὁ θάνατός τε καὶ ἡ τῆς τυμβωρυχίας γραφὴ πολυ χορηγεῖ τὸ πάθος τῷ ἐγκλήματι· δεῖ οὖν πάντα καιρὸν τὸν πατέρα παθαινόμενον φαίνεσθαι, καὶ τοῦ παιδὸς τὸν θάνατον ὑποπτεύοντα, καὶ σωφρονισμοῦ χάριν οὐ μίσους ποιησάμενον τὴν ἀποκήρυξιν· γνωστέον δὲ, ὅτι

---

14 Ald. Vind. εἶδεν. Par. οἶδεν. 15 Ald. Καρπωλιανέ. p. 341. Καρπωνιανέ. 1 Ald. ἐρῶντα ἑταίρ.

οὐδεὶς τῶν παθαινομένων εὐδαιμονίζει τοὺς μὴ τοιαῦτα παθόντας· ὥσπερ εἰώθασί τινες ἀπὸ τούτου τοῦ τύπου λαμβάνειν τὰ προοίμια· οὐ γὰρ εὐδαιμονίζειν ἴδιον τῶν παθαινομένων τοὺς δικαστὰς, οἷα πολλάκις ἐστὶν εὑρεῖν προοιμιαζομένους τινάς· οἷον ἄνδρες εὐδαίμονες καὶ κακῶν τῶν ἀπὸ τῆς ἑταίρας ἀπείραστοι· τὸ γὰρ εὐδαιμονίζειν τινὰ ὅλως, καὶ μὴ πρὸς τὴν οἰκείαν ἐπιγίνεσθαι συμφορὰν τῶν παθαινομένων ἀλλότριον· παρατηρεῖν δὲ κἀκεῖνο καλὸν, ὅτι δεῖ τῇ τῆς ἑταίρας ποιότητι προσηκούσας ποιεῖσθαι τὰς καταδρομὰς, ὡς πολλοὺς ἤδη διαφθειρούσης [2] τῶν νέων· χρήσῃ οὖν τοῖς προοιμίοις οὕτως. Συνῆψεν, ὡς ἔοικεν, ὦ ἄνδρες πολῖται, τῇ κατειληφυίᾳ με συμφορᾷ δυστύχημα χαλεπώτερον, καὶ διπλοῖς ἐξαίφνης περιπέπτωκα πτώμασιν· ἔναγχος μὲν ἀπολέσας ὃν ἐκαλούμην πατήρ· καὶ οὔπω λέγω τὴν πρόφασιν, οὔπω τῶν θρήνων ἀναπαυσάμενος [3] ἐπὶ τῷ παιδὶ τελευτήσαντι, τυμβωρύχος ὀνομάζομαι· καὶ δακρύειν μὲν ἔτι παρὰ τὸν τάφον οὐ συγκεχώρημαι κείμενος· κρίνομαι δὲ παρ' ὑμῖν, ἑταίρας ἀγνοεῖν ὑποκρινομένης τὴν φύσιν· ἀλλ' ἴσως ἄγει τις δαίμων ἐπὶ τὴν δίκην τὴν πολλοὺς ἤδη πολλάκις πρὸς αὐτὴν νέους ἀπὸ τοῦ δήμου συλήσασαν· καὶ δικαίως ἀγνοῆσαι πεποίηκε τὴν γραφὴν, ἵνα πατρὸς ὡς παιδὸς τάφον σκυλεύσαντος, ἐκ πορνείας ἀπαλλάξῃ τὸν δῆμον πολιορκήσαντα· δεύτερον δέδοικα μὲν, μὰ τοὺς θεοὺς, μὴ κεκρατημένος τῷ πάθει τανῦν οὐκ ἀρκέσω πρὸς τὴν ἑταίραν ἀπολογούμενος, καὶ δόξω τῶν δικαίων οὐκ εὐπορεῖν, ὑπὸ τῶν συμβεβηκότων παραχωρούμενος· ὅταν γὰρ τοῦ παιδὸς τὸν θάνατον ἐννοῶν ἀπίδω πρὸς τὸν ἀγῶνα κρινόμενος, πρὸς ἄμφω τὸν λογισμὸν μεριζόμενος, ὑπείκω τὴν συμφορὰν, πρὸς τὴν ἀπολογίαν ἐξίσταμαι. ὑμέτερον οὖν ἐξ ὀλίγων μὲν ῥημάτων ἐλέγξαι τὴν κατ' ἐμοῦ γινομένην

---

2 Ald. διαφθειρούσας. Scr. διαφθειρούσης. 3 Ald. Vind. ἀναπωσάμενος. Par. per corr. ἀναπαυσάμενος.

ἐπήρειαν, ἀφεῖναι δέ με πρὸς τὸν τοῦ παιδὸς τάφον ὀδύρεσθαι τὸν μετὰ τὴν ἀποκήρυξιν εὐθὺς ὀφθέντα τῷ γένει νεκρόν· οὐκ ἂν ἀνέξομαι τοῦ παιδὸς ἔρημον τὴν ἑστίαν ὁρᾶν, ὁ πρὸς ὀλίγον ἀντὶ σώφρονος οὐ καρτερήσας τὴν ἀποκήρυξιν. ΤΡΙΤΟΝ ΠΡΟΟΙΜΙΟΝ. Ἡ μὲν οὖν ἑταίρα πρὸς τοὺς ἐραστὰς αὐτῆς, ὡς εἰκὸς, διὰ τὴν γραφὴν ταύτην σεμνύνεται, καὶ ταύτην σοφισαμένη κατὰ πατρὸς τὴν ἐγχείρισιν, οἴεται τοὺς συνόντας μᾶλλον σχήσειν σπουδάζοντας· οὐ μὴν ἀπόχρη τοῦτο πρὸς τὴν ἐπιθυμίαν αὐτῇ τὸ κακούργημα· λήψεται γὰρ ἐπ' ὀλίγον
320 ἀντ' ἐραστοῦ παρὰ τῶν νόμων τὸν δῆμον, αὐτὴν μὲν διὰ τὴν προαίρεσιν τιμωρούμενον, ἐπιστρέφοντα δὲ τὰ γένη πρὸς ἄλληλα, μηδενὸς ὄντος μηκέτι τοῦ τὴν φύσιν χωρίσοντος. δυνατὸν καὶ τοιαύτην ἄλλην τοῦ προοιμίου δέξασθαι πρότασιν· ἡ μὲν ἑταίρα προσθεῖναι τῷ παιδὶ τὸν πατέρα βεβούλευται· δύνασαι καὶ ἄλλην προκαταρκτικὴν λαβέσθαι ἔννοιαν· ὅτι μετὰ τῶν ὄντων ἐραστῶν ἡ ἑταίρα ἄλλους ἐραστὰς ταύτῃ προσθεῖναι βεβούληται μᾶλλον, ἢ γράψασθαι· καὶ προθυμότερον ὡς εἰκὸς ἐπὶ τὴν κατηγορίαν ἐλήλυθεν, ἵν' ἀπὸ τοῦ βήματος μεθ' ἑτέρων ἐραστῶν δορυφορουμένη πορεύσηται. ΚΑΤΑΣΤΑΣΙΣ. Καταστήσεις δὲ τοῦτον τὸν τρόπον προκαταστάσει χρησάμενος· ὅτι μεριζόμενος πρὸς τὸ πάθος καὶ τοὺς λόγους ἀπυρῶ, ποῖ τράπωμαι· οὐδὲ γὰρ ἀδακρυτὶ διεξελθεῖν ἅπαντα δύναμαι, οὔτε τοὺς λόγους τοὺς περὶ παιδὸς ποιούμενος μὴ οὐχὶ πολὺν ἐγεῖραι θρῆνον καὶ δάκρυα. εἶτα ἡ κατάστασις· ἐπειδὴ γὰρ ὡς εἴθε μή ποτε ἠγαγόμην γύναιον ὁ δυστυχέστατος, ηὐχόμην γενέσθαι μοι παῖδα· καὶ πολλὰ τοὺς γενεθλίους ἐλιπάρουν θεοὺς πληρῶσαί μοι διὰ τάχους τὸ σπουδαζόμενον· οὐκοῦν τὴν ἀπὸ τῶν παίδων ἐσκόπουν ὁ κακοδαίμων ἐγὼ, οὐδὲ κωμάσειν ἑταίραν κατὰ τῆς ἐμῆς οἰκίας προσεδόκουν ὁ δείλαιος, καὶ τὰ τοιαῦτα. ὡς οὖν εἶδον τὸν παῖδα γε-

γενόμενον, τίς ἦν τότε, ἢ τίς ἐγενόμην, εἰπεῖν οὐκ εὐπορῶ· πολλάκις τότε διὰ τοῦ παιδὸς ἤλπισα γενέσθαι πρὸς τὴν πόλιν εὐδόκιμος· ἀριστεύοντος τοῦ παιδὸς, στρατηγοῦντος καὶ ῥητορεύοντος· ταῦτ' ἐννοῶν ἦγον, ἐπαίδευον ἀπατώμενος, καὶ τρέφων ἀκολάστου γυναικὸς παίγνιον ἠγνόουν γενόμενος· τί οὖν ἐπὶ τούτοις; εὐθὺς ἐδίδασκον τοὺς [4] νόμους, πρὸς τὰ τακτικὰ παρεσκεύαζον, τῆς δημοκρατίας αὐτὸν ἐποίουν ἐρᾷν· διδάσκων, συμβουλεύων πολλάκις, καλῶν τέκνον πολλάκις· τὸ σωφρονεῖν δημοκρατούμενον ἄριστον, ἂν πρὸς τὸν δῆμον ὁρᾷς, εὑρήσεις ἑπόμενον τῇ πολιτείᾳ τὸν στέφανον, δωρεὰς ἐξίσου καὶ τιμὰς παρὰ τοῦ δήμου πολιτεύματα, καὶ τὰ τοιαῦτα· εἶτα ὅτι ταῦτα λέγοντός μου καὶ συμβουλεύοντος, σκαιοτέρα τις τοῖς ἐλπιζομένοις τύχη ἐβάσκανεν· ὡς γὰρ ἦν λοιπὸν νεανίας ὁ παῖς, καὶ λοιπὸν ἤλπιζον ἔργῳ περαιοῦσθαι τὰ προσδοκώμενα, τὸν υἱὸν ὑπὸ τῆς ἑταίρας ὁρῶ διαφθειρόμενον, καὶ τῶν ἀρίστων μὲν συμβουλευμάτων [5] ἀπεχόμενον, πρὸς ἀκολασίαν δὲ ῥέποντα· τὸ δὲ αἴτιον, πορνεία τὴν ἐμὴν ὑπώρυττεν οἰκίαν· συνεὶς οὖν εὐθὺς τὸ γινόμενον, καὶ συνὼν ὅτι οἱ νέοι πρὸς ἀπάτην εὔκολοι ἠπείλουν, ὠργιζόμην, ἀπέρχεσθαι τῆς ἑταίρας ἐκέλευον· ὡς δὲ οὐκ ἔπειθον, πληγὰς ἐπεφόρουν τὸ πρῶτον τῷ σώματι· εἶτα ἐκ τούτου μηδὲν καθορῶν, μηδὲ κωλύων τῆς ἐπιθυμίας τὸν παῖδα, ὡς δεινόν τι χρῆμα πατὴρ ὀργιζόμενος, ὡς δύσκολον ἐπισχεῖν κατὰ παιδὸς τὸ γένος κινούμενον, τὸν τῶν ἀποκηρύκτων νόμον οὐκ ἀγνοεῖς· χρήσομαι κατὰ σοῦ τῷ κοινῷ τῆς πόλεως κηρύγματι, καὶ τὰ τοιαῦτα· εἶτα ἑξῆς· ἀλλ' ὢ τῆς τύχης, ἀποκηρύξας πρὸς σωφρονισμὸν ὀλίγον τὸν παῖδα, μετὰ τὸν χωρισμὸν εὐθὺς ἐθεασάμην τὸν παῖδα νεκρόν· καὶ τὸ τῶν ἀνηκέστων δεινότερον, ἔθαπτεν ἡ ἑταίρα παρ' αὐτῇ τὸν

4 Vind. ἀπαττόμενος. 5 Ald. Codd. ὑπέρυττεν.

ἐμὸν υἱόν· εἶτα μετὰ τὸν θάνατον τῷ γένει πλασάμενος, καὶ μεταγαγὼν ἐν τοῖς ἡμετέροις τάφοις τὸν κείμενον, τυμβωρύχος διὰ τὴν ὁσίαν τοῦ παιδὸς ὀνομάζομαι· καὶ συναψάσης τῆς ὕλης τὴν ἀποκήρυξιν, τὸν χωρισμὸν, τὴν τελευτὴν, ὡς πολέμιος ἐγὼ τοῦ παιδὸς κρίνομαι· καὶ τὰ τοιαῦτα. ΠΡΟΒΟΛΗ ΟΡΟΥ. Γνωστέον, ὅτι τοῦ ἀνθορισμοῦ κατασκευαστικὰ καὶ τὰ ἑξῆς τυγχάνει κεφάλαια· καὶ τὸν αὐτὸν ἐπέχει λόγον ἐπιχειρήμασιν· ἥ τε γὰρ τοῦ νομοθέτου γνώμη καὶ ὁ συλλογισμὸς καὶ ἡ πηλικότης καὶ τὸ πρός τι τὸν ἀνθορισμὸν κατασκευάζοντα τὴν προβολὴν τοῦ ὅρου ἀναιρεῖ· διὸ καὶ εἰκότως μετὰ τὸν ἀνθορισμὸν [6] ἅπαντα ταῦτα τέτακται· τῇ γὰρ τοῦ ἀνθο-
321 ρισμοῦ κατασκευῇ ἡ προβολῆς δύναμις συναιρεῖται·
προβολὴ δέ ἐστι τὸ τελευταῖον νόημα τῆς καταστάσεως, ἔνθεν τὸ ὄνομα προβάλλῃ τῆς κρίσεως· οἷον ἂν μέρος τοῦ μελετωμένου τυγχάνῃ· ἀλλὰ διωρύξατο τὸν τάφον. ΑΝΘΟΡΙΣΜΟΣ. Οὐκ ἔστιν ὁ θάψας τινὰ τυμβωρύχος· τυμβωρύχου μὲν γὰρ τὸ τοῖς κειμένοις λυμήνασθαι τοῦ τὴν ὁσίαν πληροῦντος τοῖς τελευτήσασι, τὸ [7] κρύπτειν γῇ καὶ τάφῳ τὰ σώματα· εἰ μὲν οὖν ἔχεις εἰπεῖν, ὡς ἐθρασυνόμην παρὰ τὴν φύσιν, ἢ τολμήσας τι παράνομον εἰς τοὺς κατοιχομένους ἐξήμαρτον, γράφου· εἰ δὲ τούτων οὐδὲν εἰς ἐμὲ πεπλημμέληται, τίνος ἕνεκεν κατ' ἐμοῦ τὴν τοιαύτην εἰσαγγελίαν πεποίησαι; ἐδυσχέραινον, ὁμολογῶ, τὸν υἱὸν ἀκούων [8] παρ' ἑταίρᾳ θαπτόμενον, καὶ παρὰ τὴν ἀξίαν τοῦ γένους ὁρῶν ὑβριζόμενον· μέχρι παντὸς κατ' ἐμοῦ τὴν διαβολὴν ὑπάρχειν οὐκ εἴασα· τίς γὰρ τυμβωρύχος γῇ καὶ τάφῳ καλύπτει τὰ σώματα; τίς πρὸς κέρδος ὁρῶν τῶν προσηκόντων τοῖς θαπτομένοις ὀρέγεται; οὐδεὶς τυμβωρύχος θρήνοις κολάζει μετὰ τὸ δρᾶμα καὶ δάκρυσι· σὺ μὲν τοῦ μὲν ὀρύξαι τὸν τά-

6 Ald. ἀνθηρισμόν. 7 Ald. Vind. τῷ Par. τό. 8 Vind. ἀκούω.

φον μνημονεύεις [9] ἁπανταχοῦ, τὸ δὲ ἀνῃρηκέναι τὴν ὁσίαν οὐκ αἰτιωμένη τοῦ σώματος τὴν ἐπὶ τοῖς τυμβωρυχοῦσι κόλασιν παρὰ τῶν νόμων ἐπιζητεῖς, καὶ ὅσα τοιαῦτα. εἶτα τοῦτο πίστωσαι παραδείγμασιν· ὅτι οὐκ ἐάν τις κινήσῃ [10] τάφον, ἤδη καὶ τυμβωρύχος ἐστίν· οὐκ ἐάν τις γυμνώσῃ ξίφος, ἤδη καὶ πρὸς φόνον μεμόλυνται· οὐδ᾽ ἂν ἀνατείνῃ τις τὴν χεῖρα, ἤδη καὶ τὴν πληγὴν κατήνεγκεν· οὐδὲ τεῖχος ἀνακτόρων ἐὰν κατενέγκῃ ἐπὶ διορθώσει τῶν ἱερῶν, ἠσέβησεν· ἀλλ᾽ ἑκάστου δράματος τὸ τέλος σκοποῦντες ἄνθρωποι, οὕτω καὶ τὰς γραφὰς κατὰ τῶν δρασάντων ἐργάζονται· ὁ συλλογισμὸς ὁ παρὰ τοῦ κατηγόρου συνάγει εἰς ταὐτὸν, τό τε λοιπὸν καὶ τὸ πεπραγμένον διαιρεῖ· καὶ δείκνυσιν, ὅτι ἕτερον τοῦτο καὶ ἕτερον ἐκεῖνο τὸ ἐργαζόμενον· εἰκότως δὲ μετὰ τὸν δεύτερον ὅρον τάττεται· ἵνα μὴ ὁ φεύγων εὐθὺς μετὰ τὸν ἑαυτοῦ ὅρον διαστήσῃ τῷ συλλογισμῷ, καὶ χωρίσῃ τὰ πράγματα· ὁ δὲ κατήγορος τά τε παρὰ τοῦ φεύγοντος καὶ τὰ παρ᾽ ἑαυτῇ λεγόμενα· ὁ μὲν γὰρ φεύγων λέγει, ὅτι ἕτερον τὸ θάπτειν, καὶ ἕτερον τὸ τυμβωρυχεῖν· [11] ὁ δὲ κατήγορος λέγει· ταὐτόν ἐστι τὸ ἅψασθαι τοῦ τάφου τῷ [12] τυμβωρυχῆσαι· ἀκολούθως γὰρ οὕτω λοιπὸν μετὰ τὸν συλλογισμὸν καὶ συμφωνοῦντα τὸν [13] νόμον τοῖς λεγομένοις δείξομεν· συνάψαντες γὰρ πρότερον ἢ διελόντες τά τε τοῦ φονεύοντος καὶ τοῦ διώκοντος ἀκολούθως, ὅτι καὶ ὁ νόμος τοῦτο λέγει, διέξιμεν· ἀνακόλουθον γὰρ τὸ μετὰ τὸν ὅρον καὶ τὸν ἀνθορισμὸν τιθέντα τὴν νομοθέτου γνώμην οὕτω φυλάττειν ἢ διαιρεῖν τοὺς ὅρους· δεῖ οὖν ὁρισαμένους συνάπτειν ἢ διαιρεῖν τῷ συλλογισμῷ οὕτως, καθάπερ εἰς μαρτυρίαν λαμβάνειν τὸν νόμον, καὶ δεικνύναι, τί ὁ νομοθέτης βούλεται, καὶ τίνα καλεῖ

---

9 Ald. Codd. μνημονεύειν. scr. μνημονεύεις. 10 Ald. Codd. κινήσει ed. γυμνώσει. 11 Par. φόνου. ad marg. τάφου. 12 Ald. Codd. τοῦ. 13 Par. τῷ λόγῳ. ad marg. τὸν νόμον.

τυμβωρύχον· χρήσῃ οὖν τῷ συλλογισμῷ οὕτως· εἰ μὲν οὖν, ὦ ἄνδρες, καὶ νῦν οὐ πολύ τι κεχώρισται τυμβωρύχος, καὶ θάπτων πατὴρ, παράδοτέ με [14] τῷ θηρίῳ· τί γὰρ τιμὴν τὴν ἐν υἱοῖς τελευτήσασιν· ἀγνοῶν ἐτυμβωρύχουν ἀντὶ τοῦ θάπτειν τὸν δυστυχέστατον· εἰ δὲ τούτων τῶν πράξεων πολὺ τὸ μέσον καὶ μέγιστον, τί μὴ ψηφίζετε [15] προχειρότερον, εἰδότες ὡς θάτερον θατέρου κεχώρισται· κατασκεύαζε καὶ τοῖς ἄλλοις πράγμασι· στενὸς γὰρ ὁ ὅρος ἁπανταχοῦ· καλὸν ἔχει τὸ διὰ παραδειγμάτων πλατύνεσθαι· ἄλλο τὸ νεὼς τρόπιν ἐπὶ τῷ [16] διορθῶσαι λαβεῖν, ἄλλο τὸ ἐπὶ τῷ διαφθεῖραι· ἡ γὰρ διάνοια ἢ χωρίζει ταῦτα ἀπ' ἀλλήλων, ἢ συνάπτει· οἷον ὁ ναυπηγὸς καὶ ὁ κλέπτης ἀφαιροῦσι [17] τοῦ πλοίου ἑκάτεροι· ὁ μὲν γὰρ ἄλλην βελτίονα τρόπιν ἐντίθησι τὴν πρώτην λαβὼν, καὶ πᾶσαν διασώζει τὴν ναῦν, ὁ δὲ διαφθείρει λαβὼν, καὶ τὴν ναῦν καταλύει σύμπασαν· καὶ πάλιν στρατηγὸς, δηλονότι τοῖς πολεμίοις, ἢ ἀπατῶν ἢ προδιδούς· καὶ τὸ τέλος καὶ ἡ τῶν πραγμάτων ἔκβα-
322 σις δείκνυσι τὴν προαίρεσιν. ΓΝΩΜΗ ΝΟΜΟΘΕΤΟΥ. Ἤρκει μὲν οὖν, οἶμαι, καὶ ταῦτα τοῖς ἐπιζητοῦσι μαθεῖν, εἰ τυμβωρύχος ἦν ἀκριβῶς δυστυχῶ, ἢ τηνάλλως [18] πρὸς ταύτην τὴν κατηγορίαν [19] εὐθύνομαι· ἐπειδὴ δὲ καὶ νόμος, ὡς οὐκ εἰμὶ τυμβωρύχος, δείξει σαφέστερον, ἐντεῦθεν ἄκουε· τιμωρείσθω, φησὶν, ὁ τοῖς σώμασι λυμαινόμενος· καλῶς ἄρ' ὑμῖν, ὦ ἄνδρες, δοκεῖ βλάβη γεγενῆσθαι περὶ τὸ σῶμα τοῦ μεταλλάξαντος· ὁ μὲν γὰρ νόμος διὰ τοῦτο καὶ τὸν τρόπον αὐτὸν τοῦ ἐγκλήματος προσέγραψε τῷ νόμῳ, ἵνα μή τις ἁπλῶς ἁρπάσῃ κατὰ τῶν ἐχθρῶν τὴν ἀπὸ τοῦ γράμματος ἀσάφειαν· οὐδὲ γὰρ ἠβούλετο νομοθετῶν μὴ διηγορεῦσθαι διαῤῥήδην

14 Ald. Vind. μοι. Par. με. 15 Vind. ψηφίζεται. 16 Vind. Par. τό. 17 Ald. Codd. ἀφαιρῶσι. 18 Ald. τηνάλως. 19 Vind. καγορίαν.

κατά τινων ταύτην ὁρίζειν τὴν τιμωρίαν τὰ γράμματα· εἰ μὲν οὖν ἔχει εἰπεῖν ὡς ὑπεύθυνός εἰμι τῷ νόμῳ, καὶ δὴ λέγε· εἰ δὲ πέπρακταί μοι κατὰ τὸν νόμον οὐδὲν, τί φὴς εἶναι τὴν ταφὴν ταύτην ὑπεύθυνον, ἣν οὐδὲ ὁ νόμος ἐμέμψατο τῆς πολιτείας κηδόμενος πηλικότητι· τακτέον πρὸ τοῦ πρός τι τὴν πηλικότητα· ἐπειδὴ γὰρ ἀναγκαῖόν ἐστι τῶν διπλῶν τὰ ἁπλᾶ προλαμβάνεσθαι·[20] καὶ πρῶτον μὲν αὐτό τι καθ' ἑαυτὸν αὔξειν, ὅπερ ἴδιον τῆς πηλικότητος· δεύτερον αὐξηθὲν παῤ ἡμῶν συγκρίνειν πρὸς ἕτερον, ὅπερ ἴδιον τοῦ πρός τι· τοῦτο γὰρ ἐν ἐγκωμίοις καὶ πανταχοῦ ποιήσομεν, ἔνθα συγκρίσεως τυγχάνει καιρὸς, πρὸ τῆς συγκρίσεως αὔξοντες· κἀνταῦθα τὴν πηλικότητα προετάξαμεν, ἵνα αὐξήσαντες ὃ βουλόμεθα, δεύτερον ἐπὶ τὸ συγκρίνειν ἔλθωμεν. Δημοσθένης δὲ ταύτην τὴν τάξιν διὰ τὸ οἰκεῖον συμφέρον ἐνήλλαξεν· ἐπειδὴ γὰρ ἐβούλετο καὶ τὰ προϋπάρχοντα αὐτῷ παρὰ Μειδίου ἀδικήματα εἰπεῖν, ἔταξε τὴν πηλικότητα τελευταίαν, ἵν' ὡς δεινὰ καὶ μεγάλα πεπονθότος αὐτοῦ ἀντιπέσῃ, ὅτι ἀνθ' ὁτονοῦν τηλικαῦτά σε βλάψαι Μειδίας προείλετο· ἤτοι προϋπῆρχεν ἡμῖν, ἵνα τηλικαῦτα Μειδίας εἰς σὲ πλημμελῆσαι προέληται, καὶ ἐκ τῆς συναυξήσεως εὐθὺς ἔλθῃ κατ' ἀκολουθίαν ἐπὶ τὴν παρέκβασιν· τί γὰρ Δημοσθένης φησίν;[21] „οἶμαι τοίνυν τινὰς ὑμῶν, ὦ δικασταὶ, ποθεῖν ἀκοῦσαι τὴν ἔχθραν, ἥ τις ἦν ἡμῖν πρὸς ἀλλήλους· νομίζειν γὰρ οὐδένα ἀνθρώπων οὕτως ἀσελγῶς καὶ βιαίως οὐδενὶ τῶν πολιτῶν χρήσασθαι, μὴ μεγάλου τινὸς ὄντος, ὃ αὐτῷ προὐφείλετο· βούλομαι δὴ καὶ περὶ ταύτης ἐξ ἀρχῆς εἰπεῖν ὑμῖν.“ ὁ μὲν οὖν Δημοσθένης δι' ἣν εἶπον αἰτίαν τὴν τάξιν τῶν κεφαλαίων ἐνήλλαξεν· ἐν δὲ τοῖς πλάσμασι πρότερον αὐξήσομεν τὸν ἑαυτῶν ὅρον διὰ τῆς πηλικότητος, εἶθ' οὕτως ἐν τῷ πρός

20 Ald. Codd. παραλαμβ. sensus postulat προλαμβ. Vide Epist. crit. p. 36. 21 In Mid. p. 539.

τι πρὸς τὸ παρὰ τοῦ ἐναντίου λεγόμενον τὴν σύγκρισιν ποιησόμεθα· κατασκευάσομεν οὖν τὴν πηλικότητα θετικῶς, οἷον ἐπὶ τοῦ παρόντος πλάσματος· ὅτι τὸ θάπτειν καλὸν, καὶ ὅτι τοιοῦτον ἡ φύσις ἐξεῦρε τοῖς σώμασιν, ἵνα μὴ διαλυόμενα [22] μετὰ θάνατον γυμνὰ καθάπερ αἰσχύνηται· τοῦτο φύσει καλὸν, τοῦτο φιλάνθρωπον, τοῦτο τοῖς ὅλοις δοκεῖ, εἴτε θεοὶ, εἴτε τινὲς ἥρωες ταύτην μετὰ θάνατον τοῖς ἀνθρώποις τὴν τιμὴν κατεστήσαντο· ἐπειδὴ γὰρ οὐκ εὔλογον τὰ τῆς φύσεως ἀπόῤῥητα μετὰ τὴν τελευτὴν ἅπασι δείκνυσθαι, γῇ κρύπτειν τὸν ἄνθρωπον νενομίκαμεν ἄνωθεν, ἵνα τῷ καλύπτεσθαι μνήματι ἐλάνθανε τὸ σῶμα διαλυόμενον, καὶ ἄξιον τοῦ κρύπτεσθαι· τίς πόλεμος ταύτης τῆς τιμῆς τὸ τῶν ἀνθρώπων γένος ἐστέρησε; τίς ἔχθρα μνησικακήσασα πρὸς τὰ πλημμελήματα παραβῆναι τὸν θεσμὸν τοῦτον ἠνέσχετο; διὰ τοῦτο πολλάκις σπένδονται καὶ πολέμιοι καὶ φίλοι συνέρχονται, ἵνα τοῖς τελευτήσασι τὸ πρέπον ἀποδοθῇ· διὰ ταῦτα καὶ ὁσίαν καλοῦμεν τὸ δρώμενον, ἵν' ὡς ἄλλο τι δίκαιον τελευταῖον ἀποδῶμεν τοῖς τελευτήσασι· λαμβάνεις δὲ παραδείγματα τοὺς πολεμίους τοὺς κακούργους πληροῦντας ταφὴν, καὶ τοῖς λεγομένοις οὐκ ἀντιλέγοντας· ὅτι καὶ οἱ πόῤῥω που τελευτήσαντες ἀξιοῦνται παρὰ ξένων καὶ τῶν οὐ προσηκόντων ταφῆς καὶ τὰ τοιαῦτα· εἶτα τὸ πρός τι· πρὸς τὸ παρὰ τοῦ ἐναντίου προτεινόμενον ἀεὶ τὴν ἐργασίαν ποιούμενος· οἷον ὁ
323 κατήγορος λέγει, ὅτι τοῦτο τυμβωρυχία ἐστίν· ἡμεῖς τὸ ἐναντίον μεταλαβόντες ποιήσομεν τὴν σύγκρισιν λέγοντες, ὅτι τοῦτο μάλιστα κηδεμονία [23] τοῦ παιδός ἐστιν· ὥσπερ ἐκεῖνος πρὸς τὸ οἰκεῖον ἔγκλημα ἀφορῶν πρὸς τὸν ἴδιον σκοπὸν ποιεῖται τὴν ἐργασίαν, οὕτως καὶ ὁ φεύγων

---

22 Ald. δηαλυόμενα. 23 Ald. Vind. κηδαιμονία, et paullo post Ald. κυδεμονία.

πρὸς τὸν ἴδιον ἀφορῶν· τί δέ ἐστι τοῦτο, ὅτι οὐκ ἔστι τυμβωρυχία· καὶ πρὸς τὸ λυσιτελοῦν τὸ ἑαυτοῦ ἐκ τῶν ἐναντίων μεταλαμβάνων τὸν τοῦ κατηγόρου λόγον ποιείσθω· τί γάρ φησιν ὁ κατήγορος; τοῦτο τυμβωρυχία ἐστίν· ὁ φεύγων ἐρεῖ, ὅτι μάλιστα τοῦτό ἐστι κηδεμονία τοῦ παιδός· τὸν γὰρ ἑαυτοῦ ἕκαστος σκοπὸν συγκρίνων ἀποπληροῖ τὴν ἐργασίαν τοῦ πρός τι· ὁ μὲν γὰρ κατήγορος, ὅτι τυμβωρυχία τοῦτο· ὁ δὲ φεύγων, κηδεμονία τοῦτο τοῦ παιδός· ἀρνούμενος γὰρ ὁ φεύγων διόλου οὐδὲν ἕτερον ἐνθυμεῖσθαι δίδωσι τοῖς δικασταῖς, ἢ ὅτι φροντίζων καὶ κηδόμενος τοῦ παιδὸς τοιαύτην πεποίηται τὴν ταφήν· τοῦτο οὖν ἔχων ὁ φεύγων τόπον αὐτὸν καὶ συγκρίνειν ἐν τῷ πρός τι· ἐρεῖς οὖν, ὅτι, εἰ μὲν οὖν ἄλλο τι, καὶ τοῦτο τῇ πατρὸς κηδεμονίᾳ ἐνδείκνυται, καὶ σπουδὴ περὶ τὸν παῖδα ἡ ἔννοια. Παρίτω καὶ λεγέτω ἡ ἑταίρα ταννῦν ἡ τῶν ἀνηκέστων πάντων ὑπεύθυνος· εἰ δὲ τὰ γενόμενα τὴν διάθεσιν μαρτυρεῖ, τί συκοφαντεῖ λοιπὸν καὶ παράγει τὸ δικαστήριον; εἶτα ἐξ ἀρχῆς ἐρεῖς, τί κηδεμόνος ἴδιον τὸ φθείρεσθαι, τὸ μηδὲν αἰσχρὸν πάσχειν, ἐὰν τὸ ἐπιμελεῖσθαι τὸ ὑπὲρ τῶν καλλίστων αἱρεῖσθαι ποιῇ; εἶτα ἐπάγεις, ὅτι πάντα ταῦτα εἴργασθέ μοι· καὶ γὰρ τῆς τοῦ παιδὸς εὐδοξίας ἐπιμεμέλημαι καὶ σπουδὴν ὑπὲρ τῆς ὁσίας εἰςηνεγκάμην,[24] καὶ τοῖς ἀρίστοις ἐνταφίοις κεκόσμηκα· εἶτα τούτων ὑπαρξάντων μοι εἰς αὐτὸν ἄλλο τι πάρεστιν, ἢ τὴν κηδεμονίαν ἐννοεῖν τοῦ παιδός; ἐκτείνων δὲ τὸ πρός τι ἐρεῖς, ὅτι σεμνὸς ὁ τάφος καὶ μέγιστος· οὐκοῦν ἐλέγχει τὴν φιλίαν τὸ δημιούργημα· πατὴρ περὶ τὴν ὁσίαν φιλότιμος· οὐκοῦν τῆς φύσεως, ὡς οἷός τε ἦν, ἐπεμελεῖτο· ταῦτα πράττειν πατρὶ τυγχάνοντι πρέπον· τοῦτο τιμὴν καλὴν χρὴ κηδεμονίαν τὸ εἶ σώματος καὶ τὰ τοιαῦτα· εἶτα ἔπαγε τὰ

24 Ald. εἰςενεγκάμην.

συγκριτικὰ πρὸς τὴν ἔννοιαν ἀεὶ τοῦ παιδὸς ἀφορῶν καὶ πρὸς τὸ ταῦτα πεπονηκέναι τὸν πατέρα περὶ τοῦ παιδός· οἷον ὅτι ἐὰν τοῖς θεοῖς θύωμεν ὑπὲρ ἄλλου τινὸς, ἢ τιμῆς τῆς εἰς τὸ κρεῖττον ἱερουργεῖν προαιρούμεθα· οὐκοῦν ἐκεῖνο τιμὴ τῶν θεῶν· τὸ δὲ εἰς τὸν παῖδα γιγνόμενον τιμὴ καὶ γέρας τοῦ σώματος,[25] καὶ πρὸς τοὺς ἀριστέας δωρεαὶ,[26] πρὸς τοὺς νικήσαντας στρατηγοὺς γέρας καὶ κόσμος τῶν ἔτι ζώντων, καὶ καλῶν καὶ ἀγαθῶν ἀνθρώπων εἰσὶ στέφανοι, σιτήσεις, εἰκόνες, προεδρίαι· ταῦτα γὰρ εἰς τιμὴν ἡμῶν ἐξεύρηνται·[27] οὐκοῦν τιμὴ κατοιχομένων,[28] ὁσία, καὶ τάφος καὶ μεγαλουργία καὶ φιλοτιμία τοῦ σώματος· ὁμοίως καὶ ἀπὸ τῶν τόπων συγκριτικὸν ζητήσομεν εὑρεῖν ἐπιχείρημα, ἀπὸ τοῦ ἥττονος, ἀπὸ τοῦ ἴσου, ἀπὸ τοῦ ἐναντίου, ἀπὸ τοῦ μείζονος, ἀκολούθως τοῦ ἀπὸ τῶν θεῶν, ὡς εἴπομεν, παραδείγματος· εἶτα ἀντίθεσιν θήσεις· τὰς δὲ ἀντιθέσεις εὑρήσομεν ἀπὸ τῆς[29] τοῦ προσώπου ποιότητος· πρώτη οὖν ἐκείνη· ἀλλ' ἀποκήρυκτος ἦν, φησὶ, καὶ οὐκ ἔτι σοι τοῦ παιδὸς μετῆν· λύσεις τῇ φύσει· ὅτι οὐκ εἴ τις τῆς ἑστίας ἐκβέβληται, οὗτος καὶ τὸ νομίζεσθαι ἀπεστέρηται· καὶ ὅτι τὴν προαίρεσιν ἁπανταχοῦ τῶν πραττόντων τι σκοπεῖν δέον· εἰ μὲν γὰρ σωφρονισμοῦ χάριν τοῦτον τὸν νόμον ἐκύρωσαν, καλῶς ἐγκαλεῖς καὶ προφέρῃ τὴν ἀποκήρυξιν· εἰ δὲ πρὸς ἀρετὴν ἐχρησάμην τῷ νόμῳ καὶ ἀγωγὴ μᾶλλον ἢ κόλασις ἦν τὸ γενόμενον, πῶς οὐχὶ

25 Par. προεδρείαι. 26 εἰς Ald. Codd. om. 27 Par. ἐξεύρηται. 28 Ald. Codd. κατηχουμένων. Fortasse ad hanc vocem referendus asteriscus, ab Aldo ante οὐκοῦν positus. Scripsi κατοιχομένων. 29 τῆς Ald. Codd. om. Duorum articulorum juxta se positorum alter saepe excidit: cfr. p. 367. 381. Joseph. bell. Jud. III. 10. 2. πολὺ δὲ τῶν πολεμίων ἀριθμὸν παραιρεῖται τὰ ἐλαττώματα. Par. 1429. τὸν τῶν. VII. 3. 3. μεμισηκέναι τὰ τῶν Ἰουδαίων ἔθη. Par. 1423. 1427. τῶν om.

τὸν παῖδα τοῖς πατρῴοις ἀποδοῦναι μνήμασιν ὤφελον· πατρὸς μὲν γὰρ φαύλου καὶ οὐ σώφρονος τὸ τοῦ παιδὸς ἀμελεῖν· φιλικοῦ δὲ καὶ γενναίου τὸ τοῦ παιδὸς ἐπιμελεῖσθαι· καὶ σπουδαίου τὴν γνώμην τὸ τῆς φύσεως κολάζειν τὰ πλημμελήματα· τοιαῦτα ὁρῶν καὶ ἐννοῶν, ὅτι προσῆκόν ἐστι τοῦ παιδὸς μηδαμῶς ἀμελεῖν, ἔπειθόν 324 τε κατ' ἀρχὰς λόγοις καὶ παραινέσεσιν· ὡς δὲ οὐκ ἤνυον, μετὰ πληγῶν ἐπεχείρουν ἀντιλαμβάνεσθαι, καὶ τοῦ σώματος ὑβριζομένου, τὰ δούλων ὁ παῖς ὑπομένειν κατηναγκάζετο· ὡς δὲ ἐκ τούτων οὐδὲν κατώρθουν λυσιτελοῦν, οὐδὲ πόρον πρὸ τοῦ νόμου τῶν συμφερόντων ἐξεύρισκον ἐφ' ὑμᾶς, καὶ τὸ δικαστήριον ἔσπευσα, καὶ κυροῦν τὸ γράμμα βιαζόμενος ἀδακρυτὶ τὸν παῖδα οὐκ ἀπεκήρυττον, ἀλλὰ θρηνήσας [30] πρότερον πάνυ πολλὰ, κατ' ἐμαυτὸν ὀδυρόμενος· οὕτως ὀψέ ποτε καὶ μόλις ἀνέγνων τὸν νόμον· εἶπά ποτε πρὸς σωφρονισμὸν τῷ νόμῳ χρησάμενος· νῦν οὐκ ἀναλαμβάνω τὸν παῖδα μετὰ τὴν τελευτήν· μέμνημαι καὶ τότε παρ' αὐτὴν τοῦ παιδὸς τὴν ἀποκήρυξιν ἀνατιθεὶς τῷ παιδὶ τὰ γιγνόμενα καὶ ὡς ἄκων, παρ' ὧν τὴν ἀποκήρυξιν ἐνδεικνύμενος· ὡς ἂν παρ' αὐτὸν ὡς εἰπεῖν ὁ παῖς τὸν φύβον γενόμενος ἀποστραφῇ τοῦ τῆς ἑταίρας ἐρᾷν δύνασαι καὶ ἄλλως λῦσαι· ἀποκήρυκτος ἦν λέγεις· σὺ κατὰ τοῦ παιδὸς ταύτην εἰργάσω τὴν ἀποκήρυξιν· καὶ πατέρα γενέσθαι κατὰ γένους ἀπάνθρωπον κατηνάγκασας· εἰ γὰρ μὴ σὺ τὴν ἀρχὴν ἐκεῖνον διέφθειρας, οὐκ ἂν ἠκολούθει παρὰ τὸν νόμον τὰ δεύτερα· εἶτα σύναξον τὸ Δημοσθενικόν· ὁ γὰρ τὸ σπέρμα παρασχὼν οὗτος· ᾧ γὰρ πάρεστιν ἀναθεῖναι τῶν ὑπαρχόντων τὰ σπέρματα, καὶ τὸ τέλος εὔλογον ἂν συμφορὰν ἔχῃ λογίζεσθαι πάλιν, ἀποκήρυκτον οὐ συγχωρεῖ τοῖς τοῦ πατρὸς θάπτεσθαι μνήμασι, βουλομένου τοῦ γενετοῦ ἁπάντων τοῖς παισὶ μέτεστιν, ὥσπερ ἄκοντος

30 Ald. Codd. ἀποκήρυττον, ἀλλὰ θρηνεῖσθαι.

οὐδενός· ὅπου γὰρ ἐξῆν μοι καὶ ζῶντα τὸν παῖδα ἀναλαβεῖν, καὶ συνεῖναι τῷ παιδὶ, καθάπερ καὶ πρότερον, καὶ τοῦτο ποιοῦντι οὐδεὶς ἀντιλέγειν ἐτόλμησε, πῶς οὐχὶ καὶ μετὰ θάνατον ἐπ' ἐμοί τε θάπτειν ὅπου βούλομαι παρὰ πάντων τηρηθήσεται; *ΑΛΛΗ ΑΝΤΙΘΕΣΙΣ ΜΕΤΑΛΗΠΤΙΚΗ.* Ἐχρῆν ἐς τοῦτο ποιεῖν πρὸ τοῦ θάπτειν ἐμέ· λύσεις, ὅτι οὐ συνεχώρησάς μοι γνῶναι, οὐδ' ὅλως καλούμενον ἡμῖν ἐμήνυσας τὸν υἱὸν, ἀλλὰ πάντα τρόπον λαθεῖν ἐσπούδακας τὰ γιγνόμενα· εἶθ' οἱ μὲν ἄλλοι οὐκ ἀποκρύπτονται δυσχερὲς οὐδὲν, οὐ φίλος, οὐ συγγενής· σὺ δὲ παῖδα ἀπολλύμενον λαθεῖν πατέρα βεβούλευσαι· εἰ μὲν γὰρ πέλαγός γ' ἦν [31] τῆς ἐπαγγελίας τὸ κώλυμα, ἢ πολλή τις ἤπειρος [32] ἡ μέση, ἤ τι τοιοῦτον ὄρος δύσβατον, ἀφίημι τὴν αἰτίαν· εἰ δὲ πόλις ἡμᾶς εἶχεν ἀμφοτέρους μία, καὶ τεῖχος ἓν ἀμφοτέρους ἐκύκλωτο, ἀνθ' ὅτου ψυχοῤῥαγοῦντά μου τὸν υἱὸν οὐκ ἀπήγγειλας; δύνασαι δὲ καὶ ἠθοποιίαν τοῦ παιδὸς πλάσαι, ὡς βουλομένου τὸν πατέρα θεάσασθαι, ὡς διαθεῖναί τινα, ὡς ἀπολογήσασθαι, καὶ διαλλάξαι περί τινων· εἶτα ἐπαγαγεῖν ἄλλην· τούτων οὐδέν σε τῶν ῥημάτων ὑπέκαμψεν, [33] ἀλλὰ τίνι μᾶλλον ἀκρίτῳ βουλῇ πᾶσαν σαυτῆς τὴν παρανομίαν ἐκπέπληκας; Δείξεις δὲ καὶ [34] ἀπὸ τῆς ποιότητος τοῦ πατρὸς τὸν τῆς ἀντιθέσεως σκοπὸν συντείνοντα, καὶ ἀπὸ τοῦ παιδὸς καὶ ἀπὸ τοῦ τάφου τῶν ὁμοίων· ἐπὶ τούτοις ἐρεῖς τὸν ἐπίλογον, ὅς ἐστιν κοινὸς λαμβανόμενος ἀπὸ τοῦ δικαίου καὶ τοῦ συμφέροντος, καὶ ἁπλῶς εἰπεῖν τῶν τελικῶν κεφαλαίων· οἷον, ὡς ἂν εἰ λέγοιο, συμφέρει ἀνελεῖν τὴν ἑταίραν, ἵνα μηκέτι μηδεὶς τοιαύτην ὑπομείνῃ παρὰ πόρνης ἐπήρειαν, δίκαιόν ἐστιν ἀνελεῖν συκοφαντίας ἁλοῦ-

---

31 Ald. Vind. γῆν τ. ἐ. τὸ κάλυμα. corr. Par. 32 Ald. Codd. ἤπειρος, ἡ μέση. 33 Ald. Codd. ὑπέκαμεν. 34 Ald. Codd. ἐκπέπληκας καὶ ἀπό. Inserui: δείξεις δέ.

σαν· χρήσῃ δὲ καὶ ἀνακεφαλαιώσεσι καὶ διατυπώσεσι, καὶ ἀποστρέψεις τὸν λόγον, πῇ μὲν πρὸς τὴν ἑταίραν, πῇ δὲ πρὸς τὸν παῖδα· καὶ οὕτω καταλύσεις τὸν λόγον. *Η ΚΑΤΑΣΤΑΣΙΣ. ΕΙΣ ΤΟ ΕΝΑΝΤΙΟΝ ΕΤΑΙΡΑ.* Ἠράσθη τῆς ἑταίρας ὁ παῖς, εἴτε διὰ τύχην, εἴτε διὰ ὥραν, εἴτε καὶ ἄλλως ἡσθείς· ἔρημοι γὰρ χρημάτων αἱ τοιαῦται γυναῖκες τυγχάνουσαι ἐπὶ τὴν τοιαύτην ἔρχονται ἐργασίαν. τοῦτον οὖν ἑλομένης τῆς ἑταίρας τὸν βίον, οὗτος ὁ νέος ἠράσθη μετὰ τοῦ κάλλους καὶ τῆς προαιρέσεως, βέλτιον εὑρὼν καὶ τῶν πατέρων τὸ γύναιον, παρέμεινεν, ἐτελεύτησε· κρείττων ἐγένετο ἡ ἑταίρα 325 τῆς φύσεως, ἔθαψεν, ἐπέδωκε τὴν ταφήν· ὁ δὲ τὸν τάφον διώρυξε, καὶ τοῦ σώματος ἥψατο, μετήνεγκεν, ἡλίῳ τὰ τῆς φύσεως ἀπόρρητα ἔδειξεν· καὶ δίκαιον αὐτῷ παρασχεῖν δίκην, ἣν οἱ τυμβωρυχοῦντες παρέχουσι, καὶ τὰ τοιαῦτα. *ΟΡΑ ΑΠΟ ΤΟΥ ΑΝΔΡΟΣ.* Ἀλλ' οὐκ εἰμί· τυμβωρύχος οὗτός ἐστιν, ὁ διανοίξας θήκην, ὁ τὸ σῶμα λαβών, ὁ τῆς ὁσίας τῆς κειμένης ἀφελόμενος, ὁ τὸ λανθάνον [35] σῶμα εἰς φῶς ἀγαγών, καὶ τὸ ὀφεῖλον κρύπτεσθαι, φανερὸν εἰς μέσον ποιήσας ἅπασιν· εἶτα τοῦτον τὸν ὅρον κατασκεύασον τοῖς ἑξῆς κεφαλαίοις· ἰστέον δὲ ὡς τοῦ ὅρου κατασκευαστικά ἐστι τὰ ἑξῆς κεφάλαια· οἷον, συλλογισμὸς, γνώμη νομοθέτου, πηλικότης, πρός τι· ἑξῆς οὖν μετὰ τὸν ὅρον τὸν δεύτερον, ᾧ ἐστιν ἀνθορίσασθαι, τῷ συλλογισμῷ χρησόμεθα· ἔστι δὲ ὁ μὲν συλλογισμὸς παρὰ μὲν τῷ κατηγόρῳ τοῦ λείποντος, καὶ τοῦ πεπραγμένου συναπτικός· οἷον, ταὐτόν ἐστι τὸ ἐπανατείνασθαι τῷ [36] τυπτῆσαι· καὶ ταὐτόν ἐστι τῷ τυμβωρυχῆσαι τὸ διανοῖξαι τάφον· καὶ ἐρεῖ οὖν ἡ ἑταίρα, ὅτι οὐδὲν διαφέρει τὸ μὴ ἅψασθαι τοῦ σώμα-

35 Ald. Codd. λανθανόμενον. Par. ad marg. λανθάνον.
36 Ald. Codd. τὸ τυπτ. et τὸ τυμβωρ. Cfr. ad p. 390.

*ματος· ταὐτὸν γάρ ἐστι τὸ διανοῖξαι τὸν τάφον, καὶ κινῆσαι τὸ σῶμα κείμενον· καὶ τῇ μεταφορᾷ, σκύλλα τὸ*[37] *τυμβωρυχῆσαι· ταύτῃ γὰρ ταὐτὸ καὶ ὁ τυμβωρύχος ποιεῖ· συστήσεις δὲ αὐτὸ παραδείγμασιν· ἴσον ἐστὶ τὸ φονεῦσαι τῷ συγχωρῆσαί τινα καὶ ἀφεῖναι κατὰ κρημνῶν φερόμενον· καὶ ἴσον ἐστὶ κατασκευάσαι φάρμακον δηλητήριον τῷ παρασχεῖν·*[38] *ὁ*[39] *γὰρ οἷς ἂν ἐγὼ ληφθείην, ταῦτα πράττων, Δημοσθένους· ἰστέον δὲ ὡς ὅρος στενὸς ὢν κατὰ φύσιν τοῦ ὀνόματος εἶναι τὴν ζήτησιν πλατύνεται παραδείγμασι· καὶ ἴσον ἐστὶ τὸ καταδῦσαι τὴν ναῦν τῷ τὸν κυβερνήτην ἑλεῖν οὐ σοφὸν, καὶ τὰ τοιαῦτα.* ΓΝΩΜΗ ΝΟΜΟΘΕΤΟΥ. *Τοιγαροῦν καὶ ὁ νομοθέτης τυμβωρύχον καλεῖ τὸν ἀνορύξαντα τάφον, τὸν διελόντα σῶμα νεκροῦ, καὶ τὰ τοιαῦτα, πρὸς τὸ συμφέρον λαμβάνων τὴν τοῦ νομοθέτου διάνοιαν.* ΠΗΛΙΚΟΤΗΤΙ. *Ὅτι δεινὸν καὶ ἀνήκεστον, τὸ θήκας νεκρῶν περιεργάζεσθαι, τὸ διερευνᾶσθαι ταφὴν, τὸ μὴ συγχωρεῖν ἐπ' ἀδείας διαλύεσθαι σῶμα· ἀλλ' ἐκκαλύπτειν τὰ τῆς φύσεως ἀπόῤῥητα, καὶ τὰ ἀπρεπῆ, ἐὰν δημοσιεύῃ τοῦ γένους, καὶ τὰ τοιαῦτα· πρός τι συγκριτικῶς· ὅτι χαλεπώτερος οὗτός ἐστιν· οἱ μὲν γὰρ εἰς ξένους διαμαρτάνουσι· καὶ οὗτος δὲ εἰς τοὺς ἰδίους· καὶ οἱ μὲν εἰς ἀγνώστας ἀσεβοῦσιν, οὗτος δὲ εἰς αὐτὸ τὸ γένος, καὶ τὰ τοιαῦτα· μετὰ τὸ πρός τι ἀντίθεσις ἀπὸ τοῦ πατρὸς ἀντιστατική· ὑπὲρ αὐτοῦ πεποίηκα εἰς τὰ οἰκεῖα αὐτὸν μετάγων μνήματα· λύσει ἡ ἑταίρα, ὅτι ἀλλότριος σοῦ ἦν, ἀποκήρυκτος ἦν. καὶ ἐκτενεῖ τὴν ἀποκήρυξιν τῇ ἐκβολῇ τῆς οἰκίας, τῷ μηκέτι μηδενὸς ἔχειν αὐτὸν μετουσίαν, καὶ τὰ τοιαῦτα· εἶτα χρήσῃ τῷ μεταληπτικῷ, ὅτι οὐ νῦν*

---

37 Ald. Codd. τῷ τυμβ. ταύτην γὰρ τοῦτο καὶ ὁ τ. 38 Ald. Codd. κατασχεῖν. in Par. supra lin. παρ. Vide de permutatione harum praepositionum epist. crit. p. 70. 39 Ald. Codd. εἰ. in Par. supra lineam ὁ. — Dem. Phil. III. p. 115.

ἔδει· ἀλλὰ παρ' αὐτὰ τῆς τελευτῆς πρὶν πληρῶσαι τὴν ἑταίραν τὰ νομιζόμενα. ΕΠΙΛΟΓΩ. Τί χαλεπὸν ἀφεῖναι τοῦτον ἀθῷον· εἰκὸς καὶ νενεμεσῆσθαί [40] τινα τὸν τῆς πόλεως δαίμονα· εἰκὸς γὰρ ἀγανακτῆσαι τὸν κείμενον, ὅτι καὶ μετὰ τὴν τελευτὴν ἐνυβρίζει τῷ σώματι· ζῶντα γὰρ ἀπεκήρυξε· τελευτήσαντα δὲ ἐτυμβωρύχησε· διὸ τὴν δικαίαν ψῆφον ἐνέγκατε, τὴν τῷ κειμένῳ προσφιλεστάτην, τὴν σώζουσαν ἀκέραια τοῖς φθιμένοις τὰ μνήματα· ἵνα μηδεὶς ἔτι διὰ τὴν ὑμετέραν φιλανθρωπίαν διερευνήσῃ [41] τὸ κείμενον.

## ΚΑΤΑΞΙΩΣΙΣ ΟΡΟΥ.

Νόμος τὸν νοσοῦντα μὴ στρατεύεσθαι· ἐρῶν τις ἀξιοῖ, μὴ στρατεύεσθαι· ἀντιλέγει τις.

Ἡ κατάστασις φανερά· γενόμενος παρ' ὑμῖν ἤχθην, ἐτράφην, ἐν συνήθεσιν ἐγενόμην παιδευτηρίοις· ὡς δὲ λοιπὸν καὶ [1] ἐν ἀνδράσιν ἦν, ἐφανταζόμην γάμον, ἵνα καὶ παισὶν ἔχω κατὰ τὴν πόλιν λαμπρύνεσθαι· εἶτα πολέμου καταλαβόντος τὴν πόλιν, ἕτοιμος ἦν στρατεύεσθαι, ἀριστεύειν, ἐγείρειν κατὰ τῶν πολεμίων τρόπαιον· καὶ ὡς τοιαύτην εἶχον ὑπὲρ [2] τοῦ δήμου φροντίδα, ἰδὼν τὸ γύναιον ἠράσθην· ἀξιῶ συγχωρηθῆναί μοι ὡς νοσοῦντι τὸ μὴ στρατεύεσθαι. ὅρῳ· ἀλλ' οὐδὲν, φησὶ, κατεμέμφου τοῦ σώματος. ἀνθορισμῷ· ὅτι ἡ λύσις ἐστὶ τὸ ἐναντίον ὅρου· οὐ μόνον τοῦτον· ὅσος ἐστὶν, ἀλλὰ καὶ τὰ τῆς ψυχῆς πάθη· ἐκεῖνον μὲν γὰρ καὶ ἰατροὶ καὶ σιτία καὶ μέθοδος καταπαύειν δύνανται· τὴν δὲ τῆς ψυχῆς νόσον οὐδὲν ἰάσασθαι δυνατόν· γνωστέον δὲ, ὥς τινες μὲν ὅρον λέγουσι τὰ παρὰ τοῦ ἑτέρου μέρους πρὸς τὸ μελετώμε-

40 Ald. Codd. νεμεσῆσθαι. 41 Ald. Codd. διερευνήσει.
1 καὶ Ald. Vind. Par. om.; recepi ex Med. 2 Med. ὑπέρ. Ald. Vind. Par. ὑπό.

νον παραβαλλόμενα· ἀνθορισμῷ δὲ τὴν λύσιν τὴν παρὰ τοῦ μελετωμένου,[3] ὃν καλοῦμεν ἀνθορισμόν· ἄλλοτε οὖν ὅρος τοῦ κατηγόρου, ἄλλοτε δὲ τοῦ φεύγοντός ἐστιν· ἀλλ' ἐὰν ὁρίσῃς αὐτὸν τοῦ ἐναντίου σοι πρὸς τὸ μελετώμενον εἶναι τὸν ὅρον οὐ[4] ταραχθήσῃ. Ἰστέον δὲ κἀκεῖνο, ὅτι ὁ ὅρος ἢ ἀπὸ τοῦ λείποντος ἢ ἀπὸ τοῦ πεπραγμένου γίγνεται πρὸς τὸ συμφέρον τοῦ λέγοντος· συλλογισμῷ· ὅτι ἴσον ἐστὶ τῷ πάσχειν τι μέρος τοῦ σώματος· ὁ δὲ ἐναντίος πολὺ διέστηκε, καὶ διαφέρει πάσχειν τι τοῦ σώματος, καὶ τὴν ψυχὴν τοιῶσδε διακεῖσθαι· γνώμη νομοθέτου· καὶ ὁ νομοθέτης ἁπλῶς εἶπεν ἀστρατείαν εἶναι τοῖς νοσοῦσιν, οὐδὲν προσδιορισάμενος. Πηλικότητι·[5] ἢ μέγα τοῦτο καὶ δεινὸν, καὶ ὄντως ἀφόρητον, τὸ τὴν ψυχὴν νοσεῖν· καὶ οὐδεμία παραμυθία τῷ πάσχοντι τὴν ψυχήν· ἀλλὰ πάντα πρὸς τοῦτο τὰ πάθη ἠλάττωται· καὶ κατασκευάζεται μάλιστα ἡ πηλικότης τοῖς ἀπὸ τοῦ τέλους, ὅταν ἢ πολλὰ ἢ μεγάλα δεικνύειν ἔχῃς τὰ ἀποβαίνοντα. ΠΡΟΣ ΤΙ. Ὅτι τοῦτο τῆς ἄλλης νόσου χαλεπώτερον καὶ μεῖζον· οἱ μὲν γὰρ νοσοῦντες, κἂν ἰάσεως μὴ τύχωσιν, ἀλλ' οὖν ἀκρωτηριασθέντες σώζονται· οἱ δὲ τὴν ψυχὴν μὴ ἰαθέντες παντελῶς ἀπόλλυνται.[6] ΕΠΙΛΟΓΩ. Καλέσῃ μοί τις τὴν κόρην, μάθῃ ὅτι δι' αὐτὴν οὐ στρατεύομαι· μάθῃ ὅτι τῆς παρατάξεως τὸν παρ' αὐτῆς ἡγοῦμαι πόλεμον χαλεπώτερον· ἀκουσάτω τοῦ νόμου· μαθέτω με διὰ τῶν αὐτῆς βεβλημένον βελῶν, συγχωρήσει τοῦτον ἡ πόλις καταγωνίσασθαί με τὸν πόλεμον· αὐτὸν οἴκοι νικήσομεν· καὶ τῆς τοιαύτης παύσομαι νόσου. νικήσας τὴν κόρην, γενήσεται πάρεργον ἐραστοῦ, τὴν ἀσπίδα πρὸ

3 Ald. Codd. μελετουμένου. 4 οὐ ταραχθ. — ὅτι ὁ ὅρος Ald. Vind. Par. om.; recepi ex Ven. 5 *Πηλικότητι* abest ab Ald. Vind. Ven., unde lacuna orta. In Par. manu seriori insertum est: in Med. manu eadem scriptum. Ex eodem sq. ἢ recepi, quod abest a reliquis. 6 Ald. Codd. ἀπόλυνται.

τοῦ τείχους καθ' ἡμῶν προβαλλόμενος· ἂν δὲ φθάσῃ τοῦτον ἡ πόλις νικήσασα, θαῤῥῶν αἰτήσω κατὰ τῆς κόρης τὴν συμμαχίαν ἐπὶ τοῦ βήματος· θαῤῥῶν αἰτήσω τὴν κόρην ταύτην ἰάσασθαι προαιρούμενος· καὶ τὰ τοιαῦτα· πλάτυνον τὸν ἐπίλογον ἠθοποιΐαις, ἀποστροφαῖς, καὶ τοῖς τοιούτοις· ὁ δὲ κυριώτατος ἐπίλογος, συγχωρήσατέ μοι πρὸς τὴν ἐρωμένην ἀπελθεῖν· συγχωρήσατέ μοι σχολῆσαι τῷ πάθει· μή με καταναγκάσητε παρατάξασθαι· μὴ παρὰ τὴν μάχην ἐννοήσας τὴν ἐρωμένην ἀντ' ἀριστέως γένωμαι ῥίψασπις· Ἔρως ἐστὶ τανῦν, οὐκ Ἄρης θεός· τοῦτον ἐγὼ νῦν τὸν θεὸν προσκυνῶ, καὶ ὡς δυνατὸν καὶ μέγαν ἱκετεύω καὶ κρείττονα·[7] ἂν δέ με στρατεύεσθαι καταναγκάσῃς, μετὰ κόρης παρατάξασθαι βούλομαι· αὐτή μοι δότω τὸν ἀσπίδα, αὐτὴ τὸ ξίφος· ἐπὶ μάρτυρι ταύτῃ τὴν ἀριστείαν ποιήσομαι· ἂν μόνον ἴδω ταύτην, παρὰ τὴν μάχην τολμηρότερος κατὰ τῶν πολεμίων γενήσομαι· ἂν δὲ καὶ λόγον εἴπῃ πρὸς ἐμὲ προτρεπτικὸν, καὶ ῥήμασι τὸν ἐραστὴν παρὰ τὴν μάχην παραμυθήσηται, ἀντηχήσας μέλος πρὸς αὐτὴν ἐνυάλιον συνάψω τοῖς λόγοις τὸ τρόπαιον.

## ΚΑΤΑ ΑΙΤΗΣΙΝ ΔΩΡΕΑΣ.

Ῥήτωρ ἐν τυραννουμένῃ πόλει ἔπεισε καταθέσθαι τὴν τυραννίδα τὸν τύραννον· καὶ αἰτεῖ δωρεὰν, ὡς ἀνελὼν τὸν τύραννον.

Ἡ κατάστασις ἔχει πολιτείαν καὶ τὰ ἀγαθὰ τὰ ἐν τῇ[1] δημοκρατίᾳ· εἶτα τὴν ἐξαίφνης ἐπιβουλὴν καὶ τὰ ἐκ τῆς τυραννίδος κακὰ μετ' αὐξήσεως· εἶτα τὴν πρὸς τὸν τύραννον ὁμιλίαν· καὶ τὸ πεῖσαι αὐτὸν, καταθέσθαι τὴν τυραννίδα· ἔχει δὲ ἡ κατάστασις καὶ ἠθοποιΐας πρὸς αὐτὸν τοῦ ῥήτορος προτρεπτικὰς ἐπὶ τὸν λόγον καὶ τὰ τοιαῦτα· εἶτα ὅρῳ τοῦ ἀντιλέγοντος, ἀλλ' οὐκ

7 Ald. κρείττωνα. 1 Par. τὰ ἐν δημοκρατείᾳ.

ἀνεῖλες τὸν τύραννον· εἶτα ἀνθορισμῷ παρὰ τοῦ μελετωμένου, ὅτι οὐκ ἔστιν μόνον τυραννοκτῆσαι τῷ ξίφει 327 τὸν τύραννον διαχρήσασθαι, ἀλλὰ τὸ [2] ἀπαλλάξαι τῆς τυραννίδος τὴν πόλιν, τοῖς πολίταις τὴν ἐλευθερίαν παρασχεῖν, ἀκέραιον τὴν δημοκρατίαν καταστῆσαι τῇ πόλει· τί γὰρ περιεργάζῃ τὸν τρόπον, καὶ μὴ τὴν ἔκβασιν τοῦ πράγματος θεωρεῖς; καὶ τοῦτο σύστησον παραδείγματι·[3] ὥσπερ ἂν εἴ τις εὐθύνοι τὸν ἰατρὸν, ὅτι μὴ σιδήρῳ τὸ πάθος ἐξέτεμεν, ἢ πυρὶ, ἀλλὰ διαίτῃ καὶ λόγῳ· ἢ στρατιώτῃ τοὺς πολεμίους νικήσαντι, ὅτι μὴ συμβαλὼν, μηδὲ τραυματίας γενόμενος ἀπήλλαξε πολιορκίας τὴν πόλιν. ΣΥΛΛΟΓΙΣΜΟΣ. Εἶτα ἑξῆς συλλογισμῷ, ὅτι ἴσον ἐστὶ τὸ πεῖσαι [4] καταθέσθαι τὴν τυραννίδα τὸν τύραννον τῷ διαχρήσασθαι· ὁμοίως γὰρ ἀμφότεροι τῆς ἐπηρείας ἀπήλλαξαν· ὥσπερ ἂν εἴ τις ὑπὸ λησταῖς γενόμενος ἢ ὑπ' ἄλλον τινὰ κίνδυνον, οὐ περιεργάζεται τὸν σώσαντα, οὕτως ἴσον ἐστὶ τῷ ξίφει καθελεῖν καὶ λόγῳ τὸν τύραννον· ἐπίσης γὰρ τὴν πόλιν τῆς τυραννίδος ἀπήλλαξαν. ΓΝΩΜΗ ΝΟΜΟΘΕΤΟΥ. Καὶ ὁ τῆς δημοκρατίας νομοθέτης μὴ τρόπον εἰπὼν μηδὲ ἰδέαν τῆς πράξεως ἁπλῶς εἶπε λαμβάνειν τὴν δωρεὰν, τὴν πόλιν ἀπαλλάξαντα τυραννίδος, καὶ τὰ τοιαῦτα. ΠΗΛΙΚΟΤΗΤΙ. Ὅτι μέγα καὶ παράδοξον τὸ [5] οὕτω καταλῦσαι τὴν τυραννίδα, καὶ θαύματος ἄξιον· ἐάν τε πρὸς τὸν λόγον ἢ τὸν ῥήτορα ἀπίδῃς, ἐάν τε πρὸς τὸν πεισθέντα· καὶ λογισώμεθα [6] τὴν τύχην τὴν μὴ παροξυνθῆναι παρασκευάσασαν παρὰ τοῦ ῥήτορος, τὴν ποιήσασαν οὕτω πρᾷον τὸν τύραννον, ὡς πεισθῆναι τῷ λόγῳ, καὶ ἀφεῖναι δυναστείαν, δορυφόρους, πλοῦτον, ἐξουσίαν,

2 Ald. Codd. τῷ. 3 Ald. Codd. παραδείγματος. 4 Ald. Codd. τὸ πεῖσαι τὸ καταθ. 5 Ald. Vind. τῷ Par. τὸ. 6 Ald. Vind. λογισόμεθα. Par. λογισώμ.

τὸ ποιεῖν ὅτι καὶ βούλεται. ΠΡΟΣ ΤΙ. Συγκριτικῶς πρὸς τὴν ἄλλην τυραννοκτονίαν, ὅτι τοῦτο κρεῖττον τοῦ ἀνελεῖν τὸν τύραννον· οὔτε γὰρ εἰς κίνδυνον κατέστην, οὔτε φόνον ἐνείργασμαι· καὶ τῆς τυραννίδος ἀπήλλαγμαι. ΑΝΤΙΘΕΣΙΣ ΣΤΟΧΑΣΤΙΚΗ. Ἀλλ' εἰκὸς αὐτὸν τυραννῆσαι καὶ δεύτερον· αὕτη δὲ ἀεὶ ἐμπίπτει ἐν τοῖς κατὰ αἴτησιν δωρεᾶς ὅροις· ἐὰν ᾖ τύραννος, ἢ πολέμιοι ὦσι, φέρε εἰπεῖν ὅτι εἰκὸς αὐτὸν πάλιν ἐπιθέσθαι τῇ τυραννίδι· ὁ γὰρ ἅπαξ ἀναιρεθεὶς πῶς τυραννῆσαι δύναται; ἀεὶ οὖν ἐμπίπτει στοχαστικὴ ἀντίθεσις ἐν τοῖς κατὰ αἴτησιν δωρεᾶς ὅροις· ἐὰν τοιαύτῃ στάσει ἢ πολέμιοι ἢ τύραννος περιῇ· καὶ λύσεις στοχαστικῶς· τὰ δὲ τοῦ στοχασμοῦ κεφάλαια ἐν ταῖς τοιαύταις ὑποθέσεσι βούλησις τυγχάνει μόνη καὶ δύναμις· ἔμαθες γὰρ ἐν τοῖς ἀτελέσι στοχασμοῖς, ὅτι τοῦ προσώπου κεφάλαια τυγχάνει δύο μόνα, βούλησις καὶ δύναμις· ἐνταῦθα δὲ περὶ προσώπου ἐστὶν ὁ λόγος· λύσεις οὖν στοχαστικῶς· ὅτι οὐκ εἰκὸς αὐτὸν πάλιν τυραννῆσαι ἅπαξ ἑκόντα παυσάμενον καὶ οὐ βίᾳ· καὶ γνόντα τῷ λόγῳ, ὅτι πολὺ τοιοῦτος βελτίων, ἢ ὁ τῶν τυράννων· ἀδύνατον δὲ ἅπαξ, ἢ δυσχερὲς τὸν ἑκόντα καὶ βουλήσει οἰκείᾳ καταθέμενον τὴν τυραννίδα τοῖς αὐτοῖς δεύτερον βουληθῆναι περιπεσεῖν δυστυχήμασι, τὰς αἰτίας ἅπαξ ἐγνωκότα διὰ τὸ τυραννεῖν ἀτοπώτατον· καὶ οὐ δεδυνήσεται κατασχεῖν τὴν ἀκρόπολιν, οὕτως ἀπατηθέντων ἀποβληθέντων τῶν δορυφόρων, καὶ τὰ τοιαῦτα. ΕΠΙΛΟΓΩ. Λοιπὸν ὅτι καλὸν τιμῆσαι τὸν τυραννοκτόνον, ἵνα πάντες εἰς ζῆλον καταστῶσι τοῦ τὴν πόλιν εὐεργετεῖν· ἔχεις δὲ λαβεῖν τὰ ἐπιλογικὰ νοήματα ἀπὸ τοῦ πρὸς Λεπτίνην· ἐὰν γὰρ μὴ τιμήσητε, οὐδεὶς ἔτι βουλήσεται κινδυνεύουσαν σῶσαι τὴν πόλιν· οὐδεὶς ἔτι ἑαυτὸν εἰς κίνδυνον ὑπὲρ τῆς πολιτείας ἐμβάλλει, εἰδὼς ὅτι ἢ κινδυνεύσας ἢ κατορθώσας παρ' ὑμῶν οὐ λήψεται δωρεάν· μετὰ ταῦτα ἐρεῖς·

*ἐγὼ τηρήσω τὸν νόμον, ἐγὼ φρουρήσω τὴν ἀκρόπολιν, ἐγὼ πάλιν ἐγγυῶμαι τὰ δεύτερα, ἀνθ' οὗπερ μηδεὶς θεῶν συγχωρήσειεν· πάλιν τις κατὰ τῆς πολιτείας μανῇ, τοὺς αὐτοὺς ἐρῶ λόγους καὶ δεύτερον· καὶ ποιήσω μισῆσαι τὴν τυραννίδα, φιλῆσαι δὲ τὴν ἰσοτιμίαν· καὶ πάλιν· ἐρῶ δὲ καὶ πρὸς ἅπαντας πρὶν εἰς λόγους ἐλθεῖν· ὑπὲρ ὑμῶν,*
328 *ὦ ἄνδρες, τοῖς λόγοις ὁπλίζομαι· ὑπὲρ τῆς πολιτείας τῇ παιδεύσει παρασκευάζομαι· διὰ τοὺς νόμους ἀριστεύσων ἄνειμι· ἐὰν δὲ μηδὲ οὕτως πεισθῇ, τότ' ἔχω τὸ ξίφος· ἔχω τὴν ὑπὲρ τῆς πόλεως ὁπλιζομένην δεξιάν· χρήσομαι κατὰ τοῦ μὴ πειθομένου τοῖς ξίφεσιν.*

## *ΟΡΟΣ [1] ΔΙΠΛΟΥΣ ΚΑΤΑ ΑΜΦΙΣΒΗΤΗΣΙΝ.*

*Ἀνῆλθέ τις εἰς ἀκρόπολιν, ὡς ἀναιρήσων τὸν τύραννον· ἔφυγεν· ἄλλος συντυχὼν ἀπέκτεινεν· ἀμφισβητοῦσι τῆς δωρεᾶς.*

*Ὁ κατὰ ἀμφισβήτησιν ἔχει ὁρισμὸν μὲν τοῦ αὐτοῦ [2] πράγματος· ἀναίρεσιν δὲ τοῦ ἐναντίου καθ' ἕκαστον κεφάλαιον· ἡ κατάστασις ἔχει τὴν πολιτείαν καὶ τὴν τυραννίδα μετ' αὐξήσεως, καὶ τὰ ἀπὸ τῆς τυραννίδος κακά· εἶτα τὴν ἄνοδον μετὰ τῆς διανοίας, ὅτι οὐκ ἤνεγκα τὴν σκηνὴν, τὰς τραγῳδίας, τὰ δράματα, καὶ μὴ φέρων ἐμαυτὸν εἰς κίνδυνον ἐπιδέδωκα, καὶ τὴν ἀναίρεσιν καὶ τὴν ἀπαλλαγὴν τῆς τυραννίδος, καὶ τὴν ἐπὶ τούτοις δωρεάν. ΤΩ ΑΠΟ ΤΟΥ ΕΝΑΝΤΙΟΥ ΟΡΩ. Ἀλλ' οὐκ ἀνεῖλες τὸν τύραννον· ἡ λύσις διπλῆ· ὅτι καὶ τοῦτό ἐστι τυραννοκτονία· οἷον, οὑτωσὶ τῷ ἀνθορισμῷ λύσις· ὅτι τοῦτο μάλιστά ἐστι τυραννοκτονία, τὸ ἀνελθεῖν, τὸ προθυμίαν ἔχειν ἀναιρέσεως, τὸ διῶξαι, τὸ καθαρὰν δεῖξαι τυράννου τὴν ἀκρόπολιν, τὸ καταστῆσαι δορυφό-*

1 Vind. ad marg. *ὁ παρ' Ἑρμογένει κατὰ πρόσωπον διπλοῦς ὅταν πρᾶγμα ὁλόκληρον ὑπὸ δυοῖν ᾖ πεπραγμένον· ἢ ἄλλως· δύο πρόσωπά τισιν ὑπάρχει.* 2 Ald. Codd. *ἰδού.*

ρων ἔρημον· σὺ δὲ φυγάδα μὲν ἀνῄρηκας, τύραννον δὲ οὐδαμοῦ· καὶ φεύγοντα ἐξ ἀκροπόλεως, οὐχὶ μετὰ δορυφόρων προκαθεζόμενον· εἶτα παραδείγματα· ὥσπερ ἂν εἰ τῶν πολεμίων εὕρῃς στρατηγὸν φεύγοντα χωρὶς στρατιωτῶν, χωρὶς ἄλλης τινὸς φάλαγγος, ἢ πολεμίων ἄρχοντα· καὶ τὰ τοιαῦτα. ΣΥΛΛΟΓΙΣΜΩ. Οὐκ ἴσον ἐστὶ τὸ διῶξαι καὶ ἐκβαλεῖν τῷ [3] ἀνελεῖν τὸν φεύγοντα· τὸ δὲ φεύγοντα ἀνελεῖν καὶ διωκόμενον παρατάξαι ἴσον ἐστὶ τῷ ἰδιώτην ἀνελεῖν. ΓΝΩΜΗ ΝΟΜΟΘΕΤΟΥ. Τοιγαροῦν καὶ ὁ νομοθέτης τῷ καθαρὰν παρανομίας δείξαντι τὴν ἀκρόπολιν ἔδωκε τὴν δωρεὰν, οὐ τῷ ἁπλῶς ἰδιώτην ἀνελόντι. ΠΗΛΙΚΟΤΗΣ. Ὅτι μέγιστον τὸ ἐγχείρημα, τὸ ἀνελεῖν, τὸ διῶξαι τὴν προαίρεσιν, τὸ μεταξὺ τῶν δορυφόρων φανῆναι μετὰ ξίφους· τὸ δὲ φεύγοντα ἀνελεῖν οὐδενὸς ἄξιον θαύματος, μᾶλλον δὲ οὐδεμιᾶς ἄξιον δωρεᾶς· κείμενον γὰρ καὶ ὥσπερ νεκρὸν ἀπὸ τοῦ ἡμετέρου τολμήματος τὸν τύραννον ἔτρωσε καὶ πρὸς τὴν σφαγὴν ἕτοιμον γενόμενον· διὸ οὐ δωρεᾶς ὁ ἄνθρωπος ἄξιος, ἁπλῶς κατὰ τοῦ τυχόντος χρησάμενος τῇ δεξιᾷ, οὐχὶ κατὰ τοῦ τυράννου· καὶ ὅτι σχεδὸν αὐτὸς ὁ τύραννος ἑαυτὸν ἐπιδέδωκεν, ἕτοιμος πρὸς τὴν σφαγὴν γενόμενος, καὶ τὰ τοιαῦτα· ΠΡΟΣ ΤΙ ΟΥΚ ΕΜΠΙΠΤΕΙ. Οὐ δυνατὸν γάρ ἐστιν εἰπεῖν, ὅτι μεῖζόν ἐστι τὸ ὑπ' ἐμοῦ πεπραγμένον τοῦ [4] ὑπὸ σοῦ· ὁ μὲν γὰρ ἐδίωξεν, ὁ δὲ ἀνῄρηκεν· οὕτως οὐδὲ ἐν τοῖς κατὰ ἀμφισβήτησιν ὅροις δυσκόλως ἐμπίπτει τὸ πρός τι· πλὴν εἰ μὴ κατά τινα περίστασιν· σπανίως δὲ πάνυ καὶ σχεδὸν οὐδέποτε· τοῦ γὰρ πρός τι τὴν σύγκρισιν ἔχοντος πρὸς τὸν ὅρον τοῦ ἀντιδίκου, οὗτος οὐ δύναται εἰπεῖν, ὅτι καὶ μᾶλλον τοῦτο τυραννοκτονία ἐστὶν, ἢ τὸ σόν· μωρὸν γὰρ, ἄλλως τε καὶ ἐν τῇ πρώτῃ ἐργασίᾳ ἡμᾶν ἐπιδειξάν-

3 Vind. τὸ, et paullo post τὸ ἰδιώτην ἀν. 4 Ald. Codd. τό.

των, ὅτι τὸ τοῦ ἀμφισβητοῦντος οὐκ ἔστιν ἔργον τυραννοκτόνου· διὸ οὐκ ἐμπίπτει. ΕΠΙΛΟΓΩ. προτρεπτικοῖς ἐπιχειρήμασι χρήσῃ πρὸς τὸ παρασχεῖν τὴν δωρεὰν, καὶ μὴ ἀποστερῆσαι τὸν καμόντα καὶ ἐπιδειξάμενον τὴν εὔνοιαν, ἵνα καὶ πάντες τὴν τοιαύτην προθυμίαν ζηλώσωσι· τὸ δὲ παρασχεῖν ἑτέρῳ τὴν δωρεὰν καὶ μὴ ἀποστερῆσαι τὸν καμόντα καὶ ἐπιδειξάμενον τὴν εὔνοιαν, ἵνα καὶ πάντες τὴν τοιαύτην προθυμίαν ζηλώσωσι· τὸ δὲ παρασχεῖν ἑτέρῳ τὴν δωρεὰν, ὅτι οὐ δίκαιον οὐδὲ πρέπον, καὶ ὅτι πολλοὶ ἐντεῦθεν ἀποτραπήσονται, εἰδότες ὅτι τοῦ πόνου αὐτοῖς [5] πλέον οὐδὲν, ἐὰν μὴ καὶ χεῖρα τῷ φόνῳ μιάνωσιν· ἂν δὲ παράσχωσι τὴν ἀμοιβὴν, ὅτι καὶ ὑπὲρ τῆς πόλεως ἔσται πάντων ἀκουόντων, ὅτι δικαίως τῷ ἀνελόντι ἀποδεδώκασι τὴν δωρεὰν, καὶ
329 ὅτι πάντες ἀποδέξονται, καὶ ὅτι μὴ γένοιτο μὲν καιρὸν τοῦτον γενέσθαι καὶ δεύτερον· ἂν δ' ἄρα συμβῇ, μόνος φιλονεικήσει προσθεῖναι καὶ τὴν σφαγὴν τοῖς ἐπιχειρήσασι.[6]

## ΑΛΛΟΣ ΟΡΟΣ ΤΟΥ ΚΑΤ' ἈΜΦΙΣΒΗΤΗΣΙΝ.

Δημοσθένους πολιορκοῦντος τοὺς ἐν Πύλῳ τριακοσίους, Κλέων ἐπηγγείλατο ἄξειν [1] αὐτούς· ἤγαγε· καὶ προκειμένης αὐτοῖς δωρεᾶς, ἀμφισβητοῦσι Κλέων καὶ Δημοσθένης.

Ὁ μὲν Δημοσθένης κατάστασιν ἔχει τὴν χειροτονίαν, καὶ τὴν ἐπὶ Πύλῳ ἔξοδον, καὶ τὴν πολιορκίαν, καὶ ἐν καθαιρέσει τὴν ἐπαγγελίαν τοῦ Κλέωνος, καὶ τὴν τῶν τριακοσίων καθαίρεσιν· ἐν οἷς οἰκονομήσεις, ὅτι εἰ καὶ μὴ Κλέων παρῆν, αὐτὸς εἰλήφειν τοὺς Σπαρτιάτας, ἀποκαμόντας τῇ πολιορκίᾳ καὶ τῷ πόνῳ· ἡ δὲ τοῦ Κλέωνος, ὅτι καὶ τοῦ πολέμου γενομένου τούτου τοῦ πρὸς Λακεδαιμονίους, καὶ πολεμούντων ἡμῶν, ὁ δῆμος χειροτονή-

---

5 Ald. Codd. αὐτῆς. 6 Vind. ἐπιχειρήμασι. 1 Vind. αὔξειν.

σας τινὰς στρατηγοὺς οἷα εἰκὸς ἁπλῶς χειροτονεῖσθαι ἐν δήμῳ, θορύβου γενομένου, καὶ στάσεως οὔσης, ἐχειροτόνησε καὶ Δημοσθένην· καὶ ἐξέπεμψε κατὰ Λακεδαιμονίων· εἶτα ἐρεῖς τὰ κατὰ Πύλον, Δημοσθένους μὲν καὶ τὸν τόπον καὶ τὴν θέσιν τῆς χώρας ἐξαίροντος πρὸς δυσχέρειαν, Κλέωνος δὲ τὰ τοιαῦτα παρατρέχοντος· εἶτα ὅτι οὐκ ἠδυνήθη λαβεῖν τοὺς τριακοσίους, ἐν χερσὶν αὐτοὺς ἔχων· εἶτα ὅτι ἀπηγγειλάμην, ἀπῆλθον, ἤγαγον· προκειμένης δωρεᾶς δίκαιός εἰμι ταύτην λαβεῖν. *ΟΡΩ ΑΠΟ ΤΟΥ ΚΛΕΩΝΟΣ.* Ἀλλ' οὐκ ἤγαγες τοὺς τριακοσίους· διὸ ταύτης τυχεῖν οὐκ εἶ ἄξιος τῆς δωρεᾶς. *ΑΝΘΟΡΙΣΜΩ ΑΠΟ ΔΗΜΟΣΘΕΝΟΥΣ.* Οὐκ ἔστιν κατορθῶσαι τὸ ἀγαγεῖν μόνον, ἀλλὰ τὸ περιστῆσαι τὸ στρατόπεδον, τὸ πολιορκῆσαι, τὸ τοῖς τείχεσι προσβαλεῖν, τὸ συῤῥῆξαι Σπαρτιάταις μαχόμενον· σὺ δὲ τούτων οὐδὲν πεποίηκας, ἀλλ' ἁπλῶς καμόντας καὶ κειμένους, καὶ σχεδὸν τοῖς ἐμοῖς εἰλημμένους στρατηγήμασιν, ἤγαγες. *ΣΥΛΛΟΓΙΣΜΩ.* Ὅτι ἴσον ἐστὶν τὸ συγκλεῖσαι [τῷ πολιορκῆσαι] [2] τῷ παντελῶς ἑλεῖν· τὸ δὲ ὥσπερ ἐν ἑτοίμῳ κειμένους λαβεῖν οὐκ ἔστιν ἴσον τῷ προευτρεπίσαι καμόντα καὶ μαχεσάμενον. *ΓΝΩΜΗ ΝΟΜΟΘΕΤΟΥ ΟΥΚ ΕΜΠΙΠΤΕΙ.* Νόμος γὰρ οὐδεὶς πρόκειται τῷ πλάσματι· ἀλλὰ παρὰ τοῦ δήμου προκειμένη δωρεά· ἐρεῖς οὖν ἀντὶ τῆς γνώμης τοῦ νομοθέτου τὴν γνώμην τοῦ δήμου· οἷον· διὸ καὶ ὁ δῆμος εἰδὼς προὔθηκε δωρεὰν τῷ κατορθώσαντι, οὐχὶ τῷ ἁπλῶς ἀγαγόντι· καὶ τὰ τοιαῦτα. *ΠΗΛΙΚΟΤΗΤΙ.* Ὅτι θαυμαστὸν καὶ μέγιστον τὸ ἡμέτερον κατόρθωμα· τὸ δὲ σὸν εὐτελές. *ΠΡΟΣ ΤΙ ΟΥΚ ΕΜΠΙΠΤΕΙ.* Οὐκ ἔχει γὰρ οὔτε Δημοσθένης οὔτε Κλέων πρός τι ποιήσονται τὴν σύγκρισιν· ὡς ἐν τῇ προλαβούσῃ [3] διαιρέσει εἴπομεν. *ΕΠΙΛΟΓΩ.* Ὁ ἐπίλογος πομπείαν ἔχει πολλήν· ἐπαγγελίαν ἑτέρων κατορθωμάτων κατ' εἶδος· δώσω καὶ

---

2 τῷ πολιορκῆσαι. Vind. om. 3 Ald. προλαμβούσῃ.

τούσδε, καὶ τούσδε δώσω, καὶ Λακεδαίμονα καὶ τὰ τοιαῦτα· ἠθοποιΐας παρὰ τῶν πόλεων· τί ἐροῦσι Πλαταιεῖς[4] ἀκούσαντες, ὅτι τετίμηται ἐπὶ τοῖς τριακοσίοις· εὐγνώμονες Ἀθηναῖοι καὶ τὰ τοιαῦτα· ἂν δὲ μάθωσιν, ὅτι Δημοσθένης[5] οὐδεμίαν δεξάμενος δωρεὰν ἀπῆλθε τοῦ βήματος, ἐροῦσιν ὅτι μῦθος τὰ περὶ Ἀθηναίων λεγόμενα· ποῦ τὸ πρὸς ἀξίαν νέμειν τὰς δωρεάς; Σπαρτιάταις πολεμοῦντες τὸν χειρωσάμενον Λακεδαιμονίους οὐ τετιμήκασι, καὶ τὰ τοιαῦτα.

## Ο ΑΝΤΟΝΟΜΑΖΩΝ.

Ἐξ ἱεροῦ τις ἰδιωτικὰ ὑφείλετο χρήματα· καὶ κρίνεται ἱεροσυλίας.

Ἡ κατάστασις ἔχει, πῶς χρήσιμος τοῖς ἀνθρώποις ὁ πλοῦτος· καὶ ὅτι πολλῆς φυλακῆς δεόμενος· ἀποροῦντες οὖν οἱ ἄνθρωποι τί καὶ δράσειαν, μίαν εὗρον ταύτην 330 καταφυγὴν, τὸ τοῖς θεοῖς παραθέσθαι τὰ χρήματα, τῷ τοῖς ἱεροῖς πρὸς φυλακὴν χρήσασθαι τῶν χρημάτων· ὅθεν λαθὼν οὗτος καὶ τοὺς θεοὺς αὐτοὺς ἐν παρέργῳ θέμενος, οὐκ αἰδεσθεὶς τὸν τόπον, οὐ τοὺς ἐφόρους δαίμονας, ὑφείλετο τὰ χρήματα· οἱ δὲ ἀντονομάζοντες ὅροι διπλοῖς καὶ τοῖς κεφαλαίοις κέχρηνται·[6] τοῦ μὲν κατηγόρου ὁριζομένου κλοπὴν εἶναι· ἱεροσυλίαν δὲ, μὴ ὡς εἶναι τοὺς πάντας ὅρους τέσσαρας· δύο τοῦ κατηγόρου καὶ δύο τοῦ φεύγοντος· δείξει δὲ αὐτὴ σαφέστερον ἡ διαίρεσις· ἔστι γὰρ εὐθὺς μετὰ τὴν κατάστασιν ὁ παρὰ τοῦ φεύγοντος ὅρος τοιοῦτος. ΟΡΟΣ. Ἀλλ' ἱερόσυλός ἐστιν, φησὶν, ὁ τὰ ἀναθήματα ὑφελόμενος· εἶτα ὁ ἄλλος ὅρος· κλέπτης δὲ ὁ τὰ ἰδιωτικὰ λαβών· λύσεις τῷ ἀνθορισμῷ, τὸ μὲν ἀναιρῶν,[1] τὸ δὲ κατασκευάζων· καὶ τί μέν ἐστι

4 Ald. Vind. Πλατα sq. brevi lacuna, quam explent Med. et Par. 5 Ald. Vind. Par. Δημοσθένην οὐδ. δεξάμενον. In Par. super ην et ον positum ς. Med. Δημοσθένην οὐδ. δεξάμενος. 6 Ald. κέχρηται. 1 Ald. ἀνερών. Vind. Par. ἀναιρών.

κλοπή, τί δὲ ἱεροσυλία· οἷον ἱερόσυλός ἐστιν ὁ τὰ ἱερὰ δεξάμενος καὶ εἴσω τῶν ἀνακτόρων γενόμενος, καὶ ἐπὶ προφάσει χρημάτων ἐντὸς τῶν ἀναβάτων γενόμενος· εἶτα τοῦτο ὡς ἔνι μάλιστα διὰ πλειόνων κατασκευάσας· ὅτι καὶ ὁ τόπος δίδωσι τὰς προσηγορίας· καὶ τὸ παρ' ἡμῖν σκεῦος κείμενον, ἂν ἐν τῷ ἱερῷ τεθῇ, ἱερωτικὸν γίγνεται· καὶ ὅτι σὺ ἐλάμβανες οὐκ ἀγνοῶν, ὅτι ἱερὸς ὁ τόπος· καὶ τὰ τοιαῦτα· καὶ ὅτι οὐχὶ τὰ χρήματα τοῦ τόπου κυριώτερα· ἀλλ' ὁ τόπος καὶ τῆς ἑαυτοῦ ἀξίας τοῖς χρήμασι μεταδίδωσι· εἶτα ἐκ παραδειγμάτων· ὅτι τὰ χρήματα, ἂν ἐν δημοσίῳ κείμενα ᾖ,[2] γίγνεται δημόσια· ἂν παρὰ στρατηγῷ, γίγνεται στρατιωτικά· ἂν ἱερῷ, γίγνεται ἱερατικὰ καὶ τὰ τοιαῦτα· εἶτα ἔπαγε καὶ τὸν ἕτερον ὅρον τὸν ἐπιδεικνύντα μετὰ τὸν πρῶτον ὁρισμὸν, τὸν ὅτι ἱερά ἐστι τὰ χρήματα, τὸν ἐπιδεικνύντα, ὅτι δημοτικὰ οὐκ ἔστι τὰ χρήματα· οἷον εἰ μὲν γὰρ ἐξ ἰδιωτικῆς οἰκίας εἴληφας τὰ χρήματα, καλῶς κλοπὴν ὀνομάζεις τὸ ἔγκλημα· εἰ δὲ ἐξ ἱεροῦ, τί σοι κλοπῆς[3] ἐπὶ τοῦ παρόντος τὸ πρόσρημα· κλέπτην ἴσμεν ἅπαντες, τὸν εἰς οἰκίαν εἰσελάσαντα, τὸν ἐρευνησάμενόν τινος τῶν παρ' ἡμῖν τὴν ἑστίαν, καὶ τὰ ὅμοια· εἶτα συλλογισμῷ ὁμοίως διπλῷ· ἑνὶ μὲν τῷ ἐπιδεικνύντι, ὅτι τὸ ἀφ' ἱεροῦ λαβεῖν ἰδιωτικὰ ἢ ἱερατικὰ τὰ χρήματα ταὐτόν ἐστι· ἑτέρῳ δὲ τῷ ἐπιδεικνύντι, ὅτι πολὺ διενήνοχεν εἰς οἰκίαν ἰδιωτικὴν εἰσελθεῖν, καὶ εἰς ἱερόν· οἷον, τίς γὰρ οὐκ οἶδε τῶν καθεζομένων ὑμῶν, ὅτι οὐδὲ διαφέρει τῷ ἱεροσυλοῦντι ἐντὸς ἅπαξ τῶν ἀνακτόρων καὶ τῶν σηκῶν γενόμενον, εἴτε ἰδιωτικὰ, εἴτε ἱερατικὰ τυγχάνει τὰ χρήματα· μόνου γὰρ γίνεται τοῦ ὑφελέσθαι τὰ εὑρισκόμενα· οὐδεμίαν τοιαύτην ποιούμε-

---

2 Sequitur in Ald. et Vind. Ἀθηναίων λεγόμενα. quae omisi cum Par. 3 Ald. σκλοπῆς.

νος τῶν δρωμένων διάκρισιν· ὥσπερ ἂν εἴ τις εἰς ναῦν ἐπὶ τῷ τι τῶν κειμένων φορτίων λαβεῖν εἰσελθὼν, οὐ διακρίνει πότερον ἐμπορικόν ἐστιν, ἢ ναυτικὸν τὸ εὑρισκόμενον, ἀλλ' ἁπλῶς τοῦ παραπίπτοντος ἔχεται, καὶ τοῦτο παῤ ἑαυτῷ ἐμπορικὸν ὀνομάζει τὸ φόριον, οὕτω καὶ ὁ εἰς τὸ ἱερὸν εἰσελθὼν μόνον γίγνεται τοῦτο λαβεῖν, ἢ οὐχὶ τοῦ διακρίνειν, πότερον ἰδιωτικόν ἐστιν ἢ ἱερατικὸν τὸ εὑρισκόμενον· εἶτα ἐπισυνάπτεις δεύτερον συλλογισμὸν, ᾧ μάλιστα κέχρηται ὁ ἀντίδικος, διαιρετικὸν ὄντα· ὅτι καὶ πολὺ διενήνοχεν εἰς οἰκίαν ἰδιώτου εἰσελθεῖν, ἢ εἰς ἱερόν· ἡ μὲν γὰρ τῶν ἱερατικῶν κόσμων ἐστὶν ἔρημος, οὔτε ναοὺς οὔτε βωμοὺς ἔχουσα· τὸ δὲ τοῦτον κατεσκαμμένον τὸν τρόπον καὶ ἐφόρους ἔχει τοὺς καθιερουμένους δαίμονας· τοῦτο δὲ πομπιεῖται πρὸς τὰς τῶν ἰδιωτῶν οἰκίας τὸ διάφορον. *ΓΝΩΜΗ ΝΟΜΟΘΕΤΟΥ.* Ἐντεῦθεν λοιπὸν μέχρι τοῦ πρός τι ἁπλᾶ ἐστι τὰ κεφάλαια· οἷον ὅτι καὶ ὁ νομοθέτης τὸν ἱερόσυλον ἁπλῶς τιμωρεῖσθαι προσέταξεν, οὐκ ἐπιζητῶν πότερον ἰδιωτικὰ, ἢ ἱερωτικά [4] ἐστι τὰ χρήματα, οὐδεμίαν διαφορὰν διδοὺς, ἀλλ' ἁπλῶς κολάζων τὸν ἁμαρτήσαντα· πλατύνεις δὲ τὸ κεφάλαιον, ἀναγνώσει τοῦ νόμου, ἐκθέσει τῶν
331 ῥημάτων, ἐξετάσει τῇ κατὰ μέρος, χρήμασι, τῷ ἀποστρέφειν ἐρωτᾷν, τῷ [5] λέγειν, ὅτι οὐδὲν τοιοῦτον οἷον ὁ φεύγων λέγει ἐν τῷ νόμῳ γέγραπται. *ΠΗΛΙΚΟΤΗΤΙ.* Δεινὸν καὶ χαλεπὸν καὶ οἷον οὐδὲν ἕτερον τὸ ὑφελέσθαι τὰ χρήματα, καὶ ἔρημον καταστῆσαι τὸ ἱερὸν, καὶ τὴν λειπομένην ἀφορμὴν, πρὸς φυλακὴν τῶν χρημάτων ἀφελέσθαι τοὺς ἔχοντας· καὶ τὰ τοιαῦτα· *ΠΡΟΣ ΤΙ.* Ὅτι οὗτος τῶν ἄλλων κλεπτῶν καὶ ἱεροσύλων χαλεπώτερος· οἱ μὲν γὰρ τοὺς ἰδιώτας μόνους ἀδικήσαντες, τὴν τῶν

---

4 Ald. Vind. ἱερωτικά. Par. per corr. ἱερατικά. 5 Ald. τὸ, scr. τῷ — sq. ὁ Ald. om., est in Vind. Par.

ἱερῶν οὐκ ἐλυμήναντο φυλακήν, οἱ δὲ τὰ ἀναθήματα λαβόντες τοῖς τῶν ἰδιωτῶν [6] οὐκ ἐλυμήναντο κτήμασιν· οὗτος δὲ καὶ τοὺς ἰδιώτας καὶ τοὺς θεοὺς ἀδικεῖ· τοὺς μὲν ἀφαιρούμενος [7] τῆς οὐσίας· τοὺς δὲ εἰς ἀπιστίαν καταφρονεῖσθαι ποιῶν· καὶ τὰ τοιαῦτα ὑποδιαιρῶν, συγκριτικῶς ἐκτενεῖς. ΕΠΙΛΟΓΩ ΚΟΙΝΩ προτροπὴν ἔχοντι πρὸς τιμωρίαν καὶ αὔξησιν τοῦ ὑποκειμένου, καὶ διατύπωσιν τῆς κλοπῆς πῶς ἔλαβε, πῶς ὑφίκετο, ποίας ἀφῆκε πρὸς αὐτὸν φωνάς, ὅτι καὶ τῶν ἱερῶν περιγεγένημαι· ὅτι καὶ ταύτην τῶν ἀνθρώπων τὴν ἀσφάλειαν διώρυξα· [8] ὅτι δεῖ τοῦτον [9] κολάσαι, ἵνα καὶ τοὺς ἄλλους ἀποτρέψωμεν πονηρούς· ὅτι σωθήσεται τοῖς ἀνθρώποις ἡ περὶ τὴν τοιαύτην παρακαταθήκην πίστις, ἐὰν οὗτος τὴν προσήκουσαν δῷ τιμωρίαν· ἴσασι γὰρ ὅτι οὐδεὶς ἔτι τολμήσει, ὅτι οὐδεὶς ἀγανακτῆσαι θεοὺς, ἐὰν μὴ τιμωρησώμεθα· ὁμοίως ἐρεῖς, πῶς προσκυνήσω τοὺς κρείττονας, τοῦτον παρὰ τοὺς νόμους ἀφείς; πῶς αἰτήσω τινὰ δωρεὰν τὸ δαιμόνιον, οὕτως ἀφεὶς τὰ ἱερὰ διορύττεσθαι; ἂν δὲ λάβω τὴν τιμωρίαν, μίαν ταύτην ἡγήσομαι τῶν χρημάτων τὴν φυλακὴν, τὸ τοὺς πονηροὺς ἁλισκομένους παρ' ὑμῶν ἀθῴους μὴ παραπέμπεσθαι.

## Ο ΚΑΤΑ ΣΥΛΛΗΨΙΝ ΟΡΟΣ.

Νόμος τὸν βιασάμενον κόρην διδόναι χιλίας· τοῦ συστρατήγου τις ἐβιάσατο [1] θύγατρα, καὶ διδοὺς τὰς χιλίας κατὰ τὸν νόμον κρίνεται δημοσίων ἀδικημάτων.

Ὁ κατὰ σύλληψιν ὅρος ἔοικε τῇ τῶν συσκευαζομένων στοχασμῶν ἐργασίᾳ· καὶ γὰρ ἐκεῖνοι καθ' ἕκαστον κεφάλαιον κοινὴν ποιοῦνται τὴν ἔκθεσιν· κἀνταῦθα

ἰδιωτῶν
6 Par. ἀναθημάτων. 7 Ald. Codd. ἀφαιρουμένους in Par. super ους scriptum ος. 8 Ald. Codd. διώρυξαν. 9 Ald. Codd. τούτου. 1 Ald. Codd. ἐβιήσατο.

καθ᾽ ἕκαστον κεφάλαιον διπλᾶ τὰ κεφάλαια· τοῦ μὲν φεύγοντος, δίδωμι κατὰ τὸν νόμον τὰς χιλίας· καὶ ὁριζομένου, ὅτι δημοσίᾳ τὴν πόλιν ἠδίκησε· γίνεται δὲ αὐτῷ τὸ μὲν τῆς βίας ἐν αὐξήσει· ὁμολογούμενον γάρ ἐστι· τὸ δὲ τοῦ δημοσίου ἀδικήματος ἐν κατασκευῇ ῥητορικῇ· καὶ τὸ μὲν δημόσιον πρῶτον μὲν ὁρίζεται καθ᾽ ἕκαστον κεφάλαιον· εἰσάγει [2] δὲ ἑξῆς τὴν βίαν· οἷον δημοσίᾳ οὐκ ἠδίκησα τὴν πόλιν, διὰ τάδε καὶ τάδε, ἀλλ᾽ ἐβιασάμην, καὶ δίδωμι κατὰ τὸν νόμον τὰς χιλίας· διαφέρει δὲ τοῦ ἀντονομάζοντος, ὅτι τὸ κατὰ φύσιν κοινὸν ὁ ἀντονομάζων διαιρεῖ· κλοπῆς γὰρ ἴδιον καὶ ἱεροσυλῆσαι καὶ κλέψαι· ὁ δὲ διαιρεῖ καὶ λέγει· ἄλλο κλοπὴ, καὶ ἄλλο ἱεροσυλία· ὁ δὲ κατὰ σύλληψιν τὰ φύσει κεχωρισμένα συνάγει κατ᾽ αὐτόν· ἄλλο γὰρ διαπαρθενεῦσαι, καὶ ἄλλο δημόσιον ἀδίκημα τῇ φύσει· ὁ δὲ συλλαμβάνει τὰ δύο φάσκων, καὶ τὴν κόρην ἐβιάσω, καὶ δημοσίᾳ τὴν πόλιν ἠδίκησας· πάλιν ἐν τῷ κατὰ σύλληψιν πρώτῳ κέχρηται τῷ ἀντονομάζοντι ὁ φεύγων· εἶθ᾽ οὕτως ὁ διώκων συλλαμβάνει ἀμφότερα· καὶ πάλιν ἐν τῷ ἀντονομάζοντι ἑκάτερα ἀτελῆ, καὶ ἱεροσυλία καὶ ἡ κλοπή· λείπει γὰρ τὸ τὰ χρήματα εἶναι ἱερατικά· ἐν δὲ τῷ κατὰ σύλληψιν ἡ μὲν βία ὁμολογουμένη τυγχάνει· ἀμφίβολον δὲ τὸ δημόσιον ἀδίκημα. ΚΑΤΑΣΤΑΣΙΣ. Ἔστιν οὖν ἡ κατάστασις ἀπὸ τῆς προβολῆς τῆς γενομένης ἐπὶ στρατηγίαν· καὶ ὅτι ὁ στρατηγὸς ὑπερηγάπα τὸν συστράτηγον, οἰόμενος πιστὸν ἕξειν ἐν τοῖς πράγμασι κοινωνὸν, καὶ ὅτι μεγίστας ἐλπίδας εἶχε δι᾽ αὐτοῦ κατορθώσειν ἅπαντα,
332 τοῦ μὲν ὑποτιθέντος γνώμας, τοῦ δὲ ἐνεργοῦντος, καὶ τοῦ πολέμου θᾶττον δεχομένου πέρας διὰ τὴν τῶν στρατηγῶν ὁμόνοιαν, ταῦτα ἐλπίσας, ταῦτα προσδοκήσας ἕξειν, ἐμαυτὸν αὐτῷ πρὸς πάντα ἐπέδωκα, τὴν οἰκίαν

2 Ald. εἰσάγειν. Vind. Par. εἰσάγει.

τὴν ἐμὴν, τὰ φίλτατα· εὐθὺς οὖν μετὰ τῶν ἐμῶν ἦν ὡς εὔνους συστράτηγος· εἶτα ἐπιτηρήσας ἐβιάσατο· ἕξεις δὲ καὶ ἠθοποιΐας ἐν αὐτῇ· ὅτι ἔλεγες πρὸς αὐτὸν διαλογιζόμενος, ὅτι καιρὸς νῦν ἐπιθέσθαι τῇ κόρῃ, [3] καὶ ὅτι ἐκαιροφυλάκει· ἕξεις δὲ καὶ ἀνακλητικά τινα, ὅτι ἐλάνθανε πονηρὸς ὢν, καὶ πόῤῥωθεν τὴν ἐπιβουλὴν ταύτην σκευαζόμενος· οἶμαι γοῦν ὅτι καὶ ταύτην τὴν στρατηγίαν αὐτὸς συνεσκεύαζεν, ἵνα τὸ γένος ἐνυβρίσῃ, καὶ τὰ τοιαῦτα. *ΟΡΩ ΤΟΥ ΣΥΣΤΡΑΤΗΓΟΥ.* Ἀλλ' οὐδὲν ἠδίκησα δημοσίᾳ τὴν πόλιν· ποῖον γὰρ τεῖχος ἢ ναὶ σταθμος, ἤ τι τῶν κοινῶν διέφθαρται· ἐβιασάμην δὲ τὴν κόρην· καὶ δίδωμι κατὰ τὸν νόμον τὰ χρήματα. *ΑΝΘΟΡΙΣΜΟΣ.* Λύσεις [4] ἀνθορισμῷ τὸν ὅρον τοῦ συστρατήγου· τὰ μέγιστα τὴν πόλιν ἠδίκησας· τὰ γὰρ εἰς τὸν στρατηγὸν ἀδικήματα κοινὰ τῆς πόλεώς ἐστιν ἀδικήματα, ὥσπερ γὰρ ἄν τι στρατηγὸς κατόρθωμα [5] κατορθώσῃ, τοῦτο τῆς πόλεώς ἐστι τὸ κατόρθωμα, οὕτως ἄν τις στρατηγὸς ἀδικηθῇ, τοῦτο τῆς πόλεως γίνεται· ἔτι καὶ οὐχ εἷς τρόπος ἐστὶ τῶν τῆς πόλεως ἀδικημάτων· οὐ γὰρ ἐπειδὴ ναῦς ἢ τεῖχος οὐ καθήρηκας, διὰ τοῦτο δημοσίᾳ τὴν πόλιν οὐκ ἀδικεῖς· ἀλλὰ καὶ στρατηγὸν ἀδικήσας τὴν πόλιν ἠδίκησας· εἶτα ὅτι τίνος τὸ ὄνομά ἐστι τοῦ στρατηγοῦ ἢ τῆς πόλεως· οὐδενὶ γὰρ στρατηγός ἐστιν ὄνομα, ἀλλὰ τοῦτο τίθησιν ἡ πόλις· καὶ ὅτι τὸ ἀξίωμα τῆς πόλεώς ἐστι· καὶ ἐάν τις εἰς τοῦτο πλημμελήσῃ τι, εἰς τὴν πόλιν ἀνάγει τὸ τόλμημα· εἶτα ἔπαγε τὴν βίαν· ἐν οἷς μὲν γὰρ τὴν πόλιν ἐβίασας, [6] ἰδίᾳ με ἠδίκησας· ἐν οἷς δὲ εἰς τὸν στρατηγὸν ἐτόλμησας, [7] ἐν τούτοις τὴν πόλιν ἠδίκησας· εἶτα ἔχεις καὶ παθητικὰ πολλά· τίς

3 Par. πόλει. ad marg. κόρῃ. 4 Ald. Vind. λύσει. Par. λύσεις. 5 κατόρθωμα Par. om., tum Ald, Vind. κατορθώσει. Par. κατορθώσῃ. 6 Ald. Codd. ἐβίασεν. 7 Ald, Codd. ἠδίκησας. Par. ad marg. ἐτόλμησας.

γὰρ ἔτι διεφθαρμένην τὴν κόρην δέξεται, οὕτως ἐξυβρισμένην; τίς δὲ οὐκ ἐρεῖ, ὅτι τοῦ πατρὸς στρατηγοῦντος καὶ περικειμένου τὸ κοινὸν τῆς πόλεως ἀξίωμα, ἡ κόρη διέφθαρται; καὶ τὰ τοιαῦτα· ἔχεις δὲ τὰ ἐπιχειρήματα καὶ τὰ παραδείγματα ἐκ τοῦ κατὰ Μειδίου λαβεῖν· καὶ τῶν ἐν τῷ λόγῳ τόπων πολλῶν. ΣΥΛΛΟΓΙΣΜΟΣ. Μετὰ ταῦτα θήσεις τὸν συλλογισμὸν, ὅτι οὐδὲν διαφέρει βλάψαι τι τῆς πόλεως, καὶ στρατηγοῦ ἀδικῆσαι θυγατέρα· ὥσπερ γὰρ ἄν τις τὴν ναῦν καταδύσῃ, οὐ μόνον τὸν κυβερνήτην, ἀλλὰ καὶ τοὺς ἐμπλέοντας ἀδικεῖ, καὶ ἕν τι κατὰ πάντων γίνεται τόλμημα· οὕτω καὶ ὁ στρατηγοῦ θυγατέρα βιασάμενος οὐ μόνον εἰς αὐτὸν ἐκεῖνον τὸν στρατηγὸν ἐξήμαρτεν, ἀλλὰ καὶ εἰς πᾶσαν τὴν πόλιν. ΓΝΩΜΗ ΝΟΜΟΘΕΤΟΥ. Ἀκολούθως τοιγαροῦν καὶ ὁ νομοθέτης οὐκ εἶπεν, εἰ [8] τόδε ἢ τόδε τις καταπράξεται, δημοσίᾳ τὴν πόλιν ἀδικεῖ· ἀλλὰ καθόλου τὸ ἀδίκημα θεὶς ἐπὶ τοῖς πάσχουσιν ὥρισε τὴν διάκρισιν· τί οὖν ὁ νόμος λέγει· ἄν τις ἀδικήσῃ τὴν πόλιν, ἔνοχος ἔσται τῷ δήμῳ· σὺ δὲ τὸ μέγιστον καὶ κυριώτατον μέρος τῆς πόλεως τὸν στρατηγὸν ἠδίκησας, τὸν ὑπὲρ τῆς πόλεως ἀναδεχόμενον τοὺς κινδύνους, δι᾽ οὗ νικηφόρος ἡ πόλις· ἢ τοὐναντίον, ὅπερ μὴ γένοιτο, ὑπήκοος, καὶ τὰ τοιαῦτα. ΠΗΛΙΚΟΤΗΣ. Ὅτι δεινὸν ἀδικῆσαι τὸν στρατηγόν· δεινὸν τὸ γένος βίαν τοιαύτην ὑπομεῖναι· ἡμῶν διὰ τοῦτο στρατευομένων, ἵνα μηδεὶς ὑβρισθῇ τοῦ γένους, ἔνδον ὑφ᾽ ἑστίας [9] ὑπομεῖναι τὸ τόλμημα· καὶ καθάπερ ἐπὶ σκηνῆς διὰ τοῦτο τοῖς πολεμίοις μαχόμενον, ἔνδον ὑπομεῖναι τὰ χαλεπώτερα· εἶτα ὅτι καὶ σωφροσύνη μέγιστον ἢ παρὰ πᾶσιν ἀνθρώποις, ἐξαιρέτως δὲ παρὰ ταῖς γυναιξίν· ἐὰν οὖν αὐτῶν ταύτην τις ἀφέ-

---

8 εἰ abest ab Ald. et Codd. 9 Ald. Codd. ὑφεστίας, sejunxi: ceterum scribendum censeo ἐφ᾽ ἑστίας.

ληται, τὸ πᾶν συνανῄρηκε[10] καὶ τὰ τοιαῦτα. ΠΡΟΣ ΤΙ. Σύγκρισιν ἔχει πρὸς τὸ ὑπὸ τοῦ φεύγοντος μαχόμενον· λέγει δὲ ἐκεῖνος, ὅτι δημοσίᾳ τὴν πόλιν οὐκ ἠδίκησα· οὐκοῦν ὁ στρατηγὸς ἐρεῖ, ὅτι τοῦ[11] καθελεῖν τεῖχος, τοῦ ἐμπρῆσαι τὰς[12] ναῦς, τοῦτο τυγχάνει χαλεπώτερον· ἐκεῖνα μὲν γὰρ ἐπὶ τοῦ οἰκείου καταστῆσαι πάλιν 333 τις δύναται σχήματος· τοῦτο δὲ ἀφανισθὲν ἅπαξ οὐδαμῶς ἔτι σωθῆναι δυνήσεται· τίς γὰρ ἔτι προσελεύσεται; τίς ταύτην κοινωνὸν ἔχειν τοῦ βίου βουλήσεται, οὕτως ἐνυβρισμένην τὴν κόρην μαθὼν, οὕτως ὑπομείνασαν χαλεπώτατα; καὶ τὰ τοιαῦτα· τινὲς μετὰ τὸ πρός τι ἀντίθεσιν παρὰ τοῦ στρατηγοῦ τιθέασι συγγνωμικήν· ὅτι ἐρῶν ἐβιασάμην· ἀποδοκιμάζουσι δὲ τοῦτο ἔνιοι· διὸ ἐν τῇ περιστάσει οὐκ ἔστιν ὡς ἤρα ὁ συστράτηγος, πλὴν οἶμαι καλῶς τεθεῖσθαι αὐτήν· δῆλον γάρ ἐστιν ὅτι στρατηγοῦ θυγατέρα οὐδεὶς βιάζεται, ἐὰν μὴ ἔρως ᾖ τῆς πράξεως προηγούμενος· λύσεις οὕτως μεταληπτικῶς· ὅτι ἔδει τῷ πατρὶ ἀναγαγεῖν, ἔδει αἰδεσθῆναι,[13] ἔδει πεῖσαι, ἔδει τοῖς κατὰ τὸν πόλεμον ἀριστεύσασί με προτρέψασθαι, μὴ τολμῆσαι κατὰ τῆς κόρης τι προπετέστερον, μὴ λάθρα τὴν τοιαύτην ἀδικίαν ἐργάσασθαι. ΕΠΙΛΟΓΩ. Ὑποσχέσεις ἔχοντι κατορθωμάτων καὶ τροπαίων· ὅτι ἀρκέσει καὶ μόνος, ὅτι ἡ τοῦ ἀδικήσαντος αὐτὸν τιμωρία πρὸς τὰ κοινὰ τῆς πόλεως προτρέψεται κατορθώματα, ὅτι δεινὸν τὸ μὴ δοῦναι τιμωρίαν· εἶτα διατυπώσει τοῦ ἀδικήματος· εἶτα ὅτι πάντες πρὸς τὴν ὑμετέραν κρίσιν ἐσπουδάκασι, τὴν ψῆφον τὴν ὑμετέραν νόσον ἡγούμενοι· ἂν μὲν οὖν καταψηφίσησθε, κέχυται τὸ πᾶν, νόμοι, σωφροσύνη, κατάστασις, οὐκ ἔντιμόν τις ἡγήσαιτο εἰ

---

10 Ald. τὸ πᾶσαν ἀνῄρηκε. corr. Vind. et Par. 11 Ald. οὐ. Par. Vind. τοῦ. 12 Vind. τούς. 13 Ald. αἰσθῆναι. corr. Vind. et Par.

ἀληθῶς ἐστιν πατὴρ ἑτέρου πρὸ τοῦ γάμου διακορεύσαντος· [14] γνωσθήσεται δὲ ὅτι οὐδὲν ὁ στρατηγὸς διαφέρει τῶν ἰδιωτῶν· καὶ πρὸς τούτοις ἐροῦσιν ἅπαντες· οὐκ ᾐδέσθη τὸ σχῆμα τὸ οἰκεῖον· οὐ τετίμηκε τὴν ἑαυτοῦ χειροτονίαν τὸ δικαστήριον, οὐκ εἶδεν, οὐκ ἐλογίσατο, ὅτι τὸν στρατηγὸν εὐνούστερον τῇ κατὰ τοῦ ἀδικήσαντος τιμωρίᾳ κατασκευάσει· ἂν δὲ μιᾶς τιμωρίας τυχὼν ἐξέλθω κατὰ τὸν πόλεμον, πῶς ὑπὲρ ὑμῶν ἀγωνίσωμαι, πῶς κινδυνεύσω ὑπὲρ παίδων, ὑπὲρ γυναικῶν, ὑπὲρ σωφροσύνης παρατατττόμενος· οὐδὲ τοὺς νόμους αὐτοὺς πρὸς συμμαχίαν εὑράμενος θρηνήσω, καὶ παρ' αὐτὸν τὸν πόλεμον οὐ δυνήσομαι παρατάξασθαι τὴν κόρην ὑβρισμένην ἐννοῶν· ἂν δὲ πρὸ τοῦ πολέμου λάβω τὴν δίκην, ἐρῶ· τοῦτό μοι τοῦ τροπαίου προοίμιον· τοῦτο τῆς μάχης πρῶτον κατόρθωμα· τοὺς οἴκοι πολεμίους νικήσαντες συνάψομεν καὶ τὴν τῶν πολεμίων νίκην τοῖς οἴκοθεν.

## ΕΜΠΙΠΤΩΝ ΣΤΟΧΑΣΜΟΣ.

Νόμος τὸν ἐξειπόντα τὰ μυστήρια τεθνάναι· ὄναρ τις θεασάμενος τὴν τελετὴν [1] ἤρετό τινα τῶν μεμυημένων, εἰ ταῦτα εἴη, ἅπερ ἑώρακεν· ἐπένευσεν [2] καὶ κρίνεται ἀσεβείας.

## ΠΟΙΟΤΗΣ.

Δεῖ πρῶτον παντὸς ζητήματος ἐπισκοπεῖν τὴν ποιότητα· ποιότης δέ ἐστιν ἡ ἀπὸ φανερῶν ἀξιωμάτων ὁμολογουμένη περὶ τοῦ προσώπου ὑπόληψις· ὁρᾷν οὖν δεῖ τὴν τοῦ κατηγόρου ὑπόληψιν καὶ ποιότητα· καὶ ταύτῃ συμφώνους ποιεῖσθαι τοὺς λόγους· ἔξεστιν οὖν σκοπεῖν περὶ τοῦ παρόντος ζητήματος, ὡς εὐσεβὴς ὁ κατήγορος·

---

14 Vind. διακορέσαντος. 1 Vind. τελευτὴν, ut paullo inferius etiam Ald. vide ad Nicolai Prog. X. 2. 2 Ald. Vind. ἐπένευσεν ἀσ ίνεται. corr. Par.

ἄδηλον γὰρ εἰ μεμύηται ἢ οὔ· τὴν γοῦν εὐσέβειαν δεῖ διὰ τῆς κατηγορίας ὁρᾷν· ὅπου γὰρ νεύσαντος μόνου τοῦ φεύγοντος τὴν κατηγορίαν πεποίηται, δηλονότι τὸ φυλάττειν τὸν περὶ τῶν μυστηρίων νόμον, καὶ τὴν τελετὴν περισποίδαστον ἐποιήσατο· ὁμοίως δὲ καὶ ὁ[3] φεύγων ἐστὶν εὐσεβής· μεμύηται γὰρ καὶ πρὸς τὴν ἐρώτησιν οὐδένα λόγον προήκατο· δεῖ οὖν ποιεῖσθαι τοὺς λόγους ἀφορῶντα πρὸς τὴν ἀμφοτέρων ποιότητα· ὡς εὐσεβέστατοί τινές εἰσι καὶ πρὸς τὴν τελετὴν[4] δεισιδαίμονες· ἐπιφορᾶς δὲ μεστὸς ὁ λόγος ἐστὶν οὐδαμοῦ κεχρημένων ἡμῶν καταφορᾷ· διενήνοχε δὲ ταύτῃ, ὅτι ἐπιφορὰ μετὰ τὴν ἀπόδειξιν τῆς ἀσεβείας τὴν καταδρομὴν ποιεῖται· ἡ δὲ καταφορὰ[5] καὶ προαποδείξεως κατατρέχει· τὸ γὰρ ὁμολογούμενον ἀδίκημα ἢ ἀσέβημα τὴν καταφορὰν εὐθὺς ἀπαιτεῖ· ὡς καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου, ὁμολογουμένης οὔσης τῆς ὕβρεως, εὐθὺς κατατρέχει· τὴν 334 μὲν ἀσέλγειαν, ὦ ἄνδρες δικασταί, καὶ τὴν ὕβριν· ἐπὶ δὲ τοῦ δημοσίου ἀδικήματος μετὰ τὸν ἔλεγχον καὶ τὴν ἀπόδειξιν ἐπάγει τὴν ἐπιφοράν· οὕτως οὖν καὶ ἐνταῦθα ποιήσομεν· πρότερον ἀγωνισάμενοι καὶ ἀποδείξαντες, ὅτι ἀσεβείας ἐστὶ τὸ εἰπεῖν καὶ ἐπινεῦσαι, καὶ οὕτω χρησόμεθα τῇ ἐπιφορᾷ· γνωστέον δὲ ὡς οἱ ἐμπίπτοντες ὅροι φύσει τὴν ἴσην ἐργασίαν ἔχουσι τῷ ἐμπίπτοντι στοχασμῷ· ὥσπερ γὰρ ἐκεῖνος προϊὼν μέχρι τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ἐν ἁπλῇ ἐργασίᾳ ἀπὸ τοῦ χρώματος ἐπὶ τὸν δεύτερον ἔρχεται στοχασμόν, οὕτω κἂν τοῖς ἐμπίπτουσιν ὅροις προελθόντες, μέχρι τοῦ πρός τι ἐν ἁπλῇ τῶν ὁρικῶν κεφαλαίων ἐργασίᾳ, ἐντεῦθεν ἐπὶ τὸν ἐμπίπτοντα ἀνατρέχομεν ὅρον, ὅτι οὐδὲ ἀμύητος οὗτος ὁ ὑπὸ τῶν θεῶν ὄναρ τελεσθείς· παρὰ δὲ τοῦ κατηγόρου τὸ ἐμπίπτον,

---

3 ὁ Ald. om., est in Vind. Par. 4 Ald. Vind. τελευτήν, Par. τελετήν. 5 Par. ad marg. καταφορά.

ὅτι καὶ ἀμύητος οὗτος· ἐρεῖς οὖν τὰ προοίμια ἀκολούθως τῇ ποιότητι τὸ εὐσεβὲς ἀεὶ καὶ τὸ περὶ τοὺς θεοὺς σκοπεῖν. ΠΡΟΟΙΜΙΟΝ. Πρώτῳ τοίνυν χρήσῃ τῷ [6] ἀπὸ βαρύτητος· οἷον ἔμελλέ τις, ὡς ἔοικε, φθόνος καὶ περὶ τοὺς θεοὺς εὐσεβοῦντί μοι γενήσεσθαι· καὶ τοῦτο τῆς ἄγαν θρησκείας ἦν πέρας· ὅπου μηδὲν τηλικοῦτον μανεὶς ὡς ἐξειπεῖν τῆς τελετῆς ταὐτὸν πάσχω τοῖς τῶν μυστηρίων νόμον παραβῆναι τολμήσασιν· οὐκοῦν ἀφήσω [7] τὴν κατ' ἐμοῦ βλασφημίαν ἀκέραιον· δυοῖν γὰρ σπουδάσω θάτερον ὑποκρῖναι κρινόμενος, ἢ πεῖσαι μηδὲν ἠσεβῆσθαί μοι μηδέποτε μεθ' ὑμῶν τὸν γραψάμενον, ἢ μετὰ τὸν ἔλεγχον αὐτὸν γενέσθαι δήμιον κατ' ἐμοῦ τὸν κατήγορον· οὐ γὰρ ἀνέξομαι ζῆν ἔτι, περὶ τὰς θεὰς ἐξαμαρτήσας καὶ τὰ μυστήρια. ΠΡΟΟΙΜΙΟΝ ΔΕΥΤΕΡΟΝ. Ἐγὼ μὲν οὖν καὶ νῦν ἀπὸ τῶν ἱερῶν πρὸς τὴν ἀπολογίαν ἀπήντηκα· καὶ πέπεισμαι τὴν γραφὴν ἑλεῖν προχειρότερον τῆς κατ' ἐμοῦ συκοφαντείας, τοὺς κρείττονας μαρτυράμενος· ἐπεὶ δὲ μετὰ τὴν πρὸς θεοὺς εὐχὴν προςυπολείπεται δέησις, δέομαι, μὴ πρὸς τὸ τῆς γραφῆς μέγεθος ἀφορᾶν· μηδ' ὅτι δεινὸν τὸ πρὸς θεοὺς πλημμελεῖν προκαταγνῶναί μοι μηδὲν, ἀλλ' ὁρᾷ εἰ τῶν πεπραγμένων τι κατηγορεῖ τὴν ἀσέβειαν. ΠΡΟΟΙΜΙΟΝ ΤΡΙΤΟΝ. Ὅτι ὑμεῖς μὲν τῆς φιλίας τοὺς θεοὺς θαυμάζετε, καὶ προσεύχεσθε τὴν πόλιν αὐτοὺς, οὕτως ἐποπτεύειν φιλικῶς, ὡς καὶ τὸν τελεσθέντα παρ' αὐτῶν ἀρτίως ἐπωπτεύκασιν· ὁ δὲ σεμνὸς κατήγορος τὴν τῶν θεῶν εὐεργεσίαν εἰς ἔγκλημα μετενήνοχεν· οὐ μὴν αὐτὸς ἐάσω φρονεῖν αὐτὸν οὕτω τὰ ἐναντία τῇ πόλει· ἀλλ' ἐπεξέλθω σωφρονεῖν διὰ τῆς τιμωρίας ἀναγκάσας τὸν κατήγορον. ΠΡΟΟΙΜΙΟΝ ΤΕΤΑΡΤΟΝ. Ὁ μὲν οὖν τετελεσμένος παρὰ τῶν θεῶν ἀμφιβάλλων ἔτι περὶ τῶν

---

6 Ald. Vind. τό. Par. τῷ. 7 Ald. et Codd. ἀφ' ὅσῳ.

μυστηρίων καθέστηκε, καὶ τὴν τελετὴν εἰ παραπλησία τίς ἐστιν τοῖς ὀνείρασιν ἀγνοεῖν. ἐγὼ δὲ παρ' ὑμῖν ὡς ἐξειπὼν τὰ μυστήρια κρίνομαι, ὁ λόγον [8] μηδένα πρὸς αὐτὸν ὅλως φθεγξάμενος. ΠΡΟΟΙΜΙΟΝ ΠΕΜΠΤΟΝ. Διπλῆν μὲν οὖν ὁ κατήγορος ἐνστησάμενος τὴν γραφὴν ἐμὲ μὲν εἰσήγγειλε παρ' ὑμῖν· τὸν δὲ πρὸ τῶν ἱερῶν ἐκμαθόντα τὴν τελετὴν ἐᾷ· οὐ μὴν ἀλλ' αὐτὸς ἀρκέσω [9] καὶ ὑπὲρ ἐκείνου καὶ ὑπὲρ ἐμαυτοῦ τὴν τιμωρίαν εἰςπράξασθαι. ΠΡΟΟΙΜΙΟΝ ΕΚΤΟΝ. Μικροῦ μὲν οὖν καὶ νῦν σιωπῶν ἐπὶ τὸ δικαστήριον καὶ πρὸς ὑμᾶς ἀπήντηκα τοῖς μυστηρίοις περὶ τῆς σιωπῆς καὶ ἐπὶ τοῦ παρόντος πειθόμενος· ἐπειδὴ δὲ τοῖς νόμοις καὶ ὑμῖν ὑπακούειν ἀκόλουθον, ἦλθον ἀπολογούμενος ἵνα μὴ δόξω αὐθάδης τις εἶναι καὶ θρασὺς, κρείττων φανῆναι τῶν νόμων βουλόμενος. ΚΑΤΑΣΤΑΣΙΣ. Ἡ κατάστασις ἔπαινον ἐχέτω τῆς πόλεως ὡς περὶ τὰ μυστήρια διακειμένης, καὶ οἰκονομίαν τῆς περιωπῆς· ὅτι οὐδὲ πώποτε ἐξηγόρευσά τι τῶν κατὰ τὴν πόλιν, οὐκ ἴδιον, οὐδὲ κοινὸν, οὐχ ὕβρισα κατὰ τὴν ἀγορὰν οὐδένα, οὐ τὰ τῶν φίλων ἀπόῤῥητα εἶπον· διὰ γὰρ τῶν ἐλαχίστων τούτων προαναιρεῖς· ὅτι οὐκ ἂν ἐξεῖπον τὰ μυστήρια, οἷον οὕτως· πάνυ 335
δὲ τὰ μυστήρια θαυμάζων ἀεὶ καὶ τὴν πόλιν εὐδαιμονίζων διὰ τὰ δρώμενα ἐπεθύμουν ἀεὶ καὶ συνεῖναι ταῖς θεαῖς διὰ τῶν μυστηρίων ἐσπούδαζον· καὶ πρῶτον μὲν οἱ τῶν φίλων σπουδαῖοι ταύτην μου τὴν ἐπιθυμίαν σκοπήσαντες σιωπᾷν συνεβούλευον, οὐκ εἰδότες ὅτι καὶ πρὸ τῶν ἐκείνων λόγων αὐτὸς [10] καθάπερ βίον ἐποιησάμην τὴν σιωπήν· τοιγαροῦν τίς ἤκουσέ μου κατὰ τὴν πόλιν διαβάλλοντος; τίς λοιδοροῦντος ᾔσθετο; τίς ὡς ἄπιστον

---

8 Vind. ὀλίγον. 9 Ald. Codd. ἀκέρσω. eadem τοῦ ρ̄ μετάθεσις p. 110. v. 9. ὑπὲρ σωφροσύνης παρατattόμενος. 10 Ald. Codd. αὐτούς. scr. αὐτός.

ἐμὲ κατεμέμψατο; καὶ τὰ τοιαῦτα· εἶτα ἐντεῦθεν λέγεις ὅτι τοῦτον διάγων τὸν τρόπον ἐγὼ καὶ καθάπερ ἄλλῳ μυστηρίῳ προτελεσθεὶς τῇ σιωπῇ τῶν ἄλλων ἁμαρτημάτων λοιπὸν τὸν ἐμαυτοῦ βίον ἐκάθαιρον, καὶ πρὸς τὴν θείαν τῶν θεῶν τελετὴν ἐπειγόμενος ἐκκλίνειν τῶν ἁμαρτημάτων ἐσπούδαζον· καὶ τὰ τοιαῦτα. πάντα δὲ σπούδαζε [11] παρακεκαλυμμένως λέγειν, μὴ λάθῃς [12] ἐν τῷ καθίστασθαι ἐξαγορεύων τι τῶν μυστηρίων, καὶ τοὐναντίον ποιήσῃς ἢ [13] προῄρησαι, δοκῶν μὲν ἀπολογεῖσθαι, ὑπάγων δὲ σαυτὸν τῇ γραφῇ φανερώτερον· τί οὖν ἑξῆς ἐρεῖς; ὅτι ἐντεῦθεν τὸ ἱερὸν καὶ πρὸ τῆς τελετῆς χρῆμα περισπούδαστον ἦν· ἐντεῦθεν ὠνειροπόλουν, ἐφανταζόμην τὰ μέλλοντα· ἐὰν δὲ θέλῃς καὶ πλατύτερον ἐκτεῖναι τὸν λόγον, ἐρεῖς ἠθοποιΐαν τινά· ὅτι βραδύνοντος τοῦ καιροῦ τὴν ἐμαυτοῦ τύχην κατεμεμφόμην· ἐδυσχέραινον. μέλλων δὲ τοῖς καθαρσίοις τοῖς πρὸ τῆς τελετῆς ἐντυγχάνειν, ἐκάλουν εὐδαίμονα ἐμαυτὸν, πιστεύων τὰ πάντα παρὰ τῶν θεῶν ἔχειν. διὸ καὶ τὰς τοιαύτας πρὸς ἐμαυτὸν ἀφῆκα φωνάς. ἂν μυηθῶ τὰ [14] μυστήρια, ἂν μετάσχω τῆς τελετῆς, τῶν ἐμαυτοῦ λοιπὸν προστήσομαι πράξεων· οὐ μέμψεταί μοί τις κατὰ τὴν πόλιν ὡς πλημμελήσαντι. οὐ λοιδορήσεταί τις ὡς λάλον· οὐ διορθώσεταί τις πταίοντα· ἀλλ᾽ ἔσομαι διὰ τὴν τελετὴν πρὸς πᾶσαν ἀρετὴν ἑτοιμότατος· ἐπεὶ οὖν εἴσω τῶν ἀνακτόρων γεγένημαι, καὶ μύστης ὢν ἱεροφάντην ἅμα καὶ δᾳδοῦχον τεθέαμαι, καὶ τὴν τελετὴν ἐκείνην εἶδον, ἣν οἱ μεμυημένοι πάντες ἐπίστασθε, ἐξῄειν ἀπὸ τῶν ἀνακτόρων ἐπ᾽

---

11 Ald. Vind. δ᾽ ἐσπούδαζον. Par. per corr. δὲ σπούδαζε. 12 Ald. Vind. λάθῃ. Par. λαθε. scr. λάθῃς. 13 ἢ Ald. Vind. om. recepi ex Par. vide de hac omissione Schaefer melet. crit. p. 11. 14 Ald. Codd. ἂν μυηθῶ τὰ μυηθῶτα μυστ. Omisi μυηθῶτα tanquam repetitionem vocis antecedentis.

ἐμαυτῷ ξενιζόμενος, μᾶλλον δὲ ᾐσθόμην,[15] καὶ τὰ παραγγέλματα φυλάττων ὡς ἀληθῶς ἀκριβέστερον· συλλογιζόμενος γοῦν πρώην κατ' ἐμαυτὸν καὶ τὸ τῆς ψυχῆς πρὸς τὸ θεῖον συγγενὲς[16] καὶ διὰ τὴν τελετὴν αἰρόμενος προσδραμόντα μοι τὸν εὐτυχῆ τοῦτον νεανίσκον ὁρῶ, καὶ συστήσας ὀλίγα τοῦ νεανίσκου τὸ πρόσωπον, ὡς εὐτυχὲς, ὡς εὐπρόσωπον, ὡς εὐσεβὲς, τοιοῦτον ἔργον θεασάμενον. εἶτα λέγε τὸ ὄναρ ἀσφαλιζόμενος· μή τι τῶν ἀποῤῥήτων ἐξείπῃς διὰ τοῦ ὀνείρου· εἶτα καὶ διηγήσατο, εἶτα ἐπὶ τούτοις ἐγὼ μόνον ἐπινεύσας κρίνομαι, μὴ φθεγξάμενος, μὴ λόγον εἰπὼν, μὴ σχήματι δηλώσας τὴν τελετὴν, καὶ τὰ τοιαῦτα. ἐκτείνειν γὰρ ἐφ' ὅσον βούλει δυνήσῃ, καὶ πρὸς τὴν κατηγορίαν ὁρῶν καὶ πρὸς τὴν ποιότητα καὶ πρὸς τὰς θέας· καὶ ὅλως ἂν θέλῃς τοιαῦτα ἐγκαταμίξαι τῇ καταστάσει, εἰς ταῦτα ἀφορῶν, σχήσεις πολλὴν εὐπορίαν· μετὰ τὴν κατάστασιν θήσεις τὸν νόμον οὕτως· ἀλλὰ παρέβης τὸν νόμον ἐπινεύσας, φησὶ, πρὸς τὴν ἐρώτησιν· λύσεις ἀπὸ τοῦ ἄλλου ὅρου τοῦ ἀνθορισμοῦ τοῖς λείπουσι χρώμενος· αὐτὰ δὲ μόνα καλῶς τεθέντα δεῖ λέγειν τὰ ἐλλείποντα, καὶ μηδὲν ἔξωθεν περιεργάζεσθαι· ξηρὸς γὰρ ὢν παντάπασιν ὁ ὅρος, καὶ ἐνθυμημάτων καὶ λογισμῶν ἔστιν ἐνδεής· πλὴν εἰ μή τις ἀπὸ παραδειγμάτων ἕκαστον τῶν κεφαλαίων ἐκτεῖναι θελήσειε· τὴν γὰρ εὐπορίαν τῶν λόγων ἐν ταύτῃ τῇ στάσει ἀπὸ μόνων ἄν τις παραδειγμάτων θηράσειεν· λύσεις οὖν οὕτως τὸν ὅρον, ὅτι τὸ νεῦσαι οὐκ ἐξειπεῖν ἐστι· τί γὰρ τούτου πρὸς τὴν κατηγορίαν ἀλλότριον; ἢ τί τούτου πρὸς τὴν ἀπόδειξιν ἀσαφέστερον; αὐτοῦ μαρτυροῦντος μὲν καὶ γραψαμένου τὴν σιωπήν. εἶτα ὅτι πολλά ἐστι πρὸς τὴν τοιαύτην τῶν μυστηρίων συντελοῦντα ἀσέβειαν,

15 Lobek Aglaoph. I. p. 159. conjicit: ἡδόμενος. 16 Vind. Par. ξυγγενές.

336 οἷον σχῆμα, λόγος, πρόοδος, καὶ τὰ τοιαῦτα· εἰ μὲν οὖν τι τούτων πρὸς τὸν ἄνθρωπον ἐξεῖπον, ὑπεύθυνός εἰμι τῇ γραφῇ· εἰ δὲ οὐδὲν τοιοῦτον ἐνδέδειγμαι, οὐδὲ ἔχει[17] τηλικοῦτον ψεύσασθαι πρὸς ὑμᾶς ὁ κατήγορος, αὐτόθεν τῆς συκοφαντίας ἐλήλεγκται. εἰ μὲν γὰρ ἡ σιωπὴ τοῖς κατηγοροῦσιν ὑπεύθυνος, πολλοί μου πολλοὶ πρότερον ἕτεροι τῶν κατὰ τὴν πόλιν ἐξήμαρτον· καὶ πρόσθες κατ᾽ εἶδος συντόμως, ὅτι καὶ οἱ περὶ χρημάτων πόρου βουλευομένης τῆς πόλεως ἠδίκησαν· καὶ οἱ περὶ πολέμων σκοπούντων ὑμῶν ὁμοίως καὶ τὰ τοιαῦτα· εἰ δὲ τὴν ἀκοὴν κρίνει, πολλοὶ πολλάκις καὶ τῶν ἐχθρῶν τῶν μυστηρίων ἠκροῶντο· ἐγὼ μὲν οὖν ἐπὶ νεύμασι δικαστήριον ἔγνων οὐδὲ πώποτε ξυναγόμενον· μόνος δὲ τανῦν, ὡς ἔοικεν, ἐπὶ τοῖς παραδόξοις ὑπὸ τοῦ χρόνου τετήρημαι· καὶ ψῆφον, ὡς εἰργασμένος τι κατὰ τῶν σαυτοῦ, προσδοκῶ· μηδὲ πώποτε παρ᾽ ὑμῖν ὡς ὑβριστὴς ὑπομείνας τύχην καὶ δικαστήριον· φυλάττου δὲ τὸ συνεχῶς λέγειν, ὅτι ἐπὶ σιωπῇ κρίνομαι· ἀσύστατον γὰρ οὕτω τὸν ὅρον ποιεῖς· οὐ γὰρ ἐπὶ τούτῳ κρίνεται· οὐκ ἐπὶ τῷ νεύματι· εἶτα τῷ συλλογισμῷ· ὅτι οὐκ ἔστιν ἴσον τὸ νεῦσαι τῷ ἐξειπεῖν· οἷον, εἰ μὲν οὖν ταὐτόν ἐστιν, ὦ ἄνδρες δικασταὶ, τὸ νεῦσαι καὶ ῥῆξαι φωνὴν, τοιαῦτα γὰρ ἀρτίως κομψευομένου τοῦ κατηγόρου διήκουσα, θᾶττον ὀφείλομεν ἐπὶ τούτοις τὸν κατήγορον τιμωρήσασθαι· αὐτὴν γὰρ τῆς φωνῆς τὴν φύσιν διαφθείρων ἐλέγχεται· καὶ ταὐτὸν ὀνομάζων νεῦμα καὶ λόγον, εἰδὼς ἕτερα ταῦτα καὶ ὡς πολὺ ἀπ᾽ ἀλλήλων διεστήκασιν ἀγνοεῖ,[18] μάτην εἰσελθὼν καὶ τὴν γραφὴν ταύτην δῆλός ἐστι, καὶ οὐδὲ ἐῤῥωμένος τὸν λογισμόν· εἰ δ᾽ ὑμεῖς ἴστε τί[19] νεῦμα καὶ λόγος, καὶ οὐδὲν εἰς τοὺς νόμους καὶ θεοὺς ἐξήμαρ-

---

17 Ald. Codd. ἐστιν. in Par. supra lin. ἔχει. v. 11. Ald. Codd. κατὰ τῶν ἐχθρ. κατὰ τῶν μυστ. ἠκρόωνται· ἐγὼ μ. ο. ἐπινεύμασι.
18 Ald. Vind. ἀγνοεῖν. Par. ἀγνοεῖ. 19 Ald. Codd. τό. scripsi τι.

τον· τί τούτου ληροῦντος ἀνέχεσθε; καὶ μιγνύντος ἃ φύσις ἄνωθεν ἀπ' ἀλλήλων διώρισεν; ἀπάτη γὰρ ἀγωνίσαι τὸν ἀγῶνα τοῦτον δυνήσεται· ἂν δὲ ὑμεῖς οὕτως πρὸς ἕκαστον ἐξετάζητε, καὶ τὴν ἑκάστου φύσιν ἀκριβῶς δοκιμάζητε, εὐθὺς ὡς συκοφαντοῦντα αὐτὸν ἐλέγξετε· εἶτα ἔπαγε παραδείγματα, ὅτι οὐ [20] ταὐτόν ἐστι τὸ ναυπηγήσασθαι ναῦν καὶ κυβερνήσασθαι, οὐδὲ τὸ δᾷδας παρασκευάσαι τῇ τελετῇ καὶ δᾳδουχῆσαι ταῖς θεαῖς· μετὰ ταῦτα ΓΝΩΜΗ [21] ΝΟΜΟΘΕΤΟΥ. Τὴν δὲ γνώμην ἀεὶ τοῦ νομοθέτου ἐκ τοῦ ἀπροσδιορίστου κατασκεύαζε ὅτι οὐκ εἶπεν ὁ νόμος, κἂν σχηματίσηται, κἂν νεύσῃ, κἂν ἄλλο τι ποιήσῃ, τιμωρείσθω. ἀλλ' ἁπλῶς ὡρισμένως εἶπεν· ὅτι ἐάν τις τὰ μυστήρια εἴπῃ, τιμωρείσθω· ἁπτόμενος δὲ τῆς γνώμης τοῦ νομοθέτου, ἄρχου οὕτως· ὑμῖν μὲν, ὦ ἄνδρες δικασταὶ, αὐτάρκως ἀπέδειξα τὸ προκείμενον, ὅτι οὐδαμῶς εἰμι πρὸς τὴν γραφὴν ταύτην ὑπεύθυνος· ἐπειδὴ δὲ ἀναισχυντῶν ἔτι πρὸς τὴν γραφὴν ταύτην ὁ συκοφάντης φιλονεικεῖ, κἀκ τῶν νόμων τούτου διελέγξαι πειράσομαι τὴν ἐπήρειαν· τί γὰρ ὄνομά φησιν, ἐξειπόντα τὰ μυστήρια θανάτῳ κολάζεσθαι· μὴ προσέθηκε, κἂν νεύσῃ, κἂν βλέψῃ, κἂν σχηματίσηται, κἂν ἄλλο τι δράσῃ κολάζεσθαι, ἀλλ' ἁπλῶς αἰτιᾶται τὸν

---

20 οὐ Ald. Codd. om. Saepe excidit: Apsin. p. 728. *ὅτι οὐ τὰ ἐναντία γράφεις.* Par. οὐ om. Vita Josephi. c. 69. *μετ' οὐ πολλὰς ἡμέρας.* Par. 1423. *μετὰ πολλάς.* Pausan. I. 17. 3. *καὶ παῖδα οὐκ ἔφη Ποσειδῶνος εἶναι, ἐπεὶ οὐ δύνασθαι τὴν σφραγῖδα — — ἀφέντι ἐς θάλασσαν ἀνασῶσαί οἱ.* Angel. Med. 2. Neapol. οὐ om. in Riccard. manu seriori inseritur. II. 31. 3. *Μουσείου δὲ οὐ πόῤῥω βωμός ἐστιν ἀρχαῖος.* Par. Angel. οὐ om. ibid. §. 9. *καὶ ὁ λόγος ἐς αὐτὴν οὐ διαφόρως τῶν Βοιωτῶν ἔχει.* Codd. οὐ om. 21 Ald. Vind. *μετὰ ταῦτα γνώμη νομ. ἐκ τοῦ ἀπροσδ. κατασκεύαζε. ΓΝΩΜΗ ΝΟΜΟΘΕΤΟΥ. ὅτι οὐκ εἶπεν.* corr. Par.

λόγον, καὶ τὸν ἐξειπόντα προσέθηκεν· ἵνα κατὰ τούτων μόνων ἐσαγγέλλωσι τὰς τοιαύτας γραφὰς οἱ κατήγοροι· εἰ μὲν γὰρ ἁπλῶς τοὺς ἠσεβηκότας ὁ νόμος ἐπιζητεῖ, τί τὸ πρὸς τοὺς θεοὺς ἀσεβεῖν ἐστι λογίζου, καὶ σκόπει λογιζόμενος· εἰ δὲ ὡρισμένως ὁ νόμος τοὺς προεμένους φωνὴν ἐπὶ τιμωρίαν καλεῖ, οὐκ οὖν αὐτὸς οὐδεμίαν τινὰ ῥῆσιν φθεγξάμενος ἀφείθην[22] ἔναγχος[23] μὲν ὑπὸ τοῦ λόγου τοσαύτην ἀπόδειξιν ποιησάμενος, τοῦ μὴ περὶ τὰς θέας ἀσεβεῖν, νῦν δὲ ὑπὸ τοῦ νόμου φανερῶς τὸν ἐκλαλήσαντά τι κατὰ τῶν μυστηρίων κολάζοντος. ΠΗΛΙΚΟΤΗΣ. Ἐντεῦθεν τῷ πηλίκῳ· κατασκευάσεις δέ, ὡς ἤδη προείπομεν, τοῦτο τὸ κεφάλαιον θετικῶς· οἷον, ὅτι καλὸν ἡ σιωπή. εἰσάξεις δὲ τοῦτον τὸν τρόπον. αὐτὰ μὲν οὖν τὰ τῆς σιωπῆς ἀγαθὰ κηρύττει πρὸ πάντων τὰ τῆς Ἐλευσῖνος μυστήρια, φωνῆς ἅμα καὶ λόγου προσημαίνοντα φείδεσθαι, τῆς σιωπῆς ἀρετῇ συστρέφεσθαι ποιεῖ τὸν τελούμενον· ἐγὼ δὲ καὶ πρὸ τῶν ἱερῶν καὶ πρὸ
337 τῆς φωνῆς ἐκείνης τοῦ κήρυκος, ἡλίκον τὸ χρῆμα παρ' ἐμαυτῷ λογιζόμενος, ἠπιστάμην, ἐγίνωσκον· τί γὰρ τῆς σιωπῆς αἱρετώτερον· καὶ καταλέγεις τὰ τῆς σιωπῆς ἐγκώμια· οἷον ὅτι σιωπὴ κρύπτει τοῖς βεβήλοις τὴν μύησιν, καὶ τὴν τελετὴν μέχρι τῶν ἀνακτόρων ἐφίστησιν· ἐκτεῖναι δὲ τὸν λόγον δυνήσῃ διατυπώσει τῇ τοῦ ἱεροκήρυκος φωνῇ· ὅτι πρὸ πάντων ἐπιτάττει[24] δημοσίᾳ τὴν σιωπήν, καὶ καθάπερ τι μέρος τῆς τελετῆς τὴν ἐχεμυθίαν τοῖς μύσταις παραινεῖ, καὶ διὰ ταύτης πρυτανεύεται λανθάνειν τοὺς πολλοὺς τὰ μυστήρια· καὶ οὐ μόνον ἐπὶ τῶν μυστηρίων οὕτως ἔχει τὰ τῆς σιωπῆς, ἀλλὰ καὶ τὰ τοῖς κοινοῖς πράγμασιν ὁμοίως ἐπιδείκνυται τὴν ἴσην δύνα-

---

22 Ald. ἀφύθην. Vind. Par. ἀφήθην. 23 Ald. Codd. ἔλεγχος. scripsi ἔναγχος, ut ἔναγχος μὲν et νῦν δὲ sibi responderent. 24 Ald. Vind. ἐπιτάττειν. Par. ἐπιτάττει.

μιν· τίς γὰρ οὐκ οἶδεν, ὅτι τὸ σιωπᾷν καὶ φέρειν τὰ παρὰ τῶν νόμων προσταττόμενα κυροῖ μὲν τοὺς νόμους, ἀμετακίνητος δὲ μένει [25] ὁ τῆς πολιτείας θεσμός· καὶ οὐ μόνον ἐν τούτοις ἡμῖν τὸ σιωπᾷν χρήσιμον, ἀλλὰ καὶ πρὸς ἀλλήλους ταύτην φυλάττοντες τὴν μὲν φιλίαν τὴν πρὸς ἀλλήλους διαφυλάττομεν, διαφεύγομεν δὲ μάχην καὶ πόλεμον· εἰ γὰρ λόγος ἀηδὴς κινεῖν οἶδεν ἔριν καὶ πόλεμον, δηλονότι σιωπὴ εἰρήνην ἡμῖν ἅμα καὶ φιλίαν χαρίζεται· τί γὰρ ταύτης κατὰ τὸν βίον θαυμασιώτερον; ἤ τί μάλιστα ἐν τοῖς κοινοῖς χρησιμώτερον· ἐντεῦθεν ὁ τῆς φιλίας νόμος παρὰ τοῖς χρωμένοις ἅπασι βέβαιος. [26] οὕτως ἀκίνδυνον γέρας παλαιὸς λόγος κηρύττει τὴν σιωπήν· εἶτα μετὰ τὸ πληρῶσαι τὰ θετικὰ πρόσαγε τὸ κεφάλαιον πρὸς τὸ ζητούμενον, λέγων, ὅτι ταῦτα εἰδὼς καὶ πεπαιδευμένος ἄνωθεν ἀμφίβολον πεποίημαι τὴν ἀπόκρισιν· καὶ νεύσας μόνον πρὸς τὴν ἐρώτησιν τοῦ θαῤῥεῖν οὐ παρεσχόμην τῷ [27] τοῦτόν μοι πρώην ἐξηγησαμένῳ τὸν ὄνειρον· εἶτα τὸ πρός τι φανερόν· διότι πρὸς τὸ ἐναντίον τοῦ ἐγκλήματος ποιεῖται τὴν σύγκρισιν. ἔστι δὲ τὸ ἐναντίον τῆς ἀσεβείας ἡ εὐσέβεια· ἐρεῖς οὖν ὅτι τοῦτο μάλιστά ἐστιν ἡ εὐσέβεια· τὸ γὰρ τοιαύτην ἀπόκρισιν πεποιῆσθαι καὶ τρόπον τοιοῦτον εὑρεῖν, δι' οὗ τοῖς μεμυημένοις ὀρθῶς καὶ προσηκόντως παρεῖχον σκοπεῖν ὅπως καὶ νένευκα· τοῖς δὲ ἀμυήτοις οὐδὲν πλέον ἀπὸ τοῦ νεύματος· ἄλλο τι ἄρα πρὸς θεῶν δείκνυσι τὸ γενόμενον, ἢ πολλὴν πρὸς θεοὺς δεισιδαιμονίαν καὶ φόβον. τοῦτο μυηθέντων [28] ἔργον, τοῦτο φυλαττόντων τῶν νόμων, τὸ

25 Ald. μέλει. Vind. Par. μένει. 26 Ald. βέβαιον. De dictione proverbiali ἀλλ' ἔστι καὶ σιωπῆς ἀκίνδυνον γέρας vide Paroemiographos, et Wyttenb. ad Julian. Or. in Const. p. 3. B. 27 Ald. Vind. τῷ om., est in Par. 28 Ald. Vind. τοῦτο μυηθὲν τῶν ἔργων. corr. Par.

ποιουμένους τινὰ περὶ τῶν μυστηρίων διάσκεψιν μηδεμίαν ἐκ τούτου διδόναι τοῖς ἀμυήτοις ἐπίγνωσιν· εἶτα χρῆσαι παραδείγμασιν, ἵνα πλατύνῃς [29] τὸν λόγον· οἷον ὅτι οἱ ἄγοντες τοῖς θεοῖς τὰς ἀπαρχὰς ἢ πρὸς τὰς θυσίας ταῖς ἑκατόμβαις φιλοτιμούμενοι εὐσεβεῖς μέν εἰσι· τὸν δὲ τρόπον [28*] ὅπως περὶ τῶν μυστηρίων διάκεινται, σαφῆ πρὸς τοὺς ἐντυγχάνοντας οὔπω παρασκευάζουσιν. ὁ δὲ τοῖς μυστικοῖς ἐγκαρτερῆσαι παραγγέλμασιν ὑπομείνας καὶ πρὸς τὰς τελετὰς αὐτὰς εὐσεβὴς, καθὸ δεισιδαίμων γενόμενος, περὶ οὐδενὸς ἔτι τὴν περὶ τοὺς θεοὺς ἔχει θρησκείαν ἀμφίβολον, καὶ ἄλλα δὲ παρατιθεὶς παραδείγματα ἀποδεικνύειν σπούδαζε, ὅτι ὁ [30] περὶ τοὺς θεοὺς εὐσεβὴς καὶ πάντων ἐστὶ τῶν ἄλλων εὐσεβέστερος· καὶ ὅτι τὸ περὶ τοὺς θεοὺς εὐσεβεῖν βέλτιον τοῦ εὐνοεῖν τῇ πατρίδι· ὁ μὲν γὰρ τῇ πατρίδι εὐνοῶν ἄδηλον ὅπως διάκειται περὶ τοὺς θεοὺς, ὁ δὲ εὐσεβὴς καὶ περὶ τὴν πατρίδα καὶ περὶ τοὺς πολίτας εὔνους ἐστὶ καὶ φιλάνθρωπος· φόβῳ γὰρ τῶν θεῶν οὐδὲν εἰς οὐδένα πταίει. ΑΡΧΗ ΤΟΥ ΕΜΠΙΠΤΟΝΤΟΣ ΟΡΟΥ· ἐντεῦθεν ἔρχῃ [31] ἐπὶ τὸν ἐμπίπτοντα ὅρον, ὅτι οὐδὲ ἀμύητος ἐκεῖνος· δεῖ οὖν πληρώσαντα τὸν πρῶτον ὅρον ἐπιλογικὸν εἰπεῖν πρῶτον νόημα· εἶθ' οὕτως εἰσβαλεῖν εἰς τὸν ὅρον· οἷον, ὡς μὲν οὖν ὁ συκοφάντης ἐλήλεγκται ταύτην ἐμοῦ καταψευσάμενος τὴν γραφὴν, καὶ δεῖ μηδαμῶς τοῦτον ἀφεῖναι [32] ἀθῷον τοῦ βήματος, μεμαθήκατε· ἐπεὶ δὲ πολλὴν πεποίηται κατὰ τοῦ πέρα τῶν θεῶν μεμνημένου καταδρομὴν, καὶ πανταχοῦ διεκωμῴδει τοῦ λόγου ἀμύη-

---

28* Ald. Codd. τῶν δὲ τρόπων. 29 Ald. Vind. πλατύνεις. Par. πλατύνῃς. 30 ὁ Ald. om., recepi ex Vind. et Par. 31 Ald. Codd. ἄρχῃ. scripsi ἔρχῃ. vide de hac permutatione Jacobs ad Achill. Tat. p. 409. Plat. Protag. p. 309. b. καὶ οὖν ἄρτι ἀπ' ἐκείνου ἔρχομαι. Clark. Vat. ἄρχομαι. 32 Ald. Vind. ἀφῆναι. Par. ἀφεῖναι.

τον ὀνομάζων τὸν ἄνθρωπον, ἀνάσχεσθέ μου μικρὰ περὶ τούτου τανῦν εἰπεῖν. ΚΑΤΑΣΚΕΥΗ ΤΗΣ ΜΥΗΣΕΩΣ. Εἶτα εὐθὺς κατασκεύασον, ὅτι οὔτε ἀμύητος 338
μὴ ἐξ ἀντιθέσεως τὸν ὅρον τιθεὶς, ἀλλὰ προηγουμένως κατασκευάζων αὐτόν· οἷον, πολλῶν γὰρ πολλάκις γενομένων παρὰ τῶν θεῶν εὐεργετημάτων τῇ πόλει, ταύτην μόνην ἐγὼ μαθὼν γενομένην τὴν μύησιν ὑπὲρ ἅπαντα τὰ παρὰ τῶν θεῶν ἡμῖν ὑπάρξαντα τεθαύμακα· τί γὰρ τούτου τἀνδρὸς ἐντελέστερον ἐξαίφνης ἅπασαν τὴν τῆς Ἐλευσῖνος ἐποπτεύσαντος τελετήν· αὐτὸς μὲν γὰρ ἀγνοεῖ, καὶ βούλεται κατιδεῖν τοῖς ὁραθεῖσι τὰ δρώμενα· δᾳδοῦχος δὲ τοῦτον ὡς ἐπόπτην μᾶλλον ἢ μύστην ὁρῶ· τὴν δὲ παρὰ τῶν θεῶν τελετὴν πρὸς ὅμοιον οὗτος εἶναι πιστεύων αἰνίγματι, καλῶς ποθεῖ τὰς νύκτας τὰς μυστικάς· καὶ πλέον ἔχειν ἀμυήτου[33] δοκῶν, ἐφ' ὅσων ἡμῶν ἐστιν ἐνδεέστερος, ἐπιθυμεῖ τῆς ἱεροφάντου κατακοῦσαι φωνῆς· ἡμῖν δὲ πρόδηλα τὰ τούτου λεγόμενα σύμβολα, καθάπερ μύσταις γενομένοις, καὶ τὴν γνῶσιν πεπαιδευμένοις σαφέστερον. ΣΥΛΛΟΓΙΣΜΟΣ.[34] Εἶτα συλλογισμῷ· ὅτι ἴσος ἐστὶν οὗτος τῷ μεμυημένῳ,[35] κἂν ἀμφιβάλλῃ περὶ τῶν μυστηρίων τὴν τελετήν· ὥσπερ γὰρ ἡμεῖς μεμυήμεθα, καὶ οὗτος μεμύηται, καὶ τῆς αὐτῆς ἡμῖν ἀπολέλαυκε προσηγορίας, ὑπ' αὐταῖς τελεσθεὶς ταῖς θεαῖς· ἡμᾶς μὲν γὰρ ἱεροφάντης ἅμα καὶ δᾳδοῦχος εἴσω τῶν ἀνακτόρων εἰσήγαγε· τουτονὶ δὲ τῆς σεμνῆς ἀπολαῦσαι ταυτησὶ τελετῆς Δημήτηρ καὶ Κόρη παρασκευάζουσι· καὶ πέρας ἀμφοῖν τὸ αὐτὸ γνῶναί τι τῶν ἀποῤῥήτων γεγένηται· εἶτα χρῆσαι παραδείγμασιν· ὅτι ὥσπερ ἰατροῖς οὐδὲν διαφέρει ἂν τῷδε ἢ τῷδε τὴν νόσον ἐκκαθάροιεν, τέλος ἓν τὴν ὑγίειαν πεποιημένοι τῆς πράξεως, οὕτως οἱ-

---

33 Ald. Vind. ἀμύητον. 34 Titulus abest a Vind. 35 Ald. Codd. τῶν μεμυημένων.

*μαι καὶ νῦν εὔλογον ἐπισκοπεῖν, οὐκ εἰ τὸ σεμνὸν τοῦτο συμφωνεῖ τοῖς κατ' Ἐλευσῖνα γενομένοις ἐνύπνιον, ἀφίημι γὰρ τοῦτό γε,*[36] *ἀλλ' εἰ ταυτὸν ἀμφοῖν τὸ μυηθῆναι τέλος ἀπήντηκεν. Ἡ ΓΝώμη τοῦ νομοθέτου ἐκλέλοιπεν ἐνταῦθα· δεῖ οὖν τὴν γνώμην ἐξετάσαι τῶν*[37] *θεῶν· τί βουλόμεναι*[38] *μεμυήκασι· καὶ καθόλου ἔνθ' ἂν ἐκλείπῃ τοῦτο τὸ κεφάλαιον, τὴν γνώμην τῶν πραξάντων ἐξετάζετε· τί βουλόμενοι τόδε τι ἔπραξαν· οἷον, ἡδέως δ' ἂν ἐροίμην μὰ τοὺς θεοὺς τὸν κατήγορον, τί ταῖς θεαῖς σπουδαζόμενον ἦν, ἢ τί διὰ τούτων τῶν ἐνυπνίων*[39] *ἠνύετο· εἰ μὲν γὰρ ἁπλῶς, καθάπερ εἴωθε, τὰ τῶν ὀνειράτων ἐγίγνετο, τί τί ποτε μυστικῇ πρὸς αὐτὸν συνουσίᾳ διὰ τῶν ἐνυπνίων παρεσκευάζετο· εἰ δὲ τοὐναντίον πρόδηλος ὁ σκοπὸς, καὶ σαφῶς ἴσμεν ὅτι βεβούληνται διὰ τούτων οἱ κρείττονες τὴν γνώμην ἀποφαίνειν τὴν ἐναντίαν τοῖς σύμβολα τούτων κινήσασι μυστικὰ, σαφῶς ὅτι ταύτην ἡμῖν τὴν τελετὴν αὗται κατεστήσαντο, δεῖξαι βεβούληνται μύστην ποιήσασαι τοῦτον τὸν εὐτυχέστατον, καὶ τὴν αὐτὴν αὐτῶν τῆς Ἐλευσῖνος ἐκκαλύπτουσαι μύησιν. ΠΗΛΙΚΟΤΗΣ. εἶτα τῷ πηλίκῳ· κατασκευάσεις δὲ θετικῶς αὐτῷ, ὅτι καλὸν ἡ μύησις, ὅτι μέγα καὶ θαυμαστὸν τοῦτον τελεσθῆναι τὸν τρόπον· καίτοι τί τούτου γένοιτ' ἂν κατὰ τὸν βίον παραδοξότερον, ἢ μυηθῆναι παρὰ*[40] *τῶν θεῶν ἐντελέστερον, ἢ ὁ ἱεροφάντης τελέσειε· θεῖα μὲν γὰρ αὐτὰ καὶ καθ' ἑαυτὰ τὰ μυστή-*

36 Ald. Codd. *ἀφίημι γὰρ, τοῦτο δὲ, ἀλλ'.* posui *γε* sublato commate. permutatur utraque particula: Paus. I. 15. 2. *μόναις δὲ ἄρα ταῖς γυναιξὶν οὐκ ἀφῄρει τὰ πταίσματα τὸ ἐς τοὺς κινδύνους ἀφειδὲς, εἴ γε Θεμισκύρας τε ἁλούσης — — ὅμως ἐς Τροίαν ἦλθον.* Par. Angel. Medd. duo *δέ.* Riccard. *δὲ* supra lin. *ή.* 37 Par. *τους* (*ῶν* supra lin.). 38 Ald. Codd. *βουλομένους.* scr. *βουλόμεναι*, sc. *Δημήτηρ καὶ Κόρη.* 39 Par. *ὀνειράτων.* ad marg. *ἐνυπνίων.* 40 Ald. Codd. *περὶ*, scripsi *παρά.*

ρια, καὶ προφέρειν τὸν ἔπαινον κατὰ τὴν ἀξίαν ἀδύνατον· τὸ δὲ τελετὰς εὑρεῖν τοὺς θεοὺς, καὶ δᾳδουχοῦντας ἅμα, καὶ τὴν τοῦ ἱεροφάντου φωνὴν μιμουμένους τοὺς κρείττονας τίνα καὶ πᾶσιν ὑπερβολὴν οὐκ ἀπολιμπάνεις σαφῶς; ἄνθρωπος μὲν γὰρ πᾶσαν ἐθεάσατο τὴν τελετὴν, ἱερουργῶν δὲ τούτῳ παρειστήκει θεός. ΕΙΤΑ τί πρός τι ἐκλείπει πάλιν· πλὴν εἰ μὴ θέλῃς συγκρίνειν τὴν διὰ τοῦ ὀνείρατος τελετὴν τοῖς ἀπὸ τοῦ ἱεροφάντου τελουμένοις, οἷον εἰ λέγοις, νῦν θαῤῥῶ καὶ τῆς κατ' Ἐλευσῖνα μείζονα ταύτην προσειπεῖν τελετῆς· νῦν ὄντως οὗτος ἡμῶν αὐτῶν ἐντελέστερος, αὐτοῖς τοῖς ἀρχηγέταις τῆς τελετῆς μυσταγωγοῖς σεμνυνόμενος· εἶτα ὅτι βελτίων ἡ παρὰ τῶν θεῶν τελετὴ κατασκεύασον οὕτω· εἰ [40*] γὰρ τὸ σφάλλεσθαι μᾶλλον ἢ κατορθοῦσθαι τῆς ἀνθρωπίνης οὐκ ἀλλότριον φύσεως· οἱ δὲ κρείττους ἀεὶ πρὸς τὸ πταίειν οὐκ εὔκολοι· βελτίους ἄρα οἱ παρὰ τούτων με- 339
μυημένοι τῶν οὐκ ἀκριβῶς ἐπισταμένων τὰ τῆς Ἐλευσῖνος ἀπόῤῥητα. ΕΠΙΛΟΓΩι. Οἱ δ' ἐπίλογοι ἀνέχουσι ποιότητα· αὐτὰ τὰ μυστήρια διατυπώσεις γὰρ καὶ ἐρεῖς, οὐδὲν ἀποκαλύπτων ὁμοίως τῶν μυστικῶν· οἷον, καιρὸς λοιπὸν, ἄνδρες δικασταὶ, τὸν ἄνθρωπον ἄγειν ἐπὶ τῆς Ἐλευσῖνος ἀπόῤῥητον τελετὴν, καὶ διδάσκειν ἃ παρὰ τῶν θεῶν δι' αἰνιγμάτων μεμάθηκεν· εἶτα ἀποστρέψας τὸν λόγον ἐρεῖς· ἂν εἰσέλθῃς εἴσω τῶν ἀνακτόρων, ἐπ' αὐτῆς τῆς τελετῆς σοι τῶν ἐνυπνίων γενήσομαι ἐξηγητὴς, [41] διδάξω λόγῳ λοιπὸν οὐκ ἔτι νεύματι τὰ μυστήρια, ἂν δᾳδουχίαν θεάσωμαι καὶ σχῆμά τι περὶ τοῦ ἀδελφοῦ γιγνόμενον εὐθὺς ἀναμνήσω [42] τὴν διὰ τῶν ἐνυπνίων θέαν ὑπάρξασαν, ἂν τῶν ἱεροφάντου ῥήσεων αἴσθωμαι, τὸ ὄναρ σοι σαφέστερον ἐξηγήσομαι· εὐθὺς ἐρῶ πρός σε,

---

40* Ald. Codd. ἤ. 41 ἐξηγητὴς Ald. Codd. om., addit Lobek. Aglaopham. I. p. 189. 42 Ald. Codd. ἀνυμνήσω. Lobek. l. l. ἀναμνήσω.

τοῦτ' ἐστὶν ὃ τεθέασαι, ταῦτ' ἦν ἐκεῖνα τὰ σχήματα, ταύτας αἱ θεαί σοι τὰς ῥήσεις διὰ τῶν συμβόλων ἐκείνων ἠνίττοντο· μή τοι πλέον ἆρα παρὰ ταῦτα τεθέασαι, μή τι καινότερον [43] ἔχεις παρ' αὐτῶν τῶν θεῶν, ἢ εἰς τὴν τελετὴν ταύτην δεξάμενος· εἰπὲ πρὸς θεῶν, εἴ τι πλέον μεμάθηκας· εἰπὲ πρὸς αὐτῶν τῶν Ἐλευσινίων Κόρης καὶ Δήμητρος· δίδαξον ἄν τι σφαλώμεθα [44]· πρόσθες τοῖς παρ' ἡμῶν γιγνομένοις τὰ λείποντα· εἰκός σέ τι πλέον παρ' αὐτῶν μεμαθηκέναι τῶν θεῶν ἅτε τελούμενον ὑπ' αὐτῇ [45] Κόρῃ καὶ Δήμητρι· πάντα πρόδηλα τὰ μυστικὰ τοῖς θεοῖς· θᾶττον ἡμεῖς τῶν προσηκόντων ἀποσφαλλόμεθα· πρόσθες αὐτοὺς τῇ τελετῇ· μηδὲν ἀποκρύψῃ τὸν [46] παρ' αὐτάς σε τὰς θεὰς ἱκετεύοντα· μὴ φοβῇς τὸν νόμον· εἰπὲ, μεμυημένος ἐρεῖς, ἵν' ἔχωμεν ἐπί σοί τι λέγειν παράδοξον, ἔτι μυούμενος ἄνθρωπος αὐτὸν τελούμενον [47] τὸν ἱεροφάντην διόρθωται, καὶ τὰ τοιαῦτα.

## ΔΥΟ ΟΡΟΙ.

*Νόμος τὸν ἀλλοτρίῳ τάφῳ χοὰς ἐπιφέροντα τιμωρεῖσθαι· ἀποκήρυκτος τελευτήσαντος αὐτῷ τοῦ πατρὸς εὕρηται δακρύων ἐπὶ τοῦ μνήματος, καὶ ὑπάγεται τῷ νόμῳ.*

Οἱ δύο καλούμενοι ὅροι, διὰ τοῦτο ταύτην ἔσχον τὴν προσηγορίαν, ὅτι ἁπλοῖ δύο συνεζευγμένοι εἰσὶ, καὶ δυνατὸν ἐφ' ἑνὶ ἑκάστῳ κατ' ἰδίαν κρίνεσθαι· οἷον, ἐπὶ τοῖς δακρύοις, εἰ χοαὶ τοῦτο· καὶ ἐπὶ τῷ ἀλλοτρίῳ τάφῳ, εἰ ἀποκήρυκτος ἀλλότριός ἐστι· καὶ δυνατὸν τὸ πλᾶσμα

---

43 Vind. κενότερον. 44 Ald. σφαλλόμεθα. Par. Vind. σφαλώμεθα. 45 Himer. Or. II. 5. ὅταν ἴδῃ μόσχον, ὃν ἔθρεψεν, ὑπ' Ἀφροδίτῃ τελούμενον. Julian. Or. VII. p. 235. A. μεθ' ὃν ἐπὶ τα πρόθυρα τῆς φιλοσοφίας ἦλθον, ὑπ' ἀνδρὶ τελεσθησόμενος κ. τ. λ. 46 Ald. Codd. τῶν. 47 Ald. Codd. τελούμενα. scr. τελούμενον.

διελόντα δύο ποιῆσαι προβλήματα· ἔστι[48] δὲ ἡ ἐργασία ἡ αὐτὴ σχεδὸν τῷ κατὰ σύλληψιν· διπλῆ γάρ ἐστι καθ' ἕκαστον κεφάλαιον ἡ ἔκθεσις· διαφέρει δὲ, ὅτι ἐκεῖ μὲν τὸ ἕτερον ὡμολόγηται, τὸ δὲ ἕτερον ζητεῖται· οἷον ἡ βία ὡμολόγηται, τὸ δὲ δημόσιον ἔγκλημα ζητεῖται· ἐνταῦθα δὲ ἀμφότερά ἐστι ζητούμενα· καὶ εἰ ἀλλότριος οὗτος, καὶ εἰ χοαὶ τοῦτο· παθητικὸς δὲ διόλου ὁ λόγος· ἥ τε γὰρ ἀποκήρυξις καὶ τὸ δοκεῖν ὡς ἐπ' ἀλλοτρίῳ δακρύειν τάφῳ, καὶ τὸ δακρύειν κωλύεσθαι, καὶ τὸ ἐπὶ τούτοις κρίνεσθαι ταῦτα πάντα χορηγεῖ τὸ πάθος τῷ πλάσματι. ἔστιν οὖν ἡ κατάστασις τοιαύτη τις. περὶ μὲν τοῦ κατηγόρου ὅτι ἠγάγετο ὁ τούτου πατὴρ ἐπὶ γνησίᾳ παίδων σπορᾷ ἐλπίζων γηροκομεῖσθαι· εἶτα ὅτι πεποίηκε παῖδα· ἀνήγαγε συμβουλεύων τὰ ἄριστα, καὶ ἐν ἠθοποιίᾳ ἔπαγε τὰ κατὰ μέρος τῆς συμβουλῆς· ὅτι τὰ καὶ τὰ συνεβούλευεν· εἶθ' ὅτι ἐξήμαρτεν εἰς αὐτὸν οὗτος, καὶ παρὰ τὴν ἀγωγὴν τὴν ἐκείνου βιώσας ἀπεκηρύχθη, καὶ τελευτήσαντος τοῦ πατρὸς εὑρέθη δακρύων ἐπὶ τοῦ μνήματος. *ΟΡΩι ΤΩι ΠΡΩΤΩι.* Εἶτα ἀλλ' οὐκ εἰμὶ ξένος, φησὶν, υἱὸς ὤν. *ΛΥσεις*· ὅτι γενόμενος ἀποκήρυκτος ἠλλοτριώθη τοῦ γένους, καὶ οὐδενὸς αὐτῷ μέτεστιν, οὔτε ζῶντος τοῦ πατρὸς, οὔτε νῦν μετὰ τελευτήν· εἰ γὰρ μετῆν τινος αὐτῷ, τίνος ἕνεκα ἐγίγνετο ἀποκήρυκτος, ἢ τί τέλος ἔχει τὸ ἀποκηρυχθῆναι, οὐχὶ τὸ μηδενὸς μηκέτι κοινωνεῖν, μὴ γένους, μὴ χρημάτων τῶν τοῦ πατρός· εἶτα θὲς πάλιν ἐξ ἀντιθέσεως τὸν δεύτερον ὅρον. *ΟΡΟΣ* 340
*ΔΕΥΤΕΡΟΣ.* Ἀλλ' οὐδὲ χοαὶ, φησὶ, τυγχάνει τὰ δάκρυα. *ΛΥΣΕΙ* πάλιν τῷ ἀνθορισμῷ· ὅτι πᾶν τὸ ἐπὶ τοῦ μνήματος ἐπιβαλλόμενον[49] ὑγρὸν χοαί· σὺ δὲ ἐπέσπεισας τῷ τάφῳ τὰ δάκρυα· σὺ ἄρα χοὰς τῷ τάφῳ

---

48 Vind. ἔστη et paullo inferius v. 5. ἐνταῦθα δὲ ἀμφότερα ἔστη ζητούμενα. Ald. ἐστί. 49 Ald. ἐπιβαλλόμενος.

ἐπέβαλες· καὶ ὅτι πᾶν τὸ ἐπὶ τῇ ὁσίᾳ καὶ τῷ τάφῳ ἐπιβαλλόμενον χοαί· σὺ δὲ ἐπ' αὐτοῦ δακρύων πεφώρασαι. ΣΥΛΛΟΓΙΣΜΩι. Ὅτι ἴσον ἐστὶ τὸ μηδεμίαν ὅλως ἔχειν πρὸς γένος συνάφειαν, καὶ τὸ γενόμενον ἀποκηρυχθῆναι· καὶ ἴσον ἐστί τι χοὰς ἐπιβαλεῖν, καὶ δακρῦσαι ἐπὶ τοῦ μνήματος. ΓΝΩΜΗ ΝΟΜΟΘΕΤΟΥ· ὅτι καὶ ὁ νομοθέτης τὸν ξένον εἶπεν ἁπλῶς, οὐδὲν περιεργαζόμενος ἔξωθεν, ἀλλὰ μόνον τὸν ἀλλότριον τοῦ κειμένου λέγων· καὶ ὅτι χοὰς εἶπεν οὐχ ὁρισάμενος οὐδὲν, πότερον τὸ ἢ τὸ[49] ἐπιβάλλεται, ἀλλ' ἁπλῶς εἶπε χοάς· σὺ δὲ παρὰ τὸν τάφον χοὰς ὤφθης ποιῶν, ὑπεύθυνος ἄρα τυγχάνεις[50] τῷ νόμῳ. ΠΗΛΙΚΟΤΗΣ· ἢ δεινὸν τοῦτο καὶ χαλεπὸν τὸ ἀλλοτρίοις τάφοις ἐπέρχεσθαι, καὶ περιεργάζεσθαι τὴν ὁσίαν καὶ ἐπιδακρύειν ξένοις μνήμασι. ΠΡΟΣ ΤΙ· εἰ χαλεπώτερόν ἐστιν ἀποκήρυκτον ὄντα, πλησίον τοῦ τάφου ἢ ἀληθῶς ξένον. ὁ μὲν γὰρ ἢ οὐδὲ τὴν ἀρχὴν προσῆλθεν ἂν, ἢ εἰ προσῆλθεν οὐκ ἂν ἔβαλε χοὰς κατὰ μηδὲν διαφέρων τῷ κειμένῳ. οὗτος δὲ καὶ προσῆλθε καὶ χοὰς ἐπέβαλε τῷ κειμένῳ. ΕΠΙΛΟΓΟΣ ΚΟΙΝΟΣ. Τιμωρήσασθε[51] αὐτὸν ὡς φίλου ὄντος καὶ ἡδέος τῷ κειμένῳ· εἰ γάρ ἐστι τις μετὰ τὸν θάνατον αἴσθησις, ἀγανακτήσειεν ἂν ὁ τεθνεὼς, ἐὰν ἀτιμώρητον ἀφῆτε τοῦ βήματος, καὶ τὰ τοιαῦτα, καὶ ὅτι δίκαιον αὐτὸν καὶ συμφέρον τιμωρήσασθαι.

## ΑΝΤΙΛΗΠΤΙΚΑ ΑΠΛΑ.

Μετὰ Μαραθῶνα Μίκων ὁ ζωγράφος τοὺς βαρβάρους γράψας μείζους τῶν Ἑλλήνων κρίνεται.[52]

Μεστόν ἐστι πομπείας τὸ ζήτημα, ἥ τε γὰρ τῶν

49 τὸ ex meo adjeci. 50 Ald. Codd. τυγχάνει. omisso praecedente ἄρα. 51 Vind. τιμωρήσασθαι. 52 Lycurg. apud Harpocr. s. v. Μίκων. Μίκωνα τὸν γράψαντα ἕως τὰς τρι-

κατορθωμάτων ὑπερβολὴ καὶ ὁ τῆς ἐλευθερίας ἀγὼν καὶ τὸ δοκεῖν δι' αὐτοὺς ἠλευθερῶσθαι τοὺς Ἕλληνας πομπεύειν τὸν Ἀθηναῖον ποιεῖ· οὐδὲ γὰρ ταύτην ἀνεστήσατο τὴν γραφὴν, λυπῆσαι τὸν ζωγράφον προηγουμένως βουλόμενος, οὐδὲ μετὰ τὸ τρόπαιον μικρόψυχος ἄλλος ἐστι περὶ μικρῶν οὕτω, μᾶλλον δὲ σκιῶν δικαστήριον συγκροτῶν, ἀλλὰ φιλοτιμήσασθαι διὰ τῆς γραφῆς ἐστιν αὐτῷ τὸ προκείμενον, καὶ κηρύξαι μᾶλλον τὰς ἀριστείας ἢ τὸν ἄνθρωπον τιμωρήσασθαι· ἰστέον δὲ ὅτι τῶν ἀντιλήψεων αἱ μέν εἰσιν ἁπλαῖ, αἱ δὲ διπλαῖ· καὶ διπλαῖ μέν εἰσιν αἱ ἐξ ἁπλῶν δύο συγκείμεναι· οἷον ταῖς πάντων γνώμαις ἀντιλέγει τις· καὶ αὐτὸς οὐκ ἀποφαίνεται γνώμην· τό τε γὰρ ἀντιλέγειν καθ' ἑαυτὸν τέλειον ὂν δύναται ποιεῖν τὴν ἀντίληψιν, τό τε μὴ ἀποφαίνεσθαι γνώμην ὁμοίως καὶ καθ' ἑαυτὸ δύναται κρίνεσθαι· ἁπλαῖ δὲ αἱ ἐν τῷ ἀπ' ἀρχῆς ἄχρι τέλους ἔχουσαι· διαφέρουσι δὲ τούτων αἱ ἐκ τοῦ ἀποβεβηκότος ἀντιλήψεις· ὅτι πᾶσαν τὴν τῆς ἁπλῆς ἔχουσαι τῷ ἀποβεβηκότι μόνον ὁμολογουμένῳ ὄντι ἀτόπῳ πλεονάζουσιν· ἔτι κἀκεῖνο γνωστέον, ὅτι οὐδὲν ἕτερόν ἐστι λεληθότως ἐν τῇ ἀντιλήψει κρινόμενον ἢ τοῦ φεύγοντος ἡ προαίρεσις· τὸ γὰρ γελᾷν τὸν Ἀλκιβιάδην ἢ δακρύειν τὸν πένητα ἑπόμενον τῷ πλουσίῳ, καὶ τὰ τοιαῦτα, ποίαν ἐπιδέχεται κρίσιν· οὐκοῦν ἔκ τινος περιστάσεως ὑπεύθυνον ὁ κατηγορῶν τὸ ἀπ' ἀρχῆς ἄχρι τέλους ποιῶν τοῖς δικάζουσι φαύλην τὴν προαίρεσιν ἐπιδείκνυται·[53] εἰ δέ τις φήσειε κἂν τοῖς στοχαστικοῖς προαίρεσιν[54] κατασκευάζεσθαι κεφαλαίοις, ἴστω ὅτι εἰ μὲν προηγουμένως ἡ προαίρεσις ἐκρίνετο, ὥσπερ ἐν στοχασμῷ, ἀναγκαίως τοῖς τοῦ στοχασμοῦ κεφαλαίοις κατε-

---

ἄκοντα μνᾶς ἐζημίωσαν. Vide Sillig. catal. Artif. p. 276. Boettiger. Archaeol. Pict. p. 251. 53 Ald. ἐπιδείκνυται. 54 repetuntur h. l. in Vind. ἐπιδείκνυται, εἰ δέ τις φήσειε.

σκευάζετο. ἐπειδὴ δὲ[55] λεληθότως τοῦτο γίγνεται ἐν
ταῖς ἀντιλήψεσιν τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους, ἐπιδεχο-
μένων τὴν κρίσιν ἐκ τῆς τῶν ἀντιληπτικῶν κεφαλαίων
341 κατασκευῆς, καὶ τὰ τῆς προαιρέσεως ἐπιδείκνυται· ἔτι
εἰ δή τινές φασιν εἶναι τὴν ἁπλῆν καὶ τὴν διπλῆν καὶ
τὴν ἐκ τοῦ ἀποβεβηκότος τῶν ἀντιλήψεων ἀνοήτως πάνυ
λέγοντες· τὰ γὰρ εἴδη τὰ ἀντιδιαιρούμενα ἀλλήλοις
ἴσμεν, ὅτι ἰδίαν καθ' ἕκαστον ἐπιδέχεται διαίρεσιν· ἐν-
ταῦθα δὲ πᾶσαι αἱ ἀντιλήψεις τοῖς ὁμοίοις διαιροῦνται
κεφαλαίοις· καὶ πῶς ἐστιν εἰπεῖν ταύτας εἴδη τυγχάνειν·
ὁ δὲ αὐτὸς λόγος μοι καὶ περὶ τῶν στοχασμῶν κεφα-
λαίων ἐστὶ, καὶ περὶ τῶν ὁρισμῶν. ἄρ' οὖν ἡ διπλῆ τῶν
κεφαλαίων ἔκθεσις, ἐν τοῖς ἀντεγκληματικοῖς στοχασμοῖς,
καὶ ἡ ἐξ ἀρχῆς πάλιν διαίρεσις· ὥσπερ ἐν τοῖς ἐμπίπτου-
σιν οὐκ ἔστιν ἰδία παρὰ τὰς ἄλλας αὕτη διαίρεσις οὐδα-
μῶς· οἰκονομίας γὰρ τρόπος ἐστί· τῷ γὰρ εἶναι διπλᾶ
τά ζητούμενα καὶ δύο βούλεσθαι παρασχεῖν ἐγκλημάτων
ἀποδείξεις διπλοῖς καὶ τοῖς κεφαλαίοις κεχρήμεθα· πῆ
μὲν ἕκαστον κεφάλαιον διπλοῦν ἐκτιθέμενοι, ὥσπερ ἐν
τοῖς ἀντεγκληματικοῖς στοχασμοῖς καὶ διπλοῖς ὅροις καὶ
διπλαῖς ἀντιλήψεσι· πῆ μὲν ἐπαναλαμβάνοντες τὴν διαί-
ρεσιν, καθάπερ ἐν τοῖς ἐμπίπτουσιν ἔθος ποιεῖν. ἐν μὲν
τῷ στοχασμῷ ἀπὸ τοῦ χρώματος ὑποστρέφοντες· ἐν δὲ
τοῖς ὅροις ἀπὸ τοῦ πρός τι. ὥστε ἡ αὐτὴ διαίρεσίς ἐστιν
ἐν πᾶσι τοῖς προβλήμασι· κεχρήμεθα δὲ ἡμεῖς πῆ μὲν
ἁπλοῖς, πῆ δὲ διπλοῖς τοῖς κεφαλαίοις, πῆ δὲ τῇ διαι-
ρέσει δεύτερον· οἰκονομίας χάριν ἂν εἴημεν τοῦτο ποι-
οῦντες, οὐχ ὡς ἐν εἴδεσιν ἑτέρᾳ τῇ τῶν κεφαλαίων κε-
χρημένοι τομῇ. παρατηρητέον δὲ, ὅτι ἐν ταῖς ἀπὸ τοῦ
βεβηκότος ἀντιλήψεσιν, ἐὰν πράγματα μεταστατικὰ δύο
τυγ-

---

55 δὲ Ald. Vind. om., recepi ex Par. δὲ absorptum praecedente δή.

τυγχάνῃ, τῷ μὲν ἑνὶ ὡς παραγραφικῷ χρησόμεθα· τῷ δὲ ἑνὶ ὡς χρώματι· καὶ παραγραφικῷ μὲν τῷ προσώπῳ τὸ ἄτοπον πράξαντι· χρώματι δὲ τῷ πεισθέντι τῇ συμβουλῇ· οἷον ἔπεμπε Φίλιππος ἐξαιτῶν τὸν Δημοσθένην· συνεβούλευσεν Ὑπερίδης μὴ ἐκδοῦναι· ἔπεισεν Αἰσχίνης ἐκδοῦναι· λαβὼν Φίλιππος ἀπέτεμε τῆς γλώττης αὐτόν· καὶ κρίνεται Αἰσχίνης δημοσίᾳ· ἐνταῦθα δύο ἐστὶ μεταστατικά. ἓν μὲν ἐπὶ τὸν Φίλιππον ἐκτεμόντα τὴν γλῶτταν, ἕτερον δὲ ἐπὶ τὸν δῆμον τὸν πεισθέντα· οὐκοῦν Αἰσχίνης χρήσεται μὲν παραγραφικῷ τῷ ἑνὶ, ὅτι οὐκ ὀφείλω κρίνεσθαι ὑπὲρ ὧν ὁ Φίλιππος ἔδρασεν· τῷ δὲ ἑτέρῳ τῷ τῶν Ἀθηναίων, ὅτι ὑμεῖς αἴτιοι πεισθέντες μοι συμβουλεύσαντι, χρήσεται εἰς κατασκευὴν τοῦ χρώματος· λέγων γὰρ, ὅτι τὰ ἄριστα συνεβούλευσα, κατασκευάσει τοῦτο τῷ μεταστατικῷ, ἐρεῖ γὰρ ὅτι οὕτω τὰ ἄριστα συνεβούλευσα, ἐκύρωσε δῆμος τὴν εἰσήγησιν· καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον ἡμῖν, ὦ υἱὲ Καρπωνιανὲ, τεχνολογείσθω. χρήσεται δέ τις ἐν τῷ προκειμένῳ ζητήματι προοιμίοις τοῖςδε. ΠΡΟΟΙΜΙΟΝ ΠΡΩΤΟΝ. Ἕως ἔτι μετὰ τῶν ὅπλων ἑστήκαμεν, καὶ βασιλικῶν εἰσι πραγμάτων δι' ὑμᾶς πάντες ἐλεύθεροι, προσθῶμεν τῷ Μαραθῶνος τροπαίῳ τὴν ἀλαζονείαν τοῦ Μίκωνος, καὶ διπλοῦν τήμερον κατὰ τὴν Ἀττικὴν γενέσθω τὸ τρόπαιον. Ξέρξου μὲν κρατεῖν τῶν οὐκ εἰθισμένων δουλεύειν ἐπιθυμήσαντος, Μίκωνος δὲ χαρισαμένου βαρβάροις παρὰ τὴν ἀξίαν τὰ μὴ προσήκοντα· καὶ τοῖς κατὰ Μήδων προσθῶμεν θαύμασι τὸ λειπόμενον θανάτου μετὰ τὴν τοιαύτην γραφὴν τῷ δημοτικῷ τούτῳ καὶ χρηστῷ τιμησάμενοι, ἵνα μάθῃ μετὰ τὰ Μαραθῶνι σεμνὰ τῆς πόλεως κατορθώματα μὴ τοιαῦτα Μήδοις τοῖς ἡττημένοις χαρίζεσθαι. ΠΡΟΟΙΜΙΟΝ ΔΕΥΤΕΡΟΝ. Δευτέρῳ δὲ χρήσῃ ἐκείνῳ ἔχοντι δριμὺ καὶ χάριεν ἐννόημα· εἰ μὲν οὖν παρὰ Μήδοις ἢ παρὰ Πέρσαις ἦν ἡ γραφὴ, τίς ἂν ἐγένετο παρὰ

ζωγράφου μείζων παραμυθία τοῖς δυστυχήμασιν, ἢ γράφεσθαι παρ' αὐτοῖς τῶν Μαραθῶνι μεμαχημένων καταδεεστέρους [56] τοὺς Ἕλληνας· νῦν δὲ οὐδ' ἐξὸν τῇ πόλει ταύτην περιθεῖναι τὴν ὕβριν διὰ τῆς τέχνης τετόλμηκεν, καὶ Μηδικὰ φρονεῖν Ἀθηναῖος τυγχάνων βεβούληται· φθόνον ἐξαίφνης τῇ πόλει τῶν κατορθωμάτων ἑάλωκε· καὶ τῆς Ξέρξου παρὰ τὴν ἀρχὴν ἡμῖν ἐλπίδος βαρύτερα 342 τὰ Μίκωνος γέγονε χρώματα· ἀλλὰ μιμήσασθε [57] τὴν αὐτῶν ἀρετὴν πάλιν καὶ δεύτερον, καὶ τοῖς πεπτωκόσι βαρβάρων πρόσθετε τὸν καινὸν ἑαυτῶν τοῦτον πολέμιον· καὶ γὰρ ἄτοπον τιμωρεῖσθαι μὲν Πέρσας Ἑλληνικοῖς ἀντιτεταγμένους [58] φρονήμασι, σώζειν δὲ τοῦτον βαρβαρικοῖς παραπλήσια δράσαντα πλημμελήμασι. ΠΡΟΟΙΜΙΟΝ ΤΡΙΤΟΝ. Τρίτον δὲ οὕτως ἂν λάβῃς χάριεν ἐννόημα· Μίκωνα μὲν οὖν ἔγωγε καὶ προσθεῖναι [59] τῇ γραφῇ προσεδόκησα χαριέστερον. καὶ Ξέρξην μετὰ τὴν φυγὴν Ἀθηναίων ὑπήκοον· ἐξουσίας γὰρ ἦν γραφικῆς, πολεμῆσαι Πέρσαις μετὰ τὴν κοινὴν ἀριστείαν διὰ τῆς εἰκόνος καὶ δεύτερον· νυνὶ δὲ πεφιλοτίμηται μὲν ὑπὲρ ἡμῶν οὐδὲ ἕν. κεχάρισται δὲ τοῖς βαρβάροις ὅσον ἡ τέχνη προσέταττε· καὶ τοῖς ἀπὸ τῆς μάχης αὐτῶν δυστυχήμασι τὰ παρὰ τῶν συμμάχων ἀντέθηκε θαύματα· ὑμέτερον οὖν ἔργον περιτρέψαι μὲν εἰς τιμωρίαν αὐτῷ τὴν γραφὴν, δεῖξαι δὲ πᾶσι τοῖς Ἕλλησιν, ὅσον πρὸς ἐλευθερίαν ὡρμήκατε, μηδὲ σκιᾶς ἁπλῶς ἐν γραφῇ βαρβάροις παραχωρεῖν ἀνεχόμενοι· ἔστι κἀκεῖθεν δέξασθαι τὸ προοίμιον. ΠΡΟΟΙΜΙΟΝ ΤΕΤΑΡΤΟΝ. Εἰ μὲν οὖν ἠγνόουν ἔγωγε Μίκωνα, ἐζήτησα ἂν παραχρῆμα μαθεῖν, πότερον Ἕλλην ἢ Πέρσης ἦν ὁ δημιουργήσας τὸν

56 Par. κεκρατημένους. ad marg. καταδεεστέρους. 57 Ald. Vind. μιμήσασθαι. Par. μιμήσασθε. 58 Ald. Codd. ἀντιτεγμένους. scr. ἀντιτεταγμένους. 59 Ald. Viud. προσθῆναι.

πίνακα. *ΠΡΟΟΙΜΙΟΝ ΠΕΜΠΤΟΝ.* [60] Τὸ πρῶτον ἐπιγνοὺς, ὦ δικασταὶ, τὸ τρόπαιον, πρὸς ὑμᾶς ἀπήντηκα, μαθεῖν ἐπὶ τοῦ δικαστηρίου βουλόμενος Μίκωνος, πότερον τὴν Μαραθῶνι μάχην ἢ ξένην μεμίμηται. *ΑΛΛΩΣ.* Ἐχρῆν μὲν οὖν παρ' αὐτὴν τὴν ποικίλην κρίνεσθαι Μίκωνα, ἵνα πλησίον ὧν δέδρακε καὶ τὸ παθεῖν ὑπομένῃ δεινότερον. *ΑΛΛΩΣ.* ᾤμην μὲν οὖν ἔγωγε Μιλτιάδην ἐλθεῖν ἐπὶ τὴν γραφὴν προθυμότερον· καθάπερ ἀρτίως ἐπὶ Μαραθῶνα παραταττόμενον. Εἰπὲ [61] καὶ ἄλλην προοιμιακὴν ἔννοιαν. Ἔδει μὲν οὖν ἐν Πλαταιαῖς ἐπὶ τὴν κατηγορίαν σπουδάσαι, ἵν' ὧν κακῶς μετὰ τῶν Ἀθηναίων πεπόνθασι, κοινῇ καὶ τὴν τιμωρίαν ταύτην ζητήσουσι· [62] νῦν δὲ ὑφ' ἡδονῆς τῆς γραφῆς παραχωρήσαντες ἡσυχάζουσι, καθάπερ ἐν τῷ πολέμῳ τοῖς κατορθώμασι. *ΚΑΤΑΣΤΑΣΙΣ.* Μετὰ τὰ προοίμια θήσεις τὴν κατάστασιν· διηγήσῃ τὰ κατὰ Μαραθῶνα, τὴν ἔφοδον τῶν βαρβάρων, τὸν δρόμον τὸν Ἀττικὸν, [63] τὴν τῶν θεῶν συμμαχίαν, τὰς ἀριστείας, τὰ πάντα δὲ μετὰ πομπείας καὶ φιλοτιμίας πολλῆς, καὶ μετὰ τὸ προσθεῖναι, ὅτι νικήσαντες ἀπέδωκαν τὴν ἐλευθερίαν τοῖς Ἕλλησι, τὰς τιμὰς τοῖς θεοῖς, κατ' εἶδος ἐκείνων ἕκαστον· ἀποστρέψεις δὲ καὶ πρὸς Πλαταιέας τὸν λόγον, καὶ ἀξιώσεις αὐτοὺς Μίκωνι διηγεῖσθαι τὰ κατορθώματα· φιλοτίμως οὕτω καὶ ἀποικίλως ἁπανταχοῦ πληρώσεις [64] τὴν κατάστασιν. *ΠΑΡΑΓΡΑΦΙΚΟΝ.* Μετὰ ταῦτα θήσεις τὸ παραγραφικόν· παρατηρητέον δὲ, ὅτι ἐν πάσαις ταῖς ἀντιλήψεσιν, ὅταν ἰδιωτικὸν τὸ πρόσωπον ᾖ, κρίνηται δὲ

---

60 In Par. sequitur: *εἰπὲ καὶ ἄλλως·* idem ter deinceps repetitur, ubi Ald. et Vind. simpliciter habent: *ἄλλως.* 61 *Εἰπὲ καὶ ἄ. πρ. ἔννοιαν* ex Vind. et Par. recepi. Ald. habet *ἄλλως.* 62 Ald. Vind. *ζητήσουσι.* Par. *αἰτήσουσι.* 63 In Par prima manu scriptum fuit: *τῶν Ἀττικῶν*, sed corr. est. — v. 19. Ald. Codd. *προσθῆναι.* 64 Ald. Vind. *πληρώσει.* scr. *πληρώσεις.*

δημοσίων ἀδικημάτων, ἐξ ἀνάγκης χρήσεται τῷ παραγραφικῷ, ὡς μὴ ὀφείλων κρίνεσθαι δημοσίᾳ· ἐρεῖς οὖν οὕτω· ἀλλ' ὑπὲρ ἰδιώτην ἐστὶν ἡ γραφή· ποῦ γὰρ ἰδιώτης ἀδικεῖ δημοσίᾳ τὴν πόλιν· ἢ οὕτως· ἀλλ' οὐ προσήκουσά μοι, φησὶν, ἡ γραφὴ, ἐκτὸς ὄντι μοι τῶν δημοσίων πραγμάτων· ἢ οὕτως, ἀλλ' ἐμοὶ δημοσίᾳ βλάψαι τὴν πόλιν πῶς ἐστι δυνατόν; λύσεις κατὰ περιτροπήν· ὅτι τοῦτο γάρ ἐστι τὸ δεινότερον· ὅτι τολμήσας οὕτως ἀνήκεστα καὶ καθ' ὑπερβολὴν ἀδικῶν οὕτω τὴν πόλιν τολμᾷς λέγειν, ὅτι πολλῷ τυγχάνεις ἐλάττων τοῦ τὴν πόλιν ἀδικεῖν δύνασθαι· καὶ πληρώσας ὃ βεβούλευσαι σαυτὸν ἀντὶ τῆς ἀπολογίας προβέβλησαι· καὶ δυσχεραίνεις μὲν εὐθυνόμενος, ἀγνοεῖν δὲ τῆς αὐτοῦ τέχνης ὑποκρίνῃ τὰ δράματα· καὶ στρατηγὸς, ἢ ῥήτωρ, ἤ τις ἄλλος μεγάλα δυνάμενος, οὗτος ἀεὶ μεγάλα τὰ ἀδικήματα ἔχει· καὶ οὐδέποτε ἂν μικρόν τι δράσειεν ἀδίκημα,
343 οὐ μὴν ἀλλὰ καὶ εἴ τις ἰδιώτης τυγχάνει, τοῦτ' ἂν εἶπεν ἁπλούστερον, ὡς οὐδέποτ' ἂν ἠδυνήθη μεγάλα κατὰ τὴν πόλιν ἐργάσασθαι· καὶ εἰ [65] τοῦτον οὕτως ἐφθέγγου τὸν λόγον καλῶς ἐποίεις λέγων, ὡς ὑπὲρ ἰδιώτην ἐστὶν ἡ γραφή· μεῖζον γὰρ ὄντως, ἢ κατὰ Μίκωνα, τὸ νικῆσαι τὴν τέχνην τοῖς ἀδικήμασιν· εἰ δὲ λαμπρὸς ἢ ταπεινὸς ἄλλως βίος οὐκ ἐμποδίζει [66] τοῖς πονηρεύμασιν, οὐδὲ ἔχει τις εἰπεῖν, ὅτι διὰ τύχην τις ἀδικεῖν τὴν πόλιν ἐφείσατο· τί ληροῦντος ἀνεχόμεθα Μίκωνος; οὐ γὰρ οἶδε προαίρεσις τὴν αὐτῆς πρὸ πάντων ἀξίαν λογίζεσθαι· ὥσπερ γὰρ οἱ εὐεργετεῖν τινα προελόμενοι ὅρον ἢ καιρὸν οὐδένα ποιοῦνται τῆς πράξεως, ὡσαύτως ὁ πονηρὸς τὸν τρόπον οὐδὲν ἔχει πρὸς τὴν ἐγχείρησιν κώλυμα, ἀλλὰ τῶν φθανόντων τὸ δρᾶσαι δύνασθαι χείρονα κατὰ τῶν ἀδικουμένων; ἃ καὶ προείρηνται· εἶεν· ἀλλὰ σκέψασθε τί [67]

---

65 Ald. Codd. οὐ. scripsi εἰ. 66 Vind. ἐμποδίζῃ. 67 Ald. σκέψασθέ τι. Par. σκέψασθε τί. Vind. σκέψασθαί τι.

κατὰ τὸν βίον ἐστὶν ὃ παθεῖν ἅπαντες φυλαττόμεθα· φθόνος μικρὸν τοῦτο, ἀλλὰ τυραννίς· καὶ τίς ἐπὶ ταύτῃ κρινόμενος εὐθύνεσθαι παρὰ τὴν ἀξίαν προὐβάλλετο. ὥσπερ οὖν εἴ τις τῶν δεινότατα δρασάντων οὐκ ἐξέφυγε τὴν τιμωρίαν μὴ κρίνεσθαι παραιτούμενος, οὕτω καὶ νῦν ἢ σωζέσθω Μίκων ἀποδεικνὺς ὡς οὐκ ἠδίκησεν, ἢ τέως, δι' ὧν ἀποφεύγειν οἴεται, νῦν ὑμεῖς κατηγορεῖν αὐτὸν ἑαυτοῦ, δι' ὧν οὐκ ἀπολογεῖται, γινώσκετε. λογίσασθε[68] γὰρ πρὸς θεῶν, μᾶλλον δὲ πρὸς Πανὸς[69] αὐτοῦ, οὗ τὴν ἀριστείαν οὗτος ἐπὶ τῆς εἰκόνος κατῄσχυνεν· εἰ πρὶν ἐγχειρῆσαι τὴν εἰκόνα τῷ Μίκωνι προσελθών τις[70] ὑμῖν τὴν ἀνδρὸς ῥᾳδιουργίαν ἀπήγγειλεν, γράψαι πότ' αὐτὸν ὕστερον τὸν πίνακα τοῦτον ἠνέσχεσθε οὐδαμῶς. μὴ τοίνυν ἃ πρὸ τοῦ γενέσθαι μαθόντες ἠγανακτήσατε, ταῦτα παθόντες συγχωρήσητε· λοιπὸν δὲ τούτοις τοῖς ἐπιχειρήμασι καὶ λαμπρὰ νοήματα καὶ θεατρικὰ καταμιγνύναι δύνασαι· οἷον, οὐ σὸν, ὦ Μίκων, λέγεις τἀδίκημα· καὶ

---

68 Vind. λογίσασθαι. 69 Ald. Codd. πρὸ παντὸς αὐτοῦ. in Par. τ in παντὸς et in αὐτοῦ erasum. scripsi πρὸς Πανός. Panis enim ἀριστεία in pugna Marathonia [Herod. VI. 105.] saepe memoratur a rhetoribus nostris. cfr. infr. p. 348. συστρατεύσεταί σοι πάλιν ὁ Πὰν ταῖς προθυμίαις. Lucian. Dial. D. XXII. 3. Pan de se ipse dicit: πρώην δὲ καὶ Ἀθηναίοις συμμαχήσας οὕτως ἠρίστευσα ἐν Μαραθῶνι, ὥστε καὶ ἀριστεῖον ᾑρέθη μοι τὸ ὑπὸ τῇ ἀκροπόλει σπήλαιον. bis accus. c. 9. ὑπὸ δὲ τὸν Δάτιδος ἐπίπλουν καὶ τὴν Μαραθῶναδε τῶν βαρβάρων ἀπόβασιν ἧκεν ἄκλητος τοῖς Ἀθηναίοις σύμμαχος. Aristid. ὑπὲρ τῶν τεττ. p. 172. οἶμαι δ' ἔγωγε καὶ τὸν Ἡρακλέα καὶ τὸν Πᾶνα καὶ τοὺς ἐπὶ τὴν μάχην ἀπαντήσαντας καὶ συστρατηγήσαντας Μιλτιάδῃ μάρτυρας ἀξιόχρεως τῆς ἀνδρείας — εἶναι. cfr. Epist. crit. p. 24. De artis monumentis, huc spectantibus, vide O. Mueller. Archaeol. p. 521. Stuart et Revett Antt. Athen. Tom. I. P. 2. p. 248. edit. German. 70 Ald. Codd. προσελθόντες ὑμῖν.

περὶ τούτου διορίζεσθαι μετὰ Μαραθῶνα πρὸς Ἀθηναίους τολμᾷς, πόθεν εἰπέ μοι τοῦτο μαθών; ἀπὸ τῶν νόμων τοῦ Δράκοντος, ἀπὸ τῶν δογμάτων Σόλωνος, ἀπὸ τῆς συνηθείας τῆς συνήθους ἡμῖν ἐξαίφνης ἀπέφηνας· ἀκούεις, ὦ Μιλτιάδη, τῶν λόγων; ὁρᾷς, ὦ Πλαταιεῦ, καθάπερ τινὰ στρατηγὸν ἕτερον περὶ τῶν σῶν ἀριστειῶν διοριζόμενον, κλεπτομένην τὴν πόλιν μετὰ τὸ τρόπαιον τῶν κατορθωμάτων, ἀφεὶς καὶ σοφιζομένους μετ' Ἀθηναίων θεοὺς, καὶ τὴν κρίσιν ζωγράφον καινότερον νεανιεύμασιν ἀπωθούμενον; καὶ τὰ τοιαῦτα· καίτοι τί τις οὐχ ὁμολογήσειεν ἂν ὡς ἀπὸ τῶν ἔργων ἅπαντες ἄνθρωποι τίθενται τὰς προσηγορίας τοῖς ἀδικήμασι; λόγοις τις ἀγορεύει κακῶς, οὐκοῦν ὕβρεως ἡ γραφή· σώματος ἅπτεται πλημμελῶν, καὶ τίς οὐκ οἶδεν εὐθὺς, ὡς αἰκίας ἡ κρίσις; καθαιρεῖ τις ἀνακείμενον τρόπαιον, πᾶσαν ὁμοῦ τὴν πόλιν οὗτος ἠδίκησεν, ὡς σύ· τίς ἐπιψεύσεται κατορθώμασι, δι' ὧν τὸ μὴ δουλεύειν τοῖς βαρβάροις ηὐτύχησεν, εἶτα πῶς οὐκ ἀδικῶν οὗτος δημοσίᾳ πάντας ἐλήλεγκται; μὴ τοίνυν πρὸς μὲν τὴν κρίσιν ἐνίστασο· τοὺς δὲ λογισμοὺς ἀφαιροῦ τοὺς δικάζοντας. δι' ὧν κἂν εἰ μηδὲν ἕτερον, τὸ γοῦν ἀνευθύνῳ γενέσθαι σοι τῶν ἀδικημάτων ὑπάρξεις· κατὰ τίνα γὰρ εἰπέ μοι βούλει καὶ γράφεσθαι ὕβρεως. ἀλλ' οὐχ ἕνα τῶν Ἀθηναίων ἠδίκησας αἰκίας, καὶ τίς ὁ παθὼν παρὰ σοῦ κακῶς [71] οὗτος τῷ σώματι; οὐκοῦν εἰ μηδὲν ἕτερον ἐκ τῶν εἰρημένων ἀκόλουθον, ὡς εὔδηλον τὸ πᾶσαν ἠδικῆσθαι πόλιν· [72] τοῦτο γὰρ ἐκ πάντων σοι τῶν ἀδικημάτων ἐστὶ [73] τὸ λειπόμενον· εἶτα κατὰ περίοδον ἐν στροφῇ κώλου ὅλον τοῦτο εἰπὲ τὸ ἐννόημα· εἰ γὰρ τὸ τρόπαιον οὐχ ἑνὸς, ἀλλὰ πάντων τῶν Ἀθηναίων ἅμα κατόρθωμα, τοῦτο δὲ σὺ διὰ τῆς τέχνης

---

71 Ald. Codd. καλῶς. scr. κακῶς. cfr. Epist. crit. p. 34.
72 Ald. Codd. πάλιν. 73 Ald. Vind. ἐστίν.

ἐν τῇ ποικίλῃ καθέστησας,[74] τὴν κοινὴν τῆς πόλεως ἐκ τούτου δόξαν εἴης ἂν καθῃρηκὼς, αὐτὴν Περσῶν ἰδέαν ταυτηνὶ τοῦ σώματος μιμησάμενος· εἶτ᾽ ἀπείρατον τῆς αὐτοῦ ταύτης ἀσελγείας μηδένα τῶν κατὰ τὴν πόλιν 344 ἀφεὶς, ἀλλ᾽ ἔν τινι δράματι πάντων τῶν παρ᾽ ἡμῖν ἐφαψάμενος δόξης, ἀνδρίας, μεγαλοφροσύνης, σεμνότητος, διορίζῃ τὰς δίκας, καὶ τῶν τολμημάτων τῆς προσηγορίας ὑπεξαιρεῖς,[75] ὥσπερ τις Μίνως ἢ Ῥαδάμανθυς· ἀλλ᾽ οὐ πονηρὸς ζωγράφος τοῖς χρώμασιν ἐπ᾽ ἀδικήμασι χρώμενος· διὸ καὶ τὴν γραφὴν ἀρνεῖσθαί σε θαυμαστὸν οὐδὲ ἕν. οὐ γὰρ ὁ φεύγων ὥσπερ τὸν ἔλεγχον εὐλαβούμενος συνομολογεῖ τῷ κατηγόρῳ τἀδικήματα, ἀλλὰ τῷ κατειπόντι μαχόμενος τὸ φωραθῆναι περιμένει[76] τοῖς πράγμασι. ΕΙΤΑ ΟΡΙΚΩι ΠΑΡΑΓΡΑΦΙΚΩι. Διαφέρει δὲ τὸ παραγραφικὸν τοῦ ὁρικοῦ παραγραφικοῦ, ὅτι τὸ παραγραφικὸν τῷ προσώπῳ μόνῳ διϊσχυρίζεται, τὸ δὲ ὁρικὸν παραγραφικὸν μόνοις τοῖς πράγμασιν· οἷον, ὁρισάμενος γὰρ ὁ φεύγων τί τὸ δημόσιον ἀδίκημα, τούτοις ὡς μὴ πραχθεῖσιν ὑπ᾽ αὐτοῦ παραγράφεται τὴν κρίσιν. διὸ καὶ τὴν λύσιν ὥσπερ ἐν ὅρῳ ἐργάσῃ τοῖς ὁρικοῖς κεφαλαίοις πᾶσι χρησάμενος, ἀνθορισμῷ, συλλογισμῷ, γνώμῃ νομοθέτου, πηλικότητι, πρός τι· ὁρικοῦ γὰρ ὄντος τοῦ προβαλλομένου,[77] ἀναγκαίως ἐν τοῖς ὁρικοῖς πᾶσι λύσεις τὸν ὅρον· θήσεις δὲ τὸν ὅρον ἢ κατὰ ἀντίθεσιν, ἢ προηγουμένως· οἷον, εἶτα τοσούτων καὶ τηλικούτων ὑπάρξας ἀδικημάτων αἴτιος ναῦς μὴ προδεδωκέναι φησὶ, μηδὲ φρούριον· λύσεις τῷ ἀνθορισμῷ. ὅτι οὐ ταῦτα μόνα ἐστὶν δημόσια ἀδικήματα, ἀλλὰ καὶ ἄλλα πολλὰ, καὶ ὅτι οὐκ εἴ τις τὰ μὴ πραχθέντα λέγει, ταύτῃ τὴν δίκην ἐκφεύγει κρινόμενος· οὐ γὰρ τὰ μὴ γενό-

74 Ald. καθέστηκας. Par. Vind. καθήστηκας. scr. καθέστησας. 75 Ald. Codd. ὑπεξαιρεῖ. 76 Ald. Codd. περιμένειν. 77 Ald. Codd. προβαλομένου.

μενα τῆς τιμωρίας ἀπολύει τὸν φεύγοντα, ἀλλὰ τὰ πραχθέντα ποιεῖ πρὸς τὴν κατηγορίαν ὑπεύθυνον. εἰ μὲν γὰρ μία πρᾶξις ἦν ἢ δύο, δι' ὧν δημοσίᾳ τὴν πόλιν μόνον ἦν ἀδικεῖν, εἰκότως ἔλεγες ναῦς μὴ προδεδωκέναι μηδὲ φρούριον· ἐπειδὴ δὲ πλείους εἰσὶν ἀφορμαὶ, δι' ὧν εἰς ἅπαντας Ἀθηναίους ἁμαρτεῖν ἔνεστιν, καὶ τρόποι τινὲς κατὰ τῆς πόλεως ὅσοι καὶ καιροὶ πολλάκις καθ' ἡμῶν παραπίπτουσιν, ἀνθ' ὅτου Μίκων τὸ πεπραγμένον ἀφεὶς τὸ μὴ πεπραγμένον προσφέρει κρινόμενος· καὶ ταῦτα ἴσως ἃ μηδὲ δρᾶσαι δεδύνηται,[78] συνάπτει τοῖς ἀδικήμασιν· εἰ μὲν γὰρ τὸ προσδοῦναι τὰς ναῦς μόνον δημόσιον ἀδίκημα τυγχάνον διέγνωσται, ἕτερον δέ τι πλημμέλημα τὸ πολλὴν ἀδοξίαν τοῖς κοινοῖς τροπαίοις ἐργάσασθαι, ἐμάνην, ὁμολογῶ προχείρως, συκοφαντήσας τὸν ἄνθρωπον. ἀλλ' οὐ Μίκων τὰς Ἀθηναίων ἀριστείας ψευσάμενος· μὴ γὰρ ἃ λέγεις μόνα τυγχάνει κοινὰ κατὰ τῆς πόλεως ἀδικήματα, ἵνα ταῦτα φυλαξάμενος καὶ τῆς τοιαύτης γραφῆς ἀλλότριος γένηται, ἢ τῷ πονηρῷ τὸν τρόπον καὶ φεύγοντι τὰ κοινὰ πᾶσι καὶ φανερὰ τολμήματα τρόπος ἕτερος πρὸς ἀδικίαν κατὰ τῆς πόλεως διηπόρηται· εἶτα τοῦτο πίστωσαι παραδείγματι· ὥσπερ γὰρ τῷ φόνον[79] ὠδίνοντι προφάσεις ὑπάρχουσι κατὰ τοῦ φάσκοντος ἄπειροι, καὶ τῷ μὴ χρησαμένῳ ξίφεσιν ἕτερά τινα πρὸς τὴν χρείαν ἐξήρκεσεν, εἶτα κρινομένῳ τὴν τιμωρίαν ἐκφεύγειν οὐ προσῆκε, διότι καθαρὰν αἵματος ἔχει τὴν δεξιάν· εἶτα προσάγαγε τῇ ὑποθέσει· τὸν αὐτὸν τρόπον καὶ νυνὶ μὴ ναῦς προδοὺς μὴ τεῖχος Μίκων ἀφιέσθω τῆς γραφῆς· ἀλλ' εἰ τοῖς τυχοῦσιν εἰς ἀφορμὴν προσχρησάμενος ταῦτα δέδρακεν, ἅπερ ἂν ἡμεῖς τῶν νεωρίων ἀπολλυμένων[80] πεπόνθαμεν. εἶτ' ἔπαγε πάλιν παράδειγμα· τίς τῶν ἱεροσύλων ἀνεύθυνος, ὅτι μὴ πάντη τοὺς κρείττονας τῶν

78 Ald. Codd. δυνήσεται δεδύνηται. delevi prius. 79 Ald. φόνῳ. Par. Vind. φόνον. 80 Ald. Codd. ἀπολλομένων.

*ἀναθημάτων ἐστέρησεν· ὥσπερ γὰρ ἅπασι κατὰ ταὐτὸν ὑπεξελθεῖν τοῖς τῆς ἀσεβείας τρόποις ἀδύνατον, οὕτως εἰ μὴ πάντα δρᾶσαι δεδύνηται τῷ [81] παρασχεῖν τὴν τιμωρίαν ὑπὲρ ὧν ἠδίκησεν ἀποστερείτω τὴν πόλιν· οὐ γὰρ ἀπολύει σε Μίκων τὰ μὴ γινόμενα τῆς γραφῆς, ἀλλὰ τὰ πραχθέντα ποιεῖ σε πρὸς τιμωρίαν ὑπεύθυνον· εἶτα συλλόγισαι ἀπὸ τοῦ τέλους ὅτι ταὐτόν ἐστι καὶ τὸ ὡς σὺ λέγεις προδεδωκέναι τεῖχος ἢ ναῦς, καὶ τοῦτον ἀδικῆσαι τὸν τρόπον τὴν πόλιν· καὶ γράψαι ξένα τινὰ κατὰ τροπαίων ἀλλότρια· τί γὰρ διαφέρει διαφθεῖραι τὰς ναῦς,* 345
*καὶ τοῦτον ἀδικῆσαι τὸν τρόπον τὴν πόλιν· οὐ γὰρ ταὐτὰ πράγματα τυγχάνειν διάφορα, καὶ τὰ ἀδικήματα γίγνεσθαι· ἐπειδὴ δὲ συμφωνεῖ κατὰ τὸ τέλος ἀμφότερα καὶ τὸ πάθος ἓν καὶ ταὐτὸν τῇ πόλει τῶν ἀδικημάτων εὑρίσκεται· καὶ πάλιν ἔπαγε παραδείγματα· ἔστω δὲ ὅμοια τοῖς κρινομένοις τὰ παραδείγματα. οἷον ὁ διαῤῥήξας τὸ σκάφος ἢ βαπτίσας τοῖς κύμασιν, εἶτα λέγει κρινόμενος, μήτε κυβερνῆσαι τὴν ναῦν, μήτ' ἄλλων ἢ τούτων εἶναι τἀδικήματα· τίς οὕτως ἠλίθιος, ὡς τούτοις ἀπατηθῆναι τοῖς ῥήμασι· καὶ μὴ θᾶττον εἰπεῖν πρὸς αὐτόν· ὅτι ταὐτὸν πονηρῷ κυβερνήτῃ πεποίηκας, καὶ στρατιώτῃ τῶν πολεμίων φεισαμένων τοῖς βέλεσι· ταὐτὸν γὰρ τοῖς προδεδωκόσι στρατηγοῖς εἰργάσω, τοῖς μὴ πολεμοῦσι μὲν, παρορῶσι δὲ, λαμβανόντων τῶν πολεμίων ἃ βούλονται. ΕΙΤΑ γνώμη νομοθέτου. σκόπει [82] γὰρ καὶ τοὺς νόμους τοῦ Σόλωνος· οὐδαμοῦ γὰρ οὗτος τὴν πρᾶξιν ἀλλὰ τὸ πάθος ἐπιτηρεῖ· καὶ γενέσθαι τὴν τιμωρίαν φησὶ κατὰ τῶν ὁπωσοῦν ἀδικησάντων τὴν πόλιν· καὶ τὴν τιμωρίαν ὁρίσας τοῖς πολιτεύμασιν οὐδαμοῦ τὰς πράξεις διώρισεν· ἀλλ' ἀφῆκε τοὺς παθόντας διακρίνειν τὸ τόλμημα, ἵνα τὸ πάθος οἱ δικάζοντες λογιζόμενοι μηδαμῶς κλαπῶσι τὴν τιμωρίαν ταῖς πράξεσιν·*

---

81 Par. τὸ. 82 Ald. Vind. σκοπεῖ. Par. σκόπει.

οὐ γὰρ ὁ πληγεὶς ὃ βέβληται πρῶτον σκοπεῖ, οὐδ᾽ ἂν αὐτὸ τὸ τραῦμα λίθος ἢ ξύλον ἐργάσηται, ἔλαττον ἢ πλέον κατὰ τοῦ τρώσαντος παροξύνεται, ἀλλ᾽ ὁμοίως ἀμύνεται καὶ πολέμιον ἡγεῖται τὸν τρώσαντα· εἰ γὰρ ἐλαττοῖ πάθος ἀδίκημα, καὶ τόδε μὲν μεῖζον, τόδε δὲ μικρὸν πάθος ἐργάζεται, τί δή ποτε κατὰ τὸν νόμον οὐ πρόσκειται, ἂν ναῦς τις τοῖς πολεμίοις προδῷ, βλάπτειν τὴν πόλιν, ἂν στρατηγῷ φάλαγγα πρόηται, δημοσίᾳ πάντας ἠδίκησεν, ἂν ζημιώσῃ τὴν πόλιν, ἂν ἀπολέσῃ τεῖχος ἢ φρούριον, κοινὸν κατὰ πάντων πλημμέλημα· εἰ γάρ, ὡς σὺ φῄς, οὕτω διώριστο, πότ᾽ ἂν παραλεῖψαι[83] τοῦτο κατὰ τὴν πολιτείαν ἠνέσχετο ὁ νομοθέτης· νῦν δὲ τὴν ἐπήρειαν[84] αὐτὴν πρώτην καθ᾽ ἑαυτὴν λογιζόμενος ἐξ ὧν ἐστιν πλημμελεῖν ἐσιώπησεν, ἵνα καθαρὰ μείνῃ τῶν ἐπιβουλευόντων ἡ πόλις, πανταχοῦ τῶν πονηρῶν φυλαττομένων τὰ γράμματα· εἶτα τῇ πηλικότητι· αὔξησον οὖν ἐν τῷ κεφαλαίῳ, ὡς ἂν οἷός τε ᾖς, αὐτὸ τὸ ἀδίκημα· οἷον, νῦν δὲ τὸ πάντων δεινότατον, ὅτι τῶν κατὰ τὴν πόλιν αὐτὸ τὸ κυριώτατον μέρος διέφθαρται· τί[85] γὰρ ἐν δημοκρατίᾳ τρόπαιον μεῖζον ἢ βέλτιον; τί δὲ τοῦ[86] νικῆσαι τοὺς πολεμίους σεμνότερον; ὃ Μίκων μετὰ τοὺς πόνους ἡμῶν διὰ τῆς εἰκόνος ἀφῄρηται· καὶ θετικῶς ὅλον κατασκευάσας ἐπὶ τὸ λεῖπον μεταβαίνεις τὸ πρός τι συγκριτικῶς· εἶτά φησιν μὴ προδεδωκέναι τὰς ναῦς, ὧν καθάπερ προδέδωκε μείζονα Μίκων· καὶ τὰ μικρὰ ταῦτα μὴ δεδρακέναι προβάλλεται, τὰ μείζονα καθ᾽ ἡμῶν λυμηνάμενος· τίς γὰρ τῶν παρατατομένων τοσοῦτον ἤλγησε, ναῦς μὲν καταδυομένας ὁρῶν, μετὰ δὲ τὴν μάχην τὸ τρόπαιον ἐγειρόμενον; τίς οὕτω πεσόντος τοῦ τείχους στρατηγὸν ἐδυσχέρανε, νικηφόρος ἐπανερχόμενος, ἢ πόλις πεσούσης ἐπένθησε φάλαγγος[87] πρὸ τῶν τειχῶν ἅπαντας ἔχουσα

83 Ald. Codd. παραλῆψαι. 84 Ald. Codd. ἀπήρειαν. scr. ἐπήρειαν. vid. Epist. crit. p. 59. 85 Ald. Codd. τίς. 86 Ald. Vind. τό. Par. τοῦ. 87 Ald. Codd. ἐπένθησε, φάλαγγας πρό.

τοὺς πολεμίους κειμένους; μὴ τοίνυν Μίκων σοφίζου τἀδίκημα, μηδὲ τοὺς νόμους ἀκύρους ποίει τέχνῃ τῶν λόγων· οὐ γὰρ σωθήσῃ φαινόμενος μετὰ τοὺς βαρβάρους πολέμιος, καὶ μετὰ Μαραθῶνα μείζων τοῖς ἐγχειρήμασι, καὶ Δάτιδι τὴν συμφορὰν κουφοτέραν ποιῶν, καὶ Περσῶν ἀφαιρούμενος διὰ τῆς τέχνης τὰ δυστυχήματα. ΜΕΤΑ ταῦτα θήσεις τὸ ἀντιληπτικὸν κεφάλαιον. ἀλλὰ γράφειν ἔξεστί μοι, φησί. ΛΥσεις τῷ μεταληπτικῷ· καὶ τίς δρῶν ἃ λυπεῖ καθ' ὑπερβολὴν οὕτω τοὺς πάσχοντας εἰς ἐξουσίαν ἄγει τἀδίκημα· ἢ οὕτως λῦσον· ἀλλὰ τὸ γράφειν ἀνεύθυνον· πρόσθες ὅτι καὶ τὸ λυπεῖν τὴν πόλιν ἀνεύθυνον. εἶτ' αὐτὸ τοῦτο κατὰ περίοδον εἰπέ· εἰ- 346
τα ἡ μὲν τέχνη τοῖς πᾶσι συγκεχώρηται· σὺ δὲ ταύτην ἐφ' οἷς οὐ προσῆκον ἐπιδέδειξαι τοῖς δοθεῖσι παρὰ τῶν νόμων συνάψας, ἃ μὴ νενόμισται· καὶ τὴν ὡς σὺ φῂς ἐξουσίαν ἀνῄρηκας· εἶτα δυσχεραινόντων ἡμῶν ἐφ' οἷς εἰς τοὺς νόμους τετόλμηκας τυραννικὰς οὕτως ἀπολογίας, μᾶλλον δὲ Μηδικὰς πρὸς Ἀθηναίους ποιῇ· καὶ τηλικαῦτα παρ' ἡμῶν ἐγκαλούμενος οὐκ ἀποφαίνῃ μὲν ὡς οὐχ ἥμαρτες· τοῖς δ' ἐγχειρήμασι προσεῖναι λέγεις τὴν ἄδειαν, καὶ πρὸς τὸ παρὸν ἐπ' ἄλλοις κρινόμενος τοῦ δήμου παρασπάσασθαι τὴν πολιτείαν ἐπιχειρεῖς, καὶ τοὺς λόγους ἐπάγεις ἐπὶ σαυτὸν ὥσπερ τις ἐξ ἀκροπόλεως, ἢ Δαρεῖος ἄλλος τὸ γράφειν ἃ βούλει συγκεχωρῆσθαί[87*] σοι πιστούμενος· τούτων, ὦ Μίκων, τῶν πολεμούντων τῇ πολιτείᾳ, ταῦτα προβάλλεσθαι κατ' Ἀθηναίων τὰ ῥήματα, τούτων τὴν ἄδειαν δι' ὧν τὸν θεσμὸν παρακινοῦσιν αἰνίττεσθαι. εἶτα κατ' αὐτὸν τοῖς ἀντιπάλοις φερόμενος διαδρᾶναι τὴν κόλασιν προσδοκᾷς· καὶ δεινὰ πάλιν τολμήματα συνάπτων τοῖς φθάσασιν ἀπολογεῖσθαι τανῦν ὑπὲρ ὧν ἥμαρτες προσποιῇ· τί τῶν πραττομένων κακῶν[88] παρ' Ἀθηναίοις ἀνεύθυνον· ἵνα σοι μετ' ἐκεί-

87* Ald. συγχωρῆσθαι. 88 Par. κακῶς.

νων καὶ τὸ γράφειν ἀφῶ· εἶτα λοιπὸν ἔπαγε τὸ κατ' εἶδος· ἔξεστι λέγειν, ἀλλ' ἂν δημηγορήσῃ τις παρὰ τοὺς νόμους, φθάνει τὸ τέλος τῶν λόγων τοῦτον κολάζων ὁ δήμιος· ἔξεστιν πλεῖν, ἀλλὰ παρὰ τοὺς πολεμίους κεκώλυται· τὸ κεχρῆσθαι ὕδασιν ἀνεπίφθονον, ἀλλ' οὐ τοῖς[89] μυστικοῖς· ὅπλα[90] κεχρῆσθαι καλὸν, ἀλλ' οὐκ αὐτομολεῖν πρὸς πολέμιον. ἀδεὲς τὸ γράφειν ἃ βούλεται, ἀλλ' οὐχ οἷα σὺ τετόλμηκας συγκεχώρηται· ἔξεστιν ἀναιρεῖν, ἀλλὰ τοὺς πολεμίους τοῦτο ποιεῖν,[91] καὶ τὰ τοιαῦτα· εἶτα ἁπάντων ὄντων τῶν καλῶν αἱρετῶν καὶ τῶν νόμων ἐπιτρεπόντων τὰ κάλλιστα, σὺ προστίθῃς τούτοις τὰ χείρονα· καὶ δράσας οὕτω πάντα ἀνήκεστα τὴν ἐξουσίαν προστίθῃς τοῖς ἁμαρτήμασι· κατάβαλε λοιπὸν, ὦ Μίκων, παίζειν ταυτηνὶ τὴν κρίσιν ὑποκρινόμενος· ἔξεστι, λέγεις, μετὰ Μαραθῶνα καὶ τρόπαιον ἔξεστιν ἀδικεῖν· καὶ σὺ τοῦτο πρὸς Ἀθηναίους ἐρεῖς, ὁρῶν οὐδὲ βασιλέα τὸν μέγαν τοῦτο πολέμου τρόπῳ διαπραξάμενον· ἐντεῦθεν ἔκτεινον τὰ κατὰ Μαραθῶνα, λέγων, ἐξεῖναι πάντα ποιεῖν ἐνόμιζεν ὁ βασιλεὺς, ἀλλ' αὐτὸς ὀψὲ τῆς ἀπάτης διὰ τῆς πείρας ἐπῄσθετο· ἐξεῖναι τῆς ἐλευθερίας ἀποστερεῖν Ἀθηναίους ἐνόμιζεν· ἀλλὰ παρ' ἐλπίδας εὑρὼν κρείττους ἢ κατὰ δουλείαν ἡμᾶς τὴν τύχην ὠδύρετο, καὶ τὰ τοιαῦτα. εἰ μὲν οὖν τὴν ποικίλην γέγραφας, οὐδὲν δὲ ἐκ τούτου τὴν πόλιν ἠδίκησας, καλῶς ἐπὶ σαυτῷ καὶ τὸ γράφειν ποιῇ· εἰ δὲ ἥμαρτες, ἐξ ὧν τῷ τροπαίῳ τὴν ἀδοξίαν προσέθηκας τῇ πονηρίᾳ τοῦ τρόπου, σαυτὸν τῆς ἐξουσίας ἀφῄρησαι. *ΜΕΤΑ ΤΗΝ ΑΝΤΙΛΗΨΙΝ ΘΗΣΕΙΣ ΤΟ ΧΡΩΜΑ ΑΝΤΙΣΤΑΤΙΚΟΝ ΠΕΡΙΕ-*

---

89 Ald. Codd. ταῖς μυστικαῖς. 90 Phöbammon in fine: καὶ τὸ μὲν ὄνομα τὸ αὐτὸ ἐχρήσατο. Par. τῷ μὲν ὀνόματι τῷ αὐτῷ. Theon Prog. c. III. χρησόμεθα δὲ ἐνταῦθα καὶ τῷ διασύρειν. ed. princ. et Camer. τό. 91 Ald. Vind. ποιεῖς. in Par. per corr. ποιεῖν.

ΧΟΝ. Διατὶ τοῦτο πεποίηκα, τὸ δὲ χρῶμα ὥσπερ ἐπισφραγίζεται τὴν ἀντίληψιν, ὅτι ὑπὲρ ὑμῶν πεποίηκα· ὡς ἐπὶ τὸ πλεῖστον δὲ ἐν ταῖς ἀντιλήψεσι τὸ χρῶμα κατὰ τὰς ἀντιθετικὰς εὑρίσκεται, ἀντίστασιν, μετάστασιν, ἀντέγκλημα, συγγνώμην· ἀντιστατικὸν οὖν ἐνταῦθα θήσεις τὸ χρῶμα· οἷον, ἀλλ' ὑπὲρ Ἀθηναίων, φησὶ, τοῦτον ἔγραψα τὸν τρόπον, ἵν' ἐνδοξότερον τυγχάνῃ τὸ τρόπαιον. ΛΥΣΕΙΣ ΤΗι ΕΙΡΩΝΕΙΑι. Ὅτι τὰ οὕτω φανερὰ καθ' ἡμῶν σὺ τολμᾷς ὑπὲρ ἡμῶν λέγειν εἶτα ὥσπερ ἐν παραβύστῳ[92] κρινόμενος, καὶ μανδραγόραν πεπωκότων ἡμῶν ἢ οὐκ εἰδότων, τί μὲν ὑπὲρ ἡμῶν, τί δὲ καθ' ἡμῶν τυγχάνει γιγνόμενον, ὑπὲρ ἡμῶν πεποιηκέναι φησὶν, ὦ Ζεῦ καὶ θεοί. καὶ τῆς εἰκόνος δημοσίᾳ προκειμένης τοῖς ἐντυγχάνουσιν, ὑπὲρ ἡμῶν εἶναι λέγεις τὰ γράμματα, τὸ τρόπαιον ἀπιστεῖσθαι ποιῶν. καὶ τὰ κατὰ Μαραθῶνα κατορθώματα μηδεμίαν ἔχειν ἀλήθειαν ὑπὲρ ἡμῶν ἐστιν ἀπιστεῖσθαι τὸ τρόπαιον. ὑπὲρ Ἀθηναίων, ὦ βέλτιστε, τοσαύτην ἀπιστίαν ἔχειν τὰ θαύματα, καὶ τὴν συμφορὰν ποιεῖς Πέρσαις ἀμφίβολον· καὶ ζητεῖς[93] 347 μαθεῖν τοὺς ἐντυγχάνοντας ἀκριβέστερον εἰ Πέρσαι παρ' ἡμῶν ὅλως νενίκηνται· εἶθ' οὕτως ἐκπαροινήσας τοῖς ἀριστεύμασι, καὶ τῶν τῆς πόλεως διαφθείρας τὰ κάλλιστα, εἰς τοὐναντίον περιτρέπεις τοὺς λόγους, καὶ ζητεῖς πείθειν, ὥσπερ ἐν σκότῳ καλῶς γεγενημένον τἀδίκημα· καὶ τοσαύτην, ἄνθρωπε, μετὰ τοὺς πόνους Ἀθηναίων ἀμαθίαν κατέγνωκας, ἵνα τολμήσας οὕτως ἀνήκεστα πείσῃς εἰς εὐεργεσίαν μεταβληθῆναι τἀδίκημα· εἶθ' ἕνα μὲν ἀδικήσας ἄνθρωπος οὐδαμοῦ τολμᾷ πείθειν, ὡς ὑπὲρ αὐτοῦ τὸ πάθος ἐξείργασται· σὺ δὲ κατ' Ἀθηναίων

---

92 Ald. Vind. μαδραβύστῳ. Par. μανδραβύστῳ, quo deleto ad marg. παραβύστῳ. confusio orta ex sq. μανδραγόραν πεπωκότων, quae dictio sumta est ex Dem. Phil. I. p. 133. 93 Ald. Codd. ζητεῖν. scr. ζητεῖς, ut v. 23. ζητεῖς πείθειν.

προθεὶς [93*] τὸν πίνακα, καὶ ποιήσας ὥσπερ αἴνιγμα τὸ πτῶμα τὸ Περσικὸν, τολμᾷς μεταποιεῖν οὕτω τὰ δράματα. ΜΕΤΑ ΤΑΥΤΑ ΘΗΣΕΙΣ ΑΝΤΙΘΕΣΙΝ ΑΝΤΙΛΗΠΤΙΚΗΝ. Ἀλλὰ δυνατὸν ἀπαλεῖψαι τὴν ποικίλην. γνωστέον δὲ ὅτι ταύτην οὐκ ἔθηκε τὴν ἀντίθεσιν ὁ πολεμῶν, ἐν τῷ Ἀλκιβιάδῃ τῷ κρινομένῳ ἐπὶ τοῖς ἐκπώμασιν [94] ἐντέχνως ποιῶν. ἐπειδὴ γὰρ κρίνεται Ἀλκιβιάδης ὡς ὑπομνήσας συμφορῶν διὰ τῶν ἐκπωμάτων τὴν πόλιν, οὐ δύναται δὲ λέγειν, ὅτι ἐὰν χωνεύσω τὰς φιάλας οὐκ ἔτι ὑπομνησθήσεσθε τῶν κατὰ Σικελίαν κακῶν· ὑπεμνήσθησαν γὰρ ἅμα τῇ θέᾳ κἂν τἀδικήματα παρελήλυθεν. ἐν δὲ τῷ προκειμένῳ ζητήματι τοιοῦτον οὐδέν ἐστιν. οὐδὲ γὰρ ἠπίστησαν τοῖς κατορθώμασιν, οὔτε πρὸς τὸ παρὸν ἀπιστηθῆναι δυνατὸν τῶν ἔργων οὕτω μαρτυρούντων ταῖς πράξεσι· διὸ καὶ τιθέναι τὴν ἀντίθεσιν ἐν τοῖς τοιούτοις τῶν ζητημάτων ἀκόλουθον· ἡ δὲ λύσις γιγνέσθω τοι ἐντέχνως ἐν τῷ λέγειν, ὅτι ἤδη γενομένην ἀπιστίαν πῶς οἷόν τέ ἐστιν ἀνακτήσασθαι, προσθεῖναι δὲ κἀκεῖνο· οὐκοῦν ἠδικηκέναι τὴν πόλιν ὁμολογεῖς· εἰ γὰρ λέγεις δεῖν μεταποιῆσαι τὰ γράμματα, ὁμολογεῖς δὲ διὰ τούτου τὸ τόλμημα, ἐπὶ τοῖς ἤδη τετολμημένοις τιμωρήθητι, καὶ τοῦτο πίστωσαι [95] παραδείγμασιν· ὅτι δεῖ τὸν ὁμολογοῦντα ἀδικεῖν, τιμωρεῖσθαι, πρότερον οὐκ ἐγχειρίζεσθαι δευτέραν ὑπόθεσιν· οἷον ὁ κλέπτης ἂν ὑφελόμενός τι κατατίθεσθαι φάσκῃ [96] τὰ φώρια, οὐκ ἄπεισι διὰ τοῦτο ἀτιμώρητος· [97] ἐὰν ἀσεβήσας τις περὶ τοὺς κρείττονας ἐπαγγέλληται θύειν πολλάκις, οὐ διὰ τοῦτο γενήσεται τῶν προτέρων ἀσεβημάτων ὑπεύθυνος. ὁ δὲ κυβερνήτης ἀπολέσας τὸ σκάφος ἂν τῷ κεκτημένῳ τὴν ναῦν ἐξεργάσηται, σώζεται ποθέν·

---

93* Ald. προσθείς. 94 Ald. Vind. ἐκπτώμασιν. Par. ἐκπώμ. 95 Ald. πιστῶσαι. scr. πίστωσαι. 96 Ald. Codd. φάσκει. 97 Vind. Par. ἀτιμώρητον.

εἶτα σὺ μετὰ τὸ πάθος τολμᾷς διαδρᾶναι τὴν κόλασιν. μηδὲ Δαρείου προσδοκῶν τὸ λοιπὸν τὰς Ἀττικὰς χεῖρας ἐκφεύξεσθαι· μετὰ ταῦτα εἰσβάλλεις εἰς τὸν ἐπίλογον. Ο ΔΕ ΕΠίλογος ἔχει προτροπὴν μειζόνων κατορθωμάτων, διατύπωσιν[98] τοῦ πλοῦ, τῆς ἀγωγῆς τῆς ἐπὶ βασιλέα, τῶν ἀριστείων, τῆς ἐλευθερίας, τῆς δόξης, καὶ τῶν τοιούτων· διατυπώσεις δὲ λέγων, ὅτι ἐχρῆν σε τοιάνδε ποιῆσαι τὴν γραφήν· γνωστέον δὲ ὅτι εἴπομεν φιλοτιμίας ἕνεκεν γεγενῆσθαι τῷ Ἀθηναίῳ τὴν γραφήν· διὸ καὶ ἀνακαλύπτειν αὐτὸν τὸν σκοπὸν ἐπὶ τῶν ἐπιλόγων οὐκ ἄτοπον, καὶ προτρέπεσθαι ἐπὶ τὸν Περσικὸν πόλεμον τὴν πόλιν, καὶ ζητεῖν ἑαυτῷ προσγενέσθαι μειζόνων κατορθωμάτων κατάλογον. ἀλλὰ τί μοι δεῖ τῆς τιμωρίας τοῦ Μίκωνος; πρόσθες, ὦ Μιλτιάδη, τοῖς σεμνοῖς τούτοις κατορθώμασι τὸ λειπόμενον· πλήρωσον, ὦ στρατηγέ, τῇ πόλει τὰ προσδοκώμενα· ἄναγε λοιπὸν ἐπὶ Πέρσας τὸν στόλον· δεῖξον βασιλέα τὸν μέγαν Μίκωνι πίπτοντα, οὐχ ὑπὸ χρημάτων, ἀλλ' ὑπὸ τῆς αὐτοῦ δόξης. Ἐρετρίαν, ὦ στρατηγέ, τανῦν ἀποδοῦναι τῇ θαλάττῃ σε λείπεται, καὶ Μήδων σαγηνεῦσαί σε τὰς φάλαγγας, καθάπερ ἐκεῖνοι τὴν Νάξον, ἐν μέσοις τοῖς κύμασι· στῆσον ἐν Βαβυλῶνι, καθάπερ ἐν Μαραθῶνι τὸ τρόπαιον· καὶ τῇ γῇ προσπλεύσας τῇ Μηδικῇ, δρόμον ἕτερον πλήρωσον Ἀττικόν· καὶ μετὰ τὴν ἀριστείαν ἀπόδος Ἐρετρίαν[99] τῷ γένει, ἵνα κἂν ταῖς εἰκόσιν[1] γῆν τὴν οἰκείαν ὄφλωσιν ἀπολαμβάνοντες καὶ βαρβαρικὸν ἅπαντες ἴδωσι γένος εἰς δουλείαν μετανιστάμενον, πολλῇ 348 κατ' Ἀθηναίων ἀλαζονείᾳ χρησάμενον· πλήρωσον τῶν τριηρῶν, ὦ Μιλτιάδη, τὸν Πειραιᾶ· συνεπισχύσει[2] τῷ στόλῳ τὰ κύματα, τὴν τύχην τὴν μέλλουσαν μαντευόμε-

98 Ald. Vind. διὰ τύπωσιν. 99 Ald. Vind. Ἐρετρίας. Par. Ἐρεθρίαν.
1 Ald. Codd. εἴκοσιν et ὀφλῶσιν. — v. 28. Ald. ἀλαζωνείᾳ.
2 Ald. συνεπιχύσει. scr. συνεπισχύσει.

να· τῶν Ἀττικῶν τὸ ῥοθίον στενοχώρησον, ἵν' Ἀττικῆς ἀριστείας πληρώσας τὰ σύμπαντα τὴν ἐπὶ ταῖς νίκαις ἔχῃς εὐτυχίαν ἀήττητον· γενήσεται καὶ τότε Καλλιμάχῳ τις ἀριστεὺς παραπλήσιος· μιμήσεταί τις καὶ μετὰ ταῦτα Κυναιγείρου τὴν δεξιάν· συστρατεύσεταί σοι πάλιν ὁ Πὰν [3] ταῖς προθυμίαις, καὶ δεύτερον καὶ Πέρσας ὑποτάξας τοῖς Ἕλλησι κοινὸν ἀναστήσεις Ἀθηναίων καὶ θεῶν αὖθις τὸ τρόπαιον· δεῦρό μοι, Πλαταιεῦ, κἀπὶ τῆς πολεμίας συνέργησον· συνάψαι με δεῖ τὴν Ἀσίαν τοῖς Ἕλλησι, καὶ μίαν ἀρχὴν Ἑλληνικὴν ἀποφῆναι τὰ σύμπαντα· ταῦτα, Μίκων, ἡμᾶς ἐργάσασθαι δεῖ· ταῦτα πληρῶσαι παρατταττομένους τοῖς Ἕλλησι· συγχωρήσεις τι καὶ τότε Περσικοῖς δυστυχήμασι; οὐκ ἄρα δώσεις καὶ Πέρσαις πάλιν μετὰ τὸ τρόπαιον, καὶ τοὺς Ἀθηναίους ἀδικήσεις καὶ δεύτερον· ἀλλ' οὐκ ἐπιτρέψω σοι τότε διαγράψαι τοὺς πίνακας. οὐδ' αἱρήσομαί σε [4] ζωγράφον φιλοτιμίαις τὰ τῆς πατρίδος βασκαίνοντα· δός μοι μόνον, ὦ στρατηγέ, δευτέρων εἰκόνων ὑπόθεσιν. εὑρήσω γὰρ ἕτερον ἐγὼ συμφιλοτιμούμενόν μοι τοῖς εὐτυχήμασι· τότε γράψωμεν, ὦ Μίκων, πάντας παραχωροῦντας τοῖς Ἕλλησι, καὶ μεταπίπτουσαν [5] μὲν ἀρχὴν Μηδικήν, κρατοῦντας δὲ, καθάπερ ἐν οὐρανῷ Ζεὺς, τῶν ἄλλων ἁπάντων τοὺς Ἕλληνας· καὶ Δαρεῖον μὲν γράψαι δουλεύοντα, γῆν δὲ πορθουμένην πᾶσαν τὴν βάρβαρον, καὶ νικηφόρους μὲν ἐπανερχομένους τοὺς Ἕλληνας, προηγουμένους δὲ τοῦ στόλου τοὺς κρείττονας· ταῦτα, Μίκων, γράψαι με δεῖ· τούτοις ἄξιον κοσμῆσαι τὴν ποικίλην τοῖς γράμμασι, οὐχὶ δὲ τοῖς ὑπὸ σοῦ τούτοις πίναξι τιμᾶσθαι τὴν πόλιν, ὦ Κυναίγειρε καὶ Καλλίμαχε· οἷα Μίκων μετὰ τὴν ὑμετέραν ἀριστείαν βεβούλευται· ὦ Μιλτιάδη καὶ τρό-

3 Ald. Codd. πᾶν. in Par. per corr. πάν. 4 Ald. Vind. σοι. Par. σε. 5 Par. μεταπίπτοντας. ad marg. μεταπίπτουσαν.

τρόπαιον, οἵαν γραφὴν ἐν τῇ ποικίλῃ μετὰ τὴν νίκην ὁρᾷ· ἀφανεῖς μὲν μικροῦ τοὺς νικήσαντας, λαμπροὺς δὲ τοὺς βαρβάρους τοὺς Ἀττικὴν πληγὴν οὐκ ἐνεγκόντας. οὐκ εἶδες, Μίκων, ἐπὶ τῆς παρατάξεως Τισαφέρνην τὴν τύχην τῶν Περσῶν ὀδυρόμενον; οὐκ εἶδες ἰσχυρότερον[6] νεὼς Περσικῆς ἀριστέα γενόμενον; καὶ οὕτω πᾶσιν ἐπέξελθε τοῖς Μηδικοῖς, οἷς δυνατὸν ὡς ἐπιλόγῳ χρήσασθαι.

Πένης καὶ πλούσιος ἐχθροὶ τὰ πολιτικά· καὶ ἠρίστευσε τοῦ πένητος ἀποδημοῦντος ὁ πλούσιος· δωρεᾶς αὐτῷ μετὰ τὴν ἀριστείαν προκειμένης, ᾔτησεν ἔκδοτον ἀποδημοῦντα τὸν πένητα· ὁ πένης μαθὼν τὴν δωρεὰν ἀνεῖλεν αὑτόν· καὶ κρίνεται ὁ πλούσιος αἰτίας φόνου.

Μεστόν ἐστι τὸ ἀντιληπτικὸν ὅλον τοῦτο ζήτημα. ὅτε γὰρ τοῦ πένητος θανόντος διὰ τὴν ἀπὸ τῆς δωρεᾶς γενομένην[7] ἔκδοσιν, ὥσπερ ἐπὶ σκηνῆς ὅλον χορηγεῖ τὸ πάθος τῷ δράματι· οὐ μὴν ἀλλ' ὑφειμένος ὁ λόγος τυγχάνει τῷ συνηγοροῦντι τῷ πένητι· ὅτε γὰρ πλούσιος ἀριστεὺς, ἥ τε δωρεὰ κατὰ τὸν νόμον, ὅ τε δῆμος τὴν ἔκδοσιν κυρώσας κατὰ ψήφισμα· καὶ πρὸς τούτοις ἄτεχνον τὸ καταδρομῇ κατὰ τοῦ πλουσίου χρήσασθαι τὸν κατήγορον· ἐκεῖνόν γε μὴν ὁ κατήγορος ἐπιχειρήσει ποιεῖν, τὸ διαβάλλειν τὸ τρόπαιον ἐν τῇ καταστάσει· καὶ τοῖς ἄλλοις μέρεσι τοῦ λόγου κατασκευαῖς ταῖς ἀπὸ τοῦ βίου τοῦ πλουσίου χρησάμενος, τρυφῇ λέγω καὶ μέθαις καὶ κώμοις καὶ τοῖς τοιούτοις, ἀφ' ὧν δύσκολον ἀριστέα γενέσθαι τινά· ἰστέον δὲ, ὡς σκοπὸς τῷ ζητήματι ἀποδεῖξαι εἰληφότα τὸν πλούσιον τὴν δωρεὰν, κἂν ὁ πένης ἑαυτὸν τυγχάνῃ διαχρησάμενος· οἰκονομία καὶ μέθο-

6 Ald. Vind. ἰσχυρώτερον. — v. 6. Ald. Codd. φαριστέα. corr. in Par. 7 Ald. Codd. γενόμενος scr. γενομένην.

δος τὸ πολλὴν κατὰ τοῦ δήμου ποιήσασθαι τὴν ἐπιτίμησιν. διὸ καὶ ταύτῃ διαφέρει σκοπὸς οἰκονομίας, ὅτι πρὸς μὲν τὸν σκοπὸν πάντα συντείνειν ὀφείλει τὰ λεγόμενα, ἡ δὲ οἰκονομία μερῶν τινῶν ἐστι τῶν ἐν τῇ περιστάσει κατασκευαστική· χρησόμεθα δὲ προκαταρκτικοῖς
349 παθητικώτερον οὑτωσί πως εἰπόντες. [8] *ΠΡΩΤΟΝ ΠΡΟΟΙΜΙΟΝ.* Οἵας μὲν ἐκτίνω [9] χάριτας, ὦ δικασταὶ, τῆς πολιτείας τῷ πένητι, τὸν πλούσιον ὑπὲρ τῆς αὐτοῦ τελευτῆς γραψάμενος, ἑωράκατε· οὐ μὴν οὐδὲ ὑμᾶς διὰ τὴν δωρεὰν ἐπίπροσθεν τὴν χάριν ποιήσασθαι τὴν πρὸς τὸν πλούσιον εὔλογον· τὸ γὰρ κατὰ τοὺς νόμους πάντα ποιεῖν καὶ συνέχει τὴν πολιτείαν καὶ τὸν ὑπὲρ τοῦ δικαίου συνείληφε λογισμόν· ἢ οὕτως· πολλὰ βουλευσάμενος, ὦ δικασταὶ, τήμερον περὶ ταυτησὶ τῆς γραφῆς, εἰ δεῖ πρὸς ἄνδρα πολεμοῦντα τοῖς πένησιν ἀγωνίσασθαι, προςθήσω δὲ τοῦτο καὶ πλούσιον, καὶ δεδοικὼς μὴ πλέον παροξύνας ἐπὶ τῇ κρίσει παρασκευάσω φανερῶς αἰτεῖσθαι πολίτου σφαγήν· εἰς ὑμᾶς τοῦτο καταστήσων ἀπήντησα, ἵνα παρ᾽ ὑμῶν διδάξω ψήφῳ ταῖς τοιαύταις αὐτοῦ δωρεαῖς ἀκολουθοῦσαν πάντως τιμωρίαν καὶ δικαστήριον· εἰ μὲν γὰρ ἐχθρὸς ὑπάρχων τῷ πένητι τὸν δῆμον ἐπίπροσθεν τῆς οἰκείας [10] ὀργῆς ἐπεποίητο, μέτριος ἂν ἦν ἀποστερῆσαι τὴν πόλιν, εὐνοίας δημοτικῆς οὐχ αἱρούμενος· ἐπειδὴ δὲ καὶ πάντας συνηδίκησεν, ἵν᾽ ἀμύνηται τὸν προςκρούσαντα, καὶ τέλος τοιούτου τὴν πολιτείαν ἀφῄρηται ῥήτορος, συμφορῶν ἀπολαυσάτω μειζόνων, ἵνα πλουσίου μετὰ τὴν ψῆφον κειμένου μηκέτι παρ᾽ ὑμῖν πολίτου γίγνηται θάνατος ἐκ δωρεᾶς ὁμοῦ καὶ ψηφίσματος. *ΠΡΟΟΙΜΙΟΝ ΔΕΥΤΕΡΟΝ.* Ὁ μὲν οὖν πλούσιος, ὡς ἔοικεν, ἥδεται τὴν ἐκκλησίαν ἔρημον

---

8 Ald. Vind. εἰπόντος Par. εἰπόντες. 9 Ald. Vind. ἐκτείνω. Par. ἐκτίνω. 10 Ald. Vind. οἰκίας. scr. οἰκείας.

καταστήσας τοῦ πένητος καὶ πλέον ἐπὶ τούτῳ φιλοτιμούμενος ἐπὶ τὴν κρίσιν ἀπήντηκεν, ἵνα καθαρὸν ἐχθροῦ τὸ βῆμα θεάσηται, καὶ κατατείνῃ λόγον πολὺν οὐκ ἀνθισταμένου τοῦ πένητος· οὐ μὴν διὰ τοῦτο τὴν τιμωρίαν ὑποστείλασθαι δίκαιον, οὐδὲ σιωπῆσαι τὸν φόνον· οὔτε γὰρ ὑμῖν ὑποπεπτωκέναι τοῦτο δοκεῖν ἀνέξεσθε[11] σήμερον· οὔτ' αὐτὸς τῶν δικαίων ἀφέξομαι, ἵνα μὴ φόβῳ δόξας ὁ πλούσιος αὐτῷ μηδένα κατασκευάζειν κατήγορον, δεσπότης ἀντὶ πολιτευομένου τῆς δημοκρατίας, ἀντὶ πολίτου γένηται τύραννος. ΠΡΟΟΙΜΙΟΝ ΤΡΙΤΟΝ. Θαυμαστὸν μὲν οὖν τάχα καὶ παρ' αὐτοῖς τοῖς πολεμίοις ἐφαίνετο πλουσίου παρὰ τὴν μάχην ἀριστεύοντος μηδαμοῦ θεωρεῖν τὸν πένητα μετὰ τῶν ὅπλων παρατάττομενον·[12] ἔστι δὲ οὕτως εἰπεῖν· ὁ μὲν οὖν θαυμαστὸς ἐκεῖνος πολίτης μαθὼν τὴν παρὰ τοῦ δήμου δωρεὰν συνεπιδέδωκεν ἑαυτὸν τῷ πλουσίῳ τῇ[13] τελευτῇ· ἔστι δὲ καὶ ἡ ἄλλη ἔννοια· ὁ μὲν οὖν πλούσιος ἔχει καὶ τὴν δωρεὰν ὁμοῦ καὶ τὸν πένητα· ἔστι δὲ οὕτως εἰπεῖν· ὁ μὲν οὖν πλούσιος ἀριστεύσας ὑπὲρ ἡμῶν, ἵνα μὴ πολίτης πάθῃ τι κακὸν, αὐτὸς τοὺς πολεμίους μεμίμηται, πολίτην ἐχθρὸν παρ' ἡμῶν αἰτησάμενος. ΚΑΤΑΣΤΑΣΙΣ. Μετὰ ταῦτα θήσεις τὴν κατάστασιν· ἔστι δὲ ἡ πολιτεία τοῦ πλουσίου καὶ τοῦ πένητος· φυλάττου δὲ τοῦ λόγου τὸ[14] ὕπτιον· τίθει δὲ τὰ νοήματα ἐξ ἀντιθέσεως· οἷον ἔγραφε νόμους οὗτος· εἱστήκει κατήγορος· εἰσηγεῖτο γνώμην[15] ἐν σκέψεσιν, οὗτος ἀντέλεγεν· πολίτην ὕβρισεν, οὗτος ἐγράφετο· ποιήσεις τὴν εἰσαγωγὴν τῆς καταστάσεως παθητικὴν, ὡς ἔθος ποιεῖν Πολέμωνι· ἐν οἷς, ἐὰν ὑπὲρ πένητος λέ-

11 Ald. Codd. ἀνέξεσθαι. tum in Par. σήμερον. super σ est τ. 12 Ald. Codd. ταραττόμενον. scr. παραταττ. 13 Ald. Codd. τὴν τελευτήν. in Par. utrumque ν expunctum. 14 Ald. Codd. τόν. in Par. ν expunctum. 15 Ald. Codd. γνώμη. in Par. manu rec. adjectum ν.

*γῃς,*[16] *καὶ καθόλου σοι ἔστω θεώρημα, μὴ ψιλῶς ἄρχεσθαι τῶν καταστάσεων, ἔνθα κατὰ ἀριστέως λέγεις ἐπὶ φόνου κρινομένου· οἷον ἠβουλόμην μὲν τὰ τῆς ἀριστείας λέγειν κατορθώματα· νῦν δέ με περιέλκει τὸ πάθος εἰς ἕτερα καὶ θρηνεῖν ἀναγκάζει πένης δημοτικὸς ἐλεούμενος, καὶ τὰ τοιαῦτα· ἐπειδὴ δὲ δεσπότης ἐπιθυμεῖ γενέσθαι τῶν νόμων κατὰ τὴν πόλιν ὁ πλούσιος, καὶ πρὸς τοῦτο σύμφωνον εἶχε τὴν σκέψιν τοῖς ἐγχειρήμασιν· εἶτα τοῖς κατὰ μέρος κατασκεύασον πρὸς τοὺς νόμους αὐθαδιζόμενος, τῶν τοῦ δήμου ψηφισμάτων ὑπερορῶν, δέων, ἀπάγων, ἄγχων τοὺς ἠτυχηκότας τῶν πολιτῶν· καὶ τὰ*
350 *τοιαῦτα· εἶτα ἔπαγε ταῦτα· ὁ πένης ὁρῶν ἐδυσχέραινε· τὴν τύχην ὠδύρετο· τοὺς δυστυχοῦντας ἠλέει, πρὸς τὸν πλούσιον ἤχθετο, ἐζήτει τρόπον ἀμύνασθαι προαιρούμενον τὸν τῆς δημοκρατίας πολέμιον· εἶτα ἔπαγε ΗΘΟΠΟΙΙΑΝ. Λέγων, ἄνθρωπε, χρημάτων ἠπόρησας, καὶ πένης τις ὢν ἐν νόμοις στρέφῃ καὶ πολιτεύμασι, δημοτικὸς γενοῦ, τῶν νόμων προστάτης· μὴ ὑπερίδῃς τὸν πλούσιον κατὰ τῆς δημοκρατίας ἐπιφυόμενον, καὶ τὰ τοιαῦτα· εἶτα ἔπαγε ταῦτα πρὸς ἑαυτὸν πολλάκις διαψευσάμενος· ἐπολιτεύσατο, τῶν νόμων προστάτης ἐπὶ τὰς πολιτείας ἐγίγνετο γνήσιος ὁ πλούσιος· ἔγραφε παρὰ τὸν θεσμὸν νόμους, ἀντέλεγεν, εἰσηγεῖτο ψηφίσματα, καὶ παρὰ νόμον εὐθὺς παρὰ τοῦ πένητος ἦν ἡ γραφή· εἶτα καλῶς τὴν πολιτείαν διασκευάσας τοῦ πένητος ἔπαγε· ὅτι ἐντεῦθεν οὐδεὶς ἠδικεῖτο τὴν πόλιν, οὐ νέος, οὐ γέρων, οὐ πολίτης, οὐ ξένος· ἀλλ' ἀκινήτων μὲν ὄντων τῶν νόμων, ἅπαντες εὐδαίμονες παρὰ τῶν πλησίον ἐμακαριζόμεθα· εἰρήνη γοῦν εἶδε*[17] *τὴν πόλιν, καὶ πόλεμος οὐδαμόθεν ἠλπίζετο, οὐ στασιαζόντων τῶν πολιτῶν, οὐ τῶν ὁμόρων ἀπειλούντων τὴν μάχην, οὐχ*[18] *ἑτέρων προσδοκωμένων*

---

16 Ald. Codd. *λέγῃ*. 17 Ald. Vind. *οἶδε*. Par. *εἶδε*.
18 Ald. Vind. *οὐκ* Par. *οὐχ*.

ἐπάγειν τῇ πόλει μετὰ τῶν ὅπλων τὰ μηχανήματα· ὡς δὲ τὴν πόλιν ὁ πένης εὐνομουμένην εἶδε,[19] μικρὸν τῆς πόλεως ἐχαρίζετο· ὡς δ᾽ ἐθήρασε τοῦ σεμνοῦ φύλακος ἔρημον τὴν ἐκκλησίαν ὁ πλούσιος, ἀτόπων καὶ παρανόμων πραγμάτων πληρώσας τὴν πόλιν, ὕβρεως, αἰκίας, ἀδικημάτων μυρίων, καὶ πόλεμον οὐκ οἶδα πόθεν εἶναι καθ᾽ ἡμῶν διηγόρευεν· ὡς δ᾽ ἐπὶ τούτοις ὁ δῆμος διὰ τὸ συμβὰν ἐταράττετο, καὶ πᾶς ἐπεζήτει πρὸς τὴν ἀριστείαν τὸν πένητα, μαθὼν τὴν ἀπουσίαν ἐγὼ, πόλεμος, ἔφην κατ᾽ ἐμαυτὸν, εἰς τὴν πόλιν εἰσάγεται, πόλεμος ἀπόντος τοῦ μόνου πρὸς τοὺς πολεμίους ἀρκέσοντος· ὃν ἀπεῖναι πάντως μαθόντες οἱ πολέμιοι καὶ προσβαλεῖν καθ᾽ ἡμῶν μετὰ τῶν ὅπλων ἐτόλμησαν· ὡς δ᾽ ἐπετείνετο τὸ δεινὸν, καὶ πρὸς τὴν μάχην ἕκαστος εὐτρεπίζετο, καὶ πεζοὶ μὲν ἕτοιμοι μετὰ τῶν ἀσπίδων εἱστήκεσαν, ἱππεῖς δὲ κατὰ συντάξεις συνήγοντο,[20] καὶ πλῆθος μὲν ἀκοντιστῶν παρὰ τοῖς τείχεσιν ἦν· πᾶσα δὲ κατὰ τῶν δυσμενῶν[21] νεότης κεκίνητο, φθάσας ὁ πλούσιος οὐκ οἶδα πῶς ἀριστεὺς ἐπανήρχετο· εἶτα δοὺς ὑποψίαν τῇ νίκῃ, σαφῶς μὲν μηδὲν λέγων, κατασκευάζων δὲ, ὡς ἐπιβουλῆς πάντα γεγένηται· οἷον καὶ τοῦ πολέμου τὸ τρόπαιον παραδοξότερον ἦν· ὅτι ζήσας ὁ πλούσιος ὡς ἴστε πάντες καὶ μέμνησθε, ἐρῶ γὰρ ἐγὼ βλάσφημον οὐδὲ ἓν, κατώρθου ταῦτα ἃ πένησι μᾶλλον ὠφείλετο τοῖς ἀεὶ περὶ τὰς ἀριστείας σπουδάζουσι, τοῖς τῆς ἐλευθερίας ὡς δημοτικοῖς ἀντεχομένοις ἀεί· εἶτα μετὰ τὴν νίκην νικηφόρος ἐπανερχόμενος, συνάγων ἐπὶ τῆς δωρεᾶς βουλευτήριον πᾶσι παρείχετο περὶ τῆς καθ᾽ αὐτὸν διαλογίζεσθαι χάριτος· καὶ οἱ μὲν ἔφασκον αὐτὸν εἰκόνα χαλκῆν παρὰ τοῦ δήμου σπουδάσαι λαβεῖν, οἱ δὲ σίτησιν, οἱ δὲ στέφανον

---

19 Ald. οἶδε Par. Vind. εἶδε. 20 Ald. σαυήγοντο. 21 Ald. δυσμῶν. Par. Vind. δυσμενῶν.

εὕρασθαι παρὰ τοῦ δήμου μετὰ τὸ τρόπαιον· ἐγὼ δὲ μὰ τοὺς θεοὺς, ἐρῶ γὰρ πρὸς ὑμᾶς, καὶ πείσασθαι τῷ πένητι τὸν πλούσιον μετὰ τὸ τρόπαιον καὶ τὰ κατορθώματα προσεδόκησα· ἐξ ἀντιπολιτείας ἤλπισα διαλλαγῆναι τοῦτον μετὰ τὸν πόλεμον, καὶ τὴν ἀριστείαν ὀνειδίσαι τῷ πένητι, καὶ τῷ τροπαίῳ μετὰ τὴν χάριν φιλοτιμήσασθαι, καὶ τῇ τρυφῇ τοὺς πόνους ἀντεξετάσαι τοῦ πένητος, ταῦτ' ἐνόουν, ταῦτα προσεδόκων, ταῦτ' ἤλπιζον δρᾷν μετὰ τὴν ἀριστείαν τὸν πλούσιον· ὡς δ' ἐπὶ τὴν ἀριστείαν ἐλήλυθα, καὶ τὸν πένητα λαβεῖν ἔκδοτον αἰτοῦντος ἀκήκοα, εὐθὺς καὶ πρὸς τὸν πόλεμον ὕποπτος ἐγενόμην, καὶ πάντων ὑπόθεσιν ἐπίστευον γεγενῆσθαι τὸν πένητα· μαθὼν οὖν ὁ πένης τὴν δωρεὰν ἠμφέβαλλεν, ἐθαύμαζεν, οὐχ οὕτω κοῦφον εἶναι τὸν δῆμον ἐπίστευεν, οὐχ οὕτω τῶν εὐνῶν τοῖς πλουσίοις ἐξίστασθαι· καὶ ἐνταῦθα τῷ τοῦ πένητος προσώπῳ περίθες ΗΘΟποιΐαν ἐπιτιμητικὴν πρὸς
351 τὸν δῆμον· ὅτι κατεφρόνησεν οὗτος εὐνοίας ἐμῆς· κατεφρόνησε τοῦ προστάτου τῆς πόλεως, τῆς ἐλευθερίας τοῦ τηροῦντος ἀκινήτους τοὺς νόμους, καὶ κατ' ἀρετὴν τὴν δημοκρατίαν φυλάττοντος· καὶ τὴν ἰσηγορίαν τηροῦντος ἀκίνητον· εἶτα ἔπαγε· ἀλλ' ὅμως μαθὼν τὴν δωρεὰν ἀκριβέστερον ἑαυτὸν συνεπιδέδωκεν μετὰ τὴν χάριν τῷ σώματι· καὶ τὴν παρὰ τοῦ πλουσίου[22] πληγὴν ἔφθανε κείμενος· καὶ τὴν τοῦ δήμου προαίρεσιν[23] ἐπλήρου τοῖς ἐγχειρήμασιν· ὢ τῆς περὶ τὴν πόλιν σπουδῆς· ὢ δημοτικῆς εὐνοίας καὶ πολιτεύματος· ὠδύρετο κατὰ τοῦτο μόνον τὴν τύχην, ὅτι μὴ τελευτᾷ μετὰ τοῦ πλουσίου παραταττόμενος· εἶτα τοιοῦτον ἁπάντων ὑμῶν ἀπολωλεκότων δημαγωγὸν ἐῶμεν τὸν τῶν καλλίστων τῇ πόλει φθονήσαντα· καὶ τῶν νόμων ἀποστερηθέντος τοῦ φύλακος, αὐτὸς σιωπῶ τὴν ἐπήρειαν· μὴ γὰρ αὐτῷ βασκαίνω τῆς δωρεᾶς,

22 Ald. πλησίον, scr. πλουσίου. 23 Ald. προαίρετιν.

πολέμιον μετὰ τὴν πολιορκίαν ἀμύνομαι· ὡς ἐχθρὸν τῆς δημοκρατίας εἰςήγγειλα. ΜΕτὰ τὴν κατάστασιν θήσεις τὰ παραγραφικὰ, ὅτι οὐκ εἰμὶ αἴτιος φόνου·[24] οὔτε γὰρ ξίφος, οὐ δεσμὸν ἐπιδέδωκα, οὔτ' ἐπὶ βάθρον ἤγαγον. ΚΑΙ Λύσεις τοῖς ὁρικοῖς, ὅτι οὐ ταῦτα μόνον ποιήσας τις αἴτιός ἐστι θανάτου, ἀλλὰ καὶ ὑποχείριον λαβὼν, καὶ ἐμποιήσας προςδοκίαν τῶν δεινοτάτων· ἐργάσῃ δὲ οὕτως· εἶτα ἀποστερήσας τὴν πόλιν ἀριστέως, δημαγωγοῦ γρὸς λῆμμα[25] ἢ χρυσίον μὴ ῥέποντος ῥήτορος, καὶ συλήσας συμβούλου μὲν τὴν ἐκκλησίαν, στρατηγοῦ δὲ τὸν πόλεμον, ἀγανακτεῖς ὅτι μὴ γέγονας πρὸς τὸν θάνατον αὐτόχειρ τοῦ πένητος, καὶ διαβάλλεις τὴν κρίσιν, ὅτι μὴ ξίφος ἢ δεσμὸν παρέσχες ἐκείνου ταῦθ' ὑπομείναντος· ὥςπερ ἂν αὐτὸς μὴ παρῃτήσω διαθεῖναι δεξάμενος· εἰ μὲν γὰρ οὐκ ἐχθρὸς, οὐδὲ ἐπὶ τῷ λυμήνασθαι πρὸς τὴν αἴτησιν ταύτην ἀπήντησας, μάτην αἰτιῶμαι τὸν φόνον· εὐποιῆσαι γὰρ αὐτὸς οὐκ ἀνελεῖν τοῦτον ἐσπούδαζες· εἰ δὲ ἔκδοτον ᾔτησας, καὶ δέδωκεν ὁ δῆμος χρήσασθαι πρὸς ὅ, τι περ ἂν βουληθείης τῷ πένητι, τί τηνάλλως[26] ἀναστρέφεις τοὺς λόγους· οὐ γὰρ ἡ κομψεία ταννῦν, ἀλλ' ἡ δωρεὰ τὸν φόνον κατηγορεῖ· ξίφος οὐκ ἐπέδωκα, φησὶν· οὐδ' ἐπὶ βάθρον ἤγαγον, ὥσπερ ἡμῶν οὐκ εἰδότων, ὅτι, εἰ ταῦτα προςῆν, δραμεῖν ἐπὶ τὸν δήμιον ἦν εὐθὺς τὸ λειπόμενον, οὐ συγκροτεῖν δικαστήριον· καὶ τὸν αὐτὸν

---

24 Ald. φθόνου. scr. φόνου, ut paullo post v. 6. αἴτιός ἐστι θανάτου. 25 Ald. πρόςλημα. Vind. πρόςλημμα. Par. πρὸς λῆμμα. Λῆμα et Λῆμμα permutantur Joseph. bell. Jud. VII. 8. 7. καὶ πολλοῦ λήματος πλήρης γενόμενος. Par. 1423. 1425. λήμματος. III. 10, 4. δεῖ δὲ πόνου πρὸς τῷ τάχει καὶ λήματος. Par. 1425. λήμματος. cfr. Boisson. ad Eunap. p. 391. Ludit Lucianus Pseudosoph. c. 5. εἰπόντος δέ τινος, λῆμμα πάρεστιν αὐτῷ, διὰ τῶν δύο μμ, οὐκοῦν, ἔφη, λήψεται, εἰ λῆμα αὐτῷ πάρεστιν. 26 Ald. τηνάλως. — v. 23. Ald. εἰς ταῦτα.

πρὸς τὴν σφαγὴν ἀμφοτέροις ποιήσασθαι τρόπον γενέσθαι, ἵνα καιρὸν ἔχοντες ἕνα τῆς τελευτῆς ταὐτὸν καὶ τὸν τάφον κληρώσωνται· εἶτα ἔπαγε, ὅτι οὐκ αὐτόχειρ ἐγένετο τοῦ πένητος, ἀλλὰ τῆς σκηνῆς αὐθέντης τοῦ πάθους ἐπὶ τῆς ἀλλοτρίας [27] ἐγένετο, καὶ ὅτι οὐκ ἀπόχρη τοῖς ἁμαρτάνουσι, συνειδέναι μὲν αὐτοῖς τὴν γραφὴν, ἀφ' ἑτέρων δὲ τὴν ἀπολογίαν προβάλλεσθαι· εἶτα ὅτι οὐχ εἷς τρόπος θανάτου αἰτίας ἐστί· καὶ οὐ προςῆκόν ἐστιν εἰς ὡρισμένα τινὰ περικλείειν τὴν κατηγορίαν· εἰ γὰρ τῶν ἐγχειρημάτων τὸ πλῆθος ἄπειρον, τῷ δὲ τέλει κρίνεται τὸ καθ' ἕκαστον, ἀνθ' ὧν [28] δεσμὸν ὁ πλούσιος ἢ ξίφος προτείνεται, καὶ βαδίζει τὴν κύκλῳ· πῶς δὲ τῷ πένητι τῆς τελευτῆς ἐστιν οὐχ ὑπεύθυνος; οὐκ ἀποδεικνύει κρινόμενος· εἶτα πρόσθες ἐνθύμημα· ἢ γὰρ οὐκ εἴληφε κατ' ἐκείνου τὴν δωρεὰν, ἢ ἐπειδὴ τοῦτο τυχὸν αὐτὸς οὐκ ἀρνήσαιτο, καὶ τῶν δευτέρων δημιουργὸς ἐξελήλεγκται· [29] εἶτα πόμπευσον τῇ φράσει μελετηρότερον· καλὸν ἡμῖν, ὦ πλούσιε, δέδωκας τοῦ πένητος λέγειν ἐπιτάφιον· διορίζεται τὴν γραφὴν, ὥσπερ ἐν τῷ δράματι φιλοτιμούμενος· νῦν περὶ τῶν ἐγκλημάτων ἀμφισβητεῖς τῇ πόλει τοσαύτην διὰ τῆς δωρεᾶς παρασκευάσας τὴν συμφοράν· εἶτ' ἐπεκτείνας τὰ τοιαῦτα νοήματα κατασκεύασον τοῖς ὁρικοῖς παραδείγμασι τὸ κεφάλαιον· τίς σώζει τυμβωρύχον, καθελόντα μὲν τοῦ πεπτωκότος τὸν τάφον, οὐχ ἁψάμενον δὲ τοῦ σώματος; ἱεροσύλου τίς ἀπαλλάττεται, κινήσαντος μὲν τῶν ἀνακτόρων τὰ ἀναθήματα, οὐ δυνηθέντος δὲ τῶν ἱερῶν ὑπεκκλέψαι τὸ σπουδαζόμενον; ἢ λωποδύτην ἀφίησι θοιμάτιον ὑφελό-
352 μενον, ἁλόντα δὲ πρὶν λαθεῖν ὃν ἠδίκησεν; ὥσπερ γὰρ τούτων ἀφελέσθαι τὴν προσηγορίαν αὐτὸς κύριος οὐδεὶς,

---

27 Ald. ἀλλοτρίοις. Vind. ἀλλοτρίης. Par. ἀλλοτρίας. 28 Ald. Vind. ἀνθ' ὄν. Par. ἀνθ' ὧν. 29 Vind. ἐξελήλεκται.

οὐδὲ τὴν πρᾶξιν ἑλόμενος τοὔνομα νικῆσαι δεδύνηται· ἀλλ' ὡς τῶν ἀγαλμάτων κλέπτης πλησίον καὶ ἱερόσυλος, καὶ ὡς τῶν τάφων ἐγγὺς ὁ λυμήνασθαι μέλλων τῷ σώματι· καὶ τυμβωρύχος οὕτως ὡς φονεὺς ὁ πλούσιος οὐκ ἀμφίβολος· εἶτα ἐὰν θέλῃς ἐκτεῖναι τὸ κεφάλαιον, δύνασαι καὶ ἀπὸ τῆς τοῦ νόμου ἀναγνώσεως καὶ ἀπὸ τοῦ συλλογισμοῦ καὶ πηλικότητος καὶ τοῦ πρός τι λαμβάνων τὰ νοήματα[30] ἐκτεῖναι τὸ κεφάλαιον· δεῖ μέντοιγε συστέλλειν αὐτὰ καὶ κεκρυμμένως[31] εἰςάγειν, ἵνα μὴ δόξῃς ὅρον τὴν στάσιν μελετᾷν; ἀλλὰ μὴ κεφάλαιον ὁριστικοῖς κατασκευάζειν νοήμασι· καὶ γίνεταί σοι μεῖζον τοῦ ἔργου τὸ πάρεργον. ΜΕΤΑ ΤΑΥΤΑ θήσεις ἀντίθεσιν ἀντιληπτικὴν παραγραφὴν οὖσαν καὶ αὐτὴν ἀπὸ τοῦ προσώπου τοῦ πένητος, δύναμιν ἔχουσαν τοιαύτην, ὅτι οὐκ ὀφείλω ἐγὼ κρίνεσθαι, ὑπὲρ ὧν ἄλλος πεποίηκεν. Ἡ ΛΥΣις μεταληπτική, ἀπὸ τοῦ χρόνου καὶ ἀπὸ τοῦ ψηφίσματος, ἀλλὰ μετὰ τὴν δωρεάν· ἀπαντήσεις δὲ οὕτως· καὶ τίς ὁ παρασχὼν τὴν ὑπόθεσιν; ἀλλ' οὐκ ἐγὼ, φησὶν, διεχρησάμην τὸν πένητα, ἀλλ' αὐτὸς παρέσχου τῶν γενομένων τὴν πρόφασιν· εἶτα ἐκτενεῖς τοῦτο τὸ νόημα λέγων, πρόςθες τῷ λόγῳ τὴν δωρεάν· καταβήσομαι γὰρ μετὰ τὴν ἀπολογίαν τοῦ βήματος· εἰπὲ πόθεν ὁ πένης νεκρός· σαυτοῦ γὰρ ἔσῃ παραυτίκα κατήγορος· μὴ πρὸ τῆς ἀριστείας ταύτην εἴχομεν κατὰ σοῦ τὴν γραφήν; μὴ πρὸ τῆς δωρεᾶς ἑαυτὸν ὁ πένης ἀνῄρηκεν; πόθεν. οὐδὲ γὰρ οἶσθα τὴν ἀρχὴν εὑράμενος παρὰ τοῦ δήμου τὴν δωρεάν; οὐδὲ τιμὴν εἶχες τὴν προξενοῦσαν

---

30 Ald. Vind. νοσήματα. Par. νοήματα. infra p. 389. εἶτα ὅτι πάντες οἱ νοσοῦντες περιέστησαν. Ald. et Codd. νοοῦντες. p. 413. ὅθεν δ' ἂν γλαφυρά τις ἡ κατάστασις γένοιτο, καὶ ἀπὸ ποίων νοημάτων τούτου εὐπορήσομεν. Par. Vind. νοσημάτων.
31 Ald. κεκριμμένως. scr. κεκρυμμένως.

ἐκείνῳ τὴν τελευτήν· αὐτὸς τυγχάνεις τῶν συμβεβηκότων πατήρ· εἶτα τὸ Δημοσθενικὸν νόημα εἰπέ. εἰ γὰρ ὁ τὸ σπέρμα παρασχὼν καὶ τέλους ἔχει τὴν πρόφασιν, καὶ τὴν ἀρχὴν ὁ δεδωκὼς τῶν ἑτέρων οὐκ ἀποστερεῖται, σὺ τὴν αἰτίαν τῷ πένητι παρασχὼν ὑπεύθυνος καὶ τοῦ θανάτου γεγένησαι· εἶτα κῶλον ἄλλο εἰπὲ ἀπὸ τοῦ ἐναντίου· εἰ γὰρ ὁ χρηστὴν τῷ δήμῳ πρᾶξιν εἰςηγησάμενος πληρωθείσης ἔχει τὸν ἔπαινον, διότι τὴν ἀφορμὴν αὐτὸς τῶν εὐτυχημάτων παρέσχετο, τῶν ἀτόπων τὴν αἰτίαν ὁ παρασχὼν τὸ μὴ σώζεσθαι δίκαιος· εἶτα ἀπὸ βουλήσεως τοῦ πένητος· ὅτι πάντες ἄνθρωποι σώζεσθαι βούλονται, κἂν σφόδρα δυςτυχῶσιν· εἶδε δὲ ὁ πένης, ὅτι ἅπαξ ὑπὸ σοὶ [32] γενόμενος οὐδὲ μιᾶς ἐλπίδος τεύξεται· καὶ τὰ τοιαῦτα. *ΜΕΤΑ* ταῦτα θήσεις τὴν ἀντίληψιν. Ἀλλ' ἔξεστίν μοι, φησὶν, αἰτεῖν δωρεάν. *ΛΥΣΕΙΣ* τῇ μεταλήψει, ὅτι οὐ τοιαύτην ἔξεστιν αἰτεῖν· μὴ εὐθὺς δὲ ἀπαντῶν ταῖς λύσεσιν ἐπὶ τὰς διαιρέσεις ἔρχου· ἀλλ' ἐκ περιβολῆς ἅπαντα· οὕτω γὰρ γοργότερος καὶ μελετητικώτερος [33] ὅλος γενήσεται· οἷον καὶ πόθεν οὕτως τυραννικὰς ποιεῖσθαι τὰς ἀποκρίσεις μεμάθηκας; νῦν σε τὴν ἐξουσίαν ὁ πένης ἀνῃρημένος ἐδίδαξε; νῦν οὕτω θρασύνεσθαι κατὰ τοῦ δήμου μεμάθηκας; νῦν ἡμῖν ὥσπερ ἐξ ἀκροπόλεως διαλέγῃ κρινόμενος; καὶ τὸν νόμον ὑπερορᾷς, ἐξεῖναί σοι λέγων ἃ μὴ νενόμισται; εἶτα ἐπὶ τὴν διαίρεσιν τοῦ κεφαλαίου ἐλθὲ, οὖσαν τοιαύτην μεταληπτικήν· ἀλλ' οὐ ταύτην ἐξεστίν σοι λαμβάνειν τὴν δωρεάν· οἷον ἔξεστι λέγειν. ἀλλ' οὐχ ἁρπάζειν δημαγωγοὺς ἐκ τῆς πολιτείας συγκεχώρηται· πόθεν τῶν πολιτῶν τις τυγχάνει κατὰ τὴν δημοκρατίαν ἀνεύθυνος; τίς στρατηγὸς ἢ ῥήτωρ ἢ

---

32 Ald. σοῦ, scr. σοί. 33 Ald. Par. μιλετητικότερος. Vind. μελετηκότερος. contra p. 155. v. 17. Ald. μελετικώτερον. Vind. Par. μελετητικώτερον.

σύμβουλος τοιαύτην ἐπὶ τοῦ βήματος ἀφῆκε φωνήν; τίς τὰς εὐθύνας παρῃτήσατο πώποτε; κύριον ἑαυτὸν τῶν ἐγκαλουμένων ἀποφαινόμενος; τοῦτο τῆς μοναρχίας μόνον ἐξαίρετον· τοῦτο τοῖς τυραννουμένοις παρασχεῖν ἀκόλουθον· ἀκούειν δὲ τοιαῦτα λεγόντων τῶν δημοκρατουμένων ἀλλότριον· εἶτα ἐλθὲ ἐπὶ τὰ παραδείγματα· οὐδεὶς ἐν δημοκρατίᾳ ἀνεύθυνος· στρατηγὸς ἂν νικήσῃ τοῖς ὅπλοις μέχρι τῶν τροπαίων μετὰ τὴν νίκην οὐχ ἵσταται· ἀλλ' ἐπὶ τὰς εὐθύνας ἔρχεται κἂν προλαμβάνῃ τὴν ὑπὲρ 353
αὐτοῦ ψῆφον τὰ πράγματα· καὶ δίδωσι λόγον τὴν κρίσιν οὐ παραιτούμενος· εἶτα στρατηγὸς μετὰ τῶν ἐν πολέμῳ πραχθέντων οὐ παραιτεῖται τὴν κρίσιν· σὺ δὲ κρινόμενος τὴν ἐξουσίαν βοᾷς;[34] ἐκτείνειν δὲ τὸ κεφάλαιον ἔχεις ἐκ τῶν ἐγκωμιαστικῶν τόπων· οἷον ὦ πόσους νόμους μέλλοντας ὑπὸ τοῦ πένητος τίθεσθαι κεκώλυκας· ὦ πόσα ψηφίσματα, πόσας κατηγορίας, πόσας ἀριστείας, καὶ τὰ τοιαῦτα· ἂν δὲ καὶ μελετητικώτερον θελήσῃς[35] εἰπεῖν, ἐκ τῆς ὑποκειμένης ὕλης λαβὼν εἰπέ· ὦ πολιορκίαν παρασκευάσας ἡμῖν καὶ τοῦ πολέμου χαλεπωτέραν· οὐδεὶς ἐκ τῆς μάχης, ὦ δημοτικὲ φιλόπολι, πένης ἀνῄρηται, οὐδὲ τοιαῦτα πέπονθεν ἐκ πολιορκίας ἡ πόλις· ὦ καὶ τῆς συμφορᾶς τανῦν ἀπανθρωπότερε πλούσιε· ἔξεστι, λέγεις, κατὰ τοῦ δήμου λαμβάνειν τὰς δωρεὰς καὶ συνάπτειν τοῖς ἀνευθύνοις ἐπήρειαν· ἔξεστι καὶ δημηγορεῖν· ἀλλὰ κατὰ τοῦ δήμου κεκώλυται· ἔξεστιν ἀποδημεῖν· ἀλλὰ πρὸς τοὺς πολεμίους τοῦτο δράσας εὐθὺς ἔχει μετὰ τὴν πρᾶξιν τὴν κόλασιν· πότε ταύτην τὴν φωνὴν ὁ πένης ἀφῆκε, δημηγορῶν; πότε τινὸς ἐκεῖνος ἑαυτὸν ἐπὶ τῆς ἐκκλησίας ἀπέφηνε κύριον; ἐπολέμει καὶ

---

34 Ald, Codd. βοῦς. scripsi βοᾷς, ita ut idem dicatur, quod paullo ante: καὶ τὸν νόμον ὑπερορᾷς ἐξεῖναί σοι λέγων, ἃ μὴ νενόμισται. 35 Ald, Vind, θελήσεις. Par. θελήσῃς.

τοῖς ταῦτα λέγουσιν ὁ δυςτυχέστατος, καὶ τυράννους τοὺς τοιούτους ἀποκαλῶν ἦγεν εἰς δικαστήριον τιμωρούμενος· τηρήσατε ταύτην, ὦ ἄνδρες, τὴν πολιτείαν τοῦ πένητος, καὶ τούτοισι τοῖς ἀλαζόσιν οὐκ ὄντας ὑμᾶς[36] ἀσθενεῖς ἐπιδείξατε· οὕτως ἀποκρινομένους, ὦ πλούσιε, τοὺς πρὸς σοῦ πολιτευομένους, μεμάθηκας· εἰπὲ, τί[37] παρὰ τοῖς δημοκρατουμένοις ἀνεύθυνον, τίς βίος ἢ πρᾶξις ἢ λογισμὸς ἢ προαίρεσις; ἀλλ' οὐκ ἂν ἔχῃς[38] εἰπεῖν· εἰ μὲν γὰρ ἕτεροι τῶν πλουσίων οἱ νόμοι, ἕτερα δὲ τῶν πενήτων τὰ δόγματα, ἀφίημί σε τῆς γραφῆς, οὐδὲν τὴν πόλιν ἠδίκησας· εἰ δὲ πᾶσιν ἡμῖν ἡ αὐτὴ πολιτεία καὶ γράμματα, τοῖς δικασταῖς ὁμολόγει τὴν χάριν ἔτι σωζόμενος· αἰτεῖ τις, ἀνόητε, χάριν τὴν λυποῦσαν τὴν πόλιν, καὶ δωρεὰν εὑρίσκεται λαμβανομένην τοῖς πράγμασι· τίνος τὸν αἰτοῦντα γραψόμεθα; πότερον τῶν ἀποβεβηκότων κακῶν, ἢ τῆς δωρεᾶς, ἥ τις τὸ δεινὸν τοῖς παθοῦσι προὐξένησε· κατάθου λοιπὸν μετὰ τὴν συμφορὰν τὴν πόλιν εἰρωνευόμενος. ΜΕΤΑ ΤΗΝ ἈΝΤΙΛΗΨΙΝ ΘΗΣΕΙΣ ΤΟ ΧΡΩΜΑ Ἀντεγκληματικὸν τυγχάνον διὰ τὴν ἔχθραν· εἶπον δὲ ἤδη ὅτι κατὰ τὰς ἀντιθετικὰς ἐν ἀντιλήψει τυγχάνει τὰ χρώματα. ἄξιος γὰρ, φησὶν, ἦν τοῦ ταύτην αἰτῆσαί με παρὰ τοῦ δήμου τὴν δωρεάν· ἀλλ' ἄξιος, φησὶν, ἦν. ΛΥσεις τ ῀ πολιτείᾳ τοῦ πένητος· τῆς τοιαύτης ὁ πένης ἄξιος ἦν συμφορᾶς, ὅτι σε κακοῦργον πολλάκις καὶ παράνομον ἤλεγξεν. ἄξιος ἦν, ὅτι τῶν νόμων οὐχ ὥσπερ σὺ καὶ τῆς πατρίδος ἐφείδετο, ἀλλὰ δημηγοροῦντα μὲν ἤλεγξεν, ἀδικοῦντα δὲ πολλάκις ἐγράφετο· πόθεν ταύτην, εἰπέ μοι, τὴν ἀξίαν ἐπ-

36 Ald. Codd. ἡμᾶς. supra p. 290. πρὸς ὃν ἐγὼ μάλιστα τὸν ζῆλον ἔχων παρ' ὑμῖν πολιτεύομαι Vind. ἡμῖν. 37 Ald. Vind. τίς — ἀνεύθυνος, in Par. ς in τις expunctum et ἀνεύθυ- ς νον. 38 Ald. Vind. ἔχεις. Par. ἔχῃς.

ἔγνωκας; ἀπὸ τῆς πολιτείας τοῦ πένητος, ἀφ' ὧν ἔγρα-
φεν ἢ συνεβούλευεν, ἢ καὶ ἐξ ὧν ἡμῖν τὰ πράγματα τοῖς
δημοτικοῖς οὐ προσήκατο; ἀπὸ τούτων ἐστοχάσω τῆς
ἀξίας, ὦ πλούσιε; ἀπὸ τούτου τοῦ θανάτου ἐκεῖνον τετί-
μησαι; ἀλλ' οὐ παρ' ἡμῖν ὁ δυστυχὴς ἐκεῖνος ταύτην
ἔσχε τὴν δόξαν πολιτευόμενος· ἀλλ' ἄν μοι στεφάνων
ἄξιον λέγῃ καὶ κηρυγμάτων καὶ τιμῶν ἄλλων μυρίων,
ὁμολογῶ καὶ τὸν ἄνδρα σαφῶς ἐγνωκέναι σε πείθομαι.
ἂν δὲ τιμωρήσῃς με τῇ συμφορᾷ, οὐ συγχωρῶ βλασφη-
μεῖσθαι τὸν κείμενον· οὐ γὰρ ὑπὲρ ἄλλου τινὸς ἢ τῆς
πόλεως τὸν πρὸς σὲ πόλεμον ἐπανήρατο· παρώξυνέ σε
πολλάκις εὔνους τυγχάνων τῇ πόλει· αὕτη τῆς ἔχθρας ἡ
πρόφασις, τὸ λέγειν κατὰ τοὺς νόμους, τὸ δημηγορεῖν
τὰ συμφέροντα, τὸ ζητεῖν τιμωρεῖσθαι τοὺς ἁμαρτάνον-
τας,[39] τὸ μὴ συγχωρεῖν σοι πρὸ πάντων τοὺς ἀσθενε-
στέρους βιάζεσθαι· νόμον εἰςέφερες καὶ γραφὴ διεδέχετο
τὴν ἀνάγνωσιν· ἔγραψες ψήφισμα, καὶ τὴν πόλιν ἠνέσχου
παρακρουόμενος· ἐπρέσβευες· καὶ τί τῶν ἀνηκέστων ἐν
τοῖς λογισμοῖς οὐκ ἐδείκνυτο; ψευδεῖς ἀπαγγελίαι καὶ λό- 354
γοι, χρόνων πλῆθος μάτην ἀπολωλὸς, πράξεις παρὰ τὰ
πεπραγμένα γινόμεναι, πρεσβεῖαι καὶ φιλίαι πρὸς τοὺς
πολεμίους, καὶ σύνοδοι· ταῦτα τὸν φόνον, ταῦτα τὴν
ἔχθραν ἐξέκαυσεν· ὑπὲρ τούτων ἁπάντων ὁ πένης πολέ-
μιος, ὅτι ποτὲ τοῦτον ὡς προδότην εἰςήγγειλε καὶ λειπο-
ταξίου γραψάμενος περὶ σωτηρίας κινδυνεύειν ἠνάγκα-
σεν· εἶτα πρόςθες ἀπολογίαν τοῦ πένητος, οὐ μισῶν τὸν
πλούσιον· οὐ γὰρ ἀνελεῖν τοῦτον ἐσπούδασεν, ἀλλὰ ζητῶν
τὴν πολιτείαν μηδαμοῦ βλάπτεσθαι, καὶ πάντας δημοτι-
κοὺς καὶ τῆς πολιτείας ἐραστὰς εἶναι βουλόμενος· μὴ τῆς
παρὰ σοὶ νομιζομένης ἔχθρας ἦν ἡ πόλις ὑπόθεσις· ἐγὼ
μὲν γὰρ αὐτὴν καὶ φιλίαν ἀποκαλῶ καὶ διόρθωσιν πρὸς

39 Par. λαμβάνοντας. ad marg. ἁμαρτάν.

τὸ βέλτιστον· εἰπὲ τί τῶν ἰδίᾳ σοι προςηκόντων ὁ πένης λελύμανται; ποίας ἐμπορίας ἢ συναλλαγῆς ἀπεστέρησε; ποῖον ἀγρὸν ἢ τίνα λελύμανται τὴν οἰκίαν; ἀλλ' οὐκ ἂν ἔχῃς δεικνύναι· εἰ δὲ τούτων ἠπόρησας, τὴν πολιτείαν καὶ σιωπῶν ὁμολογεῖς· ἡ γὰρ τῶν ἑτέρων ἀναίρεσις τυγχάνει τῶν λειπομένων κατάθεσις· νῦν δὲ ἁμαρτάνων καὶ σαυτὸν ἕτοιμον τῷ πένητι παρέχων πρὸς ἐπανόρθωσιν ἔχθραν [40] τὴν ὠφέλειαν ἀποκαλεῖς· [41] εἶτα πρόςθες, ὅτι καὶ σὺ αἴτιος εἶ τῆς ἔχθρας· τί γὰρ δημοτικὸν πένητα παρὰ νόμον ἠρέθιζες; καὶ ἐκτεινον τὸ τοιοῦτον νόημα, εὐπορίαν ἔχον πολλὴν ἀπ' αὐτοῦ πρωτοτύκως ἀπὸ τῶν ἐναντίων· οἷον ὅπου γὰρ κατὰ τοὺς νόμους πράττοντι οὐκ [42] ἀντέλεγε, παρὰ τὴν συνήθη τάξιν τῆς πολιτείας δημαγωγοῦντί σοι οὐκ ἀνθίστατο· εἶτα λοιπὸν κοινὰ ἀπὸ τοῦ κεφαλαίου καὶ τῆς πολιτείας καὶ τῆς ποιότητος τὰ κομματικὰ προςτιθῇς, πληρώσεις τὸ κεφάλαιον· οἷον ταῦτα τῷ κακοδαίμονι τὸν φόνον προὐξένησε· τί γὰρ ἐζήτει τῶν κοινῶν οὕτω φροντίζειν καὶ μὴ κήδεσθαι; τί δὲ φυλάττων τὴν δημοκρατίαν ἀκέραιον, πλούσιον πρὸς τὸν καθ' ἑαυτοῦ [43] παρώρμησε πόλεμον; νῦν δὴ τοῦ περὶ την πολιτείαν ὁ πένης ἡττημένος ἔρωτος ἁπάντων ὑπερεῖδε, τῶν κοινῶν ὑπερμαχῶν, καὶ τὴν δημοκρατίαν φιλῶν, λυπεῖν τοὺς πολεμίους ἠνείχετο· ἔρως ἦν, ὦ βέλτιστε, κατὰ σοῦ παροξύνων τὸν πένητα, καὶ πατρίδος σπουδὴ, θανάτων μυρίων ὑπερφρονεῖν ἀναγκάζουσα· σὺ δὲ τούτων συγγνοὺς οὐδενὶ πολέμιον τὸν τῶν νόμων ἀπεκάλεις ἐραστὴν, καὶ τὰ τοιαῦτα. *ΜΕΤΑ ΤΟΥΤΟ ΘΗΣΕΙΣ ΤΟ ΜΕΤΑΣΤΑΤΙΚΟΝ ΤΟ ΕΠΙ ΔΗΜΟΝ.* Ἀλλ' ὁ δῆμος πεπεῖσθαί φησι.

---

40 Vind. ἔχραν τὴν ὀφείλειαν. v. 10. Ald. παρὰ νόμων. 41 Ald. Codd. ἀποκαλῶν. in Par. supra lin. εῖς. 42 Par. καὶ ad marg. οὐκ. 43 Ald. Codd. καθ' ἑαυτῷ.

Λύσεις οὕτως· τοῦτο γάρ ἐστι τὸ χαλεπώτατον· ὅτι μὴ μόνον ᾔτηκας, ἀλλὰ καὶ πέπεικας· εἰ γὰρ ὁ λέγων ἃ μὴ δεῖ πλημμελεῖ, ὁ πείθων ταῦτα τὸν δῆμον διπλασιάζει τὰ ἁμαρτήματα· ὥσπερ γὰρ αὐτὸ τοῖς βουλευομένοις γνώμην βλαβερὰν εἰςενέγκασθαι, οὕτω τοῖς πείθουσιν ἄν τι συμβῇ δυσχερὲς, ἡ πόλις προςεπιγράφει τὰ πταίσματα· πονηρὸν, ὦ δικασταὶ, ῥήτωρ κακόνους καὶ σύμβουλος· ἐλεγχθεὶς[44] μὲν γὰρ παραχρῆμα τὴν συμβουλὴν ἀναχωρεῖ τῆς ἐκκλησίας ἀζήμιος· συνεργὸν δὲ τὸν δῆμον τῶν ἐσκεμμένων δεξάμενος ἄπεισι μετὰ τῶν νόμων ἂν ἁρπάσῃ τὰ πράγματα· οὕτω πολιορκεῖται τὸ γένος· οὕτως ἄνθρωποι τυραννοῦνται δημοκρατούμενοι· πιθανῶν μὲν δοκούντων εἶναι τῶν εἰςηγουμένων τὸ κατ' ἀρχὰς, ἀνατροπὴν δὲ μετὰ ταῦτα τῶν ὑπαρχόντων παρασκευαζόντων πόλεμον· καὶ μετὰ τὸ παθεῖν τότε τούτων παρεχομένων τὴν αἴσθησιν, πέπεικα, λέγεις· καὶ τὴν ἀνάγκην ὀνομάζεις πιθανωτέραν πρὸς ῥήματι· καὶ μετὰ τὴν συμφορὰν τοῦ δήμου κατηγορεῖς· ὁ δῆμος αἴτιος θανάτου τοῦ πένητος· καλὴν ἀποδίδως ἡμῖν ὑπὲρ πενήτων τὴν πρόνοιαν· καλῶς τῷ δήμῳ τηρεῖς ὑπὲρ τῶν πολιτευομένων τὰς ἀμοιβάς· καὶ τὸ πάθος, ὦ σὺ, παρασκευάσας ἐπὶ τὸν δῆμον ἀνάγεις ὡς αἴτιον· καὶ τραγῳδίας πληρώσας τὴν πόλιν ταύτην τῶν συμβεβηκότων ποιεῖς αἰτίαν· τίς οὕτω πονηρὸς ἢ θρασὺς τῶν οἰκείων ἐγκλημάτων τὸν δῆμον 355
ἐμέμψατο; τίς ἐπὶ τοὺς ψηφισαμένους ἤγαγε τὴν γραφὴν, πεπεῖσθαι λέγων ἃ μὲν προείρηται; εἰ μὲν γὰρ διεχρήσατο τὸν πένητα, ὁ δῆμος βεβούληται, καλῶς τὸν κυρώσαντα τὴν δωρεὰν αἰτιᾷ· εἰ δὲ πέπεικας αὐτὸς προςελθὼν, ἃ μηδὲ γενέσθαι προςηύχετο τῶν συμβεβηκότων αὐτὸς, οὐχ ὁ πεπεισμένος ἀνεύθυνος· πολλοὶ περιπεπτώκασι συμφοραῖς συμβούλοις οὐκ ἀγαθοῖς πιστεύσαντες·

---

44 Vind. ἐλεχθείς.

εἶτα ἔπαγε τὰ παραδείγματα· ἐάν τις πείσῃ τὴν πόλιν πόλεμον πρὸς τοὺς ὁμόρους ποιήσασθαι, ἆρα ἡ πόλις τῶν δεινῶν αἰτία; ἂν δὲ στέφανον σχῇ μετὰ τὸν πόλεμον ἢ τρόπαιον, οὐχ ὁ ποιήσας φιλοτιμεῖται τὰ κατορθώματα; μὴ τοίνυν λέγε ὡς ἡ πόλις πέπεισται· σὸν γὰρ ἅπαν, οὐ τῶν πεπεισμένων τὸ κατηγόρημα· καὶ ὅσα τοιαῦτα. *ΜΕΤΑ ΤΑΥΤΑ* Θήσεις τὴν ἀπὸ τοῦ ἀποβάντος ἀντίθεσιν, πάντῃ καὶ πάντως ἐν τοῖς ἀπὸ τοῦ ἀποβάντος λυομένην συγγνωμονικῶς· ὥσπερ γὰρ εἰ τὸν πλούσιον ἐμελέτας, ἔθηκας ἂν τὴν ἀπὸ τοῦ κατηγόρου ἀντίθεσιν τοιαύτην· ἀλλ' ὁ πένης ἀνῄρηται· καὶ ἔλυσεν ὁ πλούσιος συγγνωμονικῶς, ὅτι ἠγνόουν ὡς ἑαυτὸν διαχρήσεται, οὕτω τὴν ἀπὸ τοῦ πλουσίου τιθεὶς ἀντίθεσιν, τὴν ὅτι ἠγνόουν, εἰ ἑαυτὸν ἀναιρήσει. *ΛΥσεις* ἐνστατικῶς, ὅτι οὐκ ἦν ἄδηλον· οἷον ἀλλ' ἠγνόουν, φησὶν, ὡς ἐξ ἀνθρώπων ὁ πένης γενήσεται, καὶ τίς [45] μετὰ τὴν τοιαύτην σου δωρεὰν πιστεύσει τὴν ἄγνοιαν; τίς δὲ τὸν λόγον προςδέξεται σωφρονῶν; ὑπ' ἐχθρῶν γενέσθαι τίς αἱρεῖταί ποτε; καὶ τραφεὶς ἐν νόμῳ καὶ πολιτεύμασιν ἀγαπᾷ δεσπότην ἑαυτοῦ καταστῆσαι πολέμιον; ἀνθ' ὅτου γὰρ εἰπέ μοι καὶ τοῖς βαρβάροις μαχόμεθα; ἀνθ' ὅτου δὲ τοῖς πολεμίοις συμβάλωμεν; οὐχ ἵνα μηδὲν πάθωμεν ὑβριστικὸν ὑφ' ὧν ἥκιστα ἐχρῆν, μηδὲ δουλεύσαντες μὲν ἑαυτοὺς θεασώμεθα· πάσχοντες δέ τι περὶ τὴν ἀταξίαν τῷ σώματι· πῶς τοίνυν προφέρεις τὴν ἄγνοιαν, οὐδενὸς [46] τῶν τοιούτων τὸν πένητα εἰδὼς [47] ἀντεχόμενον, οὐδὲ ζῆν χωρὶς ἐλευθερίας βουλόμενον; ἤλπισας ἂν, ὦ πλούσιε, τὸν δημαγωγὸν ἐπὶ σοὶ γενέσθαι στρεβλούμενον ἰδεῖν, ἢ παρεστάναι δουλεύοντα; πόθεν; οὐχ οὕτω ταπει-

πει-

45 Ald. Vind. τῆς. Par. τίς. 46 Par. $\overset{\text{οὖ}}{\text{μηδενός}}$. 47 εἰδὼς Ald. Vind. om., est in Par.

πεινὸς ὁ μεγαλόφρων ἐκεῖνος ἐτύγχανεν· οὐχ οὕτως ἀσθενὴς ὁ πολλάκις ὑπὲρ τοῦ γένους παραταξάμενος,[48] ὁ συμβουλεύων τῷ δήμῳ μὴ προέσθαι τὴν ἐλευθερίαν ποτὲ, μηδὲ χαίρειν ἀδόξοις ἐπιτηδεύμασιν, ἀλλὰ φιλοτιμεῖσθαι τοῖς κατορθώμασιν· οὐ ταύτην ἔχων τὴν πολιτείαν ἔκδοτος ὢν πρυτανεύειν αὐτῷ τὴν σωτηρίαν ἠβούλετο, ἵνα τινῶν μετὰ τὴν πολιτείαν ἀπήλασε δουλείας ἀντ' ἐλευθερίας, ὦ πλούσιε, καὶ κολακίας ἀντὶ δημηγορίας, καὶ λόγων ἢ τρυφῆς[48*] τῆς παρὰ σοὶ συντιθέναι τοὺς λόγους, ἀντὶ τοῦ γράφειν λόγους ἢ ψήφισμα. μυρίους ἂν ἐκεῖνος[49] ἐνεγκεῖν θανάτους ὑπέμεινεν, ἢ τοιαύτην ἡμέραν αὐτῷ δεῖξαι τὸν ἥλιον· εἰ δ' ὑπὸ σοὶ ζήσεσθαι προςεδόκησε, καὶ αὐτὸς ἕν τι τούτων ἀτυχήσας ὑπέμεινας· εἰ δὲ τοιαύτην αὐτὸς καρτερεῖς ὑπομεῖναι τύχην, πότε εὐέλπιδες ἡμεῖς οἱ παρὰ σοὶ πολῖται δημαγωγούμενοι; οὕτως ἂν ἐξηγήσω τῇ πόλει τοὺς νόμους, οὕτω τῆς ἐλευθερίας ἀντέχεσθαι· ἀλλ' οὔτ' ἂν αὐτὸς τοιοῦτόν τι συμβουλεῦσαι τετόλμηκας, οὔθ' ὁ πένης τὴν ἔκδοσιν ὑπομεῖναι δεδύνηται· εἰ δὲ ταῦτα πρότερον ὡμολόγηται, κἀκεῖνον ἀνελεῖν ἑαυτὸν μετὰ τὴν δωρεὰν ἀμφίβολον οὐκ ἐγίγνετο. ΜΕΤΑ ΤΑΥΤΑ τοὺς ἐπιλόγους θήσεις, συνάψας εὐθὺς κομματικῶς· οἱ δὲ ἐπίλογοι ἔχουσιν ὅσα ζῶν ὁ πένης τὴν πόλιν ὠφέλησε, διασκευὴν τοῦ πάθους, ἠθοποιΐαν, καταδρομὴν τοῦ πλουσίου, παροξυσμὸν ἐπὶ τὴν τιμωρίαν τῶν δικαστῶν, καὶ τὰ τοιαῦτα.

## ΑΝΤΙΛΗΨΙΣ ΑΠΛΗ.

Συνεχῶς κρινόμενος πλούσιος τυραννίδος ἐπιθέσεως κατεπόντωσε τὴν οὐσίαν καὶ κρίνεται δημοσίᾳ.

Ὁ λόγος ἐστὶ τῷ μὲν πλουσίῳ βαρὺς καὶ μετὰ πολλῆς γενόμενος τῆς βαρύτητος, τῷ δὲ κατηγόρῳ ἐπιφορι- 356

48 Ald. Codd. παραταξόμενος. 48* Ald. τροφῆς. Vind. Par. τρυφῆς. 49 Ald. Vind. ἐκείνους. Par. ἐκεῖνος.

κός· ὅτι μὴ μόνον ἐπιβουλεύων πολλάκις ἑάλωκεν, ἀλλὰ καὶ τῆς οὐσίας τὸν δῆμον ἐστέρησεν· ὅθεν ἡ κατάστασις αὐτῷ τὴν ἀπὸ τοῦ πλούτου γενομένην ἔχει κατὰ τῶν δημοτικῶν ἐπάχθειαν· γραφομένου πολλάκις τινὰς τοῦ πλουσίου, βιαζομένου τοὺς προςτυγχάνοντας, ἔχοντος περὶ αὐτὸν ἀκολάστων πλῆθος, προϊόντος [50] μετ᾽ οἰκετῶν πλειόνων· ὡς ταὐτὸν εἶναι δορυφορίᾳ τὸ γιγνόμενον, καὶ πάντας λοιπὸν πεφρικέναι τοὺς ἐντυγχάνοντας· ὅθεν ἐπὶ τούτοις τυραννίδος κριθεὶς οὐκ οἶδ᾽ ὅπως ἐκπέφευγε. τί οὖν, ἆρα μετὰ τὴν κρίσιν ἐσωφρόνησεν; ἐφυλάξατο [51] τὴν ὑποψίαν; εἶδεν ὅθεν αὐτῷ τὰ τῆς κατηγορίας γεγένηται; οὐδαμῶς· ἀλλ᾽ ὅτι χεῖρον τὸ γιγνόμενον ἦν, καὶ φόβος ἐκ τῶν πραττομένων· ὅθεν καὶ δευτέρα κρίσις ἐπὶ τούτῳ συνίστατο· καὶ κατήγοροι τυραννίδος ἐπὶ τοῦ βήματος ἐβόων τὸν τῆς πολιτείας ἐχθρὸν, τὸν περινοοῦντα κατὰ τοῦ δήμου τὴν ἀκρόπολιν· ἀλλὰ καὶ τὸ δεύτερον ἀθῷος διὰ τὴν ὑμετέραν φιλανθρωπίαν φανεὶς, καὶ τρίτον καὶ πολλάκις τοῦ παρ᾽ ὑμῶν ἐλέους τυχὼν οὐκ ἐσωφρόνησεν· οὐκ εἶδεν ὅτι τῆς φιλανθρωπίας ἀμοιβὰς ὀφείλει τῇ πόλει· ἐξαίφνης δὲ καθ᾽ ἑαυτὸν βουλευσάμενος ἐπιβουλὴν ἔτι κατὰ τοῦ δήμου χαλεπωτέραν ἐπινοεῖ· ἐν δὲ τούτῳ καὶ ἠθοποιΐαν θὲς, ὅτι πρὸς ἑαυτὸν ἔλεγεν· ὅτι πῶς ἂν καὶ ἐμαυτὸν ἀπαλλάξαιμι κατηγορούμενον, καὶ τῇ πόλει χαλεπωτέραν τὴν ἐπιβουλὴν ποιήσαιμι· εἶθ᾽ εὑρὼν τὸ πρακτέον ἐπὶ τὴν θάλατταν ἤγαγε τὴν οὐσίαν, ἐπ᾽ αὐτὸ τὸ πέλαγος τὸν πλοῦτον ἐπέστησεν, καὶ τοῦ κλύδωνος μέσος γενόμενος κατέβαλε τὴν οὐσίαν καὶ κατεπόντωσε τὸν πλοῦτον, καὶ μᾶλλον τὰ χρήματα τοῖς κύμασιν ἢ τῷ δήμῳ κεχάρισται· ἐπὶ τούτοις οὖν παθόντες τῆς τυραννίδος χαλεπώτερα καὶ δεινότερα νῦν, ἢ ὅταν τῆς τυραννίδος ἐκρίνετο, ἐπὶ τὸ δικαστήριον αὐτὸν

50 Ald. προσιόντος. scr. προϊόντος. 51 Ald. Codd. ἐφυλάξατε. — v. 11. Ald. Vind. αὐτωτάτη. corr. Par. αὐτῷ τὰ τῆς.

εἰσαγγέλλοντες ἐληλύθαμεν· καὶ τὰ τοιαῦτα. ΜΕΤΑ Ταῦτα θήσεις τὰ ὁρικὰ παραγραφικά· ἔστι δὲ αὐτοῦ τὸ μὲν ἀπὸ τοῦ προσώπου, τὸ δὲ ἀπὸ πράγματος· ἀπὸ προσώπου μὲν, οὐκ εἰμὶ στρατηγὸς, οὐ ῥήτωρ, ἵνα δημοσίᾳ τι δεινὸν τὴν πόλιν ἐργάσωμαι·[51*] ἀπὸ πράγματος δὲ, οἷον τί κατέσκαψα, ἢ ποῖον τεῖχος κατέβαλον, ἢ ναῦς ἐνέπρησα, ἢ τί τῶν τῆς πόλεως πραγμάτων διέφθειρα; Θήσεις τὴν ἀντίθεσιν οὕτως· ἀλλ' οὐδὲν, φησὶ, τὴν πόλιν ἠδίκησα· οὔτε γὰρ τριήρεις οὔτε στρατιώτην προδέδωκα. Λύσεις ὁρικῶς, ἐπιδεικνὺς ὅτι τοῦτο ἐκείνων ἐστὶ χαλεπώτερον· καὶ οὐχ εἷς τρόπος ἐστὶ δημοσίου ἀδικήματος, ἀλλὰ πολλοί· καὶ οὐκ ἐάν τις τὸ μὴ ποιήσῃ, ἤδη καὶ ἀνεύθυνος· τοιγαροῦν ἴσον ἐστὶ τὸ τῆς οὐσίας στερῆσαι τὴν πόλιν τοῦ ναῦς ἢ τεῖχος προδοῦναι· εἰ γὰρ εἰσφορῶν ἐκτὸς ἀδύνατον στρατεύεσθαι, καὶ χρημάτων χωρὶς τριήρεις κατασκευάσαι ἀδύνατον, σὺ δὲ ταῦτα ὁμοῦ διέφθειρας πάντων τῶν ἄλλων ἀδικημάτων διὰ ταύτης τῆς πράξεως χαλεπωτέρας·[52] τοιγαροῦν καὶ ὁ νομοθέτης τὸν ἀδικήσαντα τὴν πόλιν εἶπε δεῖν τιμωρεῖσθαι· καὶ ὅτι δεινὸν τοῦτο καὶ μέγα, καὶ τῶν ἄλλων ἁπάντων δεινότερον· καὶ ὅλοις ὡς ἁπλῶς εἰπεῖν κεφαλαίοις λύσεις τὰ ὁρικὰ παραγραφικὰ κατασκευάζων ὃ βούλει, ὥσπερ ὁ φεύγων τοῖς αὐτοῖς τούτοις παραγραφόμενος ἐν τοῖς ὁρικοῖς ἀπεδείκνυεν, ὅτι οὐκ ἔστι τοῦτο δημόσιον ἀδίκημα· ΜΕΤΑ Ταῦτα θήσεις τὴν ἀντίληψιν. Ἀλλ' ἔξεστίν μοι, φησίν. ἈΠαντήσεις δὲ, ὅτι ποιῇ τὴν ἀπολογίαν ὡς τύραννος· ἔξεστιν, φῄς; ἐξ ἀκροπόλεως ὡς ἀληθῶς τοῦτο τὸ πρόῤῥημα. ΕΙΤΑ λύσεις τῇ μεταλήψει, ἢ ἐνστατικῶς, ἢ ἀντιπαραστατικῶς· ἐνστατικῶς μὲν ὅτι οὐκ ἔξεστί σοι τῶν λειτουργιῶν τὴν πόλιν ἀποστερεῖν· ἀντιπαραστατικῶς δὲ, ὅτι οὐ τοῦτον ἔξεστί[53] σοι τὸν τρόπον ποι-

51* Ald. ἐργάσομαι, et v. 7. ἔμπρησα. 52 Ald. Codd. χαλεπωτέρα, scr. χαλεπωτέρας. 53 Vind. ἔξεστιν.

εῖν, καταποντοῦν, ἄχρηστον καὶ ἀφανῆ τὸν πλοῦτον ποιεῖν· ἐν οἷς κατ᾽ εἶδος ἐρεῖς· ἔξεστιν ἀποστερεῖν τὴν πόλιν λειτουργιῶν; χορηγιῶν; τριηραρχίας; εἰςφορῶν; καὶ ὅτι ἐν τῇ δημοκρατίᾳ οὐδὲ συγκεχώρηται· κατασκευάσεις τοῦ-
357 το λέγων, ὅτι πάντες εὐθύνας τῶν πράξεων διδόασι· καὶ ὅτι ἔξεστι ποιεῖν, λέγειν, δημηγορεῖν, πλεῖν· ἀλλ᾽ ἐάν τις λέγῃ τι τῶν τῆς πόλεως ἀποῤῥήτων, ὑπεύθυνος· καὶ ἐάν τις συμβουλεύῃ τὰ μὴ συμφέροντα, καταδίκης ἄξιος· ἀλλὰ μὴν ἄν τις πλέῃ πρὸς τοὺς πολεμίους, καὶ αὐτομολῇ πρὸς τοὺς ἐχθροὺς, τοῖς νόμοις ὑπεύθυνος γίγνεται. πῶς οὖν σοι λέγειν ἐξῆν τὸ ἔξεστιν τὴν οὐσίαν διαφθείρειν· οὐκοῦν εἰ σοὶ,[54] καὶ πᾶσιν, εἰ δὲ πᾶσι τοῦτο συγχωρηθήσεται,[55] τί πέρας; τὸ πένεσθαι τὴν πόλιν, τὸ τοῖς πολεμίοις γενέσθαι εὐάλωτον, τὸ μηδὲ πόλιν εἶναι, μηδὲ ἔχουσαν μὴ περιουσίαν, μὴ πλοῦτον, ἀφ᾽ ὧν τοῖς πολεμίοις μαχόμεθα· καὶ πάλιν ἔξεστιν, ὡς βούλεταί τις, κεχρῆσθαι τοῖς χρήμασιν· οὐκοῦν καὶ τοῖς πολεμίοις χαρίζεσθαι, καὶ τοῖς τυράννοις ἐπιδιδόναι, καὶ τοῖς τῆς πόλεως ἐχθροῖς·[56] εἰ δὲ ταῦτα ποιεῖς, οὐκ ἔξεστιν οὐδὲ χαρίζεσθαι οἷς οὐ χρὴ, πόσῳ μᾶλλον κατὰ θαλάττης πέμπειν τὰ χρήματα. Μετὰ τὴν ἀντίληψιν θήσεις τὸ χρῶμα, τίνος ἕνεκεν κατεπόντωσε τὸν πλοῦτον; δίδοται δὲ τὸ χρῶμα, ὡς ἀπὸ τῆς ἐξουσίας· ἐπειδὴ αὐστηρὸν δοκῇ τῆς ἐξουσίας τὸ χρῶμα, προστίθησι τὴν αἰτίαν διδοὺς ἐκ περιουσίας δι᾽ ἣν τοῦτο πεποίηκεν αἰτίαν· ἐρεῖς οὖν οὕτω· τὸ χρῶμα ἀεὶ ἐμπίπτον ἀντιθετικόν. Ἀλλ᾽ ἐφοβήθην, φησὶν, μὴ καὶ πάλιν τυραννίδος κριθῶ. ΛΥσεις στοχαστικῶς· ἢ οὐκ εἰκὸς ἦν κριθῆναι πολλάκις κριθέντα καὶ ἀφεθέντα, καὶ συνεχῶς δόντα τῆς αὐτοῦ προαι-

54 Ald. Vind. εἰσι. Par. εἰ σοι. 55 Ald. Vind. συγχωρήθητι, τί π. Par. $^{\theta\tau}$συγχωρη. scr. συγχωρηθήσεται. 56 Ald. Codd. ἔχθρας. — v. 24. Ald. τις ἐξουσίας. scr. τῆς.

ρέσεως σύμβολα· εἰ μὲν γὰρ ἅπαξ ἐκρίθης, ἴσως εἶχε τινὰ λόγον τὸ καὶ δεύτερον φοβεῖσθαι τὴν κρίσιν· ἐπειδὴ δὲ πολλάκις κριθεὶς ἀφείθης, ἀνθ᾽ ὅτου τοῦτον ἐδεδίεις τὸν φόβον; ἔπειτα εἰ [57] ἐφοβοῦ, ἄλλως ἔδει διαλῦσαι τὸν φόβον, ἐπιδεδωκότα τῷ δήμῳ τὰ χρήματα, ὡς ἔγωγε τούτους ἐζήτουν ἀκοῦσαι τοὺς λόγους· ἄνδρες, ὁ πλοῦτός μοι τῆς κατηγορίας παραίτιος· ὁ πλοῦτός μοι τῶν κινδύνων ὑπόθεσις· τοῦτον ἀφίημι τῇ πόλει· ἐλευθερῶ διὰ τοῦτον ἐμαυτὸν τῆς γραφῆς. ἐπιδείκνυμι μετὰ τῶν κρίσεων τῷ δήμῳ τὴν εὔνοιαν· ἁπάντων αὐτῷ τῶν ἐμαυτοῦ χρημάτων ἐξίσταμαι· νῦν δὲ τοιούτου [58] μὲν οὐδενὸς ἀκήκοα ῥήματος· ἀντὶ δὲ τοῦ δήμου ἐπ᾽ αὐτὴν ἥκεις τὴν θάλατταν· ἀντὶ τῆς πόλεως τὸ πέλαγος προτετίμηκας. ἘΠΙΛΟΓΩι ΚΑΤΗΓΟΡΙΚΩι. Νῦν ὡς ἀληθῶς οὗτος τύραννος· νῦν τοῦ δήμου πολέμιος· ἐν μιᾷ ῥοπῇ πάσας τὰς λειτουργίας ἀνῄρηκας. ποῦ μοι τριηραρχίαι λοιπὸν, ποῦ χορηγία, ποῦ φιλοτιμίαις [59] γαννύμενος, ποῦ μοι πομπαὶ, ποῦ θυσίας εἰςφορά; εἶθ᾽ ὅτι νῦν τοῦτον ἂν ἀνέλωμαι, μαθήσονται πάντες, ὅτι τὰ ἑκάστου χρήματα κοινὰ τυγχάνει τῆς πόλεως, ἵνα μηδεὶς ἔτι τοιαύτην καθ᾽ ἡμῶν μηχανὴν μηχανήσηται· τοῦτον τιμωρησώμεθα, [60] ἵνα μάθωσιν ἅπαντες, μηδὲν τοιοῦτον καθ᾽ ἡμῶν πλημμελεῖν· μετὰ τοῦ πλούτου καὶ τὸν τύραννον συνέλωμεν. τύραννον γὰρ τοῦτον καλεῖν μετὰ τόλμην τὴν τοιαύτην ἐστὶ δικαιότερον· τούτου τὴν γνώμην ἂν ἐπισκέψαισθε, ἐπιβουλὴν εὑρήσετε μόνην τυγχάνουσαν· εὑρήσετε γὰρ μεθ᾽ οἵας γνώμης τοῦτο τετόλμηκεν· εἶτα διατυπώσεις, πῶς ἦγε τὸν πλοῦτον· πῶς πεμπων διέκειτο, τί ῥίπτων ἔλεγεν· ἵνα δῆμος μὴ χρήσηται,

---

57 εἰ Ald. Vind. om. est in Par. 58 Ald. Codd. τοιοῦτον. scr. τοιούτου. 59 Ald. Codd. φιλοτιμίας. in Par. per corr. φιλοτιμίαις. 60 Ald. Vind. τιμωρησάμεθα. corr. Par.

ἵν᾽ ἐν πολέμῳ μὴ λάβῃ, ἵν᾽ ἐν σιτοδείᾳ μὴ σχῇ πόρον, δι᾽ οὗ λύσῃ τὴν συμφορὰν, καὶ τὰ τοιαῦτα· διὰ τοῦτο τοῦτον ἀνέλωμεν, ἵνα παρὰ τῶν ἄλλων ὁ πλοῦτος μείνῃ τοῖς ἅπασιν ἡμῖν ἀκέραιος.

Ὤρκωσε Σωκράτης Ἀλκιβιάδην, μὴ πολιτεύεσθαι, καὶ κρίνεται Σωκράτης.

Ὁποῖος λόγος, φανερὸν ἔκ τε Σωκράτους καὶ Ἀλκιβιάδου, εἰ τὸν Σωκράτην μελετῴης·[1] ὁ γὰρ κατήγορος σφοδρὸν ἔχει τὸν λόγον καὶ δεινῶς[2] κατὰ Σωκράτους ἐπιφορικόν. Ἡ[3] ΚΑτάστασις ἔχει περὶ τοὺς πολίτας τοῦ γένους τοῦ Ἀλκιβιάδου σπουδήν· ἀρχομένου σου τοῦτον τὸν τρόπον· ἐπειδὴ γὰρ ἔδει τὴν πόλιν ἡμῶν, ὦ Ἀθηναῖοι, διὰ πάντων εὐτυχεῖν, καὶ περὶ τὴν πόλιν
358 ἔσχεν ἄνδρας σπουδάζοντας, τὸν Περικλέα, καὶ τοὺς ἄλλους Ἀλκιβιάδου προγόνους·[4] ἀλλ᾽ ὅμως οὐ μέχρι τούτων ἔστη τὰ τῆς τύχης τῇ πόλει· ἀλλὰ καὶ Ἀλκιβιάδης ἐπὶ τούτοις ἐγένετο, καθάπερ διάδοχον ἡμῖν τῆς τούτων πολιτείας βουλομένου δοῦναι τοῦ δαίμονος· ἐπὶ τούτοις ἐρεῖς, ὅτι μεγαλόφρων ἦν ἐν τοῖς διδασκαλίοις φοιτῶν, καὶ ὅτι πάντες ἤλπιζον ἐντεῦθεν στοχαζόμενοι, οἷος ἔσται κατὰ τὴν πολιτείαν τῇ πόλει στρατηγὸς, ῥήτωρ, δημηγόρος καὶ σύμβουλος, καὶ ὅτι τινὲς ὑπερβαλέσθαι τοῦτον τοὺς προγόνους ἐκόμπαζον· ἀλλ᾽ ὅμως τοῦτον πάντων ἡμῶν διακειμένων τὸν τρόπον οὐκ οἶδ᾽ ὅπως ἢ πόθεν, Σωκράτης ἐπὶ λύμῃ τῶν νέων[5] συνήφθη τἀλκιβιάδῃ, καὶ πάντων ἡμῶν ἔτι μείζους ἐχόντων ἐκ τῆς τούτου συνουσίας τὰς ἐλπίδας, ὡς ἤδη τῆς πολιτείας ἀναγκάσει τὸν Ἀλκμαιωνίδην ἀνθέξεσθαι, ὥςτ᾽ ἤδη τοῦ βήματος ἐπι-

1 Ald. Codd. μελετοίης. 2 Ald. Codd. δεινός. 3 Ἡ Ald. Codd. om. 4 Ald. Codd. πολέμους. scr. προγόνους. 5 Ald. post νέων asteriscum ponit. v. 28. Ald. ἀνθέξασθαι.

λαβέσθαι καταναγκάσει τὸν νέον, αὐτὸς ἐκ τῶν ἐναντίων ἐφάνη τῷ δήμῳ πολέμιος, αὐτὸς ἁπάντων ἡμῶν τὰς ἐλπίδας παρέτρεψε, καὶ τὸν Ἀλκμαιωνίδην κατὰ μικρὸν χειρωσάμενος τὸ μὲν πρῶτον συνεβούλευσεν ἀποσχέσθαι τῆς πολιτείας· καὶ πρόςθες τούτῳ ἠθοποιΐαν· ὅτι ἔλεγε, δεινὸν ἡ πολιτεία, ταραχῆς πεπληρωμένη ὥσπερ ἐν κλύδωνι, ἐπιβουλὰς, φθόνους, βασκανίας ἔχουσα, καὶ τα τοιαῦτα· καὶ τοιαύτας ἠφίει[6] πρὸς Ἀλκιβιάδην Σωκράτης φωνὰς, οὐκ ἐννοῶν Περικλέα τὸν Ἀλκμαιωνίδην, οὐ λογιζόμενος τοὺς προγόνους τοὺς ἄνωθεν, τὰ τῆς πόλεως ἐξαίρετα· ἀλλ᾽ ἐπὶ τούτοις οὐ πείθων τὸν νέον τοῖς ῥήμασι πάσης ἀνάγκης εὗρε τρόπον πρὸς αὐτὸν χαλεπώτερον, καὶ τὸν νέον ὅρκῶν ἀποσχέσθαι τῆς πολιτείας ἔπειθε· καὶ τῆς τοιαύτης αὐτῷ συνουσίας μάρτυρας ἐποιεῖτο τοὺς κρείττονας· οὕτω Σωκράτης παρασκευάζει τῇ πόλει τοὺς νέους· οὕτω ποιεῖ τῆς πολιτείας ἐρᾷν· καὶ τὰ τοιαῦτα. ΟΡΙΚΩι ἑξῆς παραγραφικῷ, ὁμοίως τῇ πρώτῃ διαιρέσει· ἀλλ᾽ οὐδὲν, φησὶν, ἐκ τούτου τὴν πόλιν ἠδίκησα. ΛΥσεις ὁμοίως μετὰ τοῦ κεχρῆσθαι τοῖς περιστατικοῖς· οὐδὲν τὴν πόλιν ἠδίκησας, Ἀλκιβιάδην ἀποστήσας τοῦ βήματος, στρατηγῶν τὸν δῆμον ἐκτὸς ποιησάμενος, ἅπαντα τὰ δεινότατα δι᾽ ἑνὸς ἐργασάμενος σώματος· προςποιεῖται οὖν[7] τὴν ἀδικίαν Σωκράτης[8] ἀγνοεῖν, καὶ τὴν ἁπάντων τάξιν εἰδέναι βουλόμενος πρὸς τὸ παρὸν ἄγνοιαν ὑποκρίνεται μίαν· τίς; ὁ σοφὸς, ὁ φιλοσοφίαν εἰδὼς, ὁ τὴν τῶν ὅλων διακόσμησιν ἐπιστάμενος· νῦν σοι, Σώκρατες, τὸ δαιμόνιον τὴν κρίσιν οὐ προεῖπε, νῦν σοι τὴν τῆς πόλεως οὐ προείρηκεν ἀγανάκτησιν; ἀλλ᾽ ἀφελόμενος Ἀλκιβιάδην τῆς πολιτείας οἴῃ μη-

6 Ald. Codd. ἀφίει. in Par. supra ἀ scriptum ἡ. 7 Ald. Codd. εἶναι. non sine haesitatione scripsi οὖν quod fortasse praecedente sono verbi προςποιεῖται in εἶναι mutatum est. 8 Ald. Codd. Σωκράτους. scr. Σωκράτης.

δὲν ἠδικηκέναι τὴν Ἀττικήν; πόλεις ἢ τεῖχος οὐ προὔδωκας; ὅρα πόσας ἂν εἰλήφαμεν χώρας, στρατηγοῦντος Ἀλκιβιάδου [9] τῇ πόλει, πόσας ναῦς συμβουλεύοντος, πόσα τρόπαια δημηγοροῦντος ἐν τοῖς πολεμίοις τὰ κάλλιστα. ταῦτα πάντα Σωκράτης δι᾽ ἑνὸς ὅρκου τῶν Ἀθηναίων ἀνῄρηκε, ταῦτα προὔδωκεν, ταῦτα διέφθειρεν· εἶτα λέγει, τί τὰς Ἀθήνας ἠδίκησα; ἓν τοῦτο, Σώκρατες, μόνον ἐρῶ· στρατηγοῦ τὸν δῆμον ἀφῄρησαι πολιτευομένου καὶ συμβούλου καὶ δημαγωγοῦ καὶ προστάτου γνησίου. ἈΝΤΙληπτικῷ· ἀλλ᾽ ἔξεστί μοι, φησίν. ΛΥσεις μεταλήψει· ὁρκοῦν Ἀλκιβιάδην, ὦ Σώκρατες, ὁρκοῦν τῆς πολιτείας ἀναχωρεῖν; ταύτην ἐκ φιλοσοφίας ἐμοὶ τὴν ἀπόκρισιν εἴληφας; ταύτην, εἰπέ μοι, τὴν συνουσίαν ποιῇ; οὕτω παιδεύεις τοὺς νέους; οὕτως ἀναπείθεις τὴν θρεψαμένην ἀμείβεσθαι; πόσων δι᾽ ἑνὸς ῥήματος ἀμοιβῶν [10] τὴν πόλιν ἀφῄρησαι, ὑπὲρ τροφῶν, ὑπὲρ μυστηρίων, ὑπὲρ τῆς ἄλλης παιδεύσεως· εἶτα τοσούτων τὴν πόλιν ἀποστερῶν ἔξεστι, φῄς· οὐδὲν παρ᾽ Ἀθηναίων ἀνεύθυνον, οὐ λόγος, οὐ συμβουλή, οὐ δημηγορία καὶ ῥήματα· εἶτα πρόςθες ἐξ ἱστορίας τὰ παραδείγματα· ὅσοι διὰ συμβουλὴν ἢ λόγον ἐκρίθησαν· εἶθ᾽ ὅτι σὺ δὲ τούτων εἰργάσω δεινότερα, προςθεὶς καὶ τὸν ὅρκον τῇ συμβουλῇ· καὶ τὰ τοιαῦτα. ΕΙΤΑ τῷ χρώματι ἀντιστα-
359 τικῷ· ἀλλ᾽ ὑπὲρ ὑμῶν ἅμα καὶ αὐτοῦ τοῦτο πεποίηκα, ἵνα μαθὼν πρῶτον πῶς δεῖ προςιέναι τῷ βήματι, οὕτω προςέλθῃ τῇ πόλει. ΛΥσεις πρῶτον ἐν διασυρμῷ, ὅτι καλῶς [11] κέχρηται τοῖς λόγοις Σωκράτης ἁμαρτάνων· εἶτα πιθανὰς εὑρίσκων τὰς ἀπολογίας κρινόμενος· εἶτα τοὺς μεταληπτικούς· οὐκ ἔδει οὖν ὁρκοῦν, ἀλλ᾽ ἔδει πείθειν μὲν τῆς πολιτείας ἀντέχεσθαι, ὑπερτίθεσθαι δὲ τὴν ἐγχείρησιν· καὶ ὅτι οὐδὲν ἔτι τῆς παιδεύσεως ὄφελος· ὅρ-

---

9 Vind. Par. Ἀλκιβιάδην. 10 Ald. Codd. ἀμειβῶν. 11 Ald. Codd. καλός.

κωσας γὰρ παντελῶς τῆς πολιτείας ἀποσχέσθαι· πῶς οὖν ἡ χρῆσις ὑπῆρξεν ἂν τοῖς μαθήμασί σου τὴν πρόσοδον ταύτην ἀπαγορεύσαντος· εἶθ' ὅτι δυνατὸν, μὴ καὶ πολιτευομένου παρ' αὐτὴν τὴν χρῆσιν τῶν πραγμάτων ὑποτίθεσθαι τὸ πρακτέον· εἶθ' ὅτι καὶ αὐτὰ τὰ πράγματα καὶ ἡ πεῖρα ἐδίδαξεν ἂν σαφέστερον· εἶθ' ὅτι Περικλῆς αὐτῷ πρὸς μίμησιν ἤρκει, Ἀριστείδης, Θεμιστοκλῆς, οἱ ἄνωθεν πάντες πολιτευόμενοι· εἶθ' ὅτι εἰ τὸ δίκαιον ἐζήτει, Ἀριστείδην ἂν ἔσχε παράδειγμα· εἰ φρόνησιν, Θεμιστοκλέα· εἰ ἀνδρείαν, Μιλτιάδην· εἰ ἀρετὴν ἄλλην, παρ' ἄλλῳ τινὶ εὗρεν ἄν· ὥστε οὐδὲ τῶν σῶν ἂν χρείαν ἔσχε συνουσιῶν, ἔχων τοὺς νόμους, ἔχων τῶν πραγμάτων τὴν πεῖραν· καὶ τὰ τοιαῦτα. Ἐπίλογος καταφορικώτερος·[12] ἀπελαυνέσθωσαν ὡς ἀληθῶς οἱ νέοι, διαφθείρει τούτους Σωκράτης, οὐ ποιεῖ τῆς πολιτείας ἐρᾷν, ἀποδιατίθησιν ἅπαντας, μετέχειν τῶν πολιτικῶν οὐ ποιεῖ· ποῦ μοι γράμματα, ποῦ δικαστήρια; μηδὲ[13] ἐπ' Ἀλκιβιάδῃ μόνῳ γραφέσθω Σωκράτης· ἐπὶ πᾶσι κατηγορείσθω τοῖς νέοις, ἅπαντας ἀπελαύνει τοῦ βήματος, καὶ τὴν[14] αὑτοῦ συνουσίαν κυριωτέραν τοῦ δήμου ποιεῖ, Ἀκαδημίαν ἔχων τῆς διαφθορᾶς[15] ἐργαστήριον, καὶ Λύκειον τῆς κατ' Ἀθηναίων συνουσίας τὸν τόπον· ποῦ μοι γραφὴ χαλεπωτέρα, ποῦ δικαστήριον τῆς τούτου συνουσίας ἐπάξιον; ὡς φιλανθρώπων Ἀθηναίων Σωκράτης ὑπερφρονεῖ, ὡς ἀξίαν οὐ φερόντων τῶν ἁμαρτημάτων τὴν δίκην, ἂν τοῦτον λάθῃ μετὰ τὴν κατηγορίαν ὁ δῆμος, πρὸς τὸν δῆμον Ἀλκιβιάδης

12 Ald. Codd. καταφωρικώτερος. 13 Ald. Codd. μηδείς. scr. μηδέ. 14 Vind. τοῦ αὐτοῦ. 15 Ald. Codd. διαφορᾶς. scr. διαφθορᾶς. p. 166, 25. ἐπὶ λύμῃ τῶν νέων. et paullo ante: ἀπελαυνέσθωσαν ὡς ἀληθῶς οἱ νέοι, διαφθείρει τούτους Σωκράτης. eadem apud Xenophontem accusatio, ὅτι διαφθείρει τοὺς νέους. Cfr. Epist. crit. p. 36.

στραφήσεται· ὡς ἐραστὴν λυπῆσαι Σωκράτην[16] οὐ βούλεται· καὶ ὅτι παθὼν, μηδὲν προΐστασθαι τοῦ δήμου πᾶσιν ἡμῖν τοῖς πολεμίοις κεχαρισμένα ποιεῖ, Λακεδαιμονίοις, Κορινθίοις, Πελοποννησίοις, Μεγαρεῦσι τοῖς γείτοσι· καὶ ὅτι διαπρεσβεύονται πρὸς αὐτὸν ἅπαντες· ὥστε μὴ μόνον ὀκνοῦν τῆς πολιτείας ἀναχωρεῖν, ἀλλὰ καὶ τῆς λειτουργίας ἀπαλλάττεσθαι καὶ τῆς πρὸς τὴν πόλιν εὐνοίας, καὶ ὅσα τοιαῦτα· διὸ ἐντεῦθεν πάντας σωφρονίζειν τοὺς νέους ἀρξόμεθα· ἐντεῦθεν αὐτοὺς πείσωμεν προσέχειν μόνῳ τῷ βήματι, τῇ τιμωρίᾳ τοὺς πάντας παιδεύσωμεν.

**Μηκυνομένου τοῦ Πελοποννησιακοῦ πολέμου, κρίνονται Κορίνθιοι ὑπὸ τῶν Ἑλλήνων τῶν εἰς τοὺς Ἕλληνας ἀδικημάτων ἐπὶ τῇ εἰσηγήσει.**

Ἡ μὲν πᾶσα οἰκονομία καὶ διαίρεσις τοῦ ζητήματος πρόκειται ἐν τῇ Ἀρχιδάμου δημηγορίᾳ καὶ τῇ τῶν Κορινθίων· ἡ αὐτὴ γάρ ἐστι κἀκεῖ τῶν ἀντιθέσεων ἡ τομὴ καὶ ἡ τῶν κεφαλαίων εὕρεσις· ὅμως δὲ σαφηνείας ἕνεκα τὴν πᾶσαν τοῦ ζητήματος ἀναπτύξω διαίρεσιν. Ἡ ΚΑΤΑΣΤΑΣΙΣ ἔχει τὴν πρὸ τούτου εἰρήνην, καὶ τὰ ἐν αὐτῇ καλά· εἶτα τὰ γενόμενα ἐν τῇ πεντηκονταετίᾳ· εἶθ' ὅτι διαβάλλοντες πολλοὶ, καὶ πρῶτοι Κορίνθιοι κατηγόρουν Ἀθηναίων, φάσκοντες καταδουλοῦσθαι τοὺς Ἕλληνας· Μεγαρέας ἀπελαύνεσθαι τῆς Ἀττικῆς, τυραννικὰ τυγχάνειν τῶν Ἀθηναίων προστάγματα· τοιαῦτα λέγοντες συνεβούλευσαν ἄρασθαι τὸν πόλεμον πρὸς Ἀθηναίους, ταράξαι τοὺς Ἕλληνας πολεμῆσαι τῷ γένει· ἡμεῖς ἐπείσθημεν πιθανολογουμένοις Κορινθίοις· πειθόμενοι θᾶττον πέρας λαβεῖν τὸν πόλεμον· νῦν δὲ ὁρᾶτε, ὦ ἄνδρες Ἕλληνες· συνεκτείνεται τῷ χρόνῳ τὸ δεινόν· πέρας οὐ λαμ-

16 Ald. Codd. Σωκράτης. scr. Σωκράτην.

βάνει τὰ δεινὰ δυστυχήματα, καὶ τὰ τοιαῦτα. ΟΡικῷ παραγραφικῷ παρὰ Κορινθίων· ἀλλ' οὐδὲν ἠδικήσαμεν τὸ[1] κοινὸν τῶν Ἑλλήνων· οὔτε γὰρ χώραν προδεδώκαμεν, 360
οὔτε ναῦς· καὶ τὰ τοιαῦτα. ΛΥσεις· ὅτι οὐ μόνον ταῦτά ἐστιν ἀδικήματα, ἀλλὰ καὶ τὸ[2] πεῖσαι πολεμῆσαι τῷ γένει, καὶ συνταράξαι τοὺς Ἕλληνας, καὶ καταναγκάσαι Ἀθηναίοις πολεμῆσαι Σπαρτιάτας· ταῦτα ἐγκαλοῦμεν· ταῦτα δεδράκατε, συνάγοντες ἐκκλησίαν, συμβουλεύοντες, πείθοντες, ὀνειδίζοντες Λακεδαιμονίοις· ἔχεις δὲ καὶ τὰ ἐπιχειρήματα ὅσα ἔλεγον Λακεδαιμονίοις ἐκ τῆς προσηγορίας Κορινθίων· εὑρήσεις γὰρ πάντα σαφῶς κείμενα, ὅσα ἁρμόττει σοι εἰπεῖν εἰς τὰ ὁρικὰ παραγραφικά. τοιαῦτα λέγοντες παρώξυναν Λακεδαιμονίους πρὸ τοῦ καιροῦ ἐξαναστῆναι· παρασκευάσατε Ἀθηναίων ἐπὶ δίκην ἐλθεῖν βουλομένων τὰ ἐγκλήματα· εἶτα τοιαῦτα διαπραξάμενοι οὐδὲν φατὲ ἠδικηκέναι τοὺς Ἕλληνας· καὶ τίς ὑμῶν τούτους ὑπομενεῖ τοὺς λόγους; ΝΑί φησιν· ἀλλ' ἔξεστιν τὸ συμβουλεύειν τὸ παριστάμενον. ΛΥσεις μεταλήψει· ἔξεστι, λέγεις, ἀναιρεῖν τοὺς Ἕλληνας, καταδαπανῶν πολέμῳ τὸ γένος· ἔξεστι συμβουλεύειν πόλεμον, καὶ ἀσύμφορα πράττειν ἀναπείθειν τοὺς Ἕλληνας· συμβούλευσον ὑπακούειν καὶ βασιλεῖ, εἰ τὸ συμβουλεύειν ἔξεστιν· εἶτα κατασκεύασον τοῦτο ἐκ παραδειγμάτων Ἑλληνικῶν γλαφυρῶν· ταύτην γὰρ ἔχεις ἀντίθεσιν, συνεβούλευε καὶ παρ' Ἀθηναίοις Κύρσιλος,[3] ἀλλ' οὐ μέχρι τῆς συμβουλῆς αὐτῷ ἐστιν τὰ πονηρεύματα· οὐ γὰρ ἤρκει λέγειν, συμβουλεύειν ἔξεστιν καὶ παρὰ Λακεδαιμονίοις· εἶτα μηδενὸς ὄντος τοῖς Ἕλλησιν ἀνευθύνου, μὴ λόγου, μὴ συμβουλῆς, μὴ δημηγορίας, μὴ πράγματος, ὑμεῖς ἀνεύθυνοι συμβουλεύσαντες εἶναι φατέ. ποῖος οὗτος παρ' ὑμῖν, ὦ Κορίνθιοι, νόμος· οὐδὲ ὑμεῖς τοὺς ῥήτορας ἀνευθύνους

1 Ald. Codd. τῷ κοινῷ. 2 Ald. Vind. τῷ. Par. τό.
3 Herod. IX, 5.

εἶναι συγκεχωρήκατε· ἀλλὰ κἀκείνους κρίνετε, ὡς πάντων ὑπευθύνων ὄντων ἐν ταῖς πόλεσιν, εἶτα οἴκοι μὴ συγχωροῦντες τινὶ τοιαύτην ποιήσασθαι τὴν ἀπόκρισιν, ὑμεῖς ἐπὶ τῶν Ἑλλήνων συμβουλεύειν ἐξεῖναι φατέ· καὶ πόλεμον συγκεχωρῆσθαι ποιεῖν ἀποκρίνεσθε Πλαταιῶν κειμένων, τοιούτων εἰλημμένων ἐν Πύλῳ, τοιούτων ἀνῃρημένων, τοσαύτης γενομένης παρὰ τοῖς Ἕλλησιν συμφορᾶς. Εἶτα τῷ χρώματι· ἀλλ' ἠγνοοῦμεν, φησὶν, ἐπὶ πολὺ κατασχήσειν τὸν πόλεμον. Λύσεις, ὅτι οὐκ ἦν ἀγνοεῖν Ἕλληνας ὄντας, καὶ ταῦτα Κορινθίους, εἰδότας οἷοι Ἀθηναῖοί[4] εἰσιν ἄρχειν ἀεὶ βουλόμενοι καὶ μὴ ὑπακούειν ἑτέρῳ τινὶ, καὶ πρὸς τούτοις φιλοτιμιῶν καὶ δόξης ὑπειλημμένοι· ἐν ᾧ ἐρεῖς, ὅτι οἱ Ἀθηναῖοι πρὸς φιλοτιμίαν καὶ δόξαν ὁρῶσιν ἀεί· ταῦτα δὲ πάντα παρὰ Δημοσθένει τὰ νοήματα, καὶ πρὸς τούτοις τὴν ἐν Μαραθῶνι μάχην νενικηκότες ταχέως ἔμελλον πρὸς ὑμᾶς διαλύεσθαι· ἄνδρες ἐπ' ἀρετῇ μεγαλοφρονοῦντες, ἄνδρες ἐν τοῖς τῶν βαρβάρων σώμασι προγεγυμνασμένοι τὰ πολεμικὰ, οὗτοι ἔμελλον θᾶττον διαλῦσαι τὸν πόλεμον. ἐρεῖς δὲ πολλὰ καὶ γνωμικῶς, ὅτι πεφύκασιν ἄνθρωποι φιλονεικότεροι εἶναι, καὶ μὴ ταχέως παραχωρεῖν· ἔτι δὲ ἐνόμιζον ἂν καὶ ἐβούλοντο διαλύσασθαι τὰ πολεμικὰ, καθαίρεσιν τῶν ἐπὶ τῶν Μήδων αὐτοῖς εἰργασμένων ποιεῖν καὶ τῆς παρὰ Μαραθῶνα δόξης[5] ἥττονες φαίνεσθαι. διὸ καὶ ἐπιτείνειν αὐτοὺς ἔδει τὸν πόλεμον μᾶλλον στοχάζεσθαι· ἀπ' ἐκείνης γὰρ ὄντες τῆς νίκης οὐκ ἂν ταχέως ὑπήκουον· καὶ ὅτι αὐτοὶ πρῶτοι ἑλόμενοι δίκῃ διαλύσασθαι τὰ ἐγκλήματα ἡμῶν μὴ ἑλομένων, ἀλλὰ εἰς χεῖρας ἐλθεῖν διὰ Κορινθίους ἠπειγμένων, οὐκ ἂν ἐκεῖνοι πέρας τῷ πολέμῳ δεδώκασιν· ἀλλὰ ἐζήτησαν ἂν, ὅπως ἐκ τοῦ μήκους τοῦ χρόνου τοὺς Πελοποννησίους συντρί-

---

4 Vind. Ἀθηναῖοι om. 5 Ald. Codd. δ' ἑξῆς. scripsi δόξης.

ψωσι· καὶ ὅτι πέφυκε φύσει τὰ τῶν πολεμίων τοιαύτας φιλονεικίας ἐμποιεῖν, ὥστε μὴ ταχὺ διαλύσασθαι· ἂν δὲ προσθῶ καὶ Ἀθηναίους τοὺς ὑπὲρ φιλοτιμίας αἱρομένους ἅπαντα κίνδυνον, πῶς ἔτι λέγειν ἐστὶ δυνατὸν, ἠγνοοῦμεν μηκύνεσθαι τὸν πόλεμον; Μετὰ τὸ χρῶμα ἐμπεσοῦνται ἀντιθέσεις αἵδε ἐκ τῆς περιστάσεως πίπτουσαι· 361
ἀλλὰ πολλὰ αὐτοὺς κακὰ εἰργασάμεθα.[6] Ἡ λύσις ὅτι οὐ μόνον πεποιήκαμεν, ἀλλὰ καὶ ἐπεπόνθειμεν· οὐκ ἔστι δὲ ἴσον τοῦτο τῷ περιορᾶν τὸ γένος ἀπολλύμενον· εἶτα ἐρεῖς τὰ κατ' εἶδος· βούλει σοι τοὺς τάφους καταριθμήσομεν; βούλει τὰς συμφορὰς εἴπω; εἶτα ἐρεῖς, ἀλλ' ἔστω μηδὲν ἡμᾶς μὲν πεπονθέναι, ἀληθὲς δὲ εἶναι ὅτι μόνον πολλὰ αὐτοὺς κακὰ εἰργασάμεθα· ποῦ τοῦτο πρέπον ἢ εὔλογον οὕτω κοπουμένους τοὺς συμμάχους ὁρᾶν, οὕτω τὸ γένος ἀναιρούμενον; οὐ γὰρ δόσις ἐστὶν εἰπεῖν, ὡς Ἀθηναῖοι μὲν Ἕλληνες, Λακεδαιμόνιοι δὲ οὐδαμῶς· ἢ Σπαρτιᾶται μὲν τῷ γένει προσήκουσιν, Ἀθηναῖοι δὲ νόθοι τοῖς Ἕλλησιν. ὥστε καὶ εἰ μόνοι πεπόνθασιν ἐν τῷ πολέμῳ δεινὸν, ἀγανακτεῖν[7] εὔλογον ὅτι πεπείσμεθα ὡς ἀληθῶς ἑτερόφθαλμον καταστῆσαι τὴν Ἑλλάδα· ἔπειτα ἐρεῖς· ὥς τινες εἰργάσαντο κακὰ τοσαῦτα τοῖς Ἕλλησιν, ὥς τινες Μῆδοι ἤ τινες ἕτεροι βάρβαροι τοῦτον τὸν τρόπον κατὰ τῶν Ἑλλήνων ἐχώρησαν, ὡς ἡμεῖς κατ' ἀλλήλων· καὶ ὅσα τοιαῦτα. δυνατὸν γὰρ πῇ μὲν τῷ[8] κατ' εἶδος, πῇ δὲ ὑποστροφαῖς, πῇ δὲ κομματικοῖς ἐπιμηκῦναι τὴν ἀντίθεσιν. ΜΕτὰ ταύτην τοίνυν θήσεις ἀντίθεσιν στοχαστικὴν, ἣν λύσεις ὁμοίως στοχαστικῶς. Ἀλλ' εἰκὸς πέρας ἐπιθεῖναι τῇ μάχῃ. Λύσεις, ὅτι οὐκ εἰκὸς ταχέως διαλυθῆναι τὸν πόλεμον. πῇ μὲν κατ' εἰρωνείαν, ὅτι νῦν μὲν καὶ μάντεις ἐπὶ τοῦ πολέμου Κορίνθιοι, νῦν

---

6 Ald. Vind. ἐργασάμεθα. Par. εἰργάσ. paullo inferius v. 21. Vind. ὥς τινες ἐργάσαντο κακά. 7 Ald. Vind. ἀγανακτᾶν. 8 Ald. Codd. τῶν.

δὲ προφῆται τοῦ μέλλοντος· μετὰ τοσοῦτον τὸν Ἑλληνικὸν κίνδυνον εἰκὸς τέλος ἐπιτελεσθῆναί ποτε, πόθεν εἰδότες· εἰ μὲν ἀπὸ τῶν Ἀθηναίων στοχαζόμενοι, οὐδέποτε τέλος ἕξουσιν αἱ συμφοραί· εἰ δ' ἀφ' ἑαυτῶν βουλευόμενοι, πιστεύειν οὐ δεῖ, ἀφ' ὧν ἤδη πεπεισμένοι πεπόνθαμεν. οὐκ ἀρκεῖ τὸ [9] πρῶτον ἡμᾶς ἠπατῆσθαι [10] δοκεῖν, ἀλλ' ἔτι καὶ δευτέραν ἀπάτην προσεξευρίσκουσιν, καὶ δέλεαρ ὥσπερ εἰπεῖν πρὸς τὸ πολεμεῖν τὴν ἐλπίδα προτείνονται· εἶθ' ὅτι δυστυχῆσαι ἐν τοσούτῳ πόσους τῶν Ἑλλήνων εἰκός· εἶθ' ὅσους ἀπολέσθαι, πόσους πολιορκηθῆναι· εἶθ' ὅτι ἀναμένουσι, μέχρις ἂν ἔρημον τὴν ἐλπίδα θεάσωνται· εἶθ' ὅτι πιθανοῖς λόγοις καὶ τῷ [11] ἐλπίζειν τέλος ἐπιτεθῆναι [12] τῇ μάχῃ, ὥσπερ ἐν σκότῳ καταναλωμένους ἡμᾶς ἐπιθυμοῦσιν ἰδεῖν· εἶθ' ὅτι ἰσότιμοι ἀμφότεροι Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι, καὶ οὐδετέρῳ μέρει παραχωροῦσιν, ἵνα μὴ ἑαυτοὺς καθέλωσι.

ΜΕτὰ ταῦτα θήσεις τὸν ἐπίλογον· σχεδὸν δὲ ὁ ἐπίλογος ἐγκώμιον εἰρήνης καὶ προτροπὴ πρὸς τὸ λῦσαι τὴν ἔχθραν, καὶ πρεσβεία [13] πρὸς ἕκαστον τῶν Ἑλλήνων προσαγγέλλουσα τὴν ἀπάτην, καὶ διατύπωσις [14] τῶν πανηγύρεων, Ὀλυμπίων, Ἰσθμίων, Παναθηναίων· ὅτι μετ' ἀλλήλων ἐσόμεθα καὶ συγγενεῖς, καὶ οὐκ ἔτι δυσμένειαν ὑφορώμενοι· ὅτι Κορινθίους ὡς ἀξίους τιμωρησόμεθα, καὶ ὅτι πρεσβευτὰς χειροτονήσομεν τοὺς διδάξοντας τοὺς Ἕλληνας ἀνακτήσασθαι [15] τὴν φιλίαν· καὶ τοὺς ἡγεμόνας φιλεῖν, καὶ ὅτι τιμωρίας ἄξιοι Κορίνθιοι, εἰς τοσαύτην ἔχθραν τὸ γένος ἐξάψαντες· ὅτι προσῆκον ὑπομνησθῆναι [16] τῶν παλαιῶν διηγημάτων, ὅτι τὴν νῦν οὖσαν κα-

---

9 Ald. ἀρκεῖτο. 10 Ald. Codd. ἀπατῆσθαι. 11 Ald. Vind. τό. Par. τῷ. 12 Ald. Codd. ἐπιτεθεῖναι. 13 Ald. Codd. πρεσβείαν — — προσαγγέλοντα. 14 Ald. Codd. διατύπωσις. 15 Ald. Codd. ἀγανακτήσεσθαι. 16 Ald. Vind. ὑπομνηστῆναι.

*τάστασιν ἐξ ἀλλήλων ἐσχήκατε· Ἀθηναίων μὲν καρποὺς δεξαμένων καὶ τελετάς, καὶ τοὺς Ἡρακλείδας ὑποδεξαμένων[17] καὶ σωσαντων τὸ τοιοῦτο τῇ Σπάρτῃ πρόσχημα, καὶ ὅτι Λακεδαιμόνιοι ταῖς ἀποικίαις τὸ γένος ἐκόσμησαν, καὶ ὅτι Πλαταιεῖς ἢ Θηβαῖοι ἢ Πελοποννήσιοι[18] ἀεὶ ἀλλήλοις δυστυχοῦσι συνήραντο, καὶ ὅτι ἀνοικίσωμεν[19] Πλάταιαν, Μεγαρέας προςκυνῆσαι τὴν Πολιάδα ποιήσομεν, ἐλεύθεροι Ποτιδαιᾶται[20] τυγχανέτωσαν· ἔστωσαν πάντες αὐτόνομοι· μηκέτι πόλεμος ταραττέτω τοὺς Ἕλληνας.*

*Ἀποκηρυχθέντι τῷ παιδὶ ἡ μήτηρ συνεξῆλθε τῆς τοῦ ἀνδρὸς οἰκίας· καί μετὰ ταῦτα ἀριστεύσαντι τῷ παιδὶ προςήνεγκε λόγους ἡ μήτηρ πρὸς τὴν δωρεὰν αἰτῆσαι ἀναληφθῆναι ὑπὸ τοῦ πατρός· οὐ πείθεται, καὶ κρίνεται ἀχαριστίας[1] ὑπὸ τοῦ πατρός.*

*Φιλόπαις ἡ μήτηρ καὶ πρὸς τὸν παῖδα φιλόστοργος· ὅθεν αὐτῷ καὶ συνεξῆλθεν ἀποκηρυχθέντι τῆς οἰκίας.* **362**
*καὶ κρίνει νῦν, οὐχ ἵνα τὸν παῖδα τιμωρήσηται· πῶς γάρ; ἀλλ' ἵνα ἀπολογήσηται τῷ πατρί. τῷ δὲ παιδὶ σκοπὸς ἀναληφθῆναι καὶ μετὰ τὴν δωρεὰν ὑπὸ τοῦ πατρος, ἵνα καὶ τὴν δωρεὰν ἔχειν δόξῃ, καὶ τῆς ἀντιλήψεως τύχῃ· ἔστι γὰρ ὅλος ὁ σκοπὸς τῷ προβλήματι· τὸ δὲ εἶδος τοῦ λόγου μικτὸν βαρύτητος καὶ φιλοτιμίας· βαρύτητι μὲν χρωμένης ἐπὶ τῷ ἐγκλήματι τῆς μητρός, καὶ ἐφ' οἷς εὖ παθὼν οὐχ ὑπήκουσε· φιλοτιμουμένης δὲ λάθρα ἐπὶ τοῖς κατορθώμασιν, ἵνα τὸ μὲν ἔχῃ δεινοποιεῖν τὸ ἔγκλημα, τὸ δὲ τὸν σκοπὸν κατεργάσηται· διὸ καὶ ἡ κατάστασίς ἐστιν αὐτῇ ὁ γάμος, ἡ παιδοποιΐα, ἡ περὶ τοὺς παῖδας διάθεσις, ἡ ἀνατροφή, μετὰ ταῦτα ἡ παίδευσις, εἶτα*

---

17 Ald. Codd. *ὑποδεξαμένους καὶ σώσαντας.* 18 Par. *Πελοπονήσιοι.* 19 Ald. Vind. *ἂν οὐκ ἴσωμεν Πλαταίαν.* corr. Par. 20 Ald. Codd. *Ποδιάται.* corr. Par.

1 Par. *ἀχαριστίας.* Ald. Vind. *ἀχαριστείας.*

ἑξῆς τὰ παρά τινων κατὰ τοῦ [2] παιδὸς ἐγκλήματα, αἱ πρὸς τὸν πατέρα διαβολαὶ, καὶ αἱ τῆς μητρὸς ὑπὲρ τοῦ παιδὸς ἀπολογίαι· καὶ ὅμως κατεπράϋνε τὸν πατέρα· εἶτα ἡ ἐξαίφνης πρὸς τούτοις ὀργὴ, καὶ πρὸς τούτοις ἡ ἀποκήρυξις· εἶτα πρόςθες ἠθοποιΐαν τινὰ ἔχουσαν πάθος ἐν τῇ ἀποκηρύξει, καὶ διαλογισμὸν ἐπὶ τῷ πρακτέῳ. ἐρεῖς ὅτι μίαν ταύτην εὗρον τῆς παραμυθίας ὁδὸν, τὸ συνεξελθεῖν τῆς οἰκίας τῷ παιδὶ, τὸ κοινωνῆσαι τῆς συμφορᾶς, καὶ μετασχεῖν τοῦ δυςτυχήματος, καὶ γενέσθαι τὴν αὐτὴν μίαν αὐτῷ διάκονον, μητέρα, ὑπηρέτιν· τί οὖν ἐπὶ τούτοις; ἐζήτουν ἀεὶ καιρὸν ἀπολογίας τῷ πατρὶ, ἐζήτουν ἔλεγχον τοῦ παιδὸς, ἐπόθουν ἰδεῖν καιρὸν τῆς διαβολῆς κρείττονα· τοιγαροῦν ἐξαίφνης ἐπιστάντος πολέμου τῇ πόλει, καὶ αὐξήσας τὰς ἀπὸ τοῦ πολέμου συμφορὰς, ἵνα μείζων ἡ ἀριστεία φανῇ, πρόςθες ὅτι πρῶτος ὑπὲρ ἁπάντων ὁ παῖς ἐδέξατο τὴν ἀσπίδα, ὑπὲρ πατρὸς, ὑπὲρ γένους, ὑπὲρ ἁπάντων ἡμῶν, καὶ συμβαλὼν καὶ νικήσας ἐπανήει νικηφόρος, τροπαιοῦχος, ἀλεξίκακος παρὰ πάντων ὀνομαζόμενος· ἀλλὰ μέχρι τούτων ἐπαινεῖ [3] καὶ τὴν τοῦ παιδὸς ἀποδέχεται μακροθυμίαν ἡ μήτηρ, καὶ φιλοτιμεῖται τοῖς εὐτυχήμασι, καὶ μόνον ἡγεῖται τοῦτον ὑπὲρ ἁπάντων αὐτῇ ταύτας ἀποδεδωκέναι τὰς ἀμοιβὰς, ὑπὲρ τροφῶν, ὑπὲρ ἀγωγῆς, ὑπὲρ ὧν αὐτῷ συνεπέμεινε συμφορῶν. τίς οὖν τὰ ἑξῆς. ἆρ᾽ ὁ παῖς παραπλήσιος αὐτῇ· ἆρα μένων ἐπὶ τοῦ σχήματος τὴν ἴσην παρ᾽ αὐτῷ [4] ἐφύλαττεν ἀρετήν; οὐδαμῶς· προκειμένης

γὰρ

2 Ald. Codd. τοῦ κατά. in Par. per corr. κατὰ τοῦ. 3 Ald. ἐπαινεῖν. Vind. Par. ἐπαινεῖ. 4 Ald. Codd. παρ᾽ αὐτῶν. in Par. variae correctiones, ω in ο mutatum, circumflexus in gravem, ν expunctum. corrector igitur modo αὐτὸν, modo αὐτῷ legendum censuit.

γὰρ τοῖς ἀριστεύουσι δωρεᾶς, καὶ γέρως[5] ὑπάρχοντος τοῖς εὖ ποιήσασιν, ἐδέετο διὰ τοῦ νόμου διαλῦσαι τὴν τοῦ πατρὸς ἀποκήρυξιν, τὴν ἀρχαίαν ἀναλαβεῖν τύχην· παρεκάλει διὰ τοῦ νόμου τὴν τοῦ πατρὸς ἑστίαν ἰδεῖν, καὶ κοινωνῆσαι πάλιν τοῦ γένους καὶ παρὰ τοῦ δήμου πάντως ταύτην αἰτῆσαι τὴν ἀμοιβὴν, ἀναληφθῆναι παρὰ τοῦ πατρὸς[6] συνεβούλευεν, ὀνομάσαι πάλιν πατέρα τὸν φύσαντα, καὶ προπεμπόμενον ὑπὸ τοῦ δήμου παντὸς τὴν ἑστίαν καταλαβεῖν· ὁ δὲ ὥσπερ ἐπιλαθόμενος αὑτοῦ παντελῶς καὶ τὴν αἰτοῦσαν ἥτις ἐστὶν ἀγνοῶν ἀπηγόρευεν αἰτεῖν, τοιαύτην οὐκ ἔφασκε δωρεάν· καὶ μετὰ τοσούτους τῆς μητρὸς κινδύνους μὴ πειθόμενος οὐκ ᾐσχύνετο. ὉΡΙκὸν παραγραφικὸν οὐκ ἐμπίπτει· οὐ γὰρ ἔχει ὁρίσασθαι, ἀλλ' ὅτι μὲν εἶναι ἀχαριστίαν· τοῦτο δὲ μὴ ἀντίληψιν ἔχεις[7] ἐξῆς. Ἀλλ' ἔξεστίν μοι, φησὶν, αἰτεῖν, εἰ βούλομαι, δωρεάν. ΛΥσεις τῇ μεταλήψει. οὐκ ἀντειπεῖν τῇ μητρὶ δίκαιον ἦν· οὔτε μετὰ τοσαύτην δυστυχημάτων ἀπόλαυσιν ἐνστῆναι τῷ συνυπομεῖναί σοι προελομένη τὴν ἀποκήρυξιν· ὅλως μὲν γὰρ ἐπὶ τοῖς καλοῖς ἀντιλέγειν οὐ προσῆκον· πολλῷ δὲ πλέον, ἂν πατέρες ὦσιν οἱ συμβουλεύοντες· πρὸς δὲ τούτοις ὁποίας εὐεργεσίας ὤφειλεν ἡ μήτηρ παρὰ σοῦ ἀπαιτῆσαι ταύτην τὴν χάριν, ἀνθ' ὧν ἀνέθρεψεν, ἀνθ' ὧν τέτοκεν, ἀνθ' ὧν εὔνους καὶ φιλόπαις γεγένηται· βούλει τανῦν, ἀριστεῦ, τὰς τῆς μητρὸς εὐεργεσίας καταριθμήσομαι; βούλει πάσας εἴπω τὰς τῆς μητρὸς πράξεις ἐπὶ τοῦ βήματος; ἀπεκήρυξεν ὁ πατὴρ, συνεξῆλθέ σοι τῆς οἰκίας, καὶ 363
διὰ σὲ τὴν κοινὴν οὐκ ἔτι προσκυνῆσαι τοῦ γένους ἑστίαν ἠνέσχετο· πάλιν ἀλᾶσθαι σὺν σοὶ μᾶλλον ἢ τῷ πατρὶ προείλετο. καὶ συνοῦσά σοι διὰ μιᾶς ὑπηρεσίας ἐπλήρου

---

5 Ald. Codd. γέρων. in Par. supra lineam scriptum ας.

6 Ald. Codd. παιδός. 7 Par. $\overset{χ}{\text{ἕξεις}}$.

τάξιν μητρὸς, θεραπαίνης, διακόνου φιλτάτου· ἀντὶ τούτων ἁπάντων, ἀριστεῦ, ταύτην ᾐτήσατο παρὰ σοῦ τὴν ἀμοιβὴν, ἀνθ' ὧν αὐτὴ κέκμηκεν· ἀναληφθῆναί σε προείλετο· εἶτα σὺ πάντας ἐκείνους τοὺς πόνους ἀφεὶς ἐξεῖναι λέγεις μητράσι μὴ πείθεσθαι, καὶ μητρὸς ἱκετευούσης ἐξεῖναι λέγεις τοῦ γένους καταφρονεῖν· μὴ καταφρονήσεις τοῦ δήμου παντὸς κινδυνεύοντος, μηδεμίαν ἀναμείνας τοῦ γένους παράκλησιν, δεομένην τὴν μητέρα παρεώρακας· ὦ τοῦ δεινοτάτου τολμήματος, ὦ πράξεως ἀχαρίστου καὶ ὡς ἀληθῶς ἀνημέρου· καὶ τὰ τοιαῦτα. ΜΕτὰ τὴν ἀντίληψιν θήσεις τὸ χρῶμα συγγνωμονικὸν, ὅτι ἠγνόουν εἰ τοῦτο καθ' ὃ δοκεῖ ἐτύγχανε τῷ πατρί. ΛΥσεις πομπικῶς πάλιν, καὶ μετὰ πολλῆς φιλοτιμίας· γλαφυρωτάτη [8] γὰρ ἡ ἀντίθεσις· οὐκ ἦν κατὰ γνώμην ἀναλαβεῖν τῷ πατρὶ τὸν υἱὸν ἐπὶ τῆς πόλεως ἀριστεύσαντα καὶ διὰ τῶν ἔργων τοῦ προτέρου βίου τὰς βλασφημίας ἐλέγξαντα· εἶθ' ἅπαντες μὲν εὔχονται τοιούτοις παισὶν ἐναμβρύνεσθαι, καὶ ζητοῦσιν ἰδεῖν μετὰ τὸν πόλεμον ἐμπομπεύοντας· σὺ δὲ φῂς ὡς ἄδηλον εἰ δέξεταί σε μετὰ τὴν ἀριστείαν ὁ πατήρ· εἶθ' ὅτι τοῦ δήμου κελεύοντος οὐκ εἶχεν ἀντειπεῖν τοῦ νόμου κειμένου· εἶθ' ὅτι κοινωνὸς ἂν ἐγένετο τῆς σῆς φιλοτιμίας σὲ δεξάμενος· ὅτι ἤκουεν ἀριστέως πατὴρ, ἀλλ' οὐκ ἀποκηρύκτου· εἶθ' ὅτι ἐδέξατο ἂν ἐπὶ τοσούτοις τοῦ σοῦ τρόπου μάρτυσιν, ἵνα μὴ δόξῃ πονηρίᾳ καὶ φαυλότητι ἀποκηρυχθῆναί σε· ὑπώπτευσαν γὰρ ἅπαντες αὐτὸν καὶ [9] τό γε μὴ δικαίως [10] ἀποβεβληκέναι τῆς οἰκίας, ὅπου νῦν ἀριστεύσαντά σε οὐκ ἐδέξατο, καὶ τὰ τοιαῦτα. ΜΕτὰ τὸ χρῶμα πίπτει ἐκ τοῦ χρώματος ἀντίθεσις· καὶ τὰ τοιαῦτα· ἀλλ' αἰσχρὸν ἡγησάμην ἀναληφθῆναι κατ' ἀνάγκην δο-

8 Ald. Vind. γλαφηρωτάτη. 9 καὶ Ald. om. est in Vind. et Par. 10 Ald. δικαίων.

κεῖν. ΛΥσεις τῷ ὄντι οὐδὲν τῶν προσηκόντων γινόμενον, αἰσχρὸν δέ· οὐδὲ τῶν καλῶν τι φέρει τοῖς πράττουσι διαβολῆς· εἶτα κατὰ μέρος ἐρεῖς· ποῖον αἰσχρὸν ἦν εἰ στεφάνου τὴν τοῦ πατρὸς συνοικίαν προὔκρινας; ποῖον αἰσχρὸν εἰ πάσης δωρεᾶς τὴν ἑστίαν μᾶλλον ἠγάπησας; οὐδὲ γὰρ ἔφερέ σοι τοῦτο μᾶλλον φιλοτιμίαν. οὐ γὰρ ἦν τοῦτό σοι μᾶλλον τῆς ἀριστείας ἐνδοξότερον· ὅτι τοῖς ἔργοις ἀπολογησάμενος καὶ κρείττων κατὰ πολὺ γενόμενος, ἢ ὡς διαβάλλοντες ἔφασχον, τὴν συνοικίαν εἵλω τὴν τοῦ πατρὸς καὶ τὸ γένος ἠσπάσω· εἶθ' ὅτι πάντες ἂν εἶπον καὶ τοῦ πατρός σε κρείττονα· ὅτι ἐκεῖνος μὲν ἀπατηθεὶς ἀπεκήρυξε· σὺ δὲ μετὰ τὴν δωρεὰν εἴληφας τὴν τοῦ πατρὸς οἰκίαν. ΜΕτὰ ταῖτα ἄλλη πεσεῖται ἀντίθεσις· δυνατὸν καὶ νῦν ἀναλαβεῖν τῷ πατρί. Λύσεις, καὶ ποία αὕτη τῆς ἀχαριστίας[11] ἀπολογία· ποία λύσις[12] τοῦ ἐγκλήματος; παρακληθεὶς ταύτην αἴτησαι τὴν δωρεάν. οὐκ ἐπείσθης γεγράμμεθα· τί νῦν ζητεῖς εἰ καὶ νῦν δυνατόν ἐστιν ἐπαναλαβεῖν τῷ πατρί· ἀλλὰ τὸ παρὰ σοῦ γενόμενον λέγε, πότερον ὀρθῶς ἢ κακῶς βεβούλευται. ὅτι μὲν γὰρ ἀπειθεῖς[13] τῇ μητρὶ συμβουλευούσῃ τὰ κάλλιστα, οὐκ ἔστιν εὔλογον· δῆλον κἂν σὺ μὴ λέγῃς ὅτι κακῶς τετόλμηκας, ἔξεστιν ὁρᾷν ἐξ ὧν γεγράμμεθα. ΕΠΙλογος· ἔχει δὲ προτροπὴν λεληθυῖαν τοῦ ἀναλαβεῖν τὸν παῖδα λεγούσης τῆς μητρός· ποῦ πότ' ἐστιν ὁ πατήρ· ὅρα τίνα ἀπεκήρυξας· ἀχάριστον μέν, οὐ γὰρ παύσομαι τοῦτο αὐτὸ κατηγοροῦσα τὸ ἔγκλημα, ἀλλ' ἀριστέα καὶ δεινὸν ὑπὲρ τοῦ δήμου φιλόπολιν· καὶ ἐπαγγελίαν ἄλλων, ἀριστεῖ, καὶ τροπαίων καὶ ἄλλων εὐεργετημάτων πρὸς τὴν πόλιν, καὶ ὅτι τούτων ἔσται κοινωνὸς ὁ πατὴρ ἐπὶ τῆς ἑστίας τὸν υἱὸν δεξάμενος· καὶ τὰ τοιαῦτα.

---

11 Ald. Vind. ἀχαριστείας. 12 Ald. Codd. λύσεις. 13 Vind. ἀπειθεῖν.

*Ἔχων τις δύο παῖδας τὸν ἕτερον τυραννήσαντα ἀπέκτεινε, μὴ αἰτῶν γέρας,*[1] *ὑπὲρ τοῦ λειπομένου παιδὸς παρανοίας κρίνεται.*

364 *ΚΑΤΑΣΤΑΣΙΣ. Ἡ κατάστασις τοῦ παιδὸς ἔχει τὴν ἀνατροφὴν, καὶ τὰς ὑπὲρ τῆς πόλεως πρὸς αὐτοὺς ἠθοποιΐας, καὶ τὴν τυραννίδα ἐν παραδρομῇ, καὶ τὴν τυραννοκτονίαν ἐν αὐξήσει, καὶ ἐν καταδρομῇ τὸ μὴ αἰτεῖν δωρεάν. ΟΡΙΚΟΝ*[2] *ΠΑΡΑΓΡΑΦΙΚΟΝ. ἐπ' ἄλλοις ἡ παράνοιά ἐστιν, τὸ μὴ ἐπιγινώσκειν τὸν πλησίον, τὸ τοὺς συγγενεῖς ἀγνοεῖν, τὸ ἑαυτῷ ἀνακόλουθα ποιεῖν, τὸ μὴ συνιέναι τὰ πραττόμενα, τὸ λόγοις σφάλλεσθαι.*[3] *ΕΓὼ δὲ τούτων οὐδὲν πεποίηκα· οὐκ ἄρα παρανοῶ. Λύσεις· ἢ οὐ μόνα ταῦτά ἐστιν, ἀλλὰ καὶ κατὰ τοὺς νόμους μὴ αἰτεῖν δωρεὰν, μηδὲ τὰς παρὰ τοῦ δήμου τιμᾶν ἀμοιβάς· ἀλλὰ δέχεσθαι μὲν τοὺς πόνους, τῶν δὲ τιμῶν ὑπερφρονεῖν· εἶτα τοῦτο κατασκευάσεις ὅλοις τοῖς ὁρικοῖς. ΜΕτὰ ταῦτα θήσεις τὴν ἀντίληψιν· ἀλλ' ἔξεστίν μοι*[4] *μὴ αἰτεῖν δωρεάν. Ἡ λύσις μεταληπτική· ἔξεστι μὴ αἰτεῖν, ἀλλὰ μὴ τὸ παραβαίνειν τοὺς νόμους, οὐδὲ λύειν τὰ κοινὰ τῆς πόλεως δόγματα· ἢ τίνος ἕνεκα ἐνομοθέτουν αἰτεῖν; εἰ ἐφ' ἡμῖν ἦν καὶ τὸ δέχεσθαι καὶ μή· καὶ ὅτι ἄτοπον ὑπὲρ τῆς δημοκρατίας τυραννοκτονεῖν, ἵνα κύριοι μὲν ὦσιν οἱ νόμοι· τούτους δὲ μετὰ τὴν τῆς τυραννίδος καθαίρεσιν ἀναιρεῖν· καὶ ὅτι τὸ δημοτικὸν δεῖ διόλου τὸ ἴσον φαίνεσθαι, μὴ πῇ μὲν υἱὸν ἀναι-*

---

1 Ald. Vind. *παρονοίας.* Par. *παροινίας.* manus secunda correxit *παρανίας.* [sic] Tiber. rhet. c. *ς'.* ex Dem. Phil. III. *εἰς τοσοῦτον ἀφῖκται μωρίας ἢ παρανοίας.* Med. et Gal. *παροινίας.* Sop. p. 381. *κατὰ πατρὸς μὴ εἶναι δίκην, ἢ τὴν τῆς παροινίας.* Med. *παρανοίας.* 2 Titulus abest ab Ald. Vind. Ven. unde lacuna in his: recepi ex Med. In Par. ad marg. *ὅρος.* 3 Ald. Vind. Par. *σφάλεσθαι.* Med. *σφάλλεσθαι.* 4 In Ald. Vind. sequitur *φησίν.* Med. om., in Par. expunctum est.

ρεῖν ὡς κατὰ τῆς δημοκρατείας [5] βουλευσάμενον, αὐτὸν δὲ τῇ δημοκρατείᾳ καὶ τοῖς ταύτης [6] νόμοις μὴ πείθεσθαι. ΜΕτὰ ταῦτα θήσεις τὸ χρῶμα· οὐκ ἠθέλησα, φησὶν, ἔχειν τῶν δυςτυχημάτων ὑπόμνημα· ἢ οὐχὶ τῶν δυςτυχημάτων ἂν ἦν σοι τοῦτο μνημεῖον, ἀλλὰ τῶν εὐτυχημάτων ἐγένετο, καὶ ὧν ὑπὲρ τῆς πόλεως βεβούλευσαι· καὶ ζῆλος ἂν ἅπασιν οὗτος ἐγένετο γενναιότατος, τὸ μήτε γένους, μήτε παίδων ὑπὲρ τῆς πολιτείας φείδεσθαι· [7] καὶ ὅσα τοιαῦτα· καὶ ὅτι δύνασαι ἄλλην αἰτῆσαι δωρεὰν, ἥτις ἀφανίζει τὴν μνήμην τῆς συμφορᾶς· δυνατὸν ἀμνηστίαν αἰτῆσαι, δυνατὸν κωλῦσαι τύραννον ὀνομάζεσθαι· καὶ ὅτι πολλαὶ δωρεαί εἰσιν, αἳ οὐ μόνως ἀλλάττουσι [8] τὴν μνήμην τῶν κακῶν, ἀλλὰ καὶ ἥδεσθαι ποιοῦσι· καὶ ὅτι εἰ ἀμνηστίαν ᾔτησας, οὐδεὶς ἂν οὐ γραφὴν ἔσχε δηλοῦσαν τὸν τύραννον, οὐ λόγῳ τὴν συμφορὰν ὑπέμνησε· καὶ τὰ τοιαῦτα. Εἶτα ἑξῆς θὲς ἄλλην ἀντίθεσιν ἀπὸ τῆς διανοίας τοῦ νόμου· ὅτι ξένος τῶν τυράννων νόμος δίδωσι δωρεὰν, οὐ τοῖς ἐξ αὐτοῦ τοῦ γένους, οἷον πατράσιν οὖσιν· ἐρεῖς οὖν, ἀλλ' ἐφοβήθη, φησὶ, μή τις κωλύσῃ [9] τὴν αἴτησιν· αὕτη ἀναγκαία ἀντίθεσις· ὥσπερ ἐν ἐκείνῳ πρώτῳ ἔστι τῷ πρεσβυτέρῳ· νόμος τὸν τυραννοκτόνον λαμβάνειν δωρεάν· πατὴρ τυραννοῦντα τὸν υἱὸν ἀνελὼν αἰτεῖ δωρεάν· ἀντιλέγει τις. ΠΡώτη ἀντίθεσις· οὐ σοὶ διδωσιν ὁ νόμος πατρὶ ὄντι, ἀλλὰ τοῖς ξένοις τοῦ γένους ἀνελοῦσι. ΛΥσεις οὖν τὴν ἀντίθεσιν τοῦ προκειμένου στοχαστικῶς, ὅτι πάντες καὶ συνηγωνίσαντο καὶ ἐσπούδασαν ἄνδρες λαβεῖν, εἰδότες οἵων αὐτοὺς ἀπήλλαξε συμφορῶν· καὶ ὅλην ἀ-

---

5 Med. δημοκρατίας, et v. sq. δημοκρατίᾳ. 6 Ald. Vind. ταῦτα. Par. ταῦτα (ης supra scr.). Med. ταύτης. 7 Ald. Codd. ψεύδεσθαι. scr. φείδεσθαι. 8 Ald. et Codd. (etiam Med.) ἀλάττουσι. 9 Ald. Vind. κωλύσει. Par. κωλύσῃ.

πλῶς στοχαστικῶς ἂν κατασκευάσῃς, τιθεὶς τὰ ἀπὸ τῆς τυραννίδος κατ' εἶδος κοινὰ, λέγων ὑπὲρ τούτων σοι πάντες ἂν προθύμως ἔδοσαν· προςθήσεις δὲ τούτοις κἀκεῖνα· τὸ ὅτι εἰ μὲν γὰρ τύραννος ἦν ὁ παῖς, κατὰ τὸν νόμον καλῶς αἰτεῖς δωρεάν· εἰ δὲ οὐκ ἦν τύραννος, ἀνθ' ὅτου καὶ παιδοκτόνος γεγένησαι. ΕΠίλογος προτροπὴν ἔχων τῆς δωρεᾶς, καὶ ὅτι μηδεὶς ἔτι τὴν τυραννικὴν καλέσῃ οἰκίαν· μηδεὶς εἴπῃ τὸν τοῦ τυράννου πατέρα· λελύσθω τὸ τόλμημα· ἀμνηστία γενέσθω τῆς συμφορᾶς· εἶθ' ὅτι δεῖξον, ὦ πάτερ, ὅτι οὐ παρανομεῖς· αἴτησον τὸν δῆμον τὴν δωρεὰν, ἄνελθε ἐπὶ τοῦ βήματος, μὴ ὡς τυραννοκτόνος ἀλλ' ὡς εὐεργέτης ἁπλῶς· διδόασι καὶ τοῖς ἄλλοις εὖ ποιήσασιν οἱ πολῖται δωρεάς· ἀπαίτησον τὸ γένος τεθαῤῥηκότως· πρόκεινται πᾶσαί σοι δωρεαί· αἴτησον σίτησιν, ἀτέλειαν, εἰκόνα χαλκῆν· αἴτησον μὴ τυραννοκτόνος παρὰ πολιτῶν ὀνομάζεσθαι.

## ΑΝΤΙΛΗΨΙΣ ΑΠΟ ΤΟΥ ΣΥΜΒΕΒΗΚΟΤΟΣ.

*Ερῶντά τις ἑταίρας τὸν υἱὸν ἔδησεν· ἀπεκώμασεν αὐτῷ ἡ*
365 *ἑταίρα· ῥήξας ἐκεῖνος [1] τὰ δεσμὰ ἀπήγξατο· καὶ κρίνει ὁ πατὴρ τὴν ἑταίραν αἰτίας θανάτου.*

Ὁ ΚΑτήγορος. Τοῦ κατηγόρου ἡ κατάστασις ἔχει τὴν σπουδὴν τὴν περὶ τεκνοποιΐας, καὶ τὴν ἀγωγὴν τοῦ παιδὸς, καὶ τὰς πρὸς [2] τοῦτον ἠθοποιΐας, καὶ τὸν ἐξαίφνης ἔρωτα τῆς ἑταίρας, καὶ πάλιν ἑτέραν πρὸς τοῦτο σύντομον ἠθοποιΐαν. ἀπέτρεπον αὐτῷ λέγων οἷαι καὶ αἱ ἑταῖραί [3] εἰσι, καὶ ὅτι μόνον τῷ κέρδει κηλούμεναι [4] εἰς αἰσχρὰς ἡδονὰς δελεάζουσι τοὺς νέους, ἵνα χρηματί-

---

1 Ald. Vind. ἐκεῖν^ο. Par. ἐκείνως. Med. ἐκείνω. 2 Ald. Codd. πρό. 3 Ald. καὶ αἱταῖραι. 4 Ald. Codd. τοῦ κέρδους καλούμεναι.

ζωνται, κολακεύουσιν, ἀπατῶσι, πλεονεξίας, κέρδους χάριν· ὡς δὲ ταῦτα λέγων οὐκ ἔπειθον, ἀλλ' οἷα παῖς τοῦ ἔρωτος ἦν, ἐζήτουν κατ' ἐμαυτὸν ὥσπερ τινὸς νοσήματος ἴασιν. εἶθ' εὑρὼν ὅτι δεσμὸς μόνον κωλύσει τῆς ἀκολάστου ταύτης συντυχίας τὸν νέον, τόθ' εὑρὼν μόνον αὐτῷ τῆς σωφροσύνης φυλακτήριον ἰδίᾳ τὸν νέον ἐφύλαξα ἐπὶ τῆς οἰκίας, κατ' ἐμαυτὸν ἀνάγκην ἐπέθηκα τοῦ σωφρονεῖν· ἡ δὲ καινὸν ἐζήτησε κατὰ τοῦ μειρακίου τρόπον, καὶ καθάπερ τινὰ μηχανὴν ἀκολασίαν ἐξευρεῖν ἐπεχείρησεν. Εἶτα ἐπ' αὐξήσει ἔπαγε τὸν κῶμον, διατιθεὶς αὐτὸν, καὶ ὅτι ὠνείδιζεν [5] ἀνέραστον ἀποκαλοῦσα, ἀδιάθετον, ὑποχείριον, ὡς ἀληθῶς τῷ πατρὶ δοῦλον, ὑπήκοον τοῦ πατρός· εἶθ' ὅτι παροξυνθεὶς ὁ παῖς καὶ ῥήξας τὰ δεσμὰ βρόχῳ τὸν βίον διέλυσεν· [6] εἶτα παθητικὰ καὶ ἀνακλητικὰ λέξας ἐν ἁπλοῖς τισιν οὕτω καταπαύσει τὴν κατάστασιν. ΠΑραγραφικῷ. ΟΥΚ ὀφείλω κρίνεσθαι ὑπὲρ ὧν ἄλλοι πεποιήκασιν. ΛΥσεις. Ὅτι οὐχὶ ὑπὲρ ὧν ἄλλοι πεποιήκασι κρίνῃ, ἀλλ' ὑπὲρ ὧν σὺ ποιῆσαι παρεσκεύασας, καὶ ὅτι τὰς ἀρχὰς δεῖ ζητεῖν ἐξ ὧν ἕκαστα πράττεται, οὐχὶ τὰ τέλη· ὁ γὰρ τὴν ἀρχὴν παρασχὼν οὗτος καὶ τοῦ συμβεβηκότος ὑπεύθυνος· ὥσπερ γὰρ εἰ μὴ ἦν αὐτὴ [7] τὴν ἀρχὴν παρασχοῦσα, οὐκ ἂν οὐδὲ ἐκεῖνος ἀπήγξατο· οὔτε σύγκρισιν ὑπέμεινας οὕτως· ἐπειδὴ τὴν ἀρχὴν αὐτῇ δέδωκας, οὐκ ὀφείλεις ἀγανακτεῖν, εἰ κρίνῃ, καὶ συνάγομεν δικαστήριον. ΟΡικῷ παραγραφικῷ. Ἀλλ' οὔτε ξίφος οὔτε βρόχον αὐτῷ πρὸς τὸν θάνατον παρεσχόμην. ΛΥσεις ὁρικῶς τὰ πεπραγμένα κατασκευάζων. ἢ οὐκ ἐπὶ τούτοις μόνοις αἰτίας θανάτου κρίνεται, ἀλλὰ καὶ ὅταν ἐκκαλέσηται πρὸς τὸν θάνατον· οὐ γὰρ εἰ μὴ πρὸς βόθρον τις ἀγάγῃ τινὰ κρίνεται· ἀλ-

---

5 Ald. ὀνείδιζεν. 6 Ald. διέλυσε. 7 Ald. Vind. αὐτῇ. Par. αὕτη.

λὰ καὶ εἰ[7*] λόγοις πρὸς τὴν τοιαύτην ἐπιβουλὴν παρώξυνε. καὶ ὅτι ἴσον ἐστὶ τούτοις τὸ ἐπικωμάσαι, καὶ ὅτι ὁ νομοθέτης τὸν ἁπλῶς αἴτιον θανάτου λέγει, οὐ τὸν οἷτον πεποιηκότα, καὶ ὅτι μέγα τοῦτο καὶ μεῖζόν τοῦ ξίφος [8] ὀρέξαι ἢ εἰς βόθρον ἀγαγεῖν. ΑΝτιληπτικῷ. Ἀλλ' ἔξεστίν μοι κωμάζειν, φησίν. ΛΥσεις μεταληπτικῷ. Ὅτι οὐ κατὰ δεδεμένων, οὐδὲ κατὰ μειρακίων μήτε ἔρωτι μήτε συμφορᾷ μέτρον διδόντων, καὶ ὅτι οὐκ ἀρκεῖ μόνον εἰπεῖν τὸ ἔξεστιν· εἰ μὲν γὰρ θάνατον ἐργάζεσθαι ἔξεστιν, περιττὸς[9] ὁ νόμος ὁ δεδωκὼς τὰς τοιαύτας γραφάς· εἰ δὲ οὕτω κωμάζειν οὐκ ἔστιν, ἀνθ' ὅτου λέγεις τὸ ἔξεστιν, καὶ ὅσα πρὸς τὴν λύσιν ἁρμόζει· ἱκανὰ γὰρ ἤδη προειρήκαμεν. Ὁ μὲν διδάσκαλος ἡμῶν, παῦσαι αὐτὸν τοῦ ἔρωτος βουλομένη ἐπεκώμασα· ἐγὼ δὲ Σώπατρος φημὶ, μὴ οἰκεῖον εἶναι ἑταίρᾳ τὸ τοιοῦτον χρῶμα· οὐδεμία γὰρ ἑταίρα λέγει, ὅτι βουλομένη παῦσαι τὸν ἐραστὴν τοῦ ἔρωτος ἐπεκώμασα.[10] ΛΥσεις οὖν μεταληπτικῷ. Ὅτι οὐχ οὕτως ἐχρῆν, ἀλλὰ ἄλλως παραμυθήσασθαι τῷ καρτερεῖν, τῷ μὴ ἐκτείνεσθαι τοῦ πατρὸς τὴν ὀργὴν, τῷ συνεῖναι πάλιν ἀφεθέντι τῷ νέῳ, τῷ ἐπαγγείλασθαι [11] παρασκευάζειν τινὰς, συμβουλεύειν τῷ πατρὶ ἀφεῖναι τὸν υἱὸν, τῷ πάντα τρόπον πρὸς τὴν ἄφεσιν μηχανήσασθαι· τὸ δὲ τοῦ διδασκάλου χρῶμα λύσεις οὕτως· καὶ πῶς οὐκ ἦν πρόδηλον, ὅτε ὑβριζόμενος καὶ ὀνειδιζόμενος οὐκ ἐπαύετο τοῦ ἔρωτος, ἀλλὰ μᾶλλον παρωξύνετο, καὶ ὅτι οὐκ ἔστι τοῦτο ποιῆσαι τὸν ἔρωτα, ἀλλ' εἰς λύπην μετατρέψαι τὸν ἔρωτα, [12] καὶ ποιῆσαι εἰς ἀμηχανίαν ἐμπεσεῖν τὸ μειράκιον, καὶ παρασκευάσαι

---

7* Ald. ἐν. 8 Vind. Par. ξίφους. 9 περιττὸς ὁ νόμος ὁ δεδωκὼς τ. τ. γραφὰς Ald. et Vind. ponunt post ἀνθ' ὅτου λέγεις τὸ ἔξεστιν. restitui ordinem ex Par. 10 Par. ἐπεπώμασαι. (κ) 11 Ald. ἐπαγγείλεσθαι. 12 Ald. ἔρωπα.

ζητεῖν ὅ τι καὶ δράσειεν· ἐρεῖς θετικῶς· μειράκιον ὑβριζό- 366
μενον καὶ ἐπικωμάζουσαν ἑταίραν οὐ φέρει· καὶ τὰ τοιαῦτα· ἀλλ' αὐτὸς ἑαυτῷ αἴτιος ἀπαγξάμενος. ἈΝτίθεσις ἀντεγκληματική. ΛΥσεις οὐκοῦν ἀντεγκληματικῶς· σὺ αἰτία, προςκαλεσαμένη, ἐλθοῦσα ἐπὶ τὴν οἰκίαν· καὶ τὰ τοιαῦτα. Εἶτα συγγνωμονικὴ ἀντίθεσις, ἥτις ἀεὶ ἐμπίπτει ἐν ταῖς ἀπὸ τοῦ ἀποβεβηκότος ἀντιλήψεσιν· ἀλλ' ἠγνόησε,[13] φησὶν, ὅτι τοῦτον ἑαυτῷ χρήσεται τὸν τρόπον· ὅτι οὐκ ἦν ἄδηλον ὡς ἐραστὴς συνεχόμενος οὐ φέρει τὸν ἔρωτα· ἂν δὲ καὶ ἡ ἐρωμένη ὑβρίζῃ,[14] ἐπιπλέον πάθος αὔξεται· ἐπικωμάζουσα γὰρ παροξύνει τὸν ἐραστήν· καὶ εἰςδύνουσα εἰς τὸ πάθος ἡ λύπη ἐνεργεῖ τι δεινόν· καὶ μηδενὸς ὁρωμένου τὸ πάθος κρύπτεται. ἐρεθίσαντος δὲ καὶ κινήσαντος, εὐθὺς εἰς ἄτοπόν τι προβαίνει τὸ κακόν· καὶ ὅσα τοιαῦτα ἀπὸ τῆς ἑταίρας καὶ τοῦ κώμου καὶ τοῦ μειρακίου καὶ τῆς ἀπὸ τούτων ποιότητος. ἘΠίλογος καταφορικώτατός[15] ἐστι διόλου ὡς καθ' ἑταίρας· εὐπορίαν δὲ εἰς καταδρομὴν ἔχει τὸ πρῶτον.

**Ἐν πολέμῳ τὸν υἱόν τις ἀπαγαγὼν ἔδειξε τοὺς ἐν πολέμῳ νεκρούς· τέθνηκεν ὁ παῖς, καὶ κρίνει τὸν πατέρα ἡ μήτηρ αἰτίας θανάτου.**

Ὁ λόγος ἔχει τὸ εἶδος παθητικόν· τῶν γὰρ νεκρῶν ἡ θέα καὶ τὸ πλῆθος τῶν κειμένων καὶ τὸ τεθνάναι τὸν παῖδα χορηγεῖ τὸ πάθος τῷ πλάσματι· σκοπὸς δὲ τῇ μητρὶ φοβῆσαι τὸν πατέρα τῇ γραφῇ, ἵνα μὴ ἄλλον ἀπαγαγὼν εἰς τὸν πόλεμον παῖδα πράξῃ τὸ παραπλήσιον, καὶ πάλιν αὐτῇ θάνατος παιδὸς παρακολουθήσῃ. Ἡ ΚΑτάστασις ἔχει τὸν γάμον, τὴν παιδοποιΐαν, τὴν ἀνατροφὴν, καὶ τὰς ἐπὶ τούτοις ἐλπίδας καὶ ἠθοποιΐας,

13 Vind. ἠγνόησαι. 14 Par. ὑβρίζει (η). 15 Ald. Codd. καταφωρικώτατος ἔστι.

καὶ ἐν παραδρομῇ τὸν πόλεμον καὶ τὴν νίκην, καὶ ὅτι τὸν παῖδα ἀπήγαγεν ὁ πατὴρ, καὶ τοὺς[1] νεκροὺς τῶν πολεμίων ἐπέδειξε, καὶ ὅτι θεασάμενος ὁ παῖς ἐτελεύτησεν· ἐνταῦθα οὐκ ἐρεῖς, ὅτι οὐκ ὀφείλω κρίνεσθαι, ὑπὲρ ὧν ἄλλοι πεποιήκασιν· οὐδὲ γὰρ πεποίηκεν ὁ παῖς οὐδὲν, οὐδέ τινι ἐνεχείρησεν, ἀλλ' ἁπλῶς αὐτομάτως ἀπέθανε· διὸ εὐθὺς ἐλεύσῃ ἐπὶ τὸ ὁρικὸν παραγραφικόν· ἀλλ' ἐπ' ἄλλοις, φησὶν, αἰτεῖς αἰτίας τοῦ θανάτου· γραφαί· λύσις· ἢ τὸ ξίφος παρασχεῖν, ἢ λίθον, ἢ ξύλον, ἢ βρόχον, αἰτίας φέρει θανάτου· ἀλλὰ καὶ τὸ ἀπαγαγεῖν εἰς πλῆθος νεκρῶν τοιούτων παῖδα ἄπειρον· εἶτα τοῦτο κατασκευάζεις ἑξῆς ὅλοις τοῖς τοῦ ὅρου κεφαλαίοις, ὡς πολλάκις προείπομεν, καὶ μετὰ ταῦτα θήσεις τὴν ἀντίληψιν. Ἀλλ' ἔξεστιν, φησὶν, ἀπαγαγεῖν καὶ δεικνύειν τοῖς παισὶν τοὺς ἐν τῷ πολέμῳ νεκρούς. ΛΥσεις μεταλήψει, τοῖς ἐν ἀκμῇ οὖσιν, οὐ τοῖς νέοις ἔτι καὶ μὴ δυναμένοις τὰς τοιαύτας ὑπομένειν θέας· καὶ τοῖς εἰθισμένοις, οὐ τοῖς ἀπείροις· σὺ δὲ τούτων οὐδὲν εὐλαβηθεὶς ἀπήγαγες τὸν παῖδα εἰς πόλεμον· ἔνθα καὶ τὰ ξίφη μόνον φαινόμενα καταπλήττει τοὺς παῖδας· καὶ κράνος καὶ δόρυ τοῖς μειρακίοις φέρει τελευτήν. οὐ γὰρ δήπου ἐρεῖς, ὅτι οὐ φοβεραὶ αἱ τάξεις. φοβερὸν δὲ αἱ σκευαί· δεινὰ δὲ τὰ ὁρώμενα· ἂν δὲ προςθῶ καὶ πλῆθος νεκρῶν καὶ ἄρθρων ἐπὶ τῆς γῆς κείμενον καὶ ποταμοῦ δίκην αἷμα φερόμενον, τίς οὐ πρὸ πάντων ἐρεῖ, ὅτι ἱκανὸν παῖδας ἐκπλῆξαι τὸ τοιοῦτον ἐς τελευτήν· καὶ ὅλως τῇ μεταλήψει χρώμενος πρὸς τὴν λύσιν ὅρα[2] τὴν ὑποκειμένην ὕλην καὶ τὴν περίστασιν, δι' ἣν τὸ ἄτοπον ἀποβέβηκεν. ἐντεῦθεν γὰρ σπάσεις πλῆθος ἐπιχειρημάτων πολύ· ἐρεῖς οὖν· εἶτα τοιούτων κακῶν ἐν πολέμοις ὄντων, σὺ λέγεις, ἔξεστιν

---

1 Ald. Codd. τοῖς νεκροῖς. vide supra p. 185, 19. et infra p. 186, 15. ἔδειξε τοὺς ἐν πολέμῳ νεκρούς. 2 Ald. Codd. ὁρᾷ.

ἀπαγαγεῖν τὸν παῖδα; εἰπὲ, ὅτι ἔξεστιν κατὰ βόθρον ἄγειν, καὶ σκηπτοῦ φαινομένου ποιεῖν ὁρᾷν· καὶ ἄλλα δεινότερα φάσματα. εἴγε ἔξεστιν ἄγειν ἐπὶ τοὺς πολέμους τοὺς παῖδας, καὶ δεικνύειν αὐτοῖς πολεμίους[2*] νεκρούς. ΧΡΩματι ἀντιστατικῷ· εἰς ἐπιθυμίαν αὐτὸν τῶν ἐν τοῖς πολέμοις ἀρετῶν ἄγειν ἠθέλησα. ΛΥσεις μεταλήψει πάλιν· οὐχ οὕτως ἔδει, οὐδὲ εὐθὺς ἄγειν ἐπὶ τὸν πόλεμον· ἀλλὰ λόγοις[3] πρῶτον κατασκευάζουσι, καὶ θεάμασι, καὶ γραφαῖς πολεμικαῖς, καὶ ταῖς τῶν ἀριστέων εἰκόσιν· οὕτω γὰρ προεθισθεὶς οὐκ ἂν ἐξενίσθη τὸν πο- 367 λὺν ἐκείνων τῶν κειμένων κατάλογον, οὐδ' εἰς ἐπιθυμίαν ὡς ἀληθῶς ἦλθε θανάτου· καὶ ὅτι οὐδεὶς ἐπὶ τὰ ἄκρα εὐθὺς ἄγει· ἀλλ' ἐκ τῶν μικροτέρων προγυμνάζει τὸν νέον· καὶ τὰ τοιαῦτα. Ἀλλ' αὐτὸς ἑαυτῷ αἴτιος μὴ ἐνεγκών. ΛΥσεις ἀντεγκληματικῶς· σὺ αἴτιος μὴ προεθίσας πρότερον μηδὲ διδάξας τὰ τακτικά· ἔδει αὐτὸν συνέπεσθαί σοι γυμναζομένῳ τὰ τακτικά· ἔδει κατ' ἀκολουθίαν ἄγειν ἐπὶ τὰς θέας, καὶ ὅσα τοιαῦτα. Εἶτα ἡ συγγνωμονικὴ, ἡ συνήθως ἐμπίπτουσα ἐν ταῖς ἀπὸ τοῦ ἀποβεβηκότος[4] ἀντιλήψεσιν· ἀλλ' ἠγνόουν, φησὶν, ὅτι τεθνήξεται. Ἣν λύσεις ὁμοίως, ὡς καὶ ἐν τῷ πρὸ τούτου ζητήματι διελύσαμεν, ὅτι πρόδηλον ἦν, ὅτι τεθνήξεται μεταξὺ παῖς δεινῶν θεαμάτων γενόμενος, μεταξὺ πανοπλίας καὶ βελῶν, ἵππων χρεμετιζόντων, κτυπουσῶν ἀσπίδων, ὀλολυγῇ χρωμένων τῶν δυσμενῶν· ἐκ τούτων ὁ θάνατος πρόδηλος ἦν· ἐκ τούτων τὸ μέλλον ἔδει προϊδεῖν, καὶ ὡς οὐ φέρει νέος, καὶ ὡς οὐ θλίβεται, καὶ ὡς ὑποπτεύει τιτρώσκεσθαι, καὶ ὅτι θαῤῥεῖν οὐκ εἶχε, καὶ τὰ τοιαῦτα.

---

2* Ald. πολέμους, νεκρούς. 3 Ald. Vind. ἀλλ' ἀλόγοις. Par. ἀλλὰ λόγοις. 4 Ald. Codd. ἀποβεβληκότος. Cfr. Epist. crit. p. 42.

Ὁ ΕΠΙλογος συμβουλευτικός. ὥστε τοῦ λοιποῦ μηδένα μηκέτι φείδεσθαι παῖδα ἄγειν ἐπὶ τὸν πόλεμον, ἀλλ' ἐᾷν [5] κατὰ μικρὸν τοῖς προγονικοῖς ἐντρέφεσθαι διηγήμασιν. εἶτα τάφον ἐγείρωμεν· θρηνήσωμεν τὸν κείμενον παῖδα· καὶ ὅτι ὁρᾷν [6] ἀκμάζοντας ἐᾷν μᾶλλον, ἢ νηπίους ἔτι τὰς μάχας· καὶ ὅτι πείρᾳ μεμάθηκας, οἷον ἐπὶ τοῖς μειρακίοις ἐπιδεικνύναι τὰ φοβερὰ θεάματα· καὶ ὅσα τούτοις παραπλήσια.

Ἐν τῷ Πελοποννησιακῷ [7] πολέμῳ εἰςβαλλόντων Λακεδαιμονίων, ἐδῄωσεν ὁ Περικλῆς τοὺς ἀγρούς· ἀνέζευξαν Λακεδαιμόνιοι. καὶ κρίνεται Περικλῆς δημοσίων.

Φανερὸν ἐκ τῆς ἱστορίας τὸ εἶδος τοῦ λόγου· ὅτι γὰρ μεγαλόφρων ὁ Περικλῆς καὶ δεινὸς καὶ ὑψαύχην, ἀρκεῖ Ἀριστείδης ὑποδεικνὺς τὸ ἦθος τοῦ στρατηγοῦ ἐν τῷ ὑπὲρ τεσσάρων· ἐν οἷς λέγει διδασκάλου τάξιν πρὸς παῖδας πρὸς τοὺς Ἀθηναίους αὐτὸν ἔχειν· προκαταρκτικῶς οὖν χρήσῃ τοῦτον τὸν τρόπον· ἄνδρες οἱ διὰ τὰς ἐμὰς βουλὰς τῆς Λακεδαιμονίας μόνον ἀπαλλαγέντες ἐπιβουλῆς. μᾶλλον δὲ δῃουμένην ὑπ' ἐκείνων τὴν Ἀττικὴν ἰδεῖν· τοῦτο γὰρ ἀκριβέστατον εἰπεῖν· ἃ μὲν ἐχρῆν τέως ὑπάρξαι τῇ πόλει, μετὰ σπουδῆς κατωρθώκαμεν· πεφεύγασι γὰρ ἐξ Ἐλευσῖνος Λακεδαιμόνιοι, καὶ τοὺς καρποὺς ἐκ τῶν ἀγρῶν κεκομίσμεθα, οὕτω νικῶμεν καὶ τοὺς πολεμίους καλῶς βουλευόμενοι· καὶ μεγαλοψυχίᾳ τῆς χώρας Σπαρτιάτας διώκομεν· ἐπεὶ δὲ μετὰ τὰ [8] τῆς ἐμῆς πολιτείας κατορθώματα πάρεισιν οἱ συκοφάνται, μέχρι καὶ τῶν δικαστηρίων βασκαίνοντες, καὶ τὸν ἔπαι-

---

5 Ald. Vind. ἐὰν, Par. ἐᾷν. 6 Ald. Codd. ἐᾷν, scribendum censui ὁρᾷν. ut p. 389. πάντας ὑμᾶς ψηφοφοροῦντας ἐᾷ. Med. ὁρᾷ. 7 Par. Med. Πελοπονησιακῷ constanter etiam in sqq. 8 τὰ Ald. Vind. om., est in Par. — p. 189, 4. Ald. ὠδύρονται.

νον τῆς ἐμῆς συμβουλῆς κατηγορίαν πεποίηνται, πάρειμι διδάξων ὑμᾶς, ὡς οὐδὲν ὑπὸ Περικλέους ἠδίκησθε· οὐδὲ ἐβλάβησαν Ἀθηναῖοι τοῖς ἐμοῖς ὑπακούσαντες σκέμμασι· καὶ τὴν δῄωσιν τῶν ἀγρῶν οἱ συκοφάνται πολλάκις ὀδύρονται· δευτέρᾳ ἐννοίᾳ χρήσῃ τοιαύτῃ. ἓν μὲν οὖν ἔγωγε, μὰ τοὺς θεούς, μετὰ τὴν δῄωσιν παραλέλοιπα· οὐκ ἔπλευσα κατὰ Πελοποννησίων εὐθὺς μετὰ τὴν ἐξ Ἐλευσῖνος τοῦ Ἀρχιδάμου φυγήν· τὰ δὲ τῶν ἀντιθετικῶν κεφάλαια ἔστι τάδε· ὁρικὸν παραγραφικὸν ἐὰν πίπτῃ· εἶτα τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους, ὥσπερ ἐστὶν τὸ ἔγκλημα. εἶτα αὐτῇ τῇ ἀντιθέσει. οἷον, ἐὰν ᾖ ἀντιστατική· εἶτα μεταλήψει μιᾷ ἢ καὶ δευτέρᾳ· εἶτ' ἐπιλόγῳ τρίτην ἔννοιαν λάβοις ἂν τοιαύτην· εἰ μὲν οὖν ἠγνόουν ἔγωγε τὸν γραψάμενον, ἐκ τούτων ἂν εἶπον προθύμως τῶν λόγων, ὡς Σπαρτιάτης οὐκ Ἀθηναῖος ἦν ὁ κατήγορος. Ἡ ΚΑτάστασίς σοι γενήσεται ἐκ τῆς πενταετίας τῆς παρὰ Θουκυδίδῃ. εἰσάξεις δὲ αὐτὴν σφόδρα μεγαλοφρόνως καὶ ἐκ πολλοῦ τοῦ περιόντος, ὅτι βάσκανοι Λακεδαιμόνιοι καὶ φθονοῦντες τῇ πόλει καὶ μὴ βουλόμενοι καθάπαξ αὐτὴν ἐν τοῖς Ἑλληνικοῖς φαίνεσθαι πράγμασι καὶ πανταχοῦ ταύτην αὐτῶν ἐπιδει- 368
κνύμενοι τὴν προαίρεσιν· καὶ αἰνίξαι ἐξ ὧν ἐπὶ Μαραθῶνα οὐ συνεμάχησαν κινδυνευούσῃ τῇ πόλει· εἶτα εἰςβάλλεις εἰς τὴν κατάστασιν λέγων, ὅτι φθόνου τοίνυν ὄντος, ὡς ἔφην, τοὺς Σπαρτιάτας καθ' ἡμῶν παροξύνοντος, διότι τὴν τῆς πόλεως δόξαν ἴσην ἐν ἅπασι τετηρήκαμεν, Πελοποννήσιοι παρωξύνοντο, καὶ κρύπτοντες εἶχον ἐν ὑποψίᾳ τὴν πόλιν· ὅτι πολλῶν ἐξ ἀρχῆς πραγμάτων κατειληφότων τοὺς Ἕλληνας, ἐν ἅπασιν ἐφάνημεν ἡμεῖς δωρεῶν σεμνότεροι· τῶν γὰρ συμμάχων ἐν τοῖς Μηδικοῖς τὴν ἡγεμονίαν λαβεῖν εὐτυχήσαντες οἱ δεύτεροι Σπαρτιᾶται πρὸς τοὺς κινδύνους ἐρχόμενοι, κρατήσαντες οἱ παντάπασιν ἡμῶν ἐλαττούμενοι, ταύτην

ἔχειν ἐν τοῖς κοινοῖς τὴν προστασίαν οἱ καρτερήσαντες καὶ δόξας αὐτῆς καὶ τιμῆς τοσαύτης ἀποστερήσαντες, ἐρήμους γενομένους τῆς ἡγεμονίας ἰδεῖν ἅπαντες τετολμήκασιν· εἶτα τῶν Ἑλλήνων οὐκ ἐνεγκόντων τὴν Λακεδαιμονίων φυγὴν τῶν κοινῶν ἀξίους ἡμᾶς προστάτας σκεψάμενοι ἐπέδωκαν ὑμῖν ἑαυτοὺς, Λακεδαιμονίοις δὲ τὸ φθονεῖν παρεσκεύασαν· εἶτα ἔπαγε, ὅτι ἡμεῖς μὲν οὖν ἄρχοντες τῶν Ἑλλήνων γενόμενοι καὶ δείξαντες τῆς ἡγεμονίας οὐκ ἀξίαν τὴν πόλιν, καὶ πολέμων τὸ τηνικαῦτα τῶν ἐν χερσὶν κεκρατήκατε· καὶ βαρβάρους τροπαίοις μαχόμενοι κατεπλήξατε· φράξαντες δὲ τὸν δῆμον τῶν Ἀττικῶν καὶ πληρώσαντες τοὺς λιμένας τριήρεσι, τῷ νεωρίῳ [9] καὶ ταῖς ἄλλαις παρασκευαῖς τοὺς πολεμοῦντας ὑμῖν πεφοβήκατε, ἔχοντες μὲν αὐτάρκως τετειχισμένην τὴν πόλιν, χρημάτων δὲ μεστὴν τὴν ἀκρόπολιν, συμμάχων δὲ καταλόγους τόσους καὶ τόσους. ταῦτα τὸν φθόνον τῶν Λακεδαιμονίων κατ' Ἀθηναίων ἐξέκαυσε· ταῦτα τὸν πόλεμον καθ' ἡμῶν ὠδίνειν παρώξυνεν· ἀλλ' οἱ σεμνοὶ Σπαρτιᾶται καὶ χάριν ἀποδιδόναι τοῖς εὐεργέταις καταγινώσκοντες, οἱ τὴν Σπάρτην εἰδότες ὅθεν εἰλήφασι, καὶ τὸ τῶν Ἡρακλειδῶν γένος οὐκ ἀγνοοῦντες τοὺς σώσαντας μετὰ Μήδους ἐπιτάττειν ἡμῖν τετολμήκασι· καὶ μετὰ Ξέρξην Σπαρτιάτης τυραννικὸν βουλευόμενος οὐδαμοῦ τὴν χώραν τῶν Ἀθηναίων αἰσχύνεται, ἀλλ' ἐπέβη τῆς Ἀττικῆς, Αἴγιναν αὐτόνομον σκυτάλην φέρων [10] κελεύουσαν, καὶ Ποτιδαιάτας ὑπεξαιρούμενος, καὶ τοῖς καταράτοις Μεγαρεῦσι τὰς Ἀθήνας ταυτασὶ χαριζόμενος· ὡς δ' ἀήθη [11] πρὸς ἐπίταγμα τὴν πόλιν κατείληφε, γίνεσθαι τοῖς κελεύουσιν οὐκ εἰθισμένην ὑπήκοον, ὑπεχώρει τῆς Ἀττικῆς· παρορμῶντας αὐτὸν πρὸς τὴν μάχην

9 Ald. νεορίῳ. 10 Ald. Codd. φέρειν. scr. φέρων, i. e. φέρων σκυτάλην κελεύουσαν Αἴγιναν αὐτόνομον εἶναι. — Thuc. I, 139.
11 Ald. Codd. δαήθη. scr. δ' ἀήθη.

καὶ Κορινθίους δεξάμενος· ἡμεῖς μὲν οὖν εὐθὺς αἰτιωμένων τὴν κρίσιν προὐτείναμεν· Πελοποννήσιοι δὲ τὸν πόλεμον προκεκρίκασιν· ἐπεὶ δ' ἐξεπολεμήθησαν λοιπὸν ἡμῖν φανερώτερον, καὶ μαντείας ἡμῶν ἐξεμάνθανον, καὶ λόγια κατ' Ἀθηναίων ἐκήρυττον, ἐσκεψάμην ἐπιδεῖξαι τὸν δῆμον τοῖς πολεμοῦσιν οὐκ εὐτελῆ, οὐδενί τινι κτήματι κατὰ τῶν πολεμίων φιλοτιμούμενον· ἀλλ' ἔχοντα μὲν κτῆμα τὴν θάλατταν μέγιστον· ἀρκούμενον δὲ πρὸς τὰς χρείας φόροις τοῖς ἔξωθεν, καὶ τοῖς συμμάχοις μὲν πρὸς τὰ κατεπείγοντα χρώμενον, καταφρονοῦντα δὲ τῶν γεωργουμένων ἀγρῶν, ὡς μηδὲν ἐχόντων ἐξαίρετον ἐπίδειξιν· τούτῳ τῷ τρόπῳ φοβῆσαι Λακεδαιμονίους βουλόμενος βλάψαι τι τῆς γῆς εἰςβαλοῦσιν συγκεχώρηκα· οὐδ' εἴασα Πελοποννησίοις λείαν Ἀττικὴν γενέσθαι γεωργίαν· ἀλλὰ φθάσας τὴν ἐπιβουλὴν ἀπράκτους Λακεδαιμονίους ἐκστρατευομένους ἀπέπεμψα· ποίαν τοίνυν ὁ συκοφάντης κατ' ἐμοῦ φέρει γραφήν; ἢ διατί ταύτην τὴν εἰσαγγελίαν τετόλμηκεν; ἆρ' ὅτι παρὼν οὐ τεθέαται κατὰ τὴν χώραν πολέμιον; ἢ δῃουμένην τὴν Ἀττικὴν ἰδεῖν ὑπὸ Λακεδαιμονίων οὐ συγκεχώρηται; ἆρα μὴ πυρπολοῦντας τὴν γῆν ἐπεθύμει πρὸ τοῦ τείχους Πελοποννησίους ἰδεῖν; εἰ γὰρ ὅτε δυσχερὲς οὐδὲν ἐμοῦ στρατηγοῦντος παρὰ τῶν ἀντιπάλων γεγένηται, κρίσις συγκροτεῖται καὶ δικαστή- 369
ρια· σχολὴ γὰρ ἂν Λακεδαιμονίων δῃωσάντων τὴν Ἀττικὴν Περικλῆς ἔμεινε παρ' ὑμῖν ἀνεξέταστος. ΜΕτὰ ταῦτα θήσεις τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ἥτις ἐστὶν ἡ προβολή· ἀλλ' ἐδῄωσας, φησὶ, τοὺς ἀγρούς. ΛΥσεις τῇ ἀντιστάσει· πρῶτον δὲ θήσεις ἐπιχείρημα ἀπὸ τῆς διανοίας τοῦ Περικλέους· οἷον καὶ τίς τὴν πρᾶξιν [12] κατηγορῶν οὐ προστίθησιν τὴν αἰτίαν τῷ γράμματι· οὐδὲ λέγει τὴν πρόφασιν, ἵνα σαφῶς ἴδωσιν οἱ δικασταὶ τὴν

---

12 Ald. Vind. Par. τάξιν. Med. πρᾶξιν.

τοῦ κρινομένου [13] προαίρεσιν· τέτμηκα τὴν χώραν ἐγώ, ἀλλὰ Λακεδαιμονίων οὐ Περικλέους τὸ κατηγόρημα· καὶ πολλῶν ἔρημος ἡ χώρα φυτῶν, ἀλλὰ τὸν χρόνον εἰπὲ, καὶ τὸν καιρὸν πρόςθες ἀντὶ λοιδορίας [14] τῷ πλημμελήματι, εἰςβαλόντων Λακεδαιμονίων· εἰπὲ τὴν τῶν πολεμίων ὕβριν, ἀφελέσθαι τετόλμηκα τῆς χώρας καὶ τέτμηκα τοὺς ἀγροὺς, ἵνα μὴ φιλοτιμήσηται [15] Σπαρτιάτης ἀνὴρ πόνοις τοῖς ἐμοῖς ἐντρυφῶν· πολλὰ τῶν καμάτων, ὦ συκοφάντα, κἂν ἄτοπα τυγχάνῃ [16] γιγνόμενα, σκοπῷ τῷ τοῦ δράματος δοκιμάζεται, κἂν φαύλην ἔχῃ τὴν πρόφασιν ὡς ἠδικηκὼς τὴν πόλιν ὁ πράξας εὐθύνεται· ἂν δ' ἔχῃ τινὰ αἰτίαν αὐτῷ συναιρομένην εἰς εὔνοιαν ἀναχωρεῖ τοῦ βήματος, ὡς μάτην κρινόμενος εἰκότως· τοῦ γὰρ τρόπου τοῦ δράματος κατηγοροῦντος τοῦ συμβεβηκότος ὡς ἀδικήματος· οὐδὲ τῆς πολιτείας εἰς βλάβην ῥεπούσης ἢ πταίσματα. κἂν συμβαίνῃ [17] τι δυσχερὲς πρὸς τὸν ὅλον σκοπὸν καὶ τὸ πραχθὲν ἐξετάζεται· εἶτα πρόσθες παράδειγμα, ὅτι ἰατρὸς καὶ τέμνων καὶ καίων διὰ τὸ τὴν προαίρεσιν ἀγαθὴν ἔχειν καὶ πρὸς καλὸν χρῆσθαι ταῖς καύσεσιν οὐχ ὑπομένει κρίσιν ἢ δικαστήρια· εἶτα ἔπαγε τὴν ἀντίστασιν· εἰ μὲν γὰρ μετὰ τὸ δῃῶσαι τὴν χώραν Λακεδαιμόνιοι καθ' ἡμῶν ἐγένοντο χαλεπώτεροι [18] πολιορκοῦντες τὴν πόλιν, καὶ μετὰ τὴν τομὴν ἕτερον ἂν εὗρον μηχάνημα πρὸς πολιορκίαν δεινότερον, ὡς ἀδικήσας τανῦν καταβαίνω [19] τοῦ βήματος· πρὸς γὰρ τῷ μηδὲν ὠφελεῖσθαι τὴν πόλιν καὶ Λακεδαιμονίους παρώξυνα. εἰ δὲ μετὰ τὴν πρᾶξιν, ὦ ἄνδρες δικασταὶ, τὴν ἐμὴν ἀπὸ τῆς χώρας πεφεύγασι, καὶ φθάσαντος ἐμοῦ τὴν ἐκείνων ἐπι-

13 Ald. Vind. Par. τοῦ δι νομένου. Med. τοῦ κρινομένου. 14 Ald. ἀντιλοιδορίας. 15 Ald. Vind. Par. φιλοτιμήσετε. 16 Ald. Vind. τυγχάνει. 17 Ald. Codd. συμβαίνει. v. 20. Ald. τοῖς καυσ. 18 Vind. χαλεπότεροι. 19 Ald. Vind. καταβαίνων. Par. καταβαίνω. Mox Ald. Codd. πρὸς γὰρ τό.

ἐπιβουλήν. πρὸς μάχην ἡμᾶς οὐκ ἔμειναν ἐκκαλούμενοι, ἀλλ' οἴχονται τρόπον τινά, καὶ μὴ πολεμούντων ἡμῶν ἐλαυνόμενοι· τί τὸ θαυμάζειν τὰ κατὰ τῶν ἀντιπάλων ἐάσαντες στρατηγήματα διαβαλλόντων τὴν πρᾶξιν τῶν βασκαινόντων ἀντέχεσθε, καὶ τὸ μὲν τοὺς παθόντας δοκεῖν ἀνιᾶν συγχωρεῖτε [20] κηρύττεσθαι, τὸ δὲ καθαρὰν πολεμίων τὴν Ἀττικὴν οὐ ζητεῖτε τοῖς γεγενημένοις συνάπτεσθαι· μηδείς, ὦ ἄνδρες δικασταί, μεριζέτω πρᾶξιν συναπτομένην τῷ στρατηγήματι, μηδὲ τῶν ἀγρῶν προφερέτω τὴν δήωσιν τῆς γραφῆς. Σπαρτιατικὴν φυγὴν ἀφαιρούμενος ἐγὼ Λακεδαιμονίους εἴσω τειχῶν μείνας νενίκηκα· καὶ πολεμικὴν οὐ παρασκευασάμενος φάλαγγα κρατοῦντας Ἀθηναίους ἀπέδειξα· σὺ δὲ τὸν Δωρικὸν δασμὸν οὐ σκεψάμενος, ὅτι δεδήωκα [21] τοὺς ἀγρούς, τοῦτό μου κατηγορεῖς· ἀλλὰ τί ἐχρῆν με ποιεῖν, ὦ τῶν στρατηγῶν ἁπάντων τῶν καθ' ἡμᾶς ἐμπειρότατε; [22] Πελοποννησίους τὴν Ἀττικὴν κατατρέχειν ἐᾶν; Λακεδαιμονίους προδιδόναι τὴν γῆν; ἐᾶν ὥσπερ ἀστρατήγους τοὺς τῶν Ἑλλήνων προστάτας; καὶ τίς ἂν ἐμοῦ τότε τὴν γνώμην τῶν πολιτῶν οὐκ ἐδέξατο; εἶδον, ὦ συκοφάντα, Σπαρτιᾶται τὴν γῆν, καὶ μετὰ τὴν θέαν πεφεύγασι· ἀπῆλθον ἐξεστρατευμένοι Λακεδαιμόνιοι· καὶ μάτην ἀπὸ τῆς αὐτῶν προσδραμόντες ὑπέστρεψαν· σὺ δὲ προσκαθεσθῆναι πάντως αὐτοὺς ἐπεθύμεις τοῖς τείχεσιν, [23] καὶ πυρσὸν ἰδεῖν Λακωνικὸν τὴν Ἀττικὴν χώραν νεμόμενον, καὶ Κορινθίους μὲν ἀπὸ τῶν ἀγρῶν τοὺς καρποὺς ἀφαρπάζοντας, Ἀρχίδαμον δὲ μετὰ τῶν ἄλλων τὰ κτήματα· ταῦτα συμβῆναι πρὸς τῶν θεῶν ἔδει συγχωρῆσαι τῇ πόλει· ταῦτα γενέσθαι παρὰ τῶν ἀχαρίστων Δωριέων ὠφείλετο· καὶ λυμαινομένους τὴν χώραν ἐᾶν τοὺς δι' ἡμᾶς

τε σθαι
20 Par. συγχωρεῖσθαι κηρύττετε. 21 Vind. δεδήω κατὰ τοὺς ἀγρούς. 22 Vind. ἐμπειρώτατε. 23 Vind. τύχεσιν.

370 ἀπὸ τῆς Σπάρτης συντελοῦντας τοῖς Ἕλλησιν· εἰ δὲ ταῦτα παθεῖν ἀτοπώτατον, τὸ μὴ τοιαύτην ὑπάρξαι τοῖς Ἀθηναίοις συμφορὰν χαριέστερον· εἰ γὰρ αἴτιος τοῦ κακῶς διατεθῆναι[24] τὰς πόλεις ὁ πόλεμος καὶ φύσει πονηρὸς ἐπὶ τὴν χώραν ἀντίπαλος, τὸ Λακεδαιμονίους δῃῶσαι τὴν Ἀττικὴν ἁπάντων ἦν τῶν κατὰ τὸν πόλεμον ἀφορητότερον· ἐντεῦθεν σύναψον τῇ ἀντιστάσει τὸν βίαιον ὅρον καλούμενον, ὥσπερ παρασκευαστικὸν ὄντα τῆς ἀντιστάσεως· ὅτι τοῦτο αὐτὸ μάλιστα οὐκ ἔστι δῄωσις· καίτοι σκέψασθαι δεῖ τὴν Περικλέους καὶ Λακεδαιμονίων προαίρεσιν· καὶ παραθεῖναι, τί μὲν ἠκολούθει Λακεδαιμονίοις δῃοῦσι τὴν Ἀττικὴν, τί δὲ τῷ παρ' ἡμῖν στρατηγῷ τοῦτο τολμήσαντι. εἶτ' ἐπειδὰν ἐκ τῶν πραγμάτων εὕρητε τὴν διαφορὰν, προχειρότερον τῆς ὠφελείας μηκέτι ζητεῖν ἔλεγχον ἀκριβέστερον· εἰ γὰρ οἱ μὲν δῃοῦσι τὴν γῆν διαφθεῖραι καὶ τὴν χώραν καὶ τοῖς Ἀττικοῖς λυμήνασθαι πράγμασιν ἐπειγόμενοι· ἐγὼ δὲ τέτμηκα τοὺς ἀγροὺς κωλῦσαι τῆς ἐπιβουλῆς Λακεδαιμονίους βουλευόμενος, τῆς ἀτόπου προσηγορίας δικαίως ἄν τις ἀφέλοιτο τὸ πραχθέν· οὐ γὰρ τῆς χώρας δεδύνηται[25] τοὺς πολεμίους ἀπελαύνειν ἡ δῄωσις· εἰ δὲ τανῦν οὐκ ἐνοχλεῖ τῇ πόλει στρατιώτης μαχόμενος, οὐδὲ πολεμικῇ στενοχωροῦμαι τῇ φάλαγγι, ἐκπλήττων[26] τὴν ἐπιχείρησιν, δι' ἣν πολεμοῦντες ἡμῖν οἱ Λακεδαιμόνιοι μένειν οὐ τετολμήκασι. ΜΕτὰ ταῦτα θήσεις τὴν μετάληψιν, ἐν ᾗ ἐστι τὸ οὐχ οὕτως ἔδει ποιῆσαι Λακεδαιμονίους φυγεῖν· οἷον ἀλλ' οὐχ οὕτως ἔδει, φατὲ, ἐλευθερῶσαι Πελοποννησίων τὴν πόλιν. Ἡ Λύσις ἀντιληπτική· ὅτι ἔξεστι τοῖς στρατηγοῖς νικᾷν τοὺς πολεμίους, ᾧ βούλονται τρόπῳ· ἀλλ' ἐλευθεροῦν πολεμίων τὴν πόλιν, ὅπως καὶ

24 Ald. Codd. διατεθεῖναι. 25 Ald. Codd. δεδήωται τοὺς πολέμους. scripsi δεδύνηται τοὺς πολεμίους. 26 Par. ἐκπλήττου.

βούλονται, τοῖς στρατηγοῖς συγκεχώρηται· εἰ μὲν γὰρ τῶν στρατηγῶν ἡ πόλις ἀφήρηται τὴν ἐπιχείρησιν, καὶ τοὔνομα μὲν ἔχειν μετὰ τοῦ σχήματος τῶν πολεμίων ἡγούμενος, τοῦ πράττειν δὲ τὸ παριστάμενον ἐν πολέμοις οὐ καθέστηκε κύριος, καλῶς τὸ μὲν γενόμενον αἰτιᾷ, τὸ δὲ μὴ πεπραγμένον ἐπιζητεῖς· εἰ δὲ μετὰ τοῦ σχήματος δῆμος τὴν ἐξουσίαν χαρίζεται, καὶ τοῦ ποιεῖν τὸ νομιζόμενον δίδωσιν ἄδειαν, τί τηνάλλως [27] ταύτην εἰσήγγειλας τὴν γραφὴν, τοῦ πολέμου τοῖς στρατηγοῖς παραχωροῦντος τὰ πράγματα; σκόπει γὰρ τίνος χάριν ὁ δῆμος ἐκπέμπει μετὰ τῆς φάλαγγος ἐπὶ τὴν μάχην ἡγούμενον· οὐχ ἵνα καθ' ἑαυτὸν καὶ μόνος σκεπτόμενος καὶ συμβαλεῖν ἔχῃ, καὶ κωλύῃ τὸ στράτευμα, καὶ καταναγκάζειν φρούρια, καὶ ζητεῖν τὴν ἐπήρειαν λόγῳ κατὰ τῶν πολεμίων παρασκευάσασθαι· ταῦτα τοῖς στρατηγοῖς τὴν ἐξουσίαν, ταῦτα παρὰ τῶν νόμων τὴν ἄδειαν προξενεῖ· οὕτω κατὰ Λακεδαιμονίων οὐ κατ' Ἀθηναίων τὸ τόλμημα· καὶ καθαρὰν δείξας τοῖς πολεμίοις τὴν Ἀττικὴν ἀγαπῆσαι τὴν φυγὴν τοῖς καθ' ἡμῶν εἰσβαλοῦσι παρεσχόμην· εἶτα κατασκευάσεις τὸ ἀντιληπτικὸν παραδείγμασι παλαιοῖς, ἀπὸ τῶν προσώπων τῶν παλαιῶν στρατηγῶν λαμβάνων τὰς ἀφορμὰς, ἀπὸ τῶν συμβόλων, ἀπὸ τῶν πραγμάτων, ἀπὸ τῆς νίκης τῆς κατὰ βαρβάρων· οἷον οὕτως Θεμιστοκλῆς ἐστρατήγει καὶ μετῆγε τὴν πόλιν ἐπὶ τὴν θάλατταν, καὶ παρεδίδου Πέρσαις τὴν Ἀττικὴν ποιεῖν ὅ τι καὶ βούλονται· οὕτως Μιλτιάδης δρόμῳ τὸν Μαραθῶνα κατελάμβανε· καὶ τὰ τοιαῦτα. Μετὰ ταῦτα θήσεις στοχαστικὴν ἀντίθεσιν· ἀλλ' εἰκὸς ὀργισθῆναι τοὺς θεοὺς ἡμῖν τετμηκόσι τὴν Ἀττικήν. ΛΥσεις πάλιν στοχαστικῶς ἀπὸ τῆς ποιότητος τῶν Ἀθηναίων· ὅτι εὐσεβεῖς ἀπὸ τῶν δωρεῶν τῶν θεῶν, ἀπὸ τῆς τοῖς θεοῖς γενομένης φιλονεικίας περὶ τῆς χώ-

27 Ald. Vind. τηνάλως.

ρας, ἀφ' ὧν οἱ θεοὶ τῆς χώρας ἠράσθησαν, καὶ τῶν τοιούτων· ἐρεῖς δὲ οὕτως· ὅτι οἶμαι καὶ τοὺς θεοὺς ἥδεσθαι, ὅτι ὑπὸ Περικλέους, ἀλλὰ μὴ Λακεδαιμονίων ἡ χώρα τέτμηται. καὶ ὅτι πιστεύω ταῖς ἐν Ἐλευσῖνι θεαῖς, τοῦτον ἐκβεβηκέναι μοι τὸν νοῦν, καὶ τὸ στρατήγημα τοῦ-
137 το ἐξ ἀνακτόρων δοῦναι τῶν μυστικῶν· ἵνα μὴ δῶρον, ὃ πεφιλοτίμηται ἡ Δημήτηρ τῇ πόλει, τοῦτο τῷ πολέμῳ λοιπὸν ἀφαρπάσῃ τῶν Ἀθηναίων Λακεδαιμόνιος, καὶ καρπὸν ὃν παρ' ἡμῶν Σπαρτιάτης ἐδέξατο, τοῦτον παρ' αὐτὴν τὴν Ἐλευσῖνα λυμήνηται· οὐ μὴν ἀλλὰ καὶ Ἀπόλλων ὁ πατρῷος τῇ πόλει, ὁ διαφόρους τιμὰς καὶ προσηγορίας παρ' Ἀθηναίων δεξάμενος, οὐχ οὕτω χαρίζεσθαι Δωριεῦσιν, ὡς Ἀθηναίοις ἐσπούδακεν· οὗτος ὁ πατρῷος ἡμῖν οὐ λυπήσει τὸ γένος ποτὲ, οὐδ' ἀγανακτήσει κατὰ τῆς χώρας ὁ Πύθιος, πομπαῖς ἀεὶ ταῖς παρ' ἡμῶν καὶ θυσίαις ἡδόμενος· ἐκ πολλῶν ἔχω τοὺς θεοὺς ἐπιδεῖξαι τὴν πόλιν φυλάττοντας· ἐξ ὧν ἀεὶ πολεμοῦσιν ἡμῖν συλλαμβάνονται, ἐξ ὧν πολλὰς Ἀθηναίοις πεφιλοτίμηνται χάριτας, ἐξ ὧν τὴν πόλιν μᾶλλον τῶν ἁπανταχοῦ χωρίων προτετιμήκασι· ταῦτα ποιεῖ μηδεμίαν γενέσθαι παρὰ τῶν θεῶν ἀγανάκτησιν· ταῦτα δείκνυσι τοὺς θεοὺς καθ' ἡμῶν οὐδαμῶς δυσχεραίνοντας· τίς γὰρ ἂν ἕλοιτο τῶν θεῶν δεῖξαί τινα κατὰ τῆς Ἀττικῆς ἀγανάκτησιν; εἶτα ἔπαγε τὰ κατὰ μέρος ἐκείνων ἕκαστον, εἶτα ἔπαγε τὰ κατὰ Κόρην καὶ Δήμητραν, ὅτι Ἀθηναίους μᾶλλον τῶν ἄλλων ἀνθρώπων προτιμήσασαι [28] τὸν σῖτον δεδώκασι καὶ παρ' Ἀθηναίοις τὴν πλάνην ἡ Δημήτηρ ἔστησεν· καὶ οὐκ ἂν ἕλοιντο, οὓς αὗται αἱ θεαὶ εὖ πεποιήκασι καὶ τετιμήκασι, τούτους κακῶς διαθεῖναι· ὁμοίως τὰ κατὰ τὴν Ἀθηνᾶν, τὰ κατὰ τὸν Διόνυσον, καὶ οὕτως ἐπέξελθε πομπεύων εἰς ἕκαστον· καὶ μελετῶν καὶ δει-

---

28 Ald. Vind. προτιμήσασθαι. Par. προτιμήσασαι.

κνὶς, ὅτι οὐκ ἂν ὀργισθήσονται οἱ θεοί. Μετὰ τὴν στοχαστικὴν ἀντίθεσιν θήσεις ἄλλην μετάληψιν· ὅτι ἔδει τῷ δήμῳ ἀνακοινώσασθαι. Λύσεις τῷ ἀδυνάτῳ· ὅτι οὐχ οἷόν τε ἦν κατεπειγόντων τῶν πραγμάτων. ἀλλὰ κοινώσασθαι, φησὶν, ἔδει τῇ πόλει, καὶ τοῦτο πρᾶξαι συνεχώρουν Λακεδαιμόνιοι· βουλευομένην δὲ Σπαρτιᾶται τὴν ἐκκλησίαν ἀνέμενον; ἢ μικρὸν ἐπεῖχον τὴν εἰσβολὴν, ἵνα τινὰ καὶ ψῆφον περὶ τῆς μάχης ἐνέγκωμεν; οὐχ οὕτως ἔμελλον καθ' ἡμῶν βραδύνειν Λακεδαιμόνιοι, ἵνα καὶ συνόδου καὶ ψήφων καὶ ῥήτορος ἠνεσχόμεθα. πρὸς θεῶν οἱ πολέμιοι ἑστήκεσαν, οὐ πολὺ τῆς Ἐλευσῖνος ἀπεῖχον Πελοποννήσιοι· εἶτα τοῦ θορύβου λοιπὸν ἁπτομένου τῆς Ἀττικῆς, ἔδει τὸν δῆμον ἐκδέχεσθαι ἢ μένειν ἀπὸ τῆς ἐκκλησίας τὸ ψήφισμα, ἵνα Λακεδαιμόνιοι πρὸ τοῦ δοκιμασθῆναι γνώμην τινὰ φθάσωσι τὴν γῆν πυρπολήσαντες· ἢ δόξω παρὰ τῷ δήμῳ βαρὺς τῷ καιρῷ μὴ συμμετρήσας τὰ πράγματα, ἢ συγχωρεῖν Λακεδαιμονίοις τὴν πόλιν τὸν καιρὸν μάτην ἐκεῖνον μεταπεμψάμενος· εἰ γὰρ ὁ τὸν καιρὸν στοχασάμενος καὶ τὸ κατορθοῦν ἔχει τοῖς λογισμοῖς συνεπόμενον, ὁ τοὺς καιροὺς καλῶς μὴ στοχασάμενος ἁμαρτάνων πολλάκις οὐδαμοῦ κατορθοῖ τῆς πολιτείας τὸ σπουδαζόμενον. πάλιν δὲ αὐτὸ τοῦτο κατασκευάσεις παραδείγμασι· ἆρα εἰ ἔμενε Μιλτιάδης, ἄχρις ἂν ἀνακοινώσηται τῇ πόλει, ἔδει τρέχειν ἐπὶ Μαραθῶνα; ἢ τὸ μέγιστον ἂν ἐκείνῳ κατώρθουν τὸ τρόπαιον; οὐδαμῶς· ἢ Θεμιστοκλῆς ἐν ταῖς κατὰ Μήδων συμβουλαῖς εἰ συνέμενε, μέχρις ἂν λάβῃ παρὰ τοῦ δήμου τὸ σύνθημα τὸ κατὰ Σαλαμῖνα, περιεποίησεν ἂν τῇ πόλει κατόρθωμα; καὶ τὰ ὅμοια· ἐντεῦθεν θήσεις τοὺς ἐπιλόγους. Οἱ δὲ ἐπίλογοι εἰσὶν ἀπὸ τῆς ποιότητος τοῦ Περικλέους, ἐπαγγελίαν ἔχοντες μεγάλων καὶ πολλῶν κατορθωμάτων, περίπλουν τῆς Πελοποννήσου, καὶ μὴ μόνον Σπαρτιατῶν δήωσιν, ἀλλὰ καὶ πολιορκίαν καὶ τῆς

*παρασκευῆς ἔκθεσιν καὶ παράθεσιν τῶν Μηδικῶν, ἐν τῷ λέγειν, ὅτι ὑπερβαλέσθαι με δεῖ τὰ κατὰ Μαραθῶνα, νικήσω τὰ κατὰ Σαλαμῖνα, καὶ τὰ τοιαῦτα, καὶ ἠθοποιΐας, ἃ πολιορκῶ, ἐρεῖ πρὸς Λακεδαιμονίους ἢ πρὸς τοὺς Ἀθηναίων συμμάχους καὶ ἔκφρασιν τοῦ ἀπόπλου τοῦ στόλου, καὶ ὅσα παραπλέων πολιορκήσει, καὶ ὅτι Κορινθίους πρώτους ποιήσει ἀναστάτους, καὶ ἔκφρασιν τοῦ πλοῦ, καὶ ὅτι πάλιν συλλήψονταί μοι αἱ θεαὶ, συμμαχήσουσιν οἱ κρείττονες, καὶ ὅτι ἐπίφοροι πάλιν ἡμῖν κατὰ Λακεδαιμονίων πνεύσουσιν ἄνεμοι, καὶ ὅτι νῦν καλέσω τὸν Ἴακχον [29] εὐκαιρότερον, νῦν τὸ νέφος τὸ μυ-*
372 *στικὸν κατὰ Λακεδαιμονίων πεσεῖται καιριώτερον, καὶ ὅτι οὐ λήψομαι μόνον τοὺς Λακεδαιμονίων ἀγροὺς, ἀλλὰ καὶ αὐτοὺς αἰχμαλώτους, ἵνα διδάξω Λακεδαιμονίους μετὰ τὴν μάχην, ὅτι διὰ Περικλέα καὶ Σπαρτιᾶται τοῖς Ἀθηναίους δουλεύουσιν.*

## *ΑΝΤΙΣΤΑΤΙΚΟΝ ΑΛΛΟ.*

*Πολεμίων ἐπιόντων ἐτείχισεν [1] ὁ στρατηγὸς τὴν πόλιν ἀπὸ τῶν μνημάτων· νίκη γέγονε, καὶ κρίνεται ὁ στρατηγὸς τῆς εἰς τοὺς κατοιχομένους ἀσεβείας.*

*Ἡ κατάστασις ἔχει τὴν τῶν πολεμίων ἔφοδον ἐν αὐξήσει, καὶ τὴν χειροτονίαν τοῦ στρατηγοῦ, καὶ τὴν παράταξιν, καὶ τὴν ἀνάγκην τοῦ τειχισμοῦ, καὶ ὅτι οὐδεμιᾶς οὔσης σωτηρίας, ἐκ τῶν μνημάτων τὴν πόλιν ἐτείχισεν ἀντ' ἄλλου τινὸς στρατηγήματος, ἀντὶ παρατάξεως, καὶ τῶν τοιούτων· εἶθ' ὅτι νίκη γέγονεν· οἱ δὲ τὴν εὐεργεσίαν μεταποιοῦσιν εἰς ἔγκλημα· καὶ τὴν χάριν εἰς κατηγορίαν μετάγουσι· καὶ τὰ τοιαῦτα· μετὰ τὴν κατάστασιν ἐμπεσεῖται ΟΡΙκον παραγραφικὸν, τὸν αὐ-*

---

29 Ald. Vind. ἴαχον. Par. ἴακχον. Respicit ad Her. VIII. 65.

1 Ald. Codd. ἐτείχησεν, et infra v. 25. ἐτείχησε, ἀντ' ἄλλου.

τὸν τρόπον [2] ὥσπερ ἐν τοῖς ἀντιληπτικοῖς ἐπεδείξαμεν· ἃ ῥᾳδίως οὐχ εὑρεθήσεται· οὐκοῦν οὐδὲ ἐνταῦθα ἐμπεσεῖται διὰ τὸ μὴ δύνασθαι λέγειν, ὅτι τοῦτο ἀσέβεια οὐκ ἔστι· τὸ δὲ παραγραφικὸν ἐμπίπτει, ἐὰν ᾖ γενικὸν τὸ ἔγκλημα· οἷον, ἀσέβεια ἢ δημόσιον ἀδίκημα. ἐὰν δὲ ἄτομον, οὐκ ἐμπίπτει· οἷον φόνος ἢ κλοπὴ ἢ πατροτυψία· μὴ ἐμπίπτοντος δὲ τοῦ ὁρικοῦ παραγραφικοῦ, ἔπαγε εὐθὺς τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ἃ περιέχει τὸ ἔγκλημα. Ἀλλ' ἐτείχισας ἐκ τῶν μνημάτων τὴν πόλιν. Ἡ λύσις γίνεται τῇ ἀντιθέσει· ὅτι ὑπὲρ ὑμῶν πεποίηκα, ἵνα μή τι γένηται· τοιγαροῦν [3] καὶ νενικήκαμεν τοὺς πολεμίους, τοὺς δεινοὺς καὶ φοβεροὺς τυγχάνοντας, ἢ τοιούσδε καὶ τοιούσδε ὄντας. εἶτα τῇ διανοίᾳ χρήσῃ· μεθ' οἵας διανοίας ἐτείχισα τὴν πόλιν· οἷον, εἰ μὲν γὰρ κακόνους ὢν καὶ μηδενὸς [4] ὑποκειμένου πράγματος τοὺς τάφους διώρυττον, καλῶς ἔχει τοῦτο ἔγκλημα· εἰ δὲ βουλόμενός τι πρᾶξαι ὑπὲρ ὑμῶν καὶ κατορθῶσαι τῇ πόλει τὴν ἐλευθερίαν τοῦτο ἔπραξα· εἶθ' ὅτι καὶ στρατηγὸς ὢν ἐγκεχειρισμένος [5] τὰ τῆς πόλεως πράγματα, ἐπ' ἐμοὶ ἦν τὸ τειχίζειν ὅπως δήποτε, καὶ τὴν χρείαν γίγνεσθαι· εἶτα ὅτι ὑπὲρ ὑμῶν καὶ τῆς ὑμετέρας ἐλευθερίας τοῦτο διαπραξάμενος, ἀνθ' ὅτου τοῦτο ἔχω τὸ ἔγκλημα· εἶτα πρὸς λύσιν πάλιν χρήσῃ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους τῷ βιαίῳ ὅρῳ· ὁ δὲ βίαιος ὅρος ἐστὶ τὸ δεῖξαι, ὅτι μάλιστα οὐκ ἔστιν ἀσέβεια τοῦτο τὸ εἰς δέον χρήσασθαι τοῖς μνήμασι καὶ ὥσπερ συναγωνιστὰς τοὺς κατοιχομένους [6] λαβεῖν, καὶ συνεργοὺς τῆς νίκης ποιήσασθαι, καὶ τὰ τοιαῦτα. Μετὰ ταῦτα θήσεις καὶ τὴν ἀντίληψιν, ἥτις ἀεὶ ἐν ταῖς ἀντιθετικαῖς ἐμπίπτει· ἄλ-

---

2 Ald. τρόπος. 3 Ald. Vind. τιγαροῦν. 4 Ald. Codd. μηδὲν ὑπ. πρ. τ. τ. διώρυκτον. 5 Ald. Codd. ἐνεχειρισμένος. 6 Ald. κατοιχομάνους. Vind. κατηχομένους. super η scripto οι.

λως ἔδει τειχίσαι τὴν πόλιν· μὴ μέντοι ἐκ τῶν μνημάτων. ΛΥσεις τῇ ἀνάγκῃ, τῶν πολεμίων βίᾳ, τῷ κατεπείγεσθαι. καὶ ὅτι διὰ τὸν καιρὸν τοῖς παρακειμένοις ὡς τάχος ἐχρησάμην· εἶτα ὅτι οὐδὲ ἀλλαχόθεν τειχίσαι τὴν πόλιν οἷόν τε ἦν παρακειμένων τῶν τάφων, καὶ ἐκ τοῦ προχείρου τὴν ὕλην ἐχόντων, καὶ τῶν μὲν εὐθὺς σχῆμα σωζόντων τοῖς τείχεσι, τῶν ἐν τῇ πόλει κεχωρισμένων. εἶθ' ὅτι οὐδὲ κελευόμενοι στρατιῶται φείδεσθαι ἠδυνήθησαν ἄν, τοῦ πολέμου πάντα κινεῖν ἐκβιαζομένου, τῆς ταραχῆς ἐχούσης μὴ μόνον ἀνακινῆσαι τοὺς τάφους, ἀλλὰ καὶ δημόσια ἔργα εἰ πλησίον ἦν, καὶ ἀπὸ τούτων λαμβάνειν, καὶ τὰ τοιαῦτα. ΜΕτὰ τὴν μετάληψιν τοὺς ἐπιλόγους· ἐπιλόγους πομπικοὺς ποιήσει πάνυ τυγχάνοντας, καὶ χαριεστάτους καθ' ὑπερβολήν· ἐρεῖς γάρ, νῦν τοὺς τάφους ἐπισκευάσωμεν, [7] νῦν ἐγείρωμεν μείζονα τοῖς κατοιχομένοις τὰ μνήματα, ὡς νενικηκότες, ὡς κατορθώ-
373 σαντες· κατασκευάσω τοῖς κειμένοις τοὺς τάφους· εἶτα ὅτι ἐπιγράψω τοῖς μνήμασιν· „οὗτοι τῇ πόλει τὸ τρόπαιον, οὗτοι τὴν νίκην προὐξένησαν·" ἐρῶ ὅτι κοινωνοὶ τῶν κατορθωμάτων ἡμῖν γεγένηνται. ἂν δὲ καὶ τοῦτο ἐργάσωμαι, οὐ μέχρι τούτου στῆναι δεῖ, ἀλλὰ καὶ ἐναγίσαι. [8] εἶτα διασκευῇ χρήσῃ καὶ σχήμασι. ποῦ τὰ λάφυρα προσενέγκοι τις; ἐκ τῶν λαφύρων τοῖς μνήμασιν, ἐκ τῶν αἰχμαλώτων ἐπισφάξαι με δεῖ. ἂν δὲ δοκῇ [9] τῇ πόλει, αὐτὸς καὶ σπονδὰς ὑπὲρ τῶν γεγενημένων ποιήσομαι, καὶ φιλοτιμότερον σπείσω τοῖς τελευτήσασιν, ὡς ὑπὲρ [10] τροπαίων, ὡς ὑπὲρ τῆς νίκης, ὡς τὴν πόλιν ἐλευθερώσασι· ποῦ ποτέ εἰσιν οἱ ῥήτορες· συμβουλεύσει τις πομπήν, συμβουλεύσει τις γενέσθαι πανήγυριν. μὴ γὰρ ἐγὼ τοῦτ' εἰργασάμην τὸ τρόπαιον· αὐτοὶ συνεξῆλ-

ἐπι
7 Vind. περισκευάσωμεν. 8 Ald. Vind. ἀναγίσαι. Par. ἐναγίσαι. 9 Ald. δοκεῖ. 10 Ald. ὥςπερ τροπ. corr. Vind. et Par.

θον ἡμῖν οἱ πρόγονοι, αὐτοὶ τὴν μάχην ὑπὲρ ἡμῶν κατωρθώκασιν, αὐτοὶ τῆς κοινῆς ἐλευθερίας προέστησαν.

## ΑΝΤΙΣΤΑΣΙΣ ΑΛΛΗ.

*Λαβών τις ἐπὶ προδοσίᾳ χρήματα ἔδωκε τοῖς στρατιώταις· νίκη γέγονεν· κρίνεται ὁ στρατηγὸς δημοσίων.*

Ἡ κατάστασις ἔχει τὸν πόλεμον, τοὺς κινδύνους, τὴν παρασκευὴν, τὴν παράταξιν, τὸ παρατεῖναι τὴν μάχην, καὶ χρόνον ἀναλωθῆναι πολὺν, καὶ τὴν πενίαν ἐν αὐξήσει εἰςαγομένην, καὶ ἠθοποιΐας καὶ πλάσεις τεινούσας πρὸς φόβον καὶ ἀνάγκην τοῦ πορίσαι τὰ χρήματα, καὶ ὅτι οἱ μὲν ἐζήτουν φαγεῖν, οἱ δὲ μένοντες ἄλλων ἅψασθαι· εἶτα ὅτι ἐγὼ δεξάμενος χρήματα διέδωκα, φήσας πρὸς ἐμαυτὸν προσῆκον, μὴ μόνον καταστρατηγῆσαι τῶν πολεμίων, ἀλλὰ καὶ τῆς τύχης εἰς ἀπορίαν στρατιώτης ἦλθεν ἀπὸ τοῦ δαίμονος· αὐτὸς εὑρήσω πόρον, αὐτὸς πορίσω τροφὰς, ταῦτ' ἐννοήσας,[1] ταῦτα ἰδὼν ἐδεξάμην τὰ χρήματα, διέδωκα πενομένοις στρατιώταις φήσας, οἱ πολέμιοι καθ' ἑαυτῶν ὑμᾶς μισθοδοτοῦσιν· οἱ δυςμενεῖς ὑμᾶς καθ' ἑαυτῶν προτρέπονται χρήμασι·[2] ταῦτ' ἐννοήσας, ταῦτ' εἰπὼν παρέσχον τὰ χρήματα· ἐστρατεύσαντο λαβόντες καὶ νενικήκασι· καὶ μετὰ τὴν νίκην καὶ τὸ κατόρθωμα ἀντὶ τοῦ στεφάνου, ἀντὶ τοῦ ζητεῖν ἀμοιβὴν, ὡς προδότην εὐθύνουσι καὶ τὴν εὐεργεσίαν εἰς ἔγκλημα ἄγουσιν. ΟΡΙκῷ παραγραφικῷ· καίτοι προσῆκον ἦν ἐγκαλοῦντας αὐτοὺς, γραφομένους προδοσίας, μὴ μέχρι λόγων ἱστάναι τὸ ἔγκλημα, ἀλλὰ καὶ ἔργῳ δεικνύειν εἴ τί μοι πέπρακται· ποῖον χωρίον προὐδεδώκαμεν, ποίαν φάλαγγα, ποῖον εἰπὲ ναυτικὸν, ἀλλὰ τί τῶν ἀποῤῥήτων ἐξήγγειλα; τί τῶν πρὸς τὴν νίκην οὐ πέπρακται; εἶτα πάντων ὀφειλόντων εἰς

1 Ald. ἐνοήσας h. l. et v. 20. 2 Ald. Codd. χρήσασι.

ἐλευθερίαν ὑπάρξαι τῇ πόλει, κατορθωσαμένων ἡμῶν [3] προδότης μετὰ τὴν νίκην προσαγορεύομαι· καὶ δύσνους ὁ τὴν ἐλευθερίαν προξενήσας ὀνομάζομαι· καίτοι προσῆκον ἦν χρωμένους αὐτῷ παρὰ τοὺς νόμους σχήματι δεικνύειν οὕτως καὶ παρὰ τοὺς νόμους τὰ πράγματα· οὐ γὰρ δήπου λόγῳ μὲν προδότης εἰμὶ, πράγματι δὲ οὔ· ΜΕτὰ τὸ ὁρικὸν παραγραφικὸν θήσεις τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους. ἀλλ' ἐδέξω, φησὶ, παρὰ τῶν πολεμίων τὰ χρήματα. Εἶτα λύσεις τῇ καταστάσει· ὑπὲρ ὑμῶν ἐδεξάμην, ἵνα νίκη γένηται, καὶ ὅτι εἰ μὴ ἐτράφησαν οἱ στρατιῶται καὶ χρήματα ἔλαβον, οὐκ ἂν ἐγένετο νίκη· εἶθ' ὅτι χρημάτων ἐστὶ πάντοτε χρεία, καὶ μάλιστα ἐν πολέμοις· ὅταν οὖν ὑπὲρ ὑμῶν δεξάμενος φανῶ, οὐ δεῖ ἐπὶ τούτοις ἀγανακτεῖν. Εἶτα λύσεις τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους τῇ διανοίᾳ. ὅτι δεῖ καὶ τὴν προαίρεσιν τοῦ δεξαμένου ὁρᾷν, καὶ πῶς ἐδεξάμην, καὶ πῶς ὑπὲρ τοῦ τι καλὸν τὴν πόλιν ἐργάσασθαι, οὐ δὲ ὑπὲρ τοῦ ἀληθῶς καταπροδοῦναί τι τῶν κοινῶν, ἀλλ' ἵνα τοῖς πραττομένοις χαρίσωμαι, καὶ τὴν ἐλευθερίαν φυλάξω τοῖς πολίταις ἀκέραιον, καὶ τὰ τοιαῦτα. εἶτα ἑξῆς λύσεις τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους τῷ βιαίῳ ὅρῳ. καὶ τοῦτο αὐτὸ μάλιστα λαβεῖν χρήματα ὑπὲρ ὑμῶν ἐστι καὶ τῆς πόλεως. οὔτε
374 γὰρ ἐζημιώθητε, καὶ ἡ φάλαγξ ἐγένετο, καὶ νίκη γέγονεν. ὥστε ἀνθ' ὧν χάριν ὀφείλουσιν ἐγκαλεῖν καὶ κατηγορεῖν ἡμῶν τετολμήκασιν. Μετὰ ταῦτα θήσεις τὴν μετάληψιν· ἀλλ' ἔδει, φησὶν, τὴν ἀπορίαν ἐνέγκαι τῇ πόλει, καὶ παρὰ τοῦ δήμου δέξασθαι χρήματα. ΛΥσεις ἐξ αὐτῶν τῶν πραγμάτων· ὅτι οὐκ ἦν δυνατὸν, ἐπικειμένου τοῦ πολέμου, τῶν πολεμίων στενοχωρούντων, συγκλειόντων ἡμᾶς, περιστοιχιζομένων τοῦτο ποιεῖν· εἶθ' ὅτι ἡττήθημεν ἂν, εἰ τοῦτο ἐποίησα. ἔδει γὰρ πρῶτον ἀποστεῖ-

3 Ald. Codd. κατωρθωσαμένων ἡμῖν.

λαι, εἶτα γενέσθαι πρόσοδον τῷ πεμφθέντι, εἶθ' ὑμᾶς οὕτω βουλεύσασθαι, εἶτα ψηφίσασθαι, εἶτα ἀπαιτῆσαι καὶ συναγαγεῖν οὕτω τὰ χρήματα, καὶ μετὰ ταῦτα ζητῆσαι τοὺς κομίσοντας· ἐν δὲ τούτοις πόσος [4] ἀνηλίσκετο χρόνος, ἢ τίς οὐκ ἐτρίβετο καιρός; εἶτα χρημάτων ἐν ἐνδείᾳ καθεστηκότων ἡμῶν, καὶ χρόνου παριόντος πολλοῦ, τί ἔδει προςδοκᾷν; οὐχὶ δουλείαν; [5] οὐχ ἧτταν; οὐχὶ τῶν πολεμίων νίκην κατὰ κράτος; ταῦτ' ἐγὼ ὑφορώμενος τῆς χρείας γεγένημαι, καὶ πρὸς τὸ παρὸν ἐχρησάμην τοῖς τῶν πολεμίων χρήμασι· τοιγαροῦν εὐθὺς ἅμα τῇ δόσει καὶ τὸ τρόπαιον ἐπηκολούθησε κατόπιν τῶν χρημάτων, καὶ ἡ νίκη γεγένηται. ΕΠίλογος μετὰ ταῦτα. ἔστι δὲ λίαν πομπικὸς, οἷον ἀπὸ τῶν χρημάτων, ὅτι τοσαῦτα προεμαντευσάμην τῇ πόλει τὰ τρόπαια, ἐντεῦθεν νικᾷν τοὺς πολεμίους ἠρξάμην. καὶ τοῦτο παρὰ τὸν πόλεμον γεγένηταί μοι πρῶτον στρατήγημα. ταῦτά μοι πρὸ τοῦ τροπαίου τὰ λάφυρα. ἐντεῦθεν νικᾷν τοὺς πολεμίους ἠρξάμην. Εἶτα μετὰ τὰ τοιαῦτα ἐρεῖς· τί δὴ ἐπαγγέλλομαι τῇ πόλει αἰχμαλώτους· πληρώσω τὸ δεσμωτήριον σωμάτων, τὸ δὲ πεδίον νεκρῶν· τότε μοι φανείτω ὁ κατήγορος, ὅταν ἄγω παῖδας, γυναῖκας, ὅταν αὐτοὺς τῶν πολεμίων τοὺς στρατηγοὺς, ἀλλ' ἴσως φθόνος ἦν, βασκανία τοῦ κατορθώματος· τοῦτ' αὐτοῖς τὴν γραφὴν ἀνεκίνησε. τοῦτο συνήγαγε τὸ δικαστήριον, ἀλλ' αὐτὸς οὐ μνησικακήσω τῇ πόλει. τί με ἐπὶ πολὺ κατέχετε; ἀπολύσατε τοῦ βήματος· ἐντεῦθεν κατὰ τῶν πολεμίων ἐπείγομαι· ἀπὸ τοῦ δικαστηρίου λαβεῖν σπουδάζω τὴν παράταξιν· δεῖξαι τὸν προδότην τοῖς κατηγόροις καὶ δευτέραν νίκην προήρημαι.

---

4 Vind. πόσον. 5 Vind. δουλίαν. tum Ald. ἧττον. scr. ἧτταν.

*Στασιάζουσιν ἐπέστησαν οἱ ἀστυγείτονες ὡπλισμένοι· καὶ πέπαυται μὲν ἡ στάσις· κρίνουσι δὲ οἱ παυσάμενοι τοὺς ἐπιστάντας ἐπιβουλῆς.*

Ἡ κατάστασις ἔχει τὴν πρὸ τούτου[6] τῆς πόλεως ἡσυχίαν, εἶτα τὴν στάσιν, ἐπεκτείνοντός σου τὰ ἐν τῇ στάσει κακά· καὶ ὅτι φόνοι, καὶ τῶν νόμων ἀναιρέσεις· τῶν μὲν τάδε, τῶν δὲ τάδε βουλευομένων· καὶ ὅτι οὐδεμία ὁμόνοια ἦν, καὶ ὅσα τοιαῦτα· εἶθ' ὅτι ἐπέστησαν οἱ ἀστυγείτονες ὡπλισμένοι, καὶ ἐπαύσατο ἡ στάσις. ΟΡΙκῷ παραγραφικῷ· καὶ τίς τῆς ἐπιβουλῆς ἡ ἀπόδειξις; οὔτε γὰρ ἀνείλομέν τινα, οὔτε χώραν κατελάβομεν, οὔτε καρποὺς ἐδῃώσαμεν· καὶ πόθεν ἐπιβουλῆς κρινόμεθα; Ἡ Λύσις ὁρική· ὅτι οὐ μόνον ταῦτά ἐστιν ἐπιβουλῆς ἔργα, ἀλλὰ καὶ τὸ ξιφήρεις ἐπέρχεσθαι· καὶ ἐρεῖς αὐτὰ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους. Εἶτα θήσεις ἐξ ἀντιθέσεως τὴν ἀντίστασιν. ἀλλ' ἐπαύσαμεν, φησὶν, ὑμᾶς στασιάζοντας. ΚΑΙ λύσεις μεταλήψει· ἐπαύσαμεν, λέγεις, τὴν στάσιν, διότι οὐκ ἠδυνήθησαν εἰς πέρας ἀγαγεῖν τὴν ἐγχείρησιν τοῦτο λέγεις· καὶ διότι θᾶττον ἡμεῖς ἐπαυσάμεθα τοῦτο ἐρεῖς· καίτοι γε λόγοις ἔδει καὶ συμβουλαῖς παῦσαι τὴν στάσιν, οὐχὶ τῷ φανῆναι μετὰ τῶν ὅπλων, πρέσβεις πέμποντας, τοὺς αἰτίους ἀναζητοῦντας τῆς ταραχῆς, πείθοντας, συνάγοντας ἐκκλησίαν, καὶ συμβουλεύοντας ὡς δεινὸν ἡ στάσις, ὡς ἀπόλλυσι πόλιν διχόνοια, ὁμόνοια διαφυλάττει δῆμον· καὶ παράδειγμα ὅτι καὶ τὰς δημοτικὰς οἰκίας στάσις ἀναιρεῖ, καὶ πανταχοῦ στάσις φθείρει τὰ σύμπαντα. ΕΠΙλόγῳ συμβουλὴν ἔχοντι ὁμονοίας· καὶ ὅτι ἐκ τῆς πείρας οἷόν ἐστι τὸ στασιάζειν ἐγνώκαμεν. καὶ ὅτι μηδεὶς μηκέτι διαφερέσθω
375 πρός τινα, σπεισώμεθα, δείξωμεν τοῖς ἀστυγείτοσι τὴν ὁμόνοιαν, πέμψωμεν, ἐξέλθωμεν, τῆς ὁμονοίας ἀρξώμε-

6 Ald. Codd. πρὸ τούτοις.

θα, δείξωμεν ὅπως ἀλλήλων φειδόμεθα, μὴ καταπροδῶμεν τὴν πόλιν, οἱ ἀστυγείτονες ἔδειξαν ὅπως διάκεινται πρὸς ἡμᾶς, τοὺς καθ' ἡμῶν καιροὺς ἐπιτηροῦσι· καὶ τὰ τοιαῦτα.

## ΜΕΤΑΣΤΑΣΙΣ.

*Δημοσθένης ἐπέμφθη στεφανώσων Ἀλέξανδρον. εὑρὼν Θήβας κατεσκαμμένας οὐκ ἐστεφάνωσε. καὶ ἐπανελθὼν κρίνεται δημοσίων.*

Δεινὸς ὁ Δημοσθένης καὶ φιλέλλην ἀεί· τοιαύτην γαρ καὶ ἐν τοῖς λόγοις τὴν πολιτείαν ὑπὲρ τῶν Ἑλλήνων ὡρίσατο· μετέχει δὲ καὶ πάθους ὁ λόγος· πόλις γὰρ ἡ Διονύσου καὶ Ἡρακλέους κειμένη χωρεῖ τὸ πάθος τῷ πλάσματι· διαβάλλει δὲ καὶ λεληθότως Ἀλέξανδρον· οὐ γὰρ ποιεῖταὶ μετὰ παῤῥησίας τὸν λόγον, καὶ τὴν τύχην Ἀλεξάνδρου καὶ τὴν δύναμιν εὐλαβούμενος· καθόλου δὲ γνωστέον, ὅτι πᾶσαι αἱ ἀντιθετικαὶ τοῖς αὐτοῖς διαιροῦνται κεφαλαίοις, μεταλλαττομένης τῆς ἀντιθέσεως τῆς χαρακτηριζούσης τὴν στάσιν· ἢ γὰρ ὑπὲρ τοῦ παθόντος λέγει πεποιηκέναι, ἢ δείκνυσιν ἕτερον, ἢ ἄξιον εἶναι τὸν παθόντα, ἢ συγγνωμονηκέναι [1] καὶ ἐλεῆσαι. ψυχῆς γὰρ πάθος ἐπὶ συγγνώμῃ προτείνεται. παθητικὴν οὖν ποιήσῃ τοῦ πρώτου προοιμίου τὴν ἔννοιαν· ἁπάντων, ὡς ἔοικεν, ὦ ἄνδρες Ἀθηναῖοι, πειρασθῆναί με τῶν παραδόξων ἀπέκειτο, πόλιν ἰδεῖν ἐν μέσῃ Βοιωτίᾳ κειμένην. καὶ μετὰ Θήβας οὐκ ἔτ' οὔσας, ὅτι μὴ στεφανοῦντας Ἀθηναίους ἀπέδειξα παρὰ τὴν Καδμείαν Ἀλέξανδρον τοιαύτην ὑπομεῖναι γραφήν· εἰ μὲν γὰρ ἄλλης τινὸς χώρας ἐνηρημένης πολεμίας ἡμῖν οὐκ ἐπλήρουν [2] τῇ πόλει τὸ σπουδαζόμενον, ἢ βάρβαρον τὸν Μακεδόνα μετὰ τὴν πρᾶξιν ἠτίμαζον, καλῶς ἔδει κατ' ἐμοῦ τιμωρίας καὶ κρίσεως· καὶ Δημοσθένης ἡγεῖτο παραπρεσβείας μετὰ τὴν

---

1 Ald. Vind. συγγνωμονικέναι. 2 Ald. Codd. ἐπλήρου.

ἐπάνοδον εὐθυνόμενος· ἐπειδὴ δὲ τὸ πάθος τὸ κατὰ Θηβαίων ἐκπέπληγμαι, καὶ τηλικαύτην κατὰ τὴν Ἑλλάδα γενομένην οὐκ ἤνεγκα [2*] συμφορὰν, ἓν οἶδα τοῦτο κεχωρισμένως τῇ πόλει, τὸ συναλγῆσαι δόξαι τοῖς δυστυχήμασιν· ἵνα μὴ πάθους ἀπανθρώπου κατὰ τὴν Ἑλλάδα γεγενημένου μετὰ τῶν πεπτωκότων ἅπαντες καὶ τὰς Ἀθήνας ὡς ἀπανθρώπους ὀδύρωνται· [3] δεύτερον εἴποις ἂν τοιοῦτον πληκτικὸν καὶ δριμὺ καὶ Δημοσθενικῆς μετέχον βαρύτητος· εἰ οὖν ξένος τις ἦν, καὶ τὴν πόλιν ἠγνόουν, πρὸ πάντων ἔμαθον ἂν παρ᾽ ὑμῶν, πότερον [4] παρ᾽ Ἀλεξάνδρῳ ἢ παρ᾽ Ἀθηναίοις τυγχάνει τὸ δικαστήριον· οὕτω παράδοξος ἡ γραφὴ τανῦν. οὐ πρὸς Ἀθηναίων δὲ τὸ γινόμενον· ἐπειδὴ δὲ γεγένημαι παρ᾽ ἡμῖν, οὐκ ἔστιν προτεῖναι τοῖς δικάζουσι τὴν ἐρώτησιν· ἓν γοῦν περὶ τοῦ κατηγόρου μαθεῖν συγχωρήσατε· πότερον ἐθίζει τὴν πόλιν κολακεύειν Ἀλέξανδρον καὶ τοῖς Ἑλληνικοῖς ἐντρυφᾷν δυστυχήμασιν, ἢ φρόνημα φυλάττειν τὸ σύνηθες, ὡς Ἀθηναίοις ἀκόλουθον· εἰ μὲν γὰρ ἐξ ἅπαντος δεῖν Μακεδόσι χαρίζεσθαι, μάτην ἡμᾶς ἑαλωκότων ὑμᾶν ἐπὶ τὴν κρίσιν συνήγαγεν· εἰ δὲ τὸ προγονικὸν φυλάττειν [5] ἀξίωμα, τί τηνάλλως ἡμῖν τὴν ἀπὸ τοῦ στεφάνου μετὰ τὰς Θήβας ταύτην ἀδοξίαν οὐκ ἐντεθύμηται· χρηστὸς γὰρ οὗτος ἂν ἦν, καὶ τοὺς προγόνους μιμούμενος καὶ τοῖς πρεσβεύουσι μετὰ τὴν ἐπάνοδον παρὰ τὴν ἀξίαν οὐ λοιδορούμενος· τρίτον εἰ περιπαθέστατον, θαυμάζω μὲν πῶς οὐδέπω Θηβαίων οἱ [6] λειπόμενοι μετὰ τὴν συμφορὰν ἑστίαν τὴν Ἀττικὴν ἐσπουδάκασι· καὶ τὴν τύχην φέρουσι μετριώτερον, Ἀθήνας ἔχοντες τὴν κοινὴν πάντων τῶν ἐκπεπτωκότων παραμυθουμένην τὰ δυστυχήματα· οὐ μὴν, ἀλλ᾽ ἐπειδὴ πρὸς τὴν λειπομένην

---

2* Ald. ἤνεγκε. 3 Ald. Codd. ὀδύρονται. 4 Ald. Vind. πρότερον. Par. πότερον. 5 Vind. φυλάττει. tum Ald. Vind. τηνάλως. 6 Ald. οὐ.

αὐτοῖς τέως βραδύνουσι τὰς οἰκείας ὀδυρόμενοι συμφορὰς, καὶ τὴν ὀφειλομένην αὐτοῖς μετὰ τὴν πολιορκίαν οὐχ ὁρῶσιν ὁδὸν, ὑμεῖς γοῦν τῇ περὶ ἐμοῦ ψήφῳ, προτρέψασθε τοὺς ἀπόλιδας καὶ τὴν ἀπὸ τῆς γραφῆς ταύ- 376
της λοιδορίαν φυλάξασθε. οὐδὲ γὰρ εὔλογον ἀγανακτούντων ἡμῶν παροξῦναι μὲν Θηβαίοις τὰ παραπτώματα,[7] ἀποκλεῖσαι δὲ τοῖς δυστυχοῦσι τὴν πόλιν, ὡς Ἀλεξάνδρου μετὰ Θηβαίων καὶ τὴν ὑμετέραν [μὴ] λυμηναμένου προαίρεσιν. Εἴποις δ' ἂν προοίμιον καὶ οὕτως· οὐκ ἤρκεσεν, ὡς ἔοικε, περὶ την Βοιωτίαν δακρῦσαι Θηβαίους, ἀλλ' ἔτι καὶ περὶ γραφῆς[8] μετὰ ἐπάνοδον ἀγωνίζομαι. Εἰπὲ καὶ οὕτως· θαυμάζω μὲν οὖν πῶς οὐχὶ μετα τὴν κατασκαφὴν Ἀλέξανδρος καὶ Δημοσθένην ἐζήτησεν. Εἰπὲ καὶ οὕτως· χάρις μὲν οὖν τοῖς θεοῖς, ὅτι μὴ τῶν φιλιππιζόντων τις ῥητόρων ᾑρέθη πρεσβευτὴς πρὸς Ἀλέξανδρον, ἵνα μὴ πεσόντων Θηβαίων τὸν στέφανον Ἀλέξανδρος δέξηται, τῇ Βοιωτίᾳ καὶ τοῖς Ἕλλησιν ἅμα σύμπασι λυμηνάμενος. ΤΗΝ κατάστασιν λήψῃ ἀπὸ τῆς γνώμης τῶν Ἀθηναίων· ὅτι βουλόμενοι Ἀλέξανδρον πρᾳότατον καὶ φιλανθρωπότατον καταστῆσαι τὸν στέφανον ἐπέμψαντο· ὁ δὲ κατηγορῶν Δημοσθένους ἐρεῖ, ὅτι φοβούμενοι διὰ τὴν πολλὴν δύναμιν καὶ τὴν ἔξωθεν διαβολὴν Ἀλέξανδρον τοῦτον τὸν στέφανον ἐπέμψατε, καὶ ὅτι φοβερώτερον νῦν αὐτὸν καὶ χαλεπώτερον κατέστησε μὴ στεφανώσας Δημοσθένης· τὴν οὖν κατάστασιν τοῦ Δημοσθένους ἐργάσῃ τοῦτον τὸν τρόπον· τῆς γὰρ πόλεως τῆς ὑμετέρας, ὦ ἄνδρες δικασταὶ, ῥεπούσης ἀνθρώπων πρὸς τὸ βέλτιστον, καὶ ζητούσης μὲν ἔχειν μετὰ τῶν νόμων ὅ τι περ κάλλιστον, ἀχθομένης δὲ πρὸς ἐπιβουλὰς τὰς ἀπὸ τῶν πολεμίων καὶ φόνους, εἶδε μετὰ τῶν ἄλλων καὶ τοῦτο ὁ δῆμος καλῶς τὸ φίλον τὸν Μακεδόνα γενό-

7 Par. παραπτώματα. super ω posito αίσ. — v. 8. Ald. Codd. λυμηναμένους. scr. λυμηναμένου et sepsi μή. 8 Ald. Vind. περιγραφῆς.

μενον τῇ πόλει ἐπαχθὲς μὲν ἔχειν κατὰ τῶν συμμάχων μηδὲν, ὁμοῦ δὲ πάντας τοὺς Ἕλληνας σώζειν αὐτὸν ὡς Ἡρακλείδην καὶ κήδεσθαι· οὕτω Μακεδονικὰς μὲν ἐβουλεύετο χάριτας, ἐζήτει δὲ τιμὴν τὸν Ἀλέξανδρον ἐπὶ φιλοτιμίας μετάγουσαν· ἵνα φιλοτιμίαν τὴν παρ' Ἀθηναίων αἰδούμενος πρᾶος κατὰ τῶν συμμάχων ὑπάρχῃ καὶ σωφρονέστερος· καὶ στέφανος μὲν Ἀλεξάνδρῳ παρὰ τῆς πόλεως ηὐτρεπίζετο, πρεςβευτὴς δὲ παρ' ἡμῶν ὁ τῷ δήμῳ μᾶλλον δὲ τοῖς συμμάχοις τὴν τῆς πόλεως κατορθώσων [9] προαίρεσιν. Εἶτα ἔπαγε, ὅτι ἐζητεῖτε πρεσβευτὴν εὔνουν καὶ φιλόπολιν· καὶ πλεόνασον ἐν τούτῳ, ἵνα δημοτικὸς δόξῃ Δημοσθένης διὰ τὸ μὴ τὴν πόλιν ἐστεφανωκέναι [10] Ἀλέξανδρον· ἢ ὡς κακόνους· οἷον ἐπειδὴ γὰρ ἔδει τοῦτο παρ' ἡμῶν ὑπάρξαι τοῖς Ἕλλησι, τὸ πρόνοιαν ὑπὲρ αὐτῶν ἔχειν τινὰ καὶ κηδεμονίαν Ἀλέξανδρον, ὁ πρὸς τοῦτον τὸν Μακεδόνα μεταποιῶν ἐζητεῖτο ῥήτωρ φιλαθήναιος, ἀλλ' οὐ προδότης ἢ κατὰ τῆς δημοκρατίας πολιτευόμενος· εἰκότως· ᾧ γὰρ τὸ πλέον σκοπὸς ζητεῖν, δωρεὰν λαμβάνειν, κἂν [11] ἡ πόλις βλαπτομένη μὴ παύηται, τούτῳ πῶς οἷόν τε ἦν κατορθοῦν τῇ πόλει τὸ σπουδαζόμενον, ἐγχειρισθέντι παρ' ἡμῶν, ὃ κοινῇ πάντες ὑπὲρ τῶν Ἑλλήνων βεβούλευσθε. ἐντεῦθεν οὐ Φρύνων, οὐ Δημάδης, οὐκ Αἰσχίνης ἐπὶ τῇ πρεσβείᾳ παρ' ὑμῶν ἀπεστέλλετο· θεᾶσαι γὰρ γνώμην τὴν Ἀττικὴν θεασαμένῳ Μακεδονίαν οὐδενὶ τούτων ἐνῆν, ἀλλὰ λόγους μὲν ὑπὲρ ὑμῶν καταναλώσας πολλάκις, τηρήσας δὲ τὴν τῶν προγόνων γνώμην ἐν τοῖς πολιτεύμασι, καὶ πολεμήσας μὲν Φιλίππῳ τοῖς λόγοις, οὐκ εἴξας [12] δὲ πάλιν

οὐδ'

9 Ald. Codd. κατωρθώσαντο. 10 Ald. στεφανωκέναι. 11 Ald. Codd. καὶ, scripsi κἂν, de qua permutatione vide Jacobs ad Achill. Tat. p. 444. 12 Ald. Codd. οὐχ εἴξας.

οὐδ' ὑποχωρήσας δώροις κατὰ πατρίδος καὶ χάρισιν· ᾧ γὰρ ἐφαίνετο τὸ τῆς πόλεως πανταχοῦ προὐργιαίτερον,[13] τούτῳ πῶς οἷόντε ἦν τοῦ κοινῇ πᾶσι λυσιτελοῦντος ἀφίστασθαι· οὕτως Δημοσθένης μὲν ἐπὶ τὴν πρεσβείαν, Ἀλεξάνδρῳ δὲ στέφανος παρ' ὑμῶν ἀπεστέλλετο, καὶ τὸ πασῶν ἅμα τῶν τιμῶν παραδοξότερον τῷ Μακεδόνι γέρας παρὰ τῶν Ἀθηναίων ἐγίγνετο· τίς οὖν μετὰ τὴν ἐκκλησίαν ἐγινόμην ἐγώ; ἢ τίς τὸ τῆς πόλεως ἀξίωμα μετὰ τὴν χειροτονίαν δεξάμενος ἐπὶ τὸ προστεταγμένον ἐσπούδαζον; ἠπειγόμην, ὁμολογῶ, μετὰ τὸ βουλευτήριον πρὸς Ἀλέξανδρον· ἐφανταζόμην τὴν πρόσοδον, ὠνειροπόλουν τοὺς λόγους, ἤλπιζον πράξειν ἀπὸ τῆς πορείας ὅ τι περ 377
κάλλιστον· ὀνείρατος εὐφροσύνη μετὰ τὴν ἐκκλησίαν ἐῴκει μοι φανερῶς τὸ γιγνόμενον· ὡς γὰρ ἐχωριζόμην τοῦ ἄστεος, κατ' ἐμαυτὸν ἐγιγνόμην τῶν προστεταγμένων ἐχόμενος· ἐσκόπουν τοὺς λόγους· δημηγορίας ἐφρόντιζον· συμβουλὴν ἐζήτουν τὴν πείθουσαν, ὡς Ἡρακλείδης ἐστὶν ἐννοῶν, ὡς ἀναγκαίως ζηλώσει τῆς φιλανθρωπίας τὸν πρόγονον, ὡς σπεύσει πάντως τὴν ἀρετὴν ἐκείνου μιμήσασθαι· δόξης ἔρως καὶ φιλοτιμίας ὑπερβολὴ τῶν ὁμοίων ἔργων ἐπιβῆναι σπουδάζουσα· εἶτ' ἐπειδὴ περὶ τὴν Βοιωτίαν αὐτὸν τυγχάνειν ἀκήκοα, ἐμελέτων τοὺς λόγους. Ἀλέξανδρε, λέγων, ἥκω σοι φέρων παρὰ τοῦ δήμου τὸν στέφανον, ὃν οὐδὲ Φίλιππος λαβεῖν παρ' Ἀθηναίων πεφιλοτίμηται, ὃν οὐδὲ Ἀμύντας, οὐδὲ ἄλλος τις Μακεδονίας βασιλεύς, ἀλλ' οὐδὲ Ξέρξης ἢ Δαρεῖος. καὶ ὅτι ἡ μὲν πόλις εἴθισται στεφανοῦσθαι παρὰ τῶν ἄλλων, αὐτὴ δὲ οὐδένα ἐστεφάνωσεν οὐδὲ πώποτε· ταύτην, ὦ βασιλεῦ, φιλανθρωπίας παρὰ τῆς πόλεως δέχου τὴν ἀμοιβήν, τοῦτο πρὸς τοὺς Ἕλληνας ὑπὲρ ἀρετῆς ἔχε τὸ φιλοτίμημα. ἂν σώσῃς τὰς πόλεις, ἂν μὴ λυμήνῃ τοῖς Ἕλλησι, τάχα που καὶ χαλκῆν εἰκόνα σύμπαντες ἀναστήσουσι. κήδου τοῦ

13 Ald. προϋγιαίτερον. — v. 9. Ald. προτεταγμ.

γένους· φίλει τὰς πόλεις· ὁρᾷς ὡς Ἀθηναῖοι μετὰ τῆς Πολιάδος προςκυνοῦσι τὸν ἔλεον. ὁρᾷς ὡς οὗτοι βωμὸν ἐπὶ τῆς ἀγορᾶς φιλανθρωπίας ἀναπλάττουσιν. ἡμῶν ἂν μιμήσει τανῦν, Ἀλέξανδρε, τὸ φιλάνθρωπον, τιμηθήσῃ παρ' ἡμῶν ὡς Ἡρακλῆς, ὡς Διόςκοροι. τούτους ἐσκόπουν τοὺς λόγους· τούτους εἰπεῖν πρὸς Ἀλέξανδρον ἔσπευδον. ὡς δὲ τοῦ Κιθαιρῶνος ἔδει λοιπὸν ἐπιβαίνειν μετὰ τὰς Πλαταιάς,[14] καὶ Δημοσθένην μετὰ τὴν ὁδὸν τὸ Θηβαίων ὄρος ἐδέχετο, καπνὸν ἀπὸ τῆς πόλεως ἐταραττόμην θεώμενος. εἶτα αὔξησον ὡς δυνατὸν τὸ πάθος τῶν Θηβαίων· καὶ πῦρ ὁρῶν ἀπὸ τῆς πόλεως ἀναπτόμενον σκηπτὸν ἔφην ἀπολωλεκέναι τοὺς Θηβαίους, καὶ πῦρ ἐξ οὐρανοῦ κατὰ τῆς πόλεως ἐνεχθὲν τῇ Βοιωτίᾳ λημήνασθαι· θρήνου μετ' ὀλίγον τοῖς ὄρεσιν ἀντηχήσαντος, καὶ πολλῶν ὀδυρμῶν παρεχομένων ἐξαίσιον τεκμαίρεσθαι συμφορὰν, μετεβαλόμην αὖ πάλιν· καὶ σεισμὸν ἐξαίφνης ἐδόκουν κατενηνοχέναι τὴν πόλιν· καὶ ἐπὶ τούτοις ὀδυρομένῳ τὴν τύχην ἐπὶ τοῦ Κιθαιρῶνος αὐτοῦ Θηβαίων οἱ λειπόμενοι φεύγοντες συνετύγχανον· καὶ τὴν Ἀλεξάνδρου ταύτην ὠμότητα κατεμάνθανον· εἶτα ἔκφρασον μετρίως τὸ κακόν. ἀλλ' οἴμοι τῶν κακῶν· οἷα Θηβῶν τεθέαμαι δράματα, καὶ τὴν Κιθαιρῶνος αὐτοῦ τραγῳδίαν νικήσαντα· ἐπένθει τις ἐπὶ Κιθαιρῶνος τὴν σύνοικον. ἄλλος τὸ γένος ἐδάκρυεν· ἕτερος τὸν φίλον ὠδύρετο· ἔφευγεν ἀπὸ τοῦ πολέμου γυνὴ, καὶ λαβεῖν προθυμουμένη τὰ φίλτατα ἐπὶ τοὺς πολέμους ὑπέστρεφεν, κατὰ τὴν πρᾶξιν ἀδυνατοῦσα πρὸς τὴν συμφορὰν ἐμερίζετο. ἀλλὰ τίς ἂν ἀρκέσει μοι λόγος κατὰ Θηβαίων ἐκφράσαι τὰ δυςτυχήματα; μικρὰ τὰ Κιθαιρῶνος πάθη πρὸς τὰς ἐκεῖ νῦν παραβαλλόμενα συμφοράς· οὐκ ἂν ἐνέγκοι τις τὴν ὑπερ-

---

14 Ald. Vind. τὴν Πλαταιάν. Par. τὰς Πλαταιάς. Pro ἐπιβαίνειν Ald. ἐπιφαίν.

*βολὴν τῶν νῦν ὄντων κακῶν· ὡς δὲ καὶ Θηβαίων γενέσθαι πλησίον ἐσπούδαζον, φεῦγε, συντυχών μοί τις ἐρεῖ, ἀνήρπασεν, ἄνθρωπε, τὰς Θήβας Ἀλέξανδρος· οὐκ ἔτι ταύτην ἔχει Βοιωτία τὴν πόλιν· κατεστρέψατο πόλιν ὁ Μακεδὼν τὴν θρεψαμένην Διόνυσον· τούτους ἀκούσας τοὺς λόγους τοὺς τῆς πόλεως ἐσκεψάμην ἐπὶ πολὺ λογισμούς, καὶ τὴν γνώμην τὴν Ἀλέξανδρον στεφανῶσαι παρασκευάσασαν· ὡς δὲ λοιπὸν ἔγνων ὑμᾶς οὐκ ἐπὶ ταῖς Ἑλληνικαῖς συμφοραῖς στεφανοῦντας τὸν βάρβαρον, οὐδὲ προξενοῦντας τὰ δυςτυχήματα διὰ τοῦ στεφάνου τοῖς Ἕλλησι, πενθῶν Θηβαίους ὑπέστρεφον· αὕτη τῆς κατηγορίας ὑπόθεσις· τοῦτο τῆς εἰςαγγελίας τὸ γνώρισμα· ἀπολωλότων Θηβαίων, ὦ συκοφάντα, κατηγορεῖς· καὶ γραφὴν ἐπάγεις Θήβας οὐκ ἔτι εἶναι μαθών· αὐτόθεν τὴν λοιδορίαν κατέβαλες· οὐκ ἴσασιν Ἀθηναῖοι τιμᾶν Ἑλληνικὴν* 378 *καταστρεψάμενον πόλιν Ἀλέξανδρον· οὐδὲ παντελῶς ἀπολωλότων Θηβαίων τιμᾶν τὸν αὐτόχειρα τῶν συμμάχων γενόμενον· μετὰ τὴν κατάστασιν θήσεις τὴν προβολήν, ἥτις ἐστὶ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους· ἔστι δὲ αὐτὸ τὸ ἀδίκημα. ἈΛΛὰ τί, φησίν, οὐκ ἐστεφάνους Ἀλέξανδρον; ΛΎσεις πρῶτον τῇ διανοίᾳ, ὡς ἐν τῇ ἀντιστάσει, εἶτα τῷ μεταστατικῷ, εἶτα τῷ ὅρῳ βιαίῳ ἀπαντήσεις πρὸς τὴν ὑπόθεσιν· ὡς περιβολῆς, ἵνα καὶ ὁ λόγος γοργότερος*[15] *γένηται, καὶ χάριν τινὰ λύσις λάβῃ· οἷον ὅτι μηδὲ πρεςβεύων οὗτος Ἑλληνικῆς πεπείραμαι συμφορᾶς· μηδὲ τὰς Θήβας ποτὲ πυρπολουμένας παρέδραμον· καιρὸς ἴσος, συκοφάντα, Θηβαίοις τὴν πόλιν καὶ τὴν ἐμὴν σπουδὴν συναπώλεσε, καὶ τῶν ὁρμησάντων ἐπὶ τὴν κοινὴν ἡγεμονίαν ἀνῃρημένων θρηνῶν οὐκ ἔτι πρόσω βαδίζειν δεδύνημαι· εἶτ' ἐπιχείρησον ἐκ τοῦ ἐναντίου τῆς διανοίας· εἰ μὲν γὰρ οὐκ ἠβουλόμην πρὸς τὴν χρείαν*

15 Ald. Codd. *γοργώτερος.* tum Ald. et Vind. *γεγένηται.*

ὑπηρετῆσαι τῇ πόλει, καὶ τιμῆσαι μὲν τῇ χάριτι τὸ μειράκιον, ἀπαγγεῖλαι τῷ δήμῳ δὲ μετὰ τὴν πρεσβείαν τὸ σπουδαζόμενον, τὰς εὐθύνας αἴτει πονηρίας γραφόμενος· εἰ δὲ προθύμως ψηφισαμένοις ὑπήκουσα, καὶ μετὰ τὴν πρεσβείαν οὐχ ὑπερεθέμην τὸ σπούδασμα, τί Δημοσθένης ἀδικεῖ, γενέσθαι κρείττων οὐ δεδυνημένος τοῦ πάθους; ἠδίκηκα, λέγεις, ὑποστρέψας παρὰ τὸ ψήφισμα, ἀλλὰ τὴν ἄλλην μου πολιτείαν ὁρῶν σαυτὸν τιμωρῆσαι θρασυνόμενος, ἐπρέσβευσα πολλάκις παρὰ τὸν Φίλιππον· ἀλλὰ σωζομένου τοῦ γένους ὑπέστρεφον· πρὸς Θετταλοὺς ὑπηρέτουν τῇ πόλει· ἀλλ' Ἀθηναίων οἴμοι τῶν δυστυχῶν συντελούντων τοῖς Ἕλλησιν, ἂν δὲ τούτων τῶν ἀνῃρημένων ὑπομνησθῶ καὶ τῆς παρὰ τὴν Καδμείαν δέξωμαι λογισμὸν, οὐ φέρω τὴν τύχην· πρὸς τὸ πάθος μερίζομαι· ποῦ τοίνυν ἐγὼ κακόνους πρὸς τὴν δημοκρατίαν ἐλήλεγμαι; ποῦ δὲ τῶν τοῦ δήμου προσταγμάτων ἠμέλησα; τὸ μὲν γὰρ πονηρὸν ὄντα τῶν τοῦ δήμου προσταγμάτων καταμελεῖν ἔχει τινὰ πρὸς τὴν κατηγορίαν ὑπόθεσιν· τὸ δὲ τυγχάνοντα δημοτικὸν ἐξαμαρτεῖν, οὐκ ἔτι τοῦ πταίσματος ἀλλὰ τῶν πραγμάτων τὰ ψηφίσματα· στῶμεν γὰρ τὸ πρᾶξαί τι δεξιὸν ἐσπουδάζετο, τῷ δὲ τἀδίκημα τυγχάνει τῶν καλῶν [16] προυργιαίτερον· ὁποίαν γὰρ ἂν ὁ πράττων γενέσθαι τὴν ἐγχείρησιν βούλοιτο, τοιοῦτον ἀνάγκη παρὰ τοῖς ἄλλοις τὸ γεγενημένον δοκεῖν. ΜΕτὰ ταῦτα θήσεις τὸ μεταστατικόν· κρίνει τις πρεσβευτὴν ἀφικέσθαι πρὸς ὃν ἐσπούδασεν ὑπὸ τοῦ πολέμου κεκωλυμένον, καὶ δημοτικὸν εἰσαγγέλλει πολιτευόμενον τυραννικὴν ἐκπεπληγμένον ὠμότητα· οὐ πεπρέσβευκα φής· τί γὰρ αἱ Θῆβαι πεπτώκασι; καὶ δρᾶμα παρ' Ἀλεξάνδρου γεγένηται τῶν ἐπὶ σκηνῆς χαλεπώτερον; καὶ ῥήτορος πρεσβεύοντος Ἀττικοῦ μεγίστη πόλις τῶν παρ'

16 Ald. καλῶς προυγιαίτερον.

*Ἕλλησιν ἀνηρπάζετο· εἰ δὲ ὑπὸ τῶν συμφορῶν κεκωλυμένος ἠδίκησα· εἶτα ἔπαγε ἐκ παραδειγμάτων κρίνων καὶ στρατηγὸν ὑπὸ τῶν πολεμίων κοπτόμενον, ὅτι τῶν πυλῶν* [16*] *κεκλεισμένων παρὰ τὴν μάχην εἴσω γενέσθαι τοῦ τείχους οὐκ ἴσχυσε· καὶ κυβερνήτην ἐν μέσοις τοῖς κύμασιν ὑπὲρ τοῦ σκάφους ἀγωνιζόμενον, ὅτι ζάλῃ καὶ κύμασιν ἄκων ἀπὸ τῶν λιμένων ἐκβέβληται· εἰ δὲ τούτοις οὐκ εἰςαγγέλλεις τῇ τύχῃ μεμφόμενος, ἄφες καὶ πρεσβευτὴν ἀνάγκῃ προςτεταγμένον οὐ πράξαντα· εἶτα ἐπιχείρησον ἀπὸ τοῦ ἐναντίου· ὅρα γὰρ εἰ τὴν Θηβαίων ἀναμείνας κατασκαφὴν παρελθὼν ἐστεφάνωσα τὸν Ἀλέξανδρον· καὶ καταλαβὼν ἐρήμην τὴν πόλιν τετίμηκα τὸν πολέμιον· οὐκ ἐκρινόμην ἂν τότε παρ' ὑμῖν δικαιότερον. οὐκ εἰςηγγελόμην ταῖς Ἑλληνικαῖς ἡδόμενος συμφοραῖς, καὶ δίκην ἂν ἔδωκα προχειρότερον πάθους Ἑλληνικοῦ τοσούτου καταφρονήσας καὶ δυςτυχήματος· τί δὲ, ὁ νῦν Ἀλεξάνδρου κηδόμενος οὐκ ἂν πρῶτον ἐδημηγόρησεν ἀναστὰς, πόλιν, Δημόσθενες, πόλιν Διονύσου παρεῖδες κειμένην· καὶ Θηβῶν ἀνῃρημένων τῶν ἐνεγκαμένων Διόνυσον οὐκ* 379 *ἐδάκρυσας, ἀλλ' ἐστεφάνωσας τὸν κοινῇ πᾶσι λυμηνάμενον· οὐκ Ἀθηναῖοι πρῶτον νενομίκασι θεὸν Ἡρακλέα, τὸν παρ' ἐκείνοις γενόμενον; οὐκ ᾐδέσθης ὁρῶν ὄντα δι' Ἀλέξανδρον ἄπολιν τὸν Ἀλκμήνης ὄντα ὁμοῦ καὶ Διός· οὐκ ἀκρωτηριαζομένην τὴν Βοιωτίαν ἐστέναξας, ἀλλ' ἀπῆλθες μετὰ τοῦ στεφάνου πρὸς τὸν ἀπάνθρωπον· εἶτα πρόσθες τὰ παραδείγματα· ὅτι καὶ Φωκέων ἀνῃρημένων ἡ πόλις ἐπένθησεν, καὶ Ὀλυνθίων ἀνῃρημένων ἔκλεισεν ἡ πόλις τὰ ἱερά· καὶ τὰ τοιαῦτα πλεῖστα ὄντα· εἶτα ἔπαγε κατὰ ἀκολουθίαν. εἶτ' ἐπὶ τῷ τῶν Θηβαίων πάθει* [17] *στενάξαι τοὺς Ἀθηναίους οὐκ ἤλπισας; ἆρα πενθήσειν τὴν πόλιν οὐκ ἐνεθυμήθης τοὺς Ἕλληνας; εἶτα*

---

16* Ald. Codd. πολλῶν. 17 Ald. Codd. ἐπὶ τῶν Θηβαίων πάθη.

τοσαύτης καταλαβούσης τοὺς ἅπαντας συμφορᾶς, σὺ τὸν τοῦ γένους πολέμιον στεφανῶσαι τετόλμηκας· οὐ ταῦτα ἦν κατ᾽ ἐμοῦ μετὰ τὴν πρεσβείαν τὰ ῥήματα· εἶτα πρόςθες τὸν βίαιον ὅρον ἔχοντα, ὅτι οὐδὲ παραπρεσβεῦσαί ἐστι τοῦτο. οἷον, εἰ μὲν γὰρ τῷ Φιλίππου παιδὶ συντυχὼν ἕτερόν τι παρὰ τὴν Ἀθηναίων ἐξειργασάμην προαίρεσιν, καὶ παρὰ τὸ δοκοῦν τι τῇ πόλει κατώρθωσα, καλῶς ταύτην ἂν τὴν προσηγορίαν ἐπετίθης τῷ πλημμελήματι. εἰ δὲ τὴν ἀρχὴν οὐ τεθέαμαι τὸ μειράκιον, πῶς παρεπρέσβευσα; μηδὲν ὅλως ἀπὸ τῶν προστεταγμένων διαπραξάμενος· εἶτα καὶ κωλοειδῶς ἐνθύμημα ἔπαγε. ᾧ γὰρ τῶν ἔργων οὐδὲ τὴν ἀρχὴν γενέσθαι συμβέβηκε, τούτῳ καὶ τοὔνομα τῶν ἀδικημάτων ἀλλότριον· ὥσπερ γὰρ τοῖς εὐεργέταις ἀπὸ τῶν πραγμάτων τὸ πρόςρημα, οὕτω τοῖς μηδὲν ἐνεργήσασιν ἐπιψεύδεσθαι τὴν κατηγορίαν οὐ δίκαιον. ΜΕτὰ ταῦτα θήσεις ἀντεγκληματικὴν ἀντίθεσιν, τὴν ὅτι ἀξίως ταῦτα οἱ Θηβαῖοι πεπόνθασιν. ἔχεις γὰρ ἀπὸ τῆς ἱστορίας, ὅτι τὴν μόραν κατέκοψαν.[18] Ἡ Λύσις ἀπὸ τῆς διανοίας Θηβαίων. ὅτι ἐπιθυμήσαντες τῆς ἐλευθερίας τοῦτο πεποιήκασιν· ἡ δὲ διάνοια ἡ Θηβαίων, λέγω δὴ ἡ παροῦσα τῆς ἀντιθέσεως λύσις, ἐπιδέχεται νοήματα καὶ ἀντιστατικὰ καὶ ἀντεγκληματικὰ καὶ συγγνωμονικά. ἀπαντήσεις δὲ τῆς ἀντιθέσεως οὕτως· καὶ τίς τούτου τοῦ λόγου μετὰ τὴν συμφορὰν χαλεπώτερος; ἄξιοι, φῄς, ἀναρπασθῆναι Θηβαῖοι, διότι προεθυμήθησαν τὴν ἐλευθερίαν ἀσπάσασθαι, καὶ λαβεῖν ὠνειροπόλουν οἱ δυστυχεῖς σχῆμα τὸ πάτριον· ὁρᾷς πῶς τὸ ἀντιστατικὸν ἔχει τὸ νόημα τὸ φάσκειν ὑπὲρ ἑαυ-

---

18 Ald. Codd. κατέσκαψαν h. l. et p. 215, 25. κατέκαψαν, quod dicitur de urbe: posui verbum de mora trucidata solenne, e. g. apud Dem. περὶ συντάξ. p. 172. τὴν μόραν κατέκοψεν Ἰφικράτης, ubi vide Schaef.

τῶν πεποιήκασιν; καὶ τὸ τὴν ἐλευθερίαν ἀπολαβεῖν βούλεσθαι; ἐκτείνας οὖν τὸ νόημα ἔπαγε κομματικῶς· οἴμοι δημοκρατία καὶ νόμοι· παρ' Ἀθηναίοις ἄνθρωπος ὀνειδίζει Θηβαίοις τὴν συμφοράν· καὶ χαλεπώτερον τὸ συμβὰν ἀπεργάζεται μετὰ τὴν τύχην· οὐκ ἐλεῶν, ἀλλὰ τοὺς παθόντας γραφόμενος· ἂν τυραννεῖσθαί τις μὴ θέλῃ, κολάζεται, ἂν δουλεύειν μὴ βούληται μετὰ τοῦ γένους, ἀπόλλυται· πότε Μακεδόσιν ἐδούλευσαν οἱ Ἕλληνες; πότε Θηβαῖοι τὸν Φίλιππον ὡς δεσπότην ἐκήρυξαν; εἶτα τοῦτο αὐτὸ ἐκ τοῦ ἐναντίου εἰπὲ κωλοειδῶς ἐν στροφῇ· εἰ μὲν γὰρ οὐχ ἅπασιν Ἕλλησι τὸ τυραννεῖσθαι πολέμιον, ἀλλά τινες αὐτῶν τὸ δεσπότην ἔχειν ἠγάπησαν, κατηγόρει Θηβαίων, ὡς οὐ μιμησαμένων τοὺς συγγενεῖς. εἰ δ' ἅπαντες Ἕλληνες αὐτονομεῖσθαι σπουδάζουσι, τί Θηβαῖοι τὸν Ἀλέξανδρον οἱ δυστυχεῖς ὡς ἀδικοῦντες παρώξυναν, τὴν συνήθη πολιτείαν ζητήσαντες; εἶτα παραδειγματικῶς τοῦτο εἰπέ· διὰ τοῦτο πρὸς Δαρεῖον ἡμεῖς παρεταξάμεθα. διὰ τοῦτο πρὸς Ξέρξην πεπολεμήκαμεν ἅπαντες Ἕλληνες· καὶ πῦρ τὴν Ἀττικὴν νεμόμενον[19] ἡμᾶς ἐφόβησεν. ἱερὰ δὲ θεῶν ἐμπιπράμενα πρὸς τὴν τῶν βαρβάρων τιμωρίαν παρώξυνε, τοῦτο τῆς Ἑλληνικῆς πολιτείας ἐξαίρετον τὸ πρὸς τὴν ἐλευθερίαν ὁρᾷν· καὶ τὴν αὐτονομίαν ἐξ ἅπαντος ζητεῖν ἔχειν ἀκίνητον· εἶτα καὶ Θηβαίων τοῦτον ἐχόντων τὸν τρόπον, πῶς ἦσαν ἄνθρωποι τῶν τοιούτων ἄξιοι συμφορῶν; κατέκοψαν, φῄς, τὴν μόραν. ἀλλὰ Φίλιππος αἴτιος τοῦ ταῦτα τολμῆσαι [380] Θηβαίους· τί γὰρ οὐκ ἐν εἰθισμένῃ πόλει φρουρὰν ἐγκατέστησε; τί δὲ παρὰ τὴν ἀξίαν ἠνώχλει τοῖς δημοκρατεῖσθαι σπουδάζουσιν; ἔσχον Ἀθηναῖοι δουλευούσας[20] αὐτοῖς πόλεις πολλάκις· ἀλλ' οὐ στρατιώτας μετὰ τὴν

---

19 Ald. Codd. γενόμενον. 20 Ald. δούλους αὐτῇ πόλει. Vind. δουλεύσας αὐτοῖς πόλει. Par. δουλεύσαν αὐτοῖς πόλει.

ἅλωσιν τοῖς τείχεσιν ἐναπέκλεισαν. ἦρξαν πολὺν χρόνον καὶ Λακεδαιμόνιοι. καὶ πότε τὸν τρόπον τοῖς ὑπηκόοις ἐχρήσαντο, ἀλλ᾽ οὐκ ἂν ἔχοις εἰπεῖν· οἷς γὰρ τὸ ζῆν ἐν ἐλευθερίᾳ συνήδεσαν, τούτοις οὐδὲ παθεῖν τι παρὰ τὴν ἀξίαν οὐ συγκεχωρήκασι· πῶς τοίνυν γεγένηται ταῦτα προσηκόντως κατὰ Θηβαίων τα δράματα; εἶτα ἔπαγε ἄλλο νόημα μεταληπτικόν· ἀλλ᾽ εἰ καὶ δίκην ὑποσχεῖν πάντας ἔδει τοὺς πταίσαντας, οὐ ταύτην Ἕλληνας ὄντας ὑπομεῖναι τὴν κόλασιν· ποῦ γὰρ ἀκόλουθον τὸ κατασκαφῆναι πόλιν τοῖς ἁμαρτήμασι; ποῦ δὲ τὸ μηκέτ᾽ εἶναι πρὸς μέτρον κατὰ Θηβαίων τετόλμηται; ἤρκεσεν ἀπειλὴ πολλάκις διορθῶσαι τὰ σφάλματα, καὶ κρείττων φόβος παρὰ πολλοῖς πολλάκις τῆς τιμωρίας γεγένηται. εἶτα συγγνωμονικὸν νόημα. ἀλλ᾽ ὁ δοκῶν παρὰ Μακεδόσι μόνος σωφρονεῖν Ἀλέξανδρος ἀνθρώπινα καθ᾽ Ἑλληνικῆς οὐ βεβούλευται πόλεως· οὐκ οἶδεν ὡς ἅπας ἄνθρωπος πρὸς τὸ σφάλλεσθαι[21] μᾶλλον ἢ κατορθοῦν ἑτοιμότερος; ἀλλ᾽ ἐξαίφνης ἐπιδραμὼν τὴν πόλιν ἀνῄρηκεν ὁ λεγόμενος παῖς εἶναι Διός, ὁ παιδεύσεως Ἑλληνικῆς μετασχών, ὁ διδάσκαλον τὸν Σταγειρίτην φιλοτιμούμενος. καὶ ὅσα ἐγκωμαστικὰ ἀπὸ τῆς Ἀλεξάνδρου ποιότητος· μετὰ ταῦτα θήσεις στοχαστικὴν ἀντίθεσιν, ἀπὸ τῆς ὕλης καὶ τῆς ποιότητος Ἀλεξάνδρου ἐμπίπτουσαν. Ἀλλὰ δέος, φησίν, μὴ παροξυνθῇ κατὰ Θηβαίων Ἀλέξανδρος. Ἡ λύσις στοχαστικὴ ὁμοίως ἀπὸ τοῦ τρόπου τοῦ Μακεδόνος· ἐρεῖς οὖν· οὐκοῦν λύσει τὰς πρὸς τὴν πόλιν συνθήκας, καὶ καταφρονήσει τῶν θεῶν ἐπιορκήσας· εἶτα, ὅτι σώφρων ἐν τοῖς πράγμασίν ἐστι, καὶ θαυμάζεσθαι παρὰ τοῖς Ἕλλησι βούλεται. καὶ ὅτι τοὺς φίλους ἀντὶ φυλακῆς ἡγεῖται· οὐκ ἂν οὐ καταφρονήσει τῶν Ἀθηναίων. εἶτα ἐρεῖς. ὅτι ἴδε καὶ Φίλιππον δυσχε-

21 Ald. σφάλεσθαι. — v. 24. Ald. Vind. παροξυνθῆναι. Par. παροξυνθῇ. v. 27. Ald. καταφρονήσῃ.

ρῶς φέροντα τὴν ἔχθραν τὴν πρὸς Ἀθηναίους. οὐκ ἂν τῶν αὐτοῦ λυσιτελούντων ἀφέξεται. εἶτα ὅτι εἰ καὶ πρὸς τοὺς ἀφανεστέρους τῶν Ἑλλήνων ἔμελλε πολεμεῖν, πολλῷ πρότερον ἂν περὶ τῆς τοιαύτης ἐβουλεύσατο μάχης, ἵνα μὴ δόξῃ πρὸς τοὺς πολεμουμένους εἶναι μικρόψυχος· οὐχ οὕτως ὁ Μακεδὼν εὐήθης ἢ τὸ φρόνημα ταπεινότερος, ἵνα παρ' Ἀθηναίων μὴ στεφανούμενος μάχην ἀπειλήσῃ καὶ πόλεμον. οὐ γὰρ τοσοῦτον αἱ πράξεις τὴν εὔκλειαν, ὅσον ὁ λογισμὸς κερδαίνει ἢ εὑρίσκει τὸν ἔπαινον· ᾧ γὰρ ἄδοξος ἡ προαίρεσις, τούτῳ πρὸς λοιδορίαν τὰ πράγματα χρησιμώτερα· ᾧ τὴν ἀρχὴν καλῶς περὶ τῶν ἔργων βεβούλευται, τούτῳ καὶ τὸ κατορθοῦν τιμιώτερον· εἶθ' ὅτι πολλοὺς ἔχει τοὺς συμβουλεύοντας, οἵ τινες, κἂν αὐτὸς ἀπορῇ τῶν συμφερόντων, ὑποβάλλουσι τὸ χρήσιμον, καθ' ἡμῶν ἐπαιρόμενον ἐπισχήσουσι τὸ μειράκιον καὶ τῆς προπετείας μεμψάμενοι τὸν βάρβαρον καθ' ἡμῶν ἐπιδείξουσιν ἡσυχάζοντα· εἶτα, ὅτι ἐν ἀτιμίᾳ οὐκ ἔχει τὴν πόλιν, ἀλλὰ καὶ τοὺς πρωτεύοντας [22] τῶν Ἑλλήνων ἐπίσταται. εἰ δὲ τὴν δόξαν τὴν Ἀττικὴν, τὴν ἡμετέραν πολλάκις πρὸς τοὺς ἄλλους φιλίαν πεφιλοτίμηται, καὶ πισταῖς παρ' ἡμῶν ταύταις συνθήκαις ἡδόμενος οὐχ [23] αἱρήσεται μετακινῆσαι τὰ δόξαντα· εἶτα ὅτι οὐδὲ συνεμαχήσαμεν Θηβαίοις ἔθος ἔχοντες, ἀμύνειν τοῖς Ἕλλησι· καὶ τοῦτο ἐκ παραδειγμάτων σύστησον. Λακεδαιμονίοις ἐβοηθήσαμεν κατὰ Θηβαίων, πάλιν Θηβαίοις κατὰ Λακεδαιμονίων, Ὀλυνθίοις ὑπὸ Φιλίππου ἀδικουμένοις, Εὐβοεῦσι πρότερον, καὶ τὰ τοιαῦτα. ταύ-

---

22 Ald. προτεύοντας. v. 28. Ald. Codd. τοὺς ἀλλήλους. Permutatur ἄλλοι et ἄλληλοι Boisson. Anecdota Tom. II. p. 242. 320. Joseph. bell. Jud. II. 21. 9. ἔπειτα καινοτέρας σκήψεις ἐπινοῶν, ἄλλους ἐπ' ἄλλοις ὡς ἐπὶ συνθήκαις προσεκαλεῖτο. Par. 1452. ἐπ' ἀλλήλους. 23 Ald. οὐκ.

την κατὰ τῶν συμμαχησάντων Θηβαίοις τὴν ὀργὴν ἐπιδείξεται· οὐχ ὥπλισαν μετὰ Θηβαίων τὴν δεξιὰν, οὐκοῦν [24] οὐδὲ κατὰ Θηβαίων· Ἀλέξανδρος κατὰ τῆς μόρας 381 οὐκ ἐφάνη παρατασσόμενος, οὐκοῦν οὐδὲ πόλεμον Μακεδονικὸν ὑποπτεῦσαί με δεῖ· εἰ γὰρ τοὺς ἄρξαντας χειρῶν ἀδίκων ἀμύνασθαι νόμιμον, τοὺς μηδὲν ἄτοπον πράξαντας πολεμῆσαι παράνομον· εἶτα ὅτι ἔξεστι καὶ νῦν αὐτὸν τιμῆσαι, οὐ γὰρ ἡ χάρις ἀπώλετο· καὶ αὔξησον αὐτό· ὅτι μᾶλλον δέξεται τὴν τιμὴν ὡς μείζονα ἢ τὴν προτέραν· ὅτι οὔτε Θηβαίων ἀνῃρημένων μεταβεβλήσεσθε, ἀλλὰ καὶ δεύτερον ψηφισάμενοι τὴν τιμὴν τὸν στέφανον τῷ Ἀλεξάνδρῳ πεπόμφατε. [25] εἶτα ἔπαγε κωλοειδῶς· εἰ γὰρ ἁπανταχοῦ βεβαιότερα τῶν φθασάντων τὰ δεύτερα, καὶ κρεῖττον τὸ πολλάκις τιμᾶν τοῦ δοκεῖν ἅπαξ χαρίζεσθαι, τὸ καὶ πάλιν ἀποστεῖλαι τῷ Μακεδόνι [26] τὸν στέφανον ἐντιμότερον, ἢ τὸ πρότερον· ὅτι δυςτυχῶς οὕτως ἀνῃρημένων Θηβαίων πρὸς τὴν Ἀλεξάνδρου τιμὴν ἡ πόλις οὐ μεταβέβληται. ἀλλὰ καὶ μετὰ τὴν συμφορὰν ἐμμένει τοῖς δόγμασι· καὶ θρηνοῦσα τοὺς συγγενεῖς πρὸς τὸ πάθος οὐ μεταβάλλεται· πολλὰ κατ' αὐτὸν ἀπὸ τοῦ στεφάνου γενήσεται παρὰ τοῖς Μακεδόσι τὰ θαύματα· ὅτι τῶν συμμάχων ἀνῃρπασμένων οὐ πολεμοῦμεν, ἀλλὰ στεφανοῦμεν τὸν ταύτην ἡμῖν τὴν λύπην παρασκευάσαντα· καὶ μισεῖν δέον μετὰ τὰ δράματα τιμῶμεν τὸν [27] τῶν ἀνακτόρων Ἑλληνικῶν οὐ φεισάμενον· καὶ πρὸς Φίλιππον πολλάκις ὑπὲρ τῶν ὁμοίων ἀγανακτήσαντες πρὸς Ἀλέξανδρον τάξιν ὁμοίαν οὐ τετηρήκαμεν· καὶ τὰ τοιαῦτα. ΜΕτὰ ταῦτα θήσεις τούς ἐπιλόγους· ἔχουσι δὲ βαθύτητά τε τὴν Δημοσθένους, καὶ λαθραῖον παροξυσμὸν οὐκ ἐκ τοῦ φανεροῦ· ὁ γὰρ καιρὸς οὐ συγχωρεῖ, καὶ ἠθοποιΐας

24 Vind. οὐκ οὖν δέ. 25 Ald. Vind. πεμπόφατε. 26 Ald. Μακεδῶνι. 27 τὸν Ald. Codd. om.

καὶ παραίτησιν τὴν Δημοσθένους τοῦ πρεσβεῦσαι καὶ δεύτερον· καὶ τὰ τοιαῦτα· ἀλλὰ τί μέλλετε; χειροτονήσατε πρεσβευτὴν πρὸς Ἀλέξανδρον· ζητήσατε τὸν δυνάμενον περιθεῖναι μετὰ Θηβαίους Ἀλεξάνδρῳ τὸν στέφανον, τὸ μειράκιον μετὰ Θηβαίους ἐργάσηται· καὶ [28] χρι Καδμείας Ἑλληνικὰς ὀδυρόμεθα συμφοράς· τούτους Ἀλεξάνδρῳ μετὰ τὸν στέφανον συμβουλευσάτω τοὺς λόγους· φεῖσαι λοιπὸν τῶν Ἑλλήνων, Ἀλέξανδρε· μετάστησον λοιπὸν ἐπὶ τὴν ἀσπίδα τὰς φάλαγγας· καὶ πρὸς τοῦτο παρασκευάσας ὁμοῦ μετὰ τῶν ὅπλων [29] ἅρπασον· ὁ μέγας μαθέτω βασιλεύς· πολεμούμενός τις παρ' Ἀθηναίων τῆς Ἑλληνικῆς ἡγεμονείας ἠξίωται· [30] εἶτα βαθέως παροξύνων ἐρεῖς· θάῤῥει ὅτι στρατεύσας ἐπὶ τὴν Ἀσίαν σχήσεις μεμνημένην σου τὴν πόλιν· αὐτή σοι φυλάξει τοὺς Ἕλληνας ὑπακούοντας. ἔχει τριήρεις· ἐπὶ τοὺς ἀδικοῦντας στρατεῦσαι δυνήσεται· μεμνημένη τῆς παρ' Ἀλεξάνδρου εὐεργεσίας ἡ πόλις ἅπαντα Μακεδόσι τὰ κεχαρισμένα διαπράξεται· εἶτα ὅτι ἂν δὲ περὶ τῶν νῦν γεγενημένων ὑπομνησθῇ Δημοσθένους, εἴπατε γεγενῆσθαι τὰ σφάλματα· ἠγανακτηκέναι με [31] δι' Ἀθηναίους πρὸς αὐτὸν ἀπαγγείλατε· καὶ τὰ τοιαῦτα, ὅσα διὰ τὸ πάθος μάλιστα διασκευάσας δύνασαι παροξῦναι τοὺς ἀκούοντας· τοῦτο δὲ φυλάξηται μόνον ὁ βάρβαρος, ἀπὸ τῆς κατασκαφῆς ἐπὶ τοὺς Πέρσας παραιτησάσθω δραμεῖν. ἀπὸ τῶν συμφορῶν ἐπὶ Περσικὸν ὀνειροπολῆσαι κατόρθωμα· πρὸ τοῦ πολέμου τὰς Θήβας ἀναστησάτω· πρὸ [32] τῶν τροπαίων ἀπόδος ὁλόκληρον τὴν Βοιωτίαν [33] τοῖς Ἕλλησιν, ἵνα σωζομένου τοῦ γένους Ἡρα-

28 Lacuna est in Ald. Vind. Par. Ven. Med. 29 Med. Μήδων. 30 Ald. Vind. Par. ἀξίωται. Med. ἡγεμονίας. 31 με Ald. Vind. Par. om. recepi ex Med. 32 Ald. Vind. Par. πρός. Med. πρό. 33 Ald. Vind. Par. τῆς Βοιωτίας. [Ald. Βοιωτοίας.] corr. Med.

κλῆς ἀγωνιζομένῳ συμπαρατάξηται. θύσωμεν ἐξιόντες πρότερον ἐν Θήβαις θεοῖς τοῖς ἐγχωρίοις καὶ δαίμοσι, ἵνα σπονδῶν ἅμα καὶ κρατήρων ἀψάμενοι μετὰ Θηβαίων ἐπὶ τοὺς Πέρσας ὁρμήσωμεν. ταῦτα πρὸς αὐτὸν ὁ πρεσβεύων ἐρεῖ· ταῦτα διδάξει μετὰ τὴν πρεσβείαν Ἀλέξανδρον. μὴ μέλλετε τοίνυν, μὴ μέλλετε πρὸς τὴν ὑπὲρ [34] ἐμοῦ ψῆφον, ἀλλὰ ψῆφον δικαίαν κυρώσαντες ἐπὶ τὴν πρεσβείαν ὁρμήσατε, ἵνα στεφανωθεὶς παρ' Ἀθηναίων Ἀλέξανδρος πλείονας μετὰ τῶν Μηδικῶν τροπαίων ἀποδῷ στεφάνους τοῖς Ἕλλησι.

ΜΕΤΑΣΤΑσις ἄλλη ἀντιθετική· κατὰ πατρὸς μὴ εἶναι δίκην, ἢ τὴν τῆς παρανοίας.[1]

382 Ἐγράψατό τις τὸν πατέρα τυραννίδος ἐπιθέσεως· οὐ προσήκατο τὴν δίκην ὁ ἄρχων, καὶ [2] ὁ μὲν παῖς ὑπεξῆλθεν, ὁ δὲ πατὴρ ἐτυράννησε. καθαιρεθέντος αὐτοῦ, κρίνεται ὁ ἄρχων δημοσίων.

Καθόλου τὰ κεφάλαια τῶν ἀντιθετικῶν ὡς καὶ πρὸ τούτου εἴπομεν, τάδε· ὁρικὸν παραγραφικόν· ἐμπίπτει δὲ τοῦτο, ἐὰν γενικὸν [3] ᾖ τὸ ἔγκλημα· οἷον δημόσιον ἀδίκημα, ἢ ἀσέβεια, ἤ τι τοιοῦτον· εἶτα τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ἅπερ ἐστὶν αὐτὸ τὸ ἔγκλημα. εἶτα τῇ μεταστάσει· εἶτα μεταλήψει μιᾷ, ἢ καὶ δευτέρᾳ· ἔστι δὲ ἡ μετάληψις οὕτως ἀναγκαία· ἐν ταῖς ἀντιθετικαῖς, ὡς ἐν τοῖς στοχασμοῖς πραγμάτων ὄντων τὸ χρῶμα· ἡ δὲ τοῦ ἄρχοντος ποιότης δημοτικὴ καὶ περὶ τοὺς νόμους· καὶ τοῦτο δείκνυσιν ἥ τε αἵρεσις καὶ τὸ πραχθέν· ἔστιν οὖν ἡ κατάστασις τούτου [4] τοῦ προβλήματος ἥδε· ἡ μὲν

34 Med. ὑπέρ. Ald. Vind. Par. ὑπ'.

1 Ald. Vind. Par. παροινίας. Med. παρανοίας, quod recepi et in sqq. aliquoties restitui, nulla enim fuit παροινίας γραφή. 2 καὶ ὁ μὲν π. ὑπεξῆλθεν ex Med. recepi, Ald. Vind. Par. om. 3 Ald. γενηκόν. 4 Med. τοῦδε.

τοῦ ἄρχοντος ἡ τῆς ἀρχῆς αἵρεσις δι' εὔνοιαν, διὰ φυλακὴν γεγενημένη τῶν νόμων, ἡ κρίσις τὸ μηδένα μηδὲ πώποτε μέμψασθαι, ὡς[5] παρὰ τοὺς νόμους αὐτοῦ τι δικάσαντος· εἶτα ἡ τοῦ παιδὸς κατὰ τοῦ πατρὸς γραφή· καὶ τὸ μὴ δέξασθαι διὰ τὸν νόμον. ἐρεῖς δὲ ταῦτα πλατύτερον· οἷον ἤρκει μὲν ὁ νόμος κωλύων τὴν πρόσοδον· ἔπειτα δὲ καὶ τὸ πρᾶγμα αὐτὸ, παῖς κατὰ τοῦ[6] πατρὸς τυραννίδος φέρων γραφὴν, καὶ ὡς ἐδόκει ἄπιστον· εἶτα ἐν παραδρομῇ ἡ τυραννὶς, καὶ ἡ[7] τοῦ παιδὸς ἔξοδος, καὶ ἡ καθαίρεσις πλατύτερον καὶ ποιητική· ὅτι ἐτηρήθησαν οἱ νόμοι, καὶ τὰ τοιαῦτα· ὁρικὰ παραγραφικά· εἶτα ἐν τῇ ἀρχῇ τηρήσαντός μου τοῦτον τὸν τρόπον τοὺς νόμους, ἠδίκησας, φησὶν, δημοσίᾳ τὴν πόλιν· προηγούμενον γὰρ τοῦτο τῷ ἄγοντι τὸ κεφάλαιον ἐρεῖς· οὐδέν μου τοῦ τῆς πόλεως διαφθείραντος, οὐ νόμον, οὐ δωρεὰν, οὐ χωρίον, οὐ πόλιν. εἶτα πῶς δημοσίᾳ τὴν πόλιν ἠδίκησα, μηδὲν αὐτὸς ἐνεργήσας, καὶ ὅτι ἄτοπον, οὐδέν με διαπραξάμενον κρίνεσθαι, καὶ τὰ τοιαῦτα. ΜΕτὰ τὰ ὁρικὰ παραγραφικὰ θήσεις ἀκολούθως τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους· οἷον, οὐκ ἐδέξω, φησὶ, τὸν παῖδα κομίζοντα τὴν τῆς τυραννίδος γραφήν. Ἡ Λύσις ἐπὶ τὸν νόμον. ὅτι ὁ νόμος αἴτιος, σαφῶς διακελεύων ἄλλην μὴ δέχεσθαι ἢ τὴν παρανοίας[8] γραφήν· εἶτα τῇ διανοίᾳ, εἰ γὰρ μὴ τοῦτο ἦν, τίνος ἕνεκα οὐκ ἐδεχόμην, ἄνθρωπος[9] μηδέποτε παρ' ὑμῶν καταγνωσθεὶς, καὶ ὅσα ἐκ διανοίας, ἔχεις δὲ ἐκ τῶν πρώτων τὴν μέθοδον. εἶτα δέξαι καὶ τὸ καθ' ὑπόθεσιν· εἰ δὲ ἐδεξάμην, καὶ μὴ ἥλω[10] ὁ πατὴρ οἷα εἰκὸς, οὐκ ἂν παρ' ὑμῖν ὑπεύθυνος ἐγενόμην τῷ νόμῳ· εἶτα χρῆσαι καὶ τῷ βιαίῳ ὅρῳ· ὅτι τοῦτο μάλιστά

5 ὡς Ald. Vind. om., est in Med. et Par. 6 τοῦ Med. Par. om. 7 ἡ Ald. Vind. om., est in Med. Par. — v. 10. Ald. καθαίρησις. 8 Ald. Vind. Par. παροινίας. 9 Ald. ἄνθρωπος μηδέπωτε. 10 Ald. Codd. εἵλως.

*ἐστι τὸ μὴ ἀδικῆσαι δημοσίᾳ, τὸ φυλάξαι τοὺς νόμους, καὶ τὰ τοιαῦτα. μετὰ ταῦτα θήσεις ἀντίθεσιν πίπτουσαν ἐκ διανοίας τοῦ νόμου. ἀλλ' ὁ νόμος, φησὶ, περὶ τῶν ἰδιωτικῶν ἐστι γραφῶν,*[11] *οὐ περὶ τῶν δημοσίων κεκυρωμένος, καὶ ἐν μὲν ταῖς ἰδίαις ἄλλην οὐ δίδωσι τοῖς παισὶν ἢ τὴν παρανοίας*[12] *γραφήν. τὰς μέντοι γε δημοσίας δέχεσθαι τοὺς ἄρχοντας οὐ τετόλμηκεν· ἦ γὰρ ἄτοπος ἦν ὁ νομοθέτης παντάπασιν ἀπείργων τῶν παίδων τὴν πρόσοδον τὴν περὶ*[13] *προδοσίας, τὴν περὶ τυραννίδος, καὶ περὶ τῆς τοῦ δήμου καταλύσεως [ἔχῃ*[14] *μηνύουσα] μὴ συγχωρῶν παριέναι*[15] *τοῖς παισὶ τὸ δικαστήριον. Ἡ Λύσις τούτου· ὅτι σαφῶς διηγόρευσεν ὁ νόμος μηδεμίαν ἄλλην δέχεσθαι γραφὴν, ἢ τὴν τῆς παρανοίας· καὶ ὅτι εἰ τὴν περὶ τῶν δημοσίων δέχεσθαι συνεχώρει γραφὴν, προσέγραψεν ἂν τῷ νόμῳ τούτῳ· νῦν δὲ μὴ προσγράψας ἑνὶ λόγῳ πᾶσαν ἀπηγόρευσε κατηγορίαν εἰσάγεσθαι. καὶ ὅτι εἰκότως· εἰδὼς γὰρ ὅτι πολλαὶ τοῖς παισὶ μικροψυχίαι γίγνονται, καὶ ἐκ τούτου γραφαὶ ψευδεῖς καὶ κατηγορίαι καὶ κίνδυνοι, πᾶσαν μὲν ἐκώλυσε κατηγορίαν εἰσάγεσθαι. τὴν δὲ τῆς παρανοίας*[16] *συνεχώρησεν, ἥ τις*[17] *πᾶσιν ἦν φανερὰ τοῖς ὁρῶσι, τοῖς δικάζουσι, τοῖς παρεστῶσιν ἅπασιν. ΜΕτὰ ταῦτα θήσεις τὴν μετάληψιν. ἀλλ' ἔδει, φησὶ, τῷ δήμῳ ἀνενεγκεῖν, καὶ λίθον, ὅτι περιττὸν ἦν ὁμολογουμένου*[18] *τοῦ*
383 *μὴ δεῖν δέχεσθαι, ἀνενεγκεῖν τῷ δήμῳ· ἐπὶ μὲν γὰρ τῶν ἀμφιβόλων δεῖ τῷ δήμῳ ἀνακοινοῦσθαι, ἐπὶ δὲ τῶν ὁμο-*

---

11 Ald. Codd. *γράφων.* Tractant hunc locum Meyer. et Schoemann. Attischer Process p. 163. 297. 12 Ald. Vind. Par. *παροινίας* h. l. et v. 13. 13 Ald. Codd. *ἐπί.* 14 uncis inclusi haec verba, quae sensum turbant, nisi forte legere malis *καταμηνύουσαν* aut simile quid. 15 Ald. Vind. *περιέναι.* Par. *παριέναι.* 16 Ald. Vind. Par. *παροινίας.* 17 Ald. *εἴ τις.* Vind. Par. *ἥ τις.* 18 Ald. *ὁμολογουμένον.*

λογουμένον περιττόν· εἶθ' ὅτι καὶ ἐνόμισα μὴ εἶναι τὴν γραφὴν ἀληθῆ, ἐκ τοῦ ἐμοὶ προσελθεῖν τῷ κωλυομένῳ ἀπὸ τῶν νόμων· εἰ γὰρ ἀληθῶς κατειπεῖν ἠβούλετο, προςῆλθεν ἂν τοῖς δικασταῖς, προςῆλθε τῷ δήμῳ· τί γὰρ αὐτὸν ἐκώλυεν; νῦν δὲ ἐκ τοῦ ἐμοὶ προςελθεῖν ἔνδειξιν εἶναι μόνην ὑπενόησα τὴν γραφήν. ΜΕτὰ ταῦτα οἱ ἐπίλογοι· οἱ μὲν κατὰ τοῦ ἄρχοντος καταφρονητικώτεροι,[19] καὶ κινοῦντες ὑπόνοιαν συνειδότος· οἱ δὲ τοῦ ἄρχοντος ἐπιλογίσαι τὸ ἀπὸ τῆς ἀγαθῆς τύχης τῆς πόλεως, ὅτι καὶ τοὺς νόμους τηρεῖ, καὶ τοὺς πονηροὺς ἀναιρεῖ.

## ΑΛΛΗ ΜΕΤΑΣΤΑΣΙΣ.

Στρατηγὸς συλλαβὼν τοὺς νεκροὺς καὶ τοὺς αἰχμαλώτους εἶχεν ἐν τῇ νηΐ· χειμῶνος γενομένου, ἀπέβαλεν εἰς τὴν θάλασσαν τοὺς νεκροὺς καὶ κρίνεται δημοσίᾳ.

Ἡ τοῦ στρατηγοῦ κατάστασις ἔχει τὸν τῶν πολεμίων φόβον, τὴν ταραχὴν τῶν ἀντιπάλων, τὴν ἀπειλὴν μετὰ αὐξήσεως, εἶτα τὴν ἐκκλησίαν, τὴν παρασκευὴν, τὴν χειροτονίαν τοῦ ἄρχοντος· ἐν ᾗ καὶ ἠθοποιΐαι· ὅτινες πρὸ τῆς ἐκκλησίας βουλόμενοι περὶ τούτων, οὐδένα ἕτερον, ἢ ἐμὲ προὔκριναν, διὰ τὴν εὔνοιαν, διὰ τὸ πολιτικὸν, διὰ τὸ φιλόπολιν εἶναι πανταχοῦ· τοιγαροῦν αἱρεθεὶς στρατηγὸς εὐθὺς ἐπλήρωσα τριηρῶν τὴν θάλατταν· ἀπὸ τῆς ἐκκλησίας ἐπὶ τὰς ναῦς ἦλθον, εἰπὼν πρὸς ἐμαυτὸν πάλιν τὸν ἐπινίκιον, οὕτως ἔλυσα τῶν νεῶν τὰ πρυμνήσια· εἶθ' ὅτι πλεύσας συνέβαλον, ἐνίκησα, μετὰ τῶν τροπαίων αἰχμαλώτους εἶχον· λοιπὸν ἠπειγόμην πρὸς ὑμᾶς συμβαλὼν τοὺς νεκροὺς εἰς τὰ σκάφη. ἔπλεον παιᾶνας ᾄδων, ἡδόμενος ὅτι καὶ τοὺς νεκροὺς ἔχω καὶ τοὺς αἰχμαλώτους δουλεύοντας· εἶτα βαρέως εἴσαγε τοὺς κατὰ

ον

19 Ald. Codd. καταφρονηκότεροι. Par. καταφρονηκότεροι.

θάλατταν κινδύνους, μετὰ αὐξήσεως. καὶ ὅτι ἐφ᾽ ὅσον οἷός τε ἦν ἀντεῖχον. ἐπειδὴ δὲ κρείττων ἦν ὁ χειμὼν καὶ τὸ δεινὸν ὑπερεῖχε καὶ τὸ κλυδώνιον λοιπὸν τὰς τριήρεις ἐκάλυπτεν·[1] ἐν οἷς καὶ ἠθοποιΐας παρὰ τῶν στρατιωτῶν καὶ τῶν ναυτῶν, καὶ προτροπὴ πρὸς τὸ ῥῖψαι τοὺς νεκρούς· ὅτι δεινὸς ὁ κίνδυνος, καὶ καταδύνουσι τὰ σκάφη νεκροὶ, καὶ ἂν μὴ τούτους ἐκρίψωμεν, ἅπαντες ἀπολλύμεθα· εἶθ᾽ ὅτι ἐξέῤῥιψα· καὶ ἅμα τῷ τοὺς νεκροὺς ἀποβαλεῖν λέλυτο μὲν τὸ δεινὸν, ἡ σωτηρία δὲ πρόδηλος ἦν. εἶθ᾽ ὅτι κατεπλεύσαμεν ἄγοντες μετὰ τῶν τροπαίων τοὺς πολεμίους δουλεύοντας· καὶ τὰ τοιαῦτα. εἶτα ὁρικὸν παραγραφικὸν οὐκ ἐμπίπτει. δῆλον γὰρ ὅτι τὸ ῥῖψαι τοὺς νεκροὺς ἀδίκημα κοινόν ἐστιν. ἥξεις οὖν ἐπὶ τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, ἅπερ ἐστὶ τὸ ἔγκλημα. Ἀλλ᾽ ἐκβέβληκας, φησὶ, τῶν νεκρῶν τὰ σώματα. ΛΥσεις τῇ μεταστάσει· ὅτι ἐκβέβληκα· ἀλλ᾽ εἰπὲ, πῶς· πρόσθες τὴν ἀνάγκην· εἰπὲ τὸ δεινόν· ἀποβέβληκα τοὺς νεκροὺς τοῦ κύματος τὴν ὁλκάδα καλύπτοντος· ἐκβέβληκα μὴ δυνάμενος ἀντισχεῖν ἔτι πρὸς τὸ κλυδώνιον. εἶτα ἔκφρασον τὸν χειμῶνα, μὴ ὑπτίως, ἀλλ᾽ ἀγωνικῶς. πῆ μὲν τοῦ κύματος ὑπερέχοντος· πῆ δὲ τῆς ἄλλης[2] θαλάσσης ἀντιφιλοτιμουμένης τοῖς ὄρεσι καὶ δεινόν μοι ἀντηχούσης ὡς ἀληθῶς, καὶ τοῖς ἐξ οὐρανοῦ παραπλησίως, στρεφομένης δὲ τῆς θαλάσσης αὐτοῖς ὅλοις πελάγεσι, ταῦτα ὁρῶν, ταῦτα θεώμενος, τῷ κρατοῦντι ὑπήκουσα, καὶ πρὸς τὸν καιρὸν ἡρμοσάμην τοῖς ὅλοις. εἶτα πρόσχες[3] τὰ ἐκ τῆς διανοίας· τοῦτο

δὲ

---

1 Ald. ἐκάλυπτε. 2 Ald. τοῖς ἄλλοις θαλάσσης ἀντιφιλοτιμουμένοις. asterisco post θαλάσσης posito. Vind. et Par. consentiunt cum Ald. nisi quod ἄλλης legunt. quos secutus correxi τῆς ἄλλης. Aldinae vestigia qui sequi malit, scribere possit: τοῖς σάλοις, quod minus placet ob articuli ante θαλάσσης absentiam. ἀντιφιλοτιμουμένης scribendum esse, extra dubium est. 3 Vind. εἶτα πρὸς τά.

δὲ στοχαστικόν ἐστι τὸ ἐπιχείρημα· οἷον εἰ γὰρ μὴ βεβιασμένος ὡς ἀληθῶς ἐπὶ ταύτην ἐληλύθειν ἐγὼ τὴν ἐπιχείρησιν, τίνος ἕνεκεν ταύτην ἐγὼ τὴν πρᾶξιν ὑπέμενον, τίνος ἕνεκα τοὺς νεκροὺς ἠφίειν ἐν μέσῳ τῷ κλύδωνι; εἰ μὲν μνησικακῶν, ὡς ἠδικημένος, εἰπάτω τις παρελθὼν, γραψάσθω, τί δεινὸν παρὰ τῶν κειμένων ὑπέμεινα· εἰ δ' ἄλλως πονηρὸς ὢν[4], τοῦτο μὲν οὐκ ἔτι λόγων χρήζει μακρῶν· τὴν γὰρ ἡμετέραν προαίρεσιν αἱ πρὸ τούτου πράξεις ἐλέγχουσιν. εὑρήσεις δὲ πλεῖστα νοήματα στοχαστικὰ ἀπὸ τῆς διανοίας· πῇ μὲν τὸ κατ' εἶδος λαμ- 384 βάνων ἐν τῷ λέγειν ἤδη, τί ἠδίκησά ποτε; τί κατὰ τῆς πόλεως ἐβουλευσάμην; ἢ τίνα πρᾶξιν ὡς πονηρὸς ὑπέμεινα; πῇ δὲ ἐκ τοῦ χρόνου, ἢ πρὸ τῆς στρατηγίας, ἢ ἐν αὐτῇ τῇ ἀρχῇ, ἢ μετὰ τὴν νίκην· εἰ δὲ πανταχόθεν δῆλός εἰμι φρονῶν τὰ ὑμέτερα, τὰ τῆς πόλεως μᾶλλον αἱρούμενος, πῶς ἢ πόθεν ἐγὼ δημοσίᾳ τὴν πόλιν ἠδίκησα; εἶτα ἔπαγε πρὸς τὴν λύσιν τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους καὶ τὸν καλούμενον βίαιον ὅρον· ὅτι τὸ ῥῖψαι τοὺς νεκροὺς, καὶ τοῦτο αὐτὸ μάλιστα οὐκ ἔστι δημόσιον ἀδίκημα· ἡ δὲ τούτου κατασκευὴ παρὰ τῷ[5] Μητροφάνει. Μετὰ ταῦτα θήσεις τὸ μεταληπτικὸν, ἀλλ' ἔδει, φησὶν, ἐπιμεῖναι μέχρι παντὸς καὶ συναπολέσθαι εἰ δέοι τοῖς σώμασιν. Ἡ Λύσις τῇ εἰς ἄτοπον ἀπαγωγῇ, ὅτι ἄτοπον καὶ οὐδὲν ἐκ τούτου ὄφελος ἡμῖν εὑρίσκετο, εἰ μήτε τὸν στρατιώτην ἔχομεν τὸν σωζόμενον, μήτε τοὺς αἰχμαλώτους· εἶθ' ὅτι καὶ βλαβῆναι μᾶλλον ἦν· πόθεν γὰρ ἔτι δεῖξαι τὴν νίκην εἴχομεν, ἢ πόθεν τὸ τρόπαιον; εἶθ' ὅτι εἰ τοῦτο ἐποίησα, ὑπὲρ αὐτῶν ἂν ἐποίησα τῶν νεκρῶν· εἰ γὰρ ἔδει αὐτοὺς εὔξασθαί τι παθεῖν ἡμᾶς, τί ἕτερον ἂν ἢ τοῦτο παθεῖν ἐζήτησαν ἀπολέσθαι πάντας ἡμᾶς, καὶ τοὺς ἑαυτῶν αἰχμαλώτους, ἵνα ἡμεῖς μετὰ τῆς

4 Ald. Codd. ἂν. — v. 9. Vind. ἐλέγχουσι. 5 Ald. Codd. τό.

συμφορᾶς μηδὲ πῶς νενικήκαμεν τοὺς πολεμίους δεῖξαι ἔχωμεν, καὶ ὅσα τοιαῦτα. ὅπλα πολλὰ ἐρεῖς, εἰ θεατρικῶς πομπεύειν θελήσειας, εὐτύχημα τοῦτο τῆς πόλεως, τὸ μηδὲ χειροτονῆσαι στρατηγόν· ἵνα μὴ τοιοῦτόν τι βουλευσάμενος ἀφανίσῃς τὴν φιλοτιμίαν τοῦ κατορθώματος. ΠΑλιν ἔδει συναπολέσθαι, λέγει τις, καὶ δυνάμενον[6] σώζεσθαι κινδυνεύειν ἔδει. μετὰ τὴν μετάληψιν ἄλλην θήσεις μετάληψιν. ἀλλ᾽ ἔδει, φησὶ, ῥῖψαι τοὺς αἰχμαλώτους· προτιμότεροι γὰρ οἱ νεκροὶ, πολῖται τυγχάνοντες, καὶ ὑπὲρ ἡμῶν ἀπολλύμενοι. Ἡ ΛΥσις συγκριτική· ὅτι χρησιμώτεροι μᾶλλον ἦσαν οἱ αἰχμάλωτοι καὶ ζῶντες τῶν νεκρῶν, πρῶτον μὲν τοῖς σώμασι τὰς ὁλκάδας βαρύνοντες, εἶθ᾽ ὅτι στενοχωροῦντες δὲ μετὰ τοῦ χειμῶνος τοὺς ζῶντας· καὶ ὅτι βαρύτατα[7] τυγχάνοντα τοῖς νεκροῖς τὰ σώματα καταδύνει τὰς ναῦς. καὶ ὅτι εἰώθασι τοῖς νεκροὺς σώζουσιν ἐπακολουθεῖν δαίμονες· καὶ μάλιστα πάντων λόγος ἐστὶ τὸ μηδαμῶς ἀπευθύνεσθαι πλοῦν σώματος διακομιζομένου νεκροῦ· εἶτα τοσούτων τῶν ἐλαττωμάτων ὄντων, λέγει τις προτιμοτέρους τοὺς νεκροὺς, καὶ τὰ τοιαῦτα. ΕΠίλογος· ὁ μὲν τοῦ στρατηγοῦ τοιοῦτος· ἀλλὰ μέχρι τίνος ἐνταῦθα βραδύνομεν; ἐπὶ τὴν θάλατταν πάλιν ὁρμήσωμεν· δότω μοί τις τὰς ναῦς· ἐπιπλεῦσαί μοι δεῖ, τὰς ἀκτὰς, τοὺς λιμένας, τὰ παρὰ τὴν θάλατταν ἅπαντα, ἤδη ζητήσω τὰ σώματα, ἐκβέβληκε ταῦτα πάντως ἡ θάλαττα. ἐντεῦθεν ἀναλήψομαι,[8] πάντα κομιῶ καὶ τοὺς νεκροὺς ὥσπερ καὶ τοὺς αἰχμαλώτους τῇ πόλει. τηρήσω τοῖς τάφοις τὰ σώματα· ἂν δὲ ταῦτα κομίσω, αὐτὸς ἐγὼ τὸν τάφον, αὐτὸς ἐπὶ τῶν χοῶν καταστήσομαι, αὐτὸς τὰ νομιζόμενα πληρώσω. ποῦ μοι πάντες οἱ γέροντες; ποῦ παῖδες;

---

6 Ald. Vind. δυνάμενος. Par. δυνάμενος. supra ς est ν. 7 Ald. βαρύτητα. 8 Ald. Vind. ἐναλήψομαι.

ποῦ γυναῖκες; ἄνδρες πάντες οἱ συγγενεῖς τῶν τελευτώντων, ἑστήκατε, τοὺς αἰγιαλοὺς ἐξορμήσομεν· τὴν θάλατταν καθάπερ τοὺς πολεμίους νικήσωμεν. ἐβιάσατο[9] τῶν νέων λαβεῖν διὰ τοῦ χειμῶνος τὰ σώματα. ἀλλὰ μεῖναι παρ᾽ αὐτῇ ταῦτα μὴ συγχωρήσωμεν. καὶ ὅσα τοιαῦτα· εἶτα καὶ ἐπαγγελίαν, ὅτι ἐὰν στρατευσώμεθά που, τηρήσω μέχρι παντὸς τοὺς νεκροὺς, ἄξω, φυλάξω τῇ πόλει, κινδυνεύσω κἂν ἀπολέσθαι δέοι. καὶ ὅσα τοιαῦτα. ὁ δὲ τοῦ κατηγόρου προτρεπτικὸς μὲν καὶ αὐτὸς ἐπὶ τὸ ζητῆσαι τὰ πράγματα ὁμοίως. ἐρεῖς δὲ κἀκεῖνα. ἂν δὲ μὴ εὑρήσω, στρατηγὲ, τὰ σώματα, ἕνα τούτων, ὦ στρατηγὲ, τάφον κατασκευάσωμεν, πολυάνδριον γενέσθαι τοῖς τελευτήσασι· μέγας ὁ τάφος, καὶ φιλοτιμίας πεπληρωμένος· ἀντὶ δὲ τῆς ὁσίας αὐτὸς ἐπὶ τοῦ τάφου παράταξιν ἡμῖν τὴν τούτου διήγησαι. εἰπὲ πῶς πεπτώκασιν, εἶτα τούτοις ἐπεξελθὼν τοῖς νοήμασι κατὰ μέρος πρόσθες· 385 ὅτι παραμύθησαι τοὺς παρόντας, παῖδας, γυναῖκας, καὶ ὅσα τοιαῦτα νοήματα ἁρμόττοντα εἶπεν ὁ Θουκυδίδης. ΕΙΤΑ κατακλείσεις τὸν ἐπίλογον εἰς συμβουλὴν στρατηγοῦ· ὅτι καὶ ἐὰν ἄλλοτέ ποτε, ὅπερ μή τις θεὸς συγχωρήσειε, πόλεμος, ἢ καὶ νεκροὺς ἕλῃς[10] ἐπὶ τῆς μάχης πεπτωκότας, τήρησον τούτους μέχρι τῶν τάφων.

## ΑΝΤΕΓΚΛΗΜΑΤΙΚΗ.

Ἀποκήρυκτον εὑρών τις ἐν συμποσίῳ κωμάζοντα ἔπληξεν· καὶ κρίνεται ὕβρεως.

Τινὲς ἀσύστατον[1] τοῦτο το πλάσμα νομίζουσι, διότι ἀποκήρυκτός ἐστιν· οὐ συνίσταται γὰρ ἐπὶ τοῖς ἀτίμοις ἡ κρίσις. ἀλλ᾽ ὁ ἀποκήρυκτος ἄτιμός ἐστι παρὰ τῷ πατρὶ, οὐ παρὰ τῇ πόλει, ἡ αὐτὴ δὲ καὶ τῶν ἐγκλη-

9 Ald. Vind. ἐβιώσατο. Par. ἐβιάσατο. 10 Ald. Codd. ἕλεις.
1 Ald. Vind. ἀσύστατοι.

μάτων ἐστὶ διαίρεσις ἡ περὶ τῆς ἀντιστάσεως καὶ μεταστάσεως· ἔχει οὖν ἡ κατάστασις τὴν ἀποκήρυξιν μετὰ τῆς αἰτίας· ὅτι δεινὰ ποιοῦντος αὐτοῦ καὶ παράνομα τὸ μὲν πρῶτον συμβουλεύων ὁ πατὴρ οὐκ ἔπειθεν· εἶτα ἠπείλησε καὶ οὐδὲν ὤνησεν. εἶθ' ὅτι νομίσας αὐτὸν σωφρονίζειν ἀπεκήρυξεν·[2] μετὰ ταῦτα ἐρεῖς, ὅτι συνέβη εὑρεθῆναι ἐν συμποσίῳ οἷα εἰκός· εἶτα ὅτι οὐδ' ἐκεῖ παρόντων πάντων ἐκαρτέρησεν, ἀλλὰ δημοσιεύειν τὴν ἑαυτοῦ κακίαν ἐτόλμησεν· εἶτα τοῦ κώμου αὔξησις καὶ διατύπωσις, καὶ ἐν καθαιρέσει ἐπιτίμησις ἡ τῶν πληγῶν. μὴ ἁπλῶς δὲ ἔλθῃς ἐπὶ τὰς πληγὰς, ἀλλ' ὅτι κατὰ ἀκολουθίαν ὧν ἔπραξεν ὁ πατὴρ κἀγὼ συνεβούλευσα, ἠπείλησα, μὴ πειθόμενον ἔπληξα. ἐπὶ τούτοις ἡ κρίσις. ἐπὶ τούτοις τὸ δικαστήριον. ΜΕΤὰ τὴν κατάστασιν ὁρικὰ παραγραφικὰ οὐκ ἐκπίπτει· ἥξειεν οὖν εὐθὺς ἐπὶ τὸ ἔγκλημα· ἐτύπτησας γὰρ, φησὶν, ἐπὶ τῆς ἑστίας κωμάζοντα. ΛΥσεις τῷ ἀντεγκλήματι· οἷον ἄξιος ἦν μὴ σωφρονῶν, μηδὲ τὴν[3] πρώτην αὐτοῦ προαίρεσιν διορθούμενος, ἀλλ' ἐπιμένων τοῖς αὐτοῖς τολμήμασι, καὶ μὴ σωφρονισθεὶς τῇ ἀποκηρύξει, καὶ μὴ ζητῶν πῶς ἂν τὸν πατέρα χρηστῷ καὶ σεμνοτέρῳ βίῳ ἑλεῖν δυνηθῇ, ἀλλὰ δεινότερα τοῖς ἐπὶ τῆς ἑστίας καὶ χαλεπώτερα. εἶτα διανοίᾳ. δῆλον δέ ὡς ἄξιον ὄντα τῆς τοιαύτης ἐπιτιμήσεως ἔπληξα τῷ μήτε[4] ἐχθρὸς εἶναι, μήτε ἔχειν πρὸς αὐτόν τινος[5] διαφορᾶς ὑπόθεσιν. καὶ ὅτι δεῖ ὁρᾷν τῆς πράξεως τὴν διάνοιαν, καὶ μὴ ἀπροσδιορίστως ὁρμᾷν ἐπὶ τὰς πράξεις, καὶ τὰ τοιαῦτα· εἶτα τῷ βιαίῳ[6] ὅρῳ. ὅτι αὐτὸ τοῦτο μάλιστα οὐκ ἔστιν ὕβρις τὸ ἀπὸ τῆς τοιαύτης διανοίας γιγνόμενον τὸ ἐπὶ τοῖς κρείττοσιν ἐπιτηδεύμασι πραχθῆ-

---

2 Vind. ἀποκήρυξεν. 3 Ald. Codd. τὴν τάξιν πρώτην. Par. τάξιν om. 4 Ald. Vind. Par. μήτις. Med. μήτε. 5 τινὸς Ald. Vind. Par. om., est in Med. 6 Vind. βίῳ.

ναι [7] καὶ τὰ [8] τοιαῦτα. ΜΕΤαλήψει· ἐπιπλῆξαι ἔδει. Ἡ Λύσις. ὅτι ἐπιπλήξας οὐδὲν ὤνησα, οὐδὲ ἔπαυσα. καὶ δῆλόν ἐστιν ὅτι οὐδὲ δυνατὸν ἦν τι ὠφελῆσαι. ὅπου οὐδὲ ὁ πατήρ τι ὠφέλησεν ἐπιπλήττων. καὶ δῆλον τοῦτο ἐκ τῆς ἀποκηρύξεως. οὐ γάρ ἐστιν εἰπεῖν, ὅτι ἐπὶ πρώτην ὥρμησεν ὁ πατὴρ τὴν ἀποκήρυξιν. ἀλλὰ δῆλον ἐπὶ λόγους, ἐπὶ συμβουλὴν ἦλθεν, ἐπὶ ἐπίπληξιν, καὶ τὰ τοιαῦτα. ταῦτα ἐννοῶν, ταῦτα σκοπῶν, ὅτι οὐδὲν ἕτερον αὐτὸν ἢ τοῦτο σωφρονίζει, ἦλθον ἐπὶ τὰς πληγάς. ΕΠίλογος, ὁ μὲν τοῦ κατηγόρου καταφορικὸς μετὰ τοῦ καὶ πάθος ἔχειν καὶ κινεῖν ὑπὲρ τοῦ ἀποκηρύκτου, καὶ διατύπωσιν ἔχων τῶν ἐν τῷ συμποσίῳ γενομένων κακῶν καὶ τῶν λόγων κατέμφασιν καὶ προτροπὴν ἐπὶ τιμωρίαν καὶ παροξυσμόν. ὅτι οὐδὲ ἀποκήρυκτος ὢν ἡσυχάζει, ἀλλὰ πολυπραγμονεῖ τὴν πόλιν, τὰ δικαστήρια, καὶ τὰ τοιαῦτα.

## ΑΛΛΟ ΚΑΤΕΓΚΛΗΜΑ.

Νόμος τῆς μοιχευθείσης τὴν προῖκα εἶναι τοῦ ἀνδρός· προσέπεμψέ τις τῇ ἑαυτοῦ γυναικὶ ὡς ἀλλότριος· ἐλθοῦσαν ἐγράψατο μοιχείας ὁ ἀνήρ, εἷλε, κατέσχε τὴν προῖκα. ὁ πατὴρ ἑτέραν ἐπιδέδωκε καὶ τῷ αὐτῷ συνῴκισε. πάλιν ὡς ἀλλότριος μετεπέμψατο τὴν ἑαυτοῦ γυναῖκα. ὑπήκουσεν ἐκείνη. καταλαβὼν οὖν ὁ πατὴρ τῆς γυναικὸς ἀμφοτέρους ἀπέκτεινε, καὶ κρίνεται φόνου.

Τὸ ἔγκλημα, ὅτι ἦσαν οὕτω βιοῦντες· ὅτι γὰρ πα- 386
θητικώτερον τὸ πλάσμα τυγχάνει, παντί τῳ πρόδηλον. Ἡ Κατάστασις τοῦ πατρὸς ἔχει τὸν γάμον, τὴν παιδοποιΐαν, τὴν ἀνατροφήν, τὴν φιλοπαιδίαν, τοῦ γάμου ὥρας γενομένης τῆς παιδὸς ἐπιζητῆσαι ἄνδρα ὡς οἷόν τε βέλτιστον, τὸ δοῦναι προῖκα μείζονα, ἢ καθ' ἑαυτόν. εἶτα

---

7 Ald. Vind. Par. προ sq. lacuna. Med. πραχθῆναι. in reliquis Codd. fuit fortasse προαχθῆναι, quod permutatur cum πραχθῆναι, vide ad Minutian. c. III. 8 Med. καὶ ὅσα τοιαῦτα.

μετὰ πάθους τὸ βουλεύσασθαι τοιαῦτα τὸν ἄνδρα, καὶ αὐτὸν ἑαυτοῦ διαφθεῖραι τὴν σύνοικον, καὶ ὅτι ἡ παῖς εἴτε φύσει διαφθαρεῖσα, εἴτε ἰδίᾳ, ὅτι πρὸς τὸν ἄνδρα ἄπεισιν, ἄδηλον [1] γὰρ, ἀπελθοῦσα κατὰ τὸν νόμον ἀπώλεσε τὴν προῖκα, ἐγὼ ἐπέδωκα δευτέραν, τῷ αὐτῷ συνῴκισα, νομίσας ὅτι ἐπισχήσει καὶ αὐτὸς τοῦ τοιοῦτόν [2] τι ποιεῖν, καὶ αὐτὴ τοῦ ἀπατᾶσθαι· ἐχέτω γάρ τι ἡ κατάστασις ἐγκατάσκευον· εἶτα ὅτι πάλιν τῷ αὐτῷ τρόπῳ ἐζήτησεν ὁ ἀνὴρ τὴν προῖκα τῆς γυναικὸς λαβεῖν, αἰσχρῶς καὶ ἀναξίως αὐτοῦ, καὶ πάλιν μετεπέμψατο τὴν γυναῖκα ὡς μοιχὸς, καὶ ὅτι εὑρὼν ἐγὼ ἀμφότερα τὰ σώματα ἀπέκτεινα, καὶ τὰ τοιαῦτα. ΜΕτὰ τὴν κατάστασιν ὁρικὰ παραγραφικὰ οὐκ ἐμπεσεῖται, ἀλλὰ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ἅπερ ἔχει τὸ ἔγκλημα. Ἀλλ' ἀπέκτεινας, φησὶ, συνοικοῦσαν [3] μετ' αὐτοῦ. Ἡ ΛΥσις τῷ ἀντεγκλήματι, ὅτι ἄξιοι ἦσαν οὕτω βιοῦντες αἰσχρῶς καὶ παρὰ τοὺς νόμους. ἡ μὲν ὡς ἑταίρα, ὁ δὲ ὡς μοιχός. καὶ ὅτι ἀμφότεροι ἀλλήλοις οὕτω προςήεσαν, καὶ ὅτι οὐκ ἤρκεσεν ἅπαξ τοῦτο ποιῆσαι, ἀλλὰ καὶ δεύτερον καὶ πολλάκις. καὶ ὅτι πολλαὶ ἦσαν κατ' αὐτῶν περὶ τὴν πόλιν διαβολαί· καὶ ὅτι δακτυλοδεικτούμενος [4] διῆγον, ὀνειδιζόμενος, παρὰ τῶν ἐχθρῶν γελώμενος. οὕτω μὴ φέρων τὴν ὕβριν, μὴ φέρων τὸν ἐκείνων βίον, ἄξια θανάτου νομίζων εἶναι τὰ δρώμενα, ἦλθον ἐπὶ τὴν σφαγὴν, ἄκων μὲν, ἀλλ' ὑπὸ τῆς ἀξίας βιαζόμενος, καὶ τὰ τοιαῦτα. Εἶτα τῇ διανοίᾳ, καὶ δῆλον ἐξ ὧν πρὸ τούτου φιλόπαις ἦν καὶ φιλόστοργος, καὶ πρὸς τὴν παῖδα χρηστὸς, ἐπιδοὺς ἐν ὥρᾳ τοῦ γάμου, προῖκα χαριζόμενος τὴν συνήκουσαν, καὶ οὐχ ἅπαξ τοῦτο ποιῶν, ἀλλὰ καὶ δεύτερον. καὶ ὅτι ποίᾳ διανοίᾳ ἀνῄρηκε, βουλό-

1 Vind. ἄδειλον. 2 Ald. Codd. τοιούτου. 3 Ald. Codd. συνοικοῦντος. 4 Ald. δακτυλοδεικνύμενος. Vind. Par. δακτυλοδεικτούμενος.

μενος τὴν περὶ αὐτῶν διαλῦσαι διαβολὴν, καὶ ὅσα τοιαῦτα· εἶτα τῷ βιαίῳ ὅρῳ, ὅν τινες ἐπὶ τοῖς τοιούτοις οὐ τιθέασιν. οὐ γάρ ἐστι, φησὶν, εἰπεῖν, ὅτι τούτῳ οὐκ ἔστι φθόνος. ἐρεῖς οὖν ὅτι τὸ γεγενημένον ὡς ἀληθῶς ἐστι τῶν δυστυχημάτων ἀπαλλαγὴ, καὶ τῆς ἐπὶ τῇ μοιχείᾳ διαβολῆς, καὶ τῶν τοιούτων. ΜΕτὰ ταῦτα ἐμπεσεῖται στοχαστικὴ ἀντίθεσις, ἥν τινα ὁ τοῦ πατρὸς κατηγορῶν διασπείρει πανταχοῦ, καὶ ἐν τῇ καταστάσει, καὶ ἐν τοῖς ἀγῶσιν, καὶ διόλου τοῦ λόγου. οἷον, ἀλλὰ βουλόμενοι, φησὶ, χρήματα παρὰ σοῦ λαμβάνειν τοῦτο ποιεῖν ἐπεχείρησαν. ἔχεις γὰρ ἐκ τῆς περιστάσεως ὅτι καὶ ἅπαξ καὶ δεύτερον προῖκα ἐπέδωκεν ὁ πατήρ. ΛΥσεις οὖν μεταληπτικῶς, ὅτι ἔδει μὴ κατηγορῆσαι τὸν ἄνδρα, ἀλλὰ προςελθόντα αἰτεῖν. μηδὲ συνάπτειν τῷ πλούτῳ τὴν συμφορὰν, μηδὲ δικαστήριον συγκροτεῖν καὶ καλεῖν μοιχάδα τὴν σύνοικον, καὶ διαβολὴν τοιαύτην κατασπεῖραι περὶ[5] τὴν πόλιν· εἶτα ὅτι ἔδει μηδὲ καταγνῶναι τοὺς δικαστὰς, μηδὲ ψῆφον ἐνέγκαι τοιαύτην· καὶ καθόλου πᾶσα ἡ λύσις ἐκ τούτων σχήσει τὰ ἐπιχειρήματα. ΜΕτὰ ταῦτα ἐμπεσεῖται ἡ μετάληψις. ἔδει τῷ δήμῳ περὶ αὐτῶν ἀνακοινώσασθαι. Ἡ ΛΥσις ἐκ τῶν ἤδη πραχθέντων ἐστὶ τῆς κατηγορίας, λέγω τῆς τοῦ ἀνδρὸς, καὶ τῆς ψήφου τῶν δικαστῶν. οἷον ἅπαξ ἐνεγκόντων περὶ αὐτῶν ψῆφον τῶν δικαστῶν, ἔδει πάλιν κατηγορεῖν. οὐ γὰρ ἤρκει τὸ πρότερον δικαστήριον. καὶ γὰρ οἱ δικασταὶ τὰ κατ᾽ αὐτοὺς διεγνώκεσαν. εἶτα ὅτι τίνος ἕνεκα ἀνεκοινούμην τῷ δήμῳ. εἰ μὲν ἵνα καταγνῷ καὶ αὐτὸς, ἤδη κατέγνωκεν. εἰ δ᾽ ἵνα ἀνέλῃ, τοῦτο πεποίηκεν. εἶτε καὶ αἰσχρὸν ἦν ἀεὶ κατηγορεῖσθαι αὐτοὺς, καὶ διαβάλλεσθαι καὶ συνοικεῖν, καὶ ὥσπερ πορνείᾳ χρῆσθαι τῷ βίῳ, συνοικοῦντας ἀλλήλοις, καὶ ὑπονοοῦντας τὴν συν- 387

5 Ald. Vind. περὶ om., recepi ex Par.

οἴκησιν· καὶ τοῦ μὲν, ὡς μοιχοῦ συντυγχάνοντος· τῆς δὲ, ὡς ἑταίρας ἀναπαυομένης, ταῦτα πάλιν ἔδει τῷ δήμῳ λέγειν, ταῦτα ἀναφέρειν τοῖς δικασταῖς· καὶ τίς ἂν ἔτι ὑμῶν τῶν δικαζόντων ἠνέσχετο; τίς δὲ οὐχὶ λῆρον ἂν ἐνόμισε τὴν γραφὴν τὴν περὶ τῶν αὐτῶν πολλάκις κατηγοροῦντός τινος, περὶ δὲ τῶν αὐτῶν πάλιν ψηφοφορούντων τῶν δικαστῶν; καὶ ὅσα τοιαῦτα. Ὁ ΕΠίλογος ὁ παρὰ τοῦ πατρὸς παθητικώτατος, ἔχων καὶ τὰ τοιαῦτα. ὅτι οὐδὲ αὐτῷ ἐπὶ τούτοις ζῆν ἐστιν ἀνεκτόν· οὐ γὰρ ἀκούειν βούλεται παρὰ μὲν τῶν παιδοκτόνος, παρὰ δὲ τῶν ἐναγής· καὶ ὅτι τραγῳδίας μεστὰ αὐτῷ ἐστι τὰ κατὰ [6] τὴν οἰκίαν· καὶ ὅτι μετ' ὀλίγον ἐπὶ σκηνῆς αὐτὸν οἱ τραγῳδοῦντες εἰςάξουσι· καὶ ὅτι δράματος πολλῷ χαλεπώτερα τὰ γενόμενα, καὶ τὰ τοιαῦτα· ὁ δὲ παρὰ τοῦ κατηγόρου παθητικὸς μὲν καὶ αὐτός· ἔχων δὲ καὶ καταφορὰν κατὰ τοῦ ἀνελόντος καὶ διατύπωσιν τῶν ἀναιρεθέντων, καὶ ἠθοποιΐας αὐτῶν διαφόρους· παρὰ μὲν τῆς γυναικὸς ὡς θυγατρός· παρὰ δὲ τοῦ ἀνδρὸς ὡς καταπιστευθέντος ἐπὶ παίδων σπορᾷ τὸ γύναιον παρ' αὐτοῦ, καὶ ὅτι ἐπὶ τοῖς τοιούτοις λόγοις αὐτὸς ἐνέγκαι τὴν πληγὴν ἐνεκαρτέρησε· καὶ ὅτι τοῦ λύθρου πάντα πεπλήρωκε, καὶ τὰ τοιαῦτα.

## ΣΥΓΓΝΩΜΗ.

Πόλις [1] νοσοῦσα ἔπεμψεν εἰς θεοὺς τὸν στρατηγὸν, πυνθανομένη πῶς ἀπαλλαγείη τῆς νόσου· ἔχρησεν ὁ θεὸς, εἰ αὐτοῦ ἐκείνου ὁ παῖς ἀναιρεθείη· ἐπανελθὼν τοῦτο μόνον εἶπεν· ὅτι ὁ θεὸς θύειν κελεύει. ὁ παῖς μαθὼν τὸ χρησθὲν ἑαυτὸν ἀπέκτεινεν, καὶ ἐπαύσατο ὁ λοιμὸς, καὶ κρίνεται ὁ στρατηγὸς ἀδικίας.

## ΑΠΟΛΟΓΙΑ.

Σκοπός ἐστι τῷ κατηγόρῳ, μὴ μόνον ἑλεῖν τὸν στρατηγὸν, ἀλλὰ καὶ τῆς ἀρχῆς ἀποστερηθῆναι· ὅθεν ὁ

6 Ald. μετά. scr. κατά. 1 Vind. πολλάκις.

στρατηγὸς, ὡς ἔνι μάλιστα τοῦτο φοβούμενος, διοικήσεται μὴ ἐκβληθῆναι τῆς ἀρχῆς· τοῦτο δὲ ποιήσει τὰς [2] ἀριστείας ἑαυτοῦ πανταχοῦ καταλέγων καὶ διηγούμενος, καὶ τὸ μηδέποτε κατεγνῶσθαι, καὶ τὸ μηδέποτε νενικῆσθαι τὴν πόλιν, ἀλλὰ φυλάξαι παῖδας, γυναῖκας, τοὺς ἐν ἡλικίᾳ, τοὺς γέροντας, καὶ τὸ μηδένα ἐξ ὑμῶν αὐτοῦ μαχομένου λαβεῖν ἢ τρόπαιον ἢ τριήρεις, ἢ αἰχμαλώτους, ἤ τι τοιοῦτον· διὰ γὰρ τούτων καὶ τῶν τοιούτων σαφῶς ἑαυτῷ τὸ μὴ ἐκβληθῆναι τῆς ἀρχῆς διοικήσεται. ὅθεν ὁ κατήγορος τοῖς [3] ἀπ' ἐναντίας ὡς δυνατόν ἐστι χρήσεται· ὁ δὲ λόγος παθητικός τέ ἐστιν καὶ ἐπιεικείας μεστὸς, διὰ τὸ ἔγκλημα καὶ τὴν πρᾶξιν. Ἡ Γοῦν κατάστασις τοῦ στρατηγοῦ τὴν μετὰ δοκιμασίας αὐτοῦ αἵρεσιν ἔχει· καὶ τὰ θαυμασθέντα ἐπ' εὐνοίᾳ χειροτονηθῆναι στρατηγόν· εἶτα τὰς μάχας, τὰς νίκας, τὰ τρόπαια μετὰ αὐξήσεως· ἐπὶ τούτοις μετὰ βαρύτητος καὶ ἀνακλήσεως τὸν λοιμὸν, οὐδαμοῦ διηγουμένου σου τὰ ἐκ τοῦ λοιμοῦ κακὰ, οὐδὲ ἐκφράζοντος τὰς συμφοράς. κατ' αὐτοῦ γάρ ἐστιν, εἰ τοσούτων ὄντων κακῶν τὸν χρησμὸν ὁλόκληρον οὐκ ἀπήγγειλεν· ἀλλὰ τοῦτο μὲν ὁ κατήγορος ποιήσει· ὁ δὲ στρατηγὸς κατὰ παραδρομὴν αὐτοῖς χρήσεται· εἶτα τὴν αἵρεσιν τὴν εἰς θεοὺς καὶ τὸν χρησμὸν, ἐν ᾧ καὶ ἠθοποιΐα μεστὴ συμφορᾶς καὶ πάθους, ὅτι ἐξεπλάγην, ὡς ἤκουσα τὸν χρησμὸν, καὶ πλήρης ἐγενόμην τῆς συμφορᾶς, καὶ τὰ τοιαῦτα· εἶτα ὅτι δυσφορῶν, θρηνῶν, δακρύων, τὸν παῖδα θρηνῶν κατ' ἐμαυτὸν ἦλθον, ἀπήγγειλα τὸ μέρος, ἡγούμενος ἐκ τοῦ θῦσαι [4] μόνον ἐξιλεώσασθαι τὸν θεόν· ἐγκατάσκευον γὰρ ἔστω σοι, τίνος ἕνεκεν θῦσαι μόνον ἀπήγγειλεν· εἶθ' ὅτι

---

2 Ald. τῆς. 3 Ald. Codd. τῆς ἀπεναντίας. 4 Ald. Codd. λῦσαι. scr. θῦσαι, ut paullo post: τίνος ἕνεκεν θῦσαι μόνον ἀπήγγειλεν. cfr. Epist. crit. p. 34.

μαθὼν οὐκ οἶδα πόθεν ὁ παῖς τὸ μάντευμα ἀξίως τῆς τοῦ πατρὸς φιλοτιμίας βεβούλευται· ἐμὲ μὲν γὰρ ἡ φύσις τοιοῦτόν τι περὶ αὐτοῦ βουλεύσασθαι κατεκώλυσεν· ἐκεῖνος δὲ τὸ καὶ οὐκ ᾐσχύνετο, ἀλλ' ἀπέσφαξεν ἑαυτὸν ὑπὲρ παίδων, ὑπὲρ γυναικῶν, ὑπὲρ ἁπάσης ὁμοῦ τῆς πόλεως·
388 καὶ κεῖται καθάπερ ἐν παρατάξει πεσὼν, πρὸς τὸν λοιμὸν μόνον μαχόμενος, καὶ τὰ τοιαῦτα. ἐπὶ τούτοις ἡ γραφὴ, ἐπὶ τούτοις τὸ ἔγκλημα, μᾶλλον δὲ καὶ κατὰ τῆς φύσεως ἡ γραφὴ, καὶ τὰ τῆς διαθέσεως· ὅτι στέργειν τὸ γένος διὰ τὴν φύσιν ἠνάγκασμαι, καὶ τὰ τοιαῦτα· μετὰ ταῦτα ὁρικὰ παραγραφικὰ οὐκ ἔστιν· ἀλλ' εὐθὺς ἥξεις μετὰ τὴν κατάστασιν ἐπὶ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους· οὐ γὰρ ὁλόκληρον ἡμῖν, φησὶ, τὸν χρησμὸν κατεμήνυσας· ἡ λύσις συγγνωμονική· ἠλέησα τὸν παῖδα τῆς συμφορᾶς. πλησίον γενόμενος οὐ συνεχωρούμην εἰπεῖν τὰ λειπόμενα· καὶ ὅτι πεφύκασιν οἱ ἄνθρωποι ἐν ταῖς συμφοραῖς καὶ ἑαυτῶν ἐξανίστασθαι, καὶ μόνοις[5] σχολάζειν τοῖς πάθεσιν· καὶ ὅτι μόνος ὢν ὁ παῖς γηροκόμος καὶ ἔσεσθαι διάδοχος ἐλπιζόμενος μεῖζόν μοι τὸ δεινὸν παρεσκεύασε· καὶ ὅσα τοιαῦτα ἐρεῖς, τὰ μὲν συγγνωμονικῶς, τὰ δὲ τυπῶν τὰς τοῦ πατρὸς ἐλπίδας· τὸ μόνον εἶναι τὸν παῖδα, τὰ ἀπὸ τῆς φύσεως, ὅτι πεφύκαμεν ἅπαντες ὑπὲρ τῶν οἰκείων μάλιστα δυςφορεῖν· καὶ ὅτι στρατηγὸς ὢν καὶ ὑπὲρ τῶν ἄλλων παίδων μαχόμενος καὶ διὰ τῆς νίκης προξενῶν αὐτοῖς σώζεσθαι, μάλιστα τὸν ἑαυτοῦ ἠβουλόμην ὁρᾷν· εἶθ' ὅτι καὶ νῦν ὑπομιμνησκόμενος οὐ φέρω· μεστὸς γὰρ ἔστω σοι πάθους ὁ λόγος· εἶτα μετὰ ταῦτα πρόςθες τὰ ἀπὸ τῆς διανοίας τοῦ στρατηγοῦ· δῆλον γὰρ ὅτι ἐλεῶν καὶ θρηνῶν τὸν παῖδα καὶ τῆς σωτηρίας τούτου γλιχόμενος ἐσιώπησα· εἰ δὲ μὴ τοῦτό ἐστιν ἀληθὲς, τίνος ἕνεκα εἶχον σιωπῆσαι· ἐν ᾧ

5 Ald. Vind. μόνος. Par. μόνοις.

ἐρεῖς ἅπαντα τὰ προσόντα τῷ στρατηγῷ φιλοτίμως, εὔνους ὤν, δημοτικὸς, φιλόπολις, στρατηγῶν, νικήσας, τὰ καὶ τὰ, καὶ ὅσα ἀπὸ τῶν ἐγκωμιαστικῶν τόπων ἐστὶ δυνατὸν εἰς κατασκευὴν τῆς διανοίας· ὅτι ταῦτα τῇ διανοίᾳ τῇ πρὸς τὸν παῖδα, καὶ οὐδεμιᾷ πονηρίᾳ τῇ πρὸς ὑμᾶς ἀπεσιώπησα· εἶτα ἐπιχείρησον καὶ ἀπὸ τοῦ ἐναντίου τῆς διανοίας· εἰ γὰρ μὴ τοῦτό ἐστιν ἀληθὲς, πότε πονηρὸς ἐλήλεγμαι; πότε δυσχερές τι τῶν ἀτόπων ἐξείργασμαι; εἶτα ἔπαγε καὶ νόημα ἀγωνιστικόν· εἰ δὲ οὐδέποτε πονηρὸς, δῆλον ὅτι οὐδὲ νῦν, καὶ ὅσα τοιαῦτα· εἶτα μετὰ τὴν διάνοιαν ἔπαγε τὸν βίαιον[6] ὅρον· ὅτι τοῦτο αὐτὸ μάλιστά ἐστι τὸ μὴ ἀδικῆσαι τὴν πόλιν, παιδὸς ὄντος καὶ ἐπὶ ἐλέῳ· καὶ ἔπαγε καὶ βιαιότερον νόημα· καὶ τοῦ παιδὸς δηλονότι μέρους[7] ὄντος τῆς πόλεως· ὥστε καὶ εἰ ἠδίκησα, οὐ καθόλου τὴν πόλιν ἠδίκησα· πῶς γὰρ ὑπὲρ τοῦ ἡμετέρου παιδὸς μέρους καὶ αὐτοῦ ὄντος τῆς πόλεως ἐποιούμην τὴν πρόνοιαν; καὶ τὰ τοιαῦτα· μετὰ ταῦτα ἐμπεσεῖται ἄλλα ἀπ' ἀρχῆς ἄχρι τέλους, ἐκ τῆς περιστάσεως καὶ τῆς ὕλης ἐμπίπτοντα· ἐπειδὴ γὰρ μαθὼν τὸν χρησμὸν ὁ παῖς ἀνεῖλεν ἑαυτὸν, τοῦτο αὐτὸ πάλιν φήσεις εἰς λύσιν τῆς συγγνώμης· οἷον, ἀλλὰ κατὰ γνώμην ἦν τῷ παιδί· λύσεις πάλιν συγγνωμονικῶς· ὅτι τοῦτο μάλιστα μὲν ἠγνόουν, εἰ κατὰ γνώμην ἐστὶ τῷ παιδὶ ὁ θάνατος ἢ οὔ· πόθεν γὰρ εἶχον ἰδεῖν, ἁπάντων ἀνθρώπων φευγόντων τὸν θάνατον· εἶτα εἰ καὶ ἠπιστάμην, ταύτῃ μάλιστα ἐφοβούμην ἀφαιρεθῆναι τοῦ παιδὸς, μόνου ὄντος, μόνου διέποντος τὴν οἰκείαν, συγκάμνοντος, παραμυθουμένου ἐν ταῖς δυστυχίαις, ἀρκοῦντος πρὸς λύσιν τῶν συμφορῶν, ἐν ταῖς εὐτυχίαις συνηδομένου· εἶτα ὅτι καὶ πεφύκασιν ἅπαντες δυσαποσπάστως ἔχειν πρὸς τὸ γένος, καὶ μάλιστα πρὸς τοὺς παῖδας· ὥστε τοῦτον

---

6 Vind. βίον.    7 Ald. μέρος.

διακείμενος τὸν τρόπον πῶς ἠδυνάμην εἰπεῖν; πῶς δ' ἂν ἐκαρτέρησα τὸν χρησμὸν ἐννοῶν, ἀνατροφὴν τοῦ παιδὸς, παίδευσιν, ἀναγωγὴν, χωρισμὸν, θάνατον; ταῦτα παρεσκεύασέ μοι τὴν σιωπὴν, ταῦτα τὸν χρησμὸν μὴ[8] καταμηνῦσαι πεποίηκε, καὶ ὅσα τοιαῦτα. ΜΕτὰ ταῦτα θήσεις τὴν μετάληψιν· ἀλλ' ἔδει, φησὶ, προτιμῆσαι τὴν πόλιν. Ἡ Λύσις ἐκ τῶν ὑποκειμένων κατὰ συνδρομήν· ὅτι φημὶ καὶ αὐτός· καὶ γὰρ οὕτως ἤχθην καὶ τῷ παιδὶ ταῦτα παρήγγελλον· ἀλλ' ἡ φύσις ἀναγκαιοτέρα· καὶ ὅτι αὐτὴ ἄγει καὶ ἄγχει τὰ σύμπαντα· καὶ ὅτι με κατηνάγ-
389 κασεν· εἶτα καὶ ἐκ παραδειγμάτων τοῦτο πίστωσαι· ὅτι καὶ τὰ θηρία ὁρῶμεν καὶ πᾶν ἄλογον ζῶον ἀγόμενον ὑπὸ τῆς φύσεως, καὶ μάλιστα πάντων τοῦ γένους προνοούμενον διὰ τὴν φύσιν, καὶ ἀπομαχόμενον ὑπὲρ τῆς φύσεως, καὶ κινδυνεῦον πολλάκις, καὶ ὅσα τοιαῦτα· εἶτα ἐρεῖς, οὕτως καὶ αὐτὸς ἤχθην ὑπὸ τῆς φύσεως, κατηναγκάσθην ἐπὶ ταύτην ἐλθεῖν τὴν ἐγχείρησιν· καὶ ὅτι πολλοὶ ὑμῶν πολλὰ παρορῶσι κατὰ τὴν φύσιν· καὶ ὁ μὲν ζημίας ὑπερεῖδε πολλάκις, ἵνα τί χαρίσηται τῷ παιδὶ· ὁ δὲ προςέσται, πάντα διὰ τὴν τούτου σωτηρίαν ἐπίσταται· καὶ ὅτι ἀκόλουθόν ἐστιν, οὕτω διακεῖσθαι μέρους τινὸς[9] τῶν παίδων ὄντων[10] ἡμῶν, καὶ τὰ τοιαῦτα, τὰ μὲν φυ-

---

8 μὴ Ald. Codd. om. Sensu postulante addidi: ut οὐ, ita μὴ saepius excidit: Aristid. τέχν. ῥητ. Α. p. 484. διὸ καὶ ἄκαιρος φαίνεται τὰ ἑτέρων ὀνόματα ἄλλοις ἀκαίρως προςνέμουσα, καὶ τὰ πράγματα φράζουσα. Par. καὶ μή. Apsin. p. 698. ἡ κατὰ μείωσιν γίνεται λύσις, ἐπὰν ἀνελεῖν μὲν μὴ δυνώμεθα πάντη τὸ λεγόμενον ὑπὸ τοῦ ἀντιδίκου. Ald. μὴ om. Hermog. περὶ εὑρ. p. 88, 7. ἐὰν δὲ βοηθώμεθα ἀπὸ τῆς ἱστορίας, ἡ προκατάστασις διαβολὴν ἕξει τοῦ πολέμου. Vind. Par. 1. ἐὰν δὲ μὴ βοηθ. Joseph. bell. Jud. IV, 3, 2. καὶ πρῶτον μὲν ἐν οἰκίαις ἥπτετο τῶν μὴ ὁμονοούντων πάλαι τὸ φιλόνεικον. Par. 1425. μὴ om. 9 Ald. Codd. τινά. 10 Ald. Vind. ὄντος. Par. ὄντων (ος written above).

σικῶς ἐξετάζων ἐρεῖς, τὰ δὲ γνωμικῶς, τὰ δὲ ἐκ παραδειγμάτων, τὰ δὲ ἐκ παραβολῶν· εὑρήσεις δὲ πολλὰ πρὸς τοῦτο νοήματα. ΜΕτὰ ταῦτα θήσεις ἄλλην μετάληψιν· οἷον, ἀλλ' ἔδει ἀπαγγείλαντα δεηθῆναι τῆς πόλεως ὡς ἐπανέρεσθαι [11] τὸν θεόν. Ἡ λύσις κατὰ ἀναίρεσιν· ὅτι οὐδεὶς ἄν μοι συνεχώρησε τοῦτο ποιῆσαι· οὐδ' ὑμεῖς ἄν μου ἠνέχεσθε δεομένου καὶ λιπαροῦντος ἔρεσθαι τὸν θεόν· καὶ ὁ ἔχων [12] λοιμὸς αὐτοὺς καὶ ἡ νόσος οὐδὲ ἕνα ἔδωκεν ἄν μοι καιρὸν [13] παρακλήσεως, τοῦ μὲν κειμένου, τοῦ δὲ μέλλοντος· εἶτα ὅτι πάντες οἱ νοσοῦντες [14] περιέστησαν ἀντιλέγοντες, οὐδ' ἂν ἠνέσχοντο ἔτι πλείονα χρόνον τῇ νόσῳ συμπλέκεσθαι· ἕως πάλιν ἀπελθὼν δεηθῶ τοῦ θεοῦ· εἶτα ὅτι καὶ εἷς ὢν ὁ παῖς ἀντὶ τοσούτων ἀπελθεῖν οὐδὲν δεινὸν ὑμῖν ἐνομίσθη ἀντὶ παίδων, ἀντὶ γυναικῶν, ἀντὶ πρεσβυτέρων, καὶ ὅσα τοιαῦτα. ΜΕτὰ ταῦτα οἱ ἐπίλογοι· ὁ ἐπίλογος τοῦ μὲν στρατηγοῦ· ὅτι πολλὰ κέκμηκα ὑπὲρ ὑμῶν, ὑπὲρ παίδων, ὑπὲρ γυναικῶν· καὶ μάλιστα πολλοὺς ἐτήρησα· καὶ ὅτι οὐδέποτε τοῦ οἰκείου ἐγενόμην, καὶ ὅτι οὐδεμίαν μάχην ἥττημαι, καὶ ὅτι οὐδὲ παῖς ὑμῶν δι' ἐμὲ ἐδούλευσεν· τὸ διὰ τούτων καὶ τῶν τοιούτων τὸ μὴ ἀποχειροτονηθῆναι αὐτὸν οἰκονομήσεις· εἶτα ἐρεῖς· ὅτι, ἀλλ' ἐπειδὴ ἅπαξ ὁ παῖς ἀπέθανεν, συγχωρήσατέ μοι γενέσθαι περὶ τὸν τάφον· συγχωρήσατέ μοι σχολάσαι τοῖς πάθεσιν, ἐναπολαῦσαι τῆς συμφορᾶς, καὶ τὰ τοιαῦτα· εἶτα ἐρεῖς· δεῦτε πάντες περὶ τὸν τάφον, χοὰς ἐνέγκωμεν, ὁ μὲν ὑπὲρ παίδων, ὁ δὲ ὑπὲρ γυναικός· εἷς οὗτος, ἄνδρες, ὑπὲρ ἡμῶν ἐκινδύνευσεν· εἷς οὗτος τὸν λοιμὸν τόν καθ' ἡμῶν ἀπεκώλυσεν· οὗτος καὶ τοῦ πατρὸς εὐτυχέστερος· οὗτος ὡς ἀληθῶς

---

11 Ald. Codd. ἐπαναίρεσθαι. Vide epist. crit. p. 15. Rhet. Gr. T. I. p. 292. 12 Ald. Codd. καὶ ὅς τις. 13 Vind. Par. καιρός. 14 Ald. Vind. νοοῦντες. Par. νοῦντες. cfr. p. 153, 8. ubi νόημα et νόσημα confunduntur.

εὐδαίμων· εἶθ' ὅτι τοιόνδε καὶ τοιόνδε τὸν τάφον κατασκευάσωμεν· ἐπιγράψωμεν τοῦτον εὐεργέτην, σωτήριον, ἀλεξίκακον· ἐπιγράψωμεν τῷ τάφῳ, οἷον ὁ λοιμὸς ἦν, ἵνα τοῖς μετὰ ταῦτα μένῃ[15] τῆς εὐεργεσίας τὸ γνώρισμα· ἵνα ζηλῶσιν ἅπαντες, ἵνα γινώσκωσιν[16], οἷος ὁ παῖς μετὰ τὴν ἀναίρεσιν ἔτυχεν· εἶτα ἐρεῖς, ὅτι σπουδάσωμεν ἵλεων τοῦτον ἔχειν καὶ εὐμενῆ[17] διὰ τῶν τιμῶν, διὰ τῶν ἐναγισμῶν· διὰ γὰρ τῶν τοιούτων καὶ τοσούτων νοημάτων τὸ ὅτι ἐάν με[18] ἀποχειροτονήσητε τῆς[19] [σιωπῆς, λυ-]πηθήσεται ὁ παῖς ἐμφανής· ἐρεῖς οὖν, ἔστι τοῖς τελευτήσασι καὶ μετὰ θάνατον αἴσθησις· γινώσκουσιν ἅπαντα· ἐπισκοποῦσι τὰ γιγνόμενα· πάντως που[20] καὶ παρὰ[21] τὸ δικαστήριον ἕστηκε· πάντας ὑμᾶς ψηφοφοροῦντας[22] ὁρᾷ· εἶτα ἀποστρέψας τὸν λόγον πρὸς τὸν παῖδα, κατάκλινον[23] εἰς εὐχὴν τὸν λόγον· ἀλλ' ὦ παῖ πρὸς τὸ δεινὸν εὐτολμότατε· ὦ μεγαλοψυχίᾳ νικήσας τὰ σύμπαντα· εἴτε παρὰ τὸ δικαστήριον ἕστηκας, εἴτε ἄνωθεν ἡμᾶς ἐπισκοπεῖς, καὶ[24] δήμου τὸν λοιμὸν ἀπελαύνεις ἀεὶ, πόῤῥω τῆς πόλεως τὴν συμφορὰν, καὶ προξενοίης τὰ μέγιστα[25], ἵνα ταῖς περὶ τὸν δῆμον χάρισι τοὺς φθάσαντας ἅπαντας εὐεργέτας νικήσειας.

---

15 Ald. Vind. *μένει.* Par. *μένης.* 16 Ald. Vind. *γινώσκουσιν.* 17 Ald. Vind. Par. *καὶ εὐμενῆ* om., recepi ex Med. 18 Med. *ἐμέ.* 19 Lacuna est in Ald. Vind. Par. Ven. Abest a Med. sed non suppletur. 20 *που* ab Ald. Vind. Par. abest: recepi ex Med. 21 Ald. *περί.* Vind. Par. Med. *παρά.* 22 Ald. Vind. *ψηφοροῦντας.* tum pro *ὁρᾷ*, quod recepi ex Med. legitur in Ald. Vind. Par. *ἐᾷ.* vide p. 188, 5. 23 Med. *κατάκλεισον.* 24 Med. *τοῦ* pro *καί.* 25 Ald. Vind. *μέγιστα.*
*ἀλ*
Par. *μέγιστα.* Med. *μάλιστα.*

## ΑΛΛΗ ΣΥΓΓΝΩΜΗ.

*Ἀλεξάνδρου ἐπίοντος, ἔπεμψαν Θηβαῖοι πρὸς Μεσσηνίους, συμμαχίας[1] δεόμενοι· οὐκ ἀπηγγείλαντο τὴν βοήθειαν[2]· κατεσκάφησαν Θηβαῖοι· καὶ κρίνονται μετὰ τὸν ἀνοικισμὸν ὑπ' αὐτῶν ἀχαριστείας[3] Μεσσήνιοι.*

Ὁ λόγος πομπείας μεστὸς καὶ τῆς Θηβαίων μεγα- 390 λοψυχίας ἐπάξιος· σκοπὸς δὲ αὐτοῖς οὗτος· οὐ τοὺς Μεσσηνίους ἑλεῖν, ἀλλὰ φοβῆσαι πάλιν Λακεδαιμονίους· ὡς τὴν ἀρχὴν πάντες καὶ τὴν δυναστείαν ἀνειληφότες· ὅθεν αὐτοῖς ἡ κατάστασις ἕξει πῶς[4] διακειμένων Μεσσηνίων πρὸ τοῦ, καὶ τίνα σχόντων ὑπὸ Λακεδαιμονίων, αὐτοὶ προὔστησαν, ἠλευθερώθησαν· εἶτα μετὰ τὴν[5] τῆς τοιαύτης εὐεργεσίας αὔξησιν τὰ κατ' Ἀλεξάνδρου ἐρεῖς, καὶ τὴν ἔφοδον[6] καὶ τὴν πρεσβείαν τὴν[7] πρὸς Μεσσηνίους· εἶθ' ὅτι οὐκ ἐδέξαντο, ἀλλ' ἀμνήμονες τῶν παρ' ἡμῶν αὐτοῖς ὑπαρξάντων γεγένηνται[8]. εἶτα ἐρεῖς τὴν κατασκαφὴν, καὶ τὸ μετὰ ταῦτα ἀνακτήσασθαι τὴν πόλιν, καὶ τὴν νῦν οὖσαν γραφήν. ΟΡΙΚὰ παραγραφικὰ ἐξ ἀντιθέσεως· ἀλλ' οὐκ ἠμνημονήσαμεν[9], φησὶ, τῆς χάριτος, οὐδὲ τῆς παρ' ὑμῶν ἐπιμελείας ἐπιλελήσμεθα·[10] τῷ[11] γὰρ λέγειν, τί ἐστιν ἀχαριστῆσαι, τὸ μηδὲ ἐμβαλεῖν εἰς τὴν ὑμετέραν, τὸ μὴ δῃῶσαι, τὸ μηδὲν τοιοῦτον ἐργάσασθαι, οὐκ ἔστι τὸ τῆς ἀχαριστείας ἔγκλημα ἀκόλουθον, ἀλλ' εἰ ἄρα ἀδικίας ἐκρίνοντο. ΛΥσεις, ὅτι οὐ μόνον ταῦτά ἐστιν, ἀλλὰ τὸ πολεμουμένοις ὑμῖν μὴ

---

1 Ald. Vind. Par. συμμαχίαν. Med. συμμαχίας. 2 Ald. Codd. ἀπηγγείλαντο. Vide de hac confusione Rhet. Gr. T. I. p. 15. 3 Med. ἀχαριστίας. 4 Med. πως. 5 τὴν Ald. Vind. om. recepi ex Med. in Par. τὴν omisso τῆς. 6 Ald. Vind. Par. αὔξησιν. Med. ἔφοδον. 7 τὴν ex Med. recepi. 8 Ald. Vind. γεγένηται. 9 Ald. Codd. ἐμνημονήσαμεν. 10 Ald. Vind. ἐπιλελήμεθα. 11 Ald. Codd. τό. scripsi τῷ.

βοηθῆσαι, καὶ Ἀλεξάνδρου ἐπιόντος μὴ προαπαντῆσαι διατύπωσις ἦν τῆς πολιορκίας, καὶ τῆς ἐφόδου Ἀλεξάνδρου, καὶ τῆς αὐτῶν καρτερίας· καὶ ποικίλοις σχήμασιν αὔξων ἀποδείξεις[12] τοῖς ὁρικοῖς τόποις τοῦτο εἶναι ἀχαριστείαν[13]. ΜΕΤΑ ταῦτα παραγραφικὰ θήσεις, τὸ ἔγκλημα προηγουμένως αὐτὰ κατασκευάζων· ὅτι καλούμενοι οὐχ ὑπηκούσατε, οὐδὲ ἀπηντήσατε[14] πρὸς τὴν μάχην, οὐδὲ συνεβάλεσθε ἡμῖν κάμνουσιν. ΕΙτα κατασκευάσεις αὐτὰ τῇ διανοίᾳ· εἰδότες ὅτι πόλεις καὶ ἀγροὺς δηλεῖται[15], καὶ τείχη πυρπολεῖ, καὶ δῃοῖ χώραν, καὶ παντάπασιν ἀναιρεῖ τὴν πόλιν, καὶ τὰ τοιαῦτα. ΕΙΤΑ ὁ βίαιος ὅρος· ὅτι καὶ τούτῳ μάλιστα αὐτό ἐστι τὸ ἀχαρίστους εἶναι. ΜΕτὰ ταῦτα θήσεις ἀντίθεσιν συγγνωμονικήν· ἀλλ' ἐφοβήθημεν, φησὶ, τὸν Ἀλέξανδρον. Ἡ Λύσις κατὰ ἀναίρεσιν· πρῶτον ἐφοβήθητε, μὴ δῃώσῃ τὴν πόλιν ὑμῶν· μὴ γὰρ εἰς τὴν ὑμετέραν ἐνέβαλεν· μὴ γὰρ ὑμῖν ἐπὶ τῆς χώρας ὁ κίνδυνος ἦν· εἶτα ὅτι ἔδει καὶ συμπαθεῖν ἡμῖν, ὅπερ ἐστὶ τῆς μεταλήψεως· εἶτα ἐπάξεις μετὰ τῆς μεταλήψεως τὴν κατασκευήν· εἰ δὲ μὴ βοηθεῖν ἠβούλεσθε[16] φοβούμενοι Ἀλέξανδρον, τί πρὸς αὐτὸν ὑπὲρ ἡμῶν οὐκ ἐπρεσβεύετε; τί μεθ' ἱκετηρίας αἰτοῦ οὐκ ἐδέεσθε; τί τῆς ὀργῆς αὐτὸν οὐκ ἐκωλύετε; ΜΕΤΑ ταῦτα θήσεις ἀντίθεσιν στοχαστικὴν παρὰ Μεσσηνίων· ἀλλ' εἰκὸς

---

12 Ald. ἀποδείξας. Vind. Par. Med. ἀποδείξεις. 13 Med. ἀχαριστίαν. 14 Ald. Codd. ἀπαντήσατε. 15 Ald. Codd. πολέμους καὶ ἀγροὺς δηλοῖ. in Epist. crit. p. 43. scripsi δῃοῖ. Censor Epistolae in Ephem. Jenens. 1831. nr. 103. Ὅτι τὸ πολεμεῖν λειμῶνας καὶ ἀγροὺς δηλεῖται. Magis placet Finkhii conjectura: *Πόλεις καὶ ἀγροὺς δηλεῖται*, ut Liv. XXII, 6. qui legiones nostras cecidit, agrosque et urbem est depopulatus. πόλις et πολέμιος confunduntur. Vide Dorv. ad Char. p. 630. Lips.

16 Vind. ἠβούλεσθαι.

εἰκὸς ἦν φιλονεικότερον γενέσθαι καθ' ἡμῶν τὸν Ἀλέξανδρον· ἢ οὕτως, ἀλλ' εἰκὸς ἦν μηδὲν ἡμᾶς ὠφελῆσαι πρεσβευσαμένους[17] πρὸς τὸν Ἀλέξανδρον. Ἡ λύσις κατὰ ἀνατροπὴν, ὅτι παρακαλούμενοι οἱ ἄνθρωποι καὶ ἱκετευόμενοι πεφύκασι μεταβάλλεσθαι·[18] καὶ ὅτι ἅπαν ἔργον[19] λύει ὀργὴν ἱκέτης φαινόμενος· καὶ ὅτι εἰ ἐν τῷ πολέμῳ τοὺς ἱκέτας σώζουσι, πολλῷ πλέον πρὸ τοῦ πολέμου παρακαλούμενοι· εἶθ' ὅτι καὶ νόμος ἐστὶ[20] τοὺς ἱκέτας σώζειν ἐν πολέμοις, καὶ ὅτι πάντες ἄνθρωποι τοὺς ἱκέτας αἰσχύνονται, καὶ ὅτι καὶ ἐν πολέμῳ καὶ ἐν εἰρήνῃ τοὺς ἱκέτας αἰδούμεθα, καὶ ὅσα τοιαῦτα. ΜΕΤΑ ταῦτα ὁ ἐπίλογος Θηβαίων· ἔχει δὲ φιλοτιμίαν πολλὴν καὶ ἐπίδειξιν· μηδεὶς ἔτι ὑμῶν ταραττέσθω· γινώσκετε,[21] ὅτι Θῆβαι ἔῤῥωνται, ἂν ἀδικῶσι Λακεδαιμόνιοι· πρεσβεύσατε καὶ ὑπακουσόμενοι, βοηθήσομεν οἱ ἡγεμόνες, τοῦ γένους ἡμεῖς οὐ περιοψόμεθα· καὶ ἐκ τούτων ἅπαντα εὑρήσεις τὰ ἐπιλογικά.

## ΕΙΣ ΤΟ ΕΝΑΝΤΙΟΝ ΟΙ ΜΕΣΣΗΝΙΟΙ.

Ἡ κατάστασις Μεσσηνίων ἔχει τὴν βαρύτητα Λακεδαιμονίων καὶ τὴν ἐλευθερίαν Θηβαίων· φαινέσθω γὰρ διόλου Μεσσήνιος εὐγνώμων, ἵνα ἀπ' ἐναντίας ὁ λόγος ᾖ τῷ ἐγκλήματι· εἶτα λεγέτω μετὰ βαρύτητος σφόδρα τὴν τῆς φρουρᾶς ὑπὸ τοῦ Φιλίππου κατάστασιν· καὶ ἀποστρεφέτω τὸν λόγον πρὸς τοὺς Θηβαίους· ὅτι ὑμεῖς τούτων αἴτιοι· τί γὰρ ἐδέχεσθε τὴν φρουράν; τί ἀνάξια τῆς 391
Βοιωτίας ἐπράττετε; καὶ εἴσω τῶν πυλῶν ἐδέχεσθε τὸν Φίλιππον; εἶτα μετὰ ταῦτα τὴν ἐξ ἀκολουθίας Ἀλεξάνδρου ἐπήρειαν· ἐν ᾧ μέρει αὐξήσεις τὴν δύναμιν τὴν Ἀλε-

---

17 Ald. Codd. πρεςβευσαμένου. 18 Ald. Codd. μεταβάλεσθαι. 19 Fort. scribendum πανούργου. 20 Vind. ἐστίν. 21 Vind. γινώσκεται.

ξάνδρου· καὶ ὅτι πᾶσι φοβερὸς ἦν τοῖς Ἕλλησι, καὶ λάθρα τὴν συγγνώμην τῇ καταστάσει τοῦτον ἐγκατάσπειρον [1] τὸν τρόπον. ΕΙΤΑ ἔπαγε τὴν ἔφοδον καὶ τὴν πρεσβείαν μετὰ τοῦ λέγειν· ὅτι ὥσπερ σκηπτοῦ ἢ ζάλης ἤ τινος δαιμονίου ἐπιόντος πρὸς βοήθειαν ὑμεῖς ἐπρεσβεύσατε. ΕΙΤΑ τὴν κατασκευὴν καὶ μετὰ πολλῆς ἡδονῆς τὴν ἀνοίκησιν καὶ περιχαρείας λέγων· ἀλλὰ καὶ χάρις τοῖς κρείττοσι τοῖς ταχέως τὴν Βοιωτίαν ἀναστήσασι, καὶ τὰ τοιαῦτα, ΕΙτα ὅτι μετὰ τὸν ἀνοικισμὸν ἡμᾶς ὡς ἀχαρίστους γράφονται. ΜΕΤὰ ταῦτα ἐρεῖς τὸ ὁρικὸν παραγραφικὸν προηγουμένως κατασκευάζων· καί τοι τί ἀχαριστείας ἡμεῖς ἐνεδειξάμεθα ἔγκλημα; τί τῆς τοιαύτης κατηγορίας καθ᾽ ἑαυτῶν ἐξηνέγκαμεν; [2] οὐχ ὁμολογοῦμεν τοὺς εὐεργέτας; τοὺς ἐλευθερωτὰς οὐ γνωρίζομεν; οὐκ ἴσμεν ὅτι Λακεδαιμονίων ἡμᾶς ἐξέλεσθε; ταῦτα ὁμολογοῦμεν, ταῦτ᾽ ἴσμεν, ταῦτα κηρύττομεν ἅπασι, καὶ ὅσα τοιαῦτα. ΕΙΤα ἐξ ἀντιθέσεως τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους· ἀλλ᾽ οὐχ ὑπηκούσατε, φησὶν, ἡμῖν καλούμενοι. Ἡ Λύσις τῇ συγγνώμῃ· ὅτι ἐφοβήθημεν Ἀλέξανδρον· οὐκ ἠνέγκαμεν αὐτοῦ τὴν κατὰ πάντων Ἑλλήνων ἀλαζονείαν. διὰ τοῦτο οὐχ ὑπηκούσαμεν, τῶν μὲν [3] ἀναιρουμένων, τῶν δὲ δουλευόντων, τῶν δὲ μεθισταμένων, ἐκείνου δὲ καθάπερ ἐξ οὐρανοῦ τοῖς ἅπασιν ἐπιτάττοντος, ἐφοβήθημεν ἄνθρωπον ὑπερβαίνοντα τὴν τύχην, καὶ τὴν οἰκείαν φύσιν οὐκ ἐπιγινώσκοντα, ἀλλὰ θεοὺς ἑαυτοῦ πατέρας ἐπιφημίζοντα· ταῦθ᾽ ὁρῶντες, ταῦτα μανθάνοντες, ἐφοβήθημεν ἀντιστῆναι, καθάπερ σκηπτῷ ἐπιόντι τῷ μειρακίῳ. καὶ ὅσα τοιαῦτα. ΕΙΤΑ τῇ διανοίᾳ. εἰ γὰρ μὴ δι᾽ Ἀλέξανδρον ὑμῖν οὐχ ὑπηκούσαμεν, τίνος ἕνεκα οὐκ ἐβοηθοῦμεν τοῖς εὖ ποιήσασιν. οὐκ ἄνωθεν

---

1 Ald. ἐγκαιτασπείρου. Vind. ἐγκατασπείρον. Par. ἐγκατάσπειρον. 2 Ald. Codd. ἐξενέγκαμεν. 3 μὲν Ald. Codd. om.

ἱμῖν ὑπηκούσαμεν; οὐ διὰ παντὸς ἐμείναμεν εἰς ἅπαντα Θηβαίοις πειθόμενοι; ΕΙΤΑ τὸν ἔμπροσθεν χρόνον οὕτω πρὸς ὑμᾶς διατεθέντες, τίνος ἕνεκα νῦν οὐκ ἐβοηθοῦμεν ὑμῖν; ἀλλ' ἔστι πρόδηλον τὸ δεινόν· καταφανές ἐστι τὸ κώλυμα. Ἀλέξανδρος οὖν ὁ κωλύων φανῆναι Μεσσηνίων τὴν πρὸς ὑμᾶς διάθεσιν. Εἶτα τῷ βιαίῳ ὅρῳ, ὅτι οὐδέ τοῦτο ἀχαριστία ἐστὶ, τὸ κινδύνου τοσούτου ἐπηρτημένου φυλάξασθαι, ὡσανεὶ[4] πυρὸς ἢ σκηπτοῦ ἐπιόντος τὸ καθ' ἑαυτὸν ἑκάστου ποιουμένου τι τῶν δεινῶν, καὶ αὐτὸ τὸ μέρος οὐ μετελάμβανε, καὶ ὅσα τοιαῦτα. ΜΕτὰ ταῦτα θήσεις τὴν ἀντιληπτικὴν ἀντίθεσιν. ἀλλ' ἔδει, φησὶ, συμπαθεῖν. Ἡ Λύσις, καὶ τί τὸ κέρδος ἡμῖν; τί δὲ ἄφελος εἰ κείμενοι Μεσσήνιοι μετὰ Θηβαίων ἐφάνησαν; τί γὰρ παθόντες ἡμεῖς ὑμᾶς ἀπεῖρξαι τῆς συμφορᾶς ἐμέλλομεν; καλῶς εἶχεν οὗτος ὁ λόγος· εἰ δὲ καὶ παθόντων ἡμῶν ὑμεῖς κινδυνεύειν ἠμέλλητε, τίνος ἕνεκα καὶ συμπαθεῖν ἡμᾶς ἐβούλεσθε; ὥσπερ ἂν εἴ τις ναύκληρος χειμαζομένης αὐτῷ τῆς νεὼς καλοίη ναύκληρον ἕτερον τῶν κινδύνων αὐτῷ κοινωνεῖν. καὶ ἄλλα παραδείγματα, νοσοῦντα, κινδυνεύοντα, ζημιούμενον, καὶ οὐδεμία ῥοπὴ ἦν ἐκ τῆς προσθήκης ἡμῶν Ἀλεξάνδρου καθ' ἡμῶν τόσου καὶ τόσου ἐπαγομένου. ΑΛΛη μεταληπτικὴ ἀντίθεσις· ἀλλ' ἔδει δεηθῆναι Ἀλεξάνδρου. ΛΥσις συγγνωμονική· ὅτι ἐφοβήθημεν μὴ ἀποτύχωμεν καὶ προσελθόντες ματαιοπονήσωμεν, καὶ πρὸς τῇ ζημίᾳ καὶ αἰσχύνην ὀφλήσωμεν, κερδάναντες μὲν μηδὲν, χλευασθέντες δὲ, ἐξ ὧν οὐκ ἐπείσαμεν. εἶτα ὅτι καὶ φιλονεικότεροι πάντες εἰώθασι γίγνεσθαι, ὅσοι συνίσασιν αὐτοῖς μᾶλλον δυναμένοις. εἶτα ὅτι καὶ εἰκὸς ἦν ἀγανακτῆσαι πλέον καὶ χαλεπώτερον γενέσθαι καθ' ὑμῶν, καὶ τὰ τοιαῦτα. ΕΠίλογοι· οἱ ἐπίλογοι τῶν Μεσσηνίων φι-

---

4 Ald. Codd. ἂν εἰ. scr. ὡσανεί.

λοτιμίας μεστοὶ, χάριν ὁμολογούντων τοῖς κρείττοσιν, ὅτι πάλιν αἱ Θῆβαι ἀνέστησαν, ὅτι πάλιν Μεσσήνιοι τοὺς
392 αὐτῶν ἐλευθερωτὰς ἀπειλήφασιν· ὅτι Λακεδαιμόνιοι τοὺς ἡγεμόνας μετὰ πάντων Ἑλλήνων ἔχουσι. καὶ χάρις ὅτι Θῆβαι οὐκ ἔμειναν ἔρημοι· ἡ Βοιωτία δὲ γεωργουμένη μεμένηκε γῆ, ἡ Ἡρακλέα καὶ Διόνυσον ἐνέγκασα, ἡ τὸ μέγα τρόπαιον κατὰ Λακεδαιμονίων ἐγείρασα, ἡ τῶν Ἑλλήνων καὶ παντὸς ἅμα τοῦ γένους ἡγεμονεύσασα, καὶ τὰ τοιαῦτα.

**Πατὴρ τῷ ἑτέρῳ παίδων ἐνεχείρησε τὸν υἱὸν ἀνελεῖν· ὁ δὲ ἐκπέμψας αὐτὸν εἰς τὴν ἀλλοδαπὴν ἀποκηρύττεται.**

Ἡ κατάστασις τοῦ πατρὸς ἔχει τὴν ἐπιθυμίαν τοῦ γάμου διὰ παῖδας, καὶ τὴν τῶν παίδων γένεσιν, καὶ τὴν ἀνατροφὴν αὐτῶν, καὶ τὰς αὐτοῦ συμβουλὰς, καὶ τα ἁμαρτήματα τοῦ ἑνὸς κατὰ ἔμφασιν, καὶ τὴν παραίνεσιν τὴν ἐπὶ τούτοις, καὶ ἀπειλῶν ἐνδεικνύμενος οὐκ ἐπαυόμην, ἐλπίζων αὐτὸν ἐπιστρέφειν. ὡς δὲ πάσης ἐπιτιμήσεως τὰ γιγνόμενα μείζονα ἦν, καλέσας τὸν λειπόμενον εἶπον. ἄτοπος μὲν ὁ λόγος, ἀλλ' ὅμως ὑπάκουσον· ὑπερῆρεν ὁ ἀδελφὸς ἅπασαν ἐπιτίμησιν τοῖς ἑαυτοῦ πλημμελήμασι, νενίκηκεν ὀργὴν, πατρὸς ἀγανάκτησιν· τί οὖν εὗρον αὐτῷ τῆς ἀπαλλαγῆς ταύτην ὁδὸν, μίαν τῶν ἁμαρτημάτων διόρθωσιν, ἀναίρεσιν καὶ σφαγήν· σοὶ οὖν ἐγχειρίζω τὸν ἀδελφὸν, σοὶ τὴν τούτου πιστεύω σφαγήν· ὁ δὲ δεξάμενος οὐκ ἀνεῖλε μὲν, πεποίηκε δὲ ἐκποδὼν, καὶ τὴν τοῦ πατρὸς ἠκύρωσε πρόσταξιν, καὶ κατημέλησε τῶν ἐμῶν ἐντολῶν. ὅθεν εἰκότως ἦλθεν ἐπὶ τόν νόμον· ἦλθον ἐπὶ τὸ δικαστήριον ἀποκηρύξαι τοῦτον, ὡς οὐκ ἐμὸν ὄντα προήγημαι· καὶ τὴν συγγνώμην ἐξ ἀντιθέσεως. ΑΛΛ' ἠλέησα, φησὶ, τὸν ἀδελφόν. ΛΥσεις· τὸν δὲ πατέρα τοιαῦτα πεπονθότα οὐκ ἠλέησας· καίτοιγε πρὸ πάντων ἔδει ἐλεῆσαι ἐμέ· εἶθ' ὅτι προτιμότερος ἦν ἐγώ·

κἀμοὶ μᾶλλον ἔδει συναγανακτῆσαι, καὶ οὐ τῷ ἀδελφῷ. εἶτα ὅτι εἰ καὶ ἠλέησας, οὐκ ἔδει παρακοῦσαι τοῦ πατρὸς, καὶ δεξάμενον μὴ ποιῆσαι τὸ κελευσθέν· εἶτα τῇ μεταλήψει λυούσῃ τὴν συγγνώμην, ὅτι ἔδει τὴν ἀρχὴν μὴ λαβεῖν τὸν παῖδα, μηδὲ ἐγχειρισθῆναι τὴν ἀναίρεσιν· μηδὲ ὑπουργῆσαι τῷ πατρὶ, μηδὲ ἐκ τοῦ δέξασθαι συγκαταθέσθαι[1] τῷ τολμήματι· νυνὶ δὲ σκεψάμενος παραλαβὼν τὸν ἀδελφὸν ὁμολογήσας ἀνελεῖν οὐχ ὑπήκουσεν·[2] οὐκ ἤνυσε τὸ προσταχθὲν, ἀλλὰ κατεφρόνησε τοῦ πατρός. παρεῖδε τὰς ἐμὰς ἐντολὰς, μίαν μοι ταύτην ὑπὲρ τροφῶν, ὑπὲρ ἀγωγῆς ἐδίδου τὴν χάριν· νῦν δὲ οὐδὲν ἀνύσας τῶν[3] ἐμοὶ καθ' ἡδονὴν καὶ ἠπάτησε· καὶ ἐκπέμψας, ὡς ἀνελὼν τὸν παῖδα οὕτω σοφίζεταί με· ἀλλὰ ταὐτὸν εἶναί φησιν παρά σοι ἀποδημίαν καὶ θάνατον. Ἢ Οὕτως· ἀλλ' ἀφανῆ, φησὶ, κατέστησα[4] τὸν παῖδα τῷ πατρὶ, ἐναγὴς γενέσθαι μὴ προαιρούμενος. ΛΥσεις μεταληπτικῶς· ἔδει παρακαλεῖν, οὐκ ἀπατᾶν οὐδὲ ψεύδεσθαι· οὐ γὰρ ταὐτόν ἐστι τεθνάναι καὶ ζῆν· οὐδὲ περιεῖναι καὶ διεφθάρθαι. ΕΠίλογος κοινὸς τῇ ποιότητι τοῦ πατρὸς πρὸς τὴν ὀργὴν παροξυντικὸς,[5] γνώμη ὅτι καλὸν, ὑπήκοον ἔχειν υἱὸν, ὅτι δίκαιον αὐτὸν τιμωρήσασθαι, ὅτι συμφέρει, ἵνα ὦσιν οἱ παῖδες πειθήνιοι. ΜΕτάληψις· διαιρεῖται ἡ μετάληψις παραγραφικῷ ἀναγκαίῳ ὄντι, καὶ ἀεὶ ἐμπίπτοντι αὐτοῖς τοῖς κεφαλαίοις, ὁρικοῖς κεφαλαίοις, κατασκευάζουσι τὴν μετάληψιν ἢ ἀναγκάζουσι· μιᾷ τῶν λογικῶν, μεταλήψει δευτέρᾳ ἐὰν ἐμπίπτῃ.[6] ἘΠιλόγῳ· οἷον τὸ παραγραφικόν ἐστιν· οὐκ ὀφείλω κρίνεσθαι, μοιχὸν ἢ ἄδικον ἢ προδότην ἤ τινα τοιοῦτον ἀνελών.

1 Ald. Codd. συγκαθέσθαι. 2 Par. ἐτόλμησεν. ad marg. ὑπήκουσεν. [Ald. ἠπήκουσεν]. 3 Ald. Codd. τοῖς scr. τῶν. 4 Ald. κατέστησε. Vind. Par. κατέστησα. 5 Ald. Codd. παροξυντικόν. 6 Ald. Vind. πίμπτῃ.

ΕΙΤΑ οὐ μετάληψις· ἀλλ' οὐ σοὶ δέδοται, ἢ ἀλλ' οὐ νῦν σοι δέδοται ἀναιρεῖν,[7] ἢ ἀλλ' οὐκ ἐνθάδε σοι δέδοται ἀναιρεῖν, ἤ τι τοιοῦτον· οἷος ἐὰν ὑπάρχῃ ὁ τρόπος τῆς μεταλήψεως[8] ἢ κατὰ χρόνον ἢ πρόσωπον ἢ τόπον ἢ ἀφορμήν· οἷον οὐ διὰ χρήματα ἀναιρεῖν. εἶτα τὴν μετάληψιν κατασκευάσεις τοῖς ὁρικοῖς κεφαλαίοις· ὥςπερ γὰρ ἐν τῷ ὅρῳ τὴν πρότασιν τοῦ ὅρου τὰ ἑξῆς κεφάλαια κατασκευάζει καὶ ἀνασκευάζει, ἐὰν ἔχῃ ἡ ὕλη τοῦ μελετωμένου
393 πλάσματος, εἴτε χρεία τοῦ κατασκευάζειν εἴη, εἴτε τοῦ ἀνατρέπειν τὰς προτάσεις ὁρικάς, οὕτω καὶ ἐν τῇ μεταλήψει κατασκευάσεις ὁρικοῖς κεφαλαίοις, ὅρῳ, συλλογισμῷ, πηλικότητι·[9] οἷον τῆς μεταλήψεως οὔσης, οὐ σοὶ δέδοται ἀναιρεῖν,[10] κατασευάσεις αὐτὴν οὕτω τοῖς ὁρικοῖς· ὅρῳ· ἕτερόν ἐστι τὸ τὸν δήμιον ἀνελεῖν, ἢ σέ· καὶ συλλογισμῷ, ὅτι οὐκ ἔστιν ἴσον τὸ τὸν δήμιον ἀνελεῖν, καὶ σὲ ἀνελεῖν· καὶ πηλικότητι· ὅτι δεινόν ἐστιν ὑπὸ σοῦ ἀναιρεθῆναι, ἐχθροῦ ὄντος. οὐδὲν δὲ τὸ ὑπὸ τοῦ δημίου· ὁ δὲ ἀντιλέγων ἤτοι ὁ φεύγων ἀνασκευάζων τὴν μετάληψιν, ὁμαίως τοῖς ὁρικοῖς τύποις, οὕτω χρήσεται ὅρῳ· οὐδὲν διαφέρει τὸ ὑπ' ἐμοῦ ἢ τοῦ δημίου ἀναιρεθῆναι· εἶτα τῷ πηλίκῳ, ὅτι οὐδέν ἐστι τοῦτον τὸν τρόπον ἢ ἐκεῖνον ἀναιρεθῆναι· μετὰ τὴν κατασκευὴν τῆς μεταλήψεως ἔστι μία τῶν λογικῶν· πάντως γὰρ κατὰ μίαν τούτων ἐστὶν ἡ μετάληψις· ἣν ἐὰν εὕρῃς, ῥᾷστα τὴν ἀντίθεσιν εὑρήσῃς τὴν ἐμπίπτουσαν· οἷον, ἢ ἀντεγκληματική ἐστιν, ὡς ἐπὶ τῶν ἀνελόντων μοιχόν· καὶ ἐρεῖς ὅτι ἄξιος ἦν τοῦ ἀναιρεθῆναι, ἢ κατὰ ὅρον ἐστὶν, ὡς ἐπὶ τῆς ἱερείας τῆς μυούμενον ἀνελούσης τύραννον· ἐρεῖ γὰρ ὅτι οὐδὲ τύραννος ἦν οὗτος ὁ μυούμενος, καὶ ἐκτὸς ὢν δορυφόρων, καὶ αὐτῆς ἀκροπόλεως, καὶ σχήματος τυ-

7 Vind. ἀνερεῖν. 8 Ald. Par. μεταλήξεως. Vind. μεταλή εως. 9 Ald. πελλικότητι. 10 Ald. ἀνερεῖν.

ραννικοῦ, ἢ κατὰ στοχασμὸν, ἤ τινα ἄλλην στάσιν· εἶτα μετὰ τὴν τοιαύτην ἀντίθεσιν πίπτει πάλιν μεταληπτική· οὐκ ἀναγκαίως δὲ, οἷον ἔδει σε ἀνακοινώσασθαι τῷ δήμῳ, ἔδει κατηγορεῖν, ἔδει ἀναμεῖναι, ἤ τι τοιοῦτον, πρὸς τὴν ἐμπίπτουσαν ὕλην· ὑποδείγματος γὰρ εἵνεκα καὶ χαρακτῆρος ταῦτα προείρηται· μετὰ ταῦτα ἐπίλογος· ἴδωμεν οὖν ἐπὶ προβλήματος τὴν διαίρεσιν.

Νόμου ὄντος τοῦ κατὰ μοιχῶν, καταλαβοῦσα ἡ γυνὴ τὸν ἄνδρα ἀπέκτεινε· καὶ κρίνεται φόνου.

Ἡ κατάστασις γυναικὸς, δῆλον δὲ ὅτι συνήγορος λέγει, ἔχει τὴν τῶν πατέρων ἀναγωγὴν, καὶ πλεονάζοντας τοὺς περὶ σωφροσύνην λόγους ὅτι ἔλεγεν, ἐντεῦθεν ἡ δημοκρατία συνέστηκεν,[1] ἂν ταύτην ἔχῃς,[2] ὦ τέκνον, ἕξεις ἅπαντα κατ' ἀκολουθίαν ἑπόμενα· αὕτη σώζει τοὺς νόμους, αὕτη τὴν πολιτείαν συνίστησιν· εἶτα ἐρεῖς· ὅτι τούτοις ἡ γυνὴ ἐντραφεῖσα τοῖς λόγοις, ἐν τούτοις τὰ κατὰ τὸν βίον ἀναλώσασα, ἐπειδὴ πρὸς τέκνων σπορὰν ηὐτύχησεν[3] σύνοικον, ἔρως ἦν καὶ ἐπιθυμία τοῦ[4] φυλάττειν τὰ παραγγέλματα, τοῦ ζητεῖν μετὰ σωφροσύνης τὴν συνοικίαν ἀσπάζεσθαι· ἀλλ' οὐκ οἶδα πόθεν ἰδοῦσα τὸν ἄνδρα τοὺς νόμους παραβαίνοντα, καὶ τὸν τῆς πολιτείας ἀναιροῦντα θεσμὸν, καὶ διαλύοντα τὰ παρ' ἡμῖν νόμιμα, καὶ διαφθείροντα τὸ γένος, τὴν διαδοχὴν, τὴν διάθεσιν, τοῖς νόμοις ἐπήμυνε, καὶ τὰ τοιαῦτα· εἶτα ἔπαγε τὸ παραγραφικόν· προηγούμενον γὰρ αὐτὸ ἕξει ἡ γυνή· εἶτα μοιχὸν ἀνελοῦσα κρίσιν ὑπομένει καὶ δικαστήριον· καὶ τῶν νόμων[5] αὐτῶν προκατεγνωκότων τοῦ δράματος, αὐτὴ κρίσιν ὑπομένει. καὶ τανῦν ὡς ἀδικοῦσα

1 Par. συνίσταται. ad marg. συνέστηκεν. 2 Ald. Codd. ἔχεις, ὦ τ. ἕξῃς. 3 Ald. ἠντύχησεν. scr. εὐτύχησεν. 4 Ald. Codd. τό. 5 Ald. Codd. γνώμων.

παρ' ὑμῖν εὐθύνεται, δεδωκότων σαφῶς ἀναιρεῖν· καὶ ὅσα τοιαῦτα παραγραφικά. ΜΕτὰ τὸ παραγραφικὸν θήσεις τὴν μετάληψιν, ἥτις [6] ἀεὶ καὶ ἀναγκαίως ἐμπίπτει, ἔστι γὰρ αὕτη ἡ χαρακτηρίζουσα τὴν τάσιν· ἔστι δὲ τῇ γυναικὶ ἐξ ἀντιθέσεως· ἀλλ' οὐ σοὶ, φησὶν, ὁ νόμος δίδωσιν ἀναιρεῖν. ΛΥσεις πρῶτον τῇ διανοίᾳ· πᾶν γὰρ ῥητὸν ἀντιτιθέμενον ἐξ ἀνάγκης καὶ πάντως τῇ διανοίᾳ πρώτῃ λύεται· εἶθ' οὕτως ταῖς ἐμπιπτούσαις λύσεσιν· οἷον ἀλλ' οὐ διῄρηκεν ὁ νόμος, πότερον ἄνδρας ἢ γυναῖκας δεῖ ἀναιρεῖν· εἶτα τοῦτο κατασκεύασον τοῖς ὁρικοῖς· οἷον, οὐδὲν διαφέρει ὑπὸ γυναικὸς, ἢ ὑπὸ ἀνδρὸς τὸν μοιχὸν ἀναιρεῖσθαι· ὅπου τὸ τέλος ἔνεστι καὶ ταὐτὸν, ἡ ἄλλη διαφορὰ παντελῶς ἐστι μάταιος· εἶτα ὅτι καὶ πάντες πρὸς τὸ τέλος ὁρῶσιν, οἱ πλέοντες, ὅπως ἂν καταχθῶσιν· οὐ ζητοῦσιν οἱ νοσοῦντες τὸν τρόπον, ὅπως ἂν
394 θεραπευθῶσιν, οὐ ζητοῦσιν πότερον τοιῶςδε ἢ τοιῶςδε τοῦ πάθους ἀπηλλάγησαν· εἶτα συλλογισμῷ· τοιγαροῦν καὶ ταὐτόν ἐστιν ὑπ' ἀνδρὸς καὶ γυναικὸς δέξασθαι τὴν ποινὴν καὶ τὴν σφαγήν· εἶτα τῷ πηλίκῳ· ὅτι οὐδέν ἐστιν τοῦτον τοιῶςδε ἢ τοιῶςδε δρᾷν εἴρηται, ἀλλ' εἰ προςηκόντως ἀνῄρηται, τοῦτο λογίσασθε· εἶτα ἐπειδὴ μοιχός ἐστι κατὰ μίαν τῶν ἀντιθετικῶν ἐμπίπτει ἀντίθεσιν, λέγω δὴ τῷ ἀντεγκλήματι· ὅτι ἄξιος ἦν ἀναιρεθῆναι λυμαινόμενος τῷ γένει, διαφθείρων τὴν τῶν γυναικῶν πρὸς ἄνδρας ὁμόνοιαν, τὴν τῶν παίδων παρὰ τῶν πατέρων διάθεσιν, μὴ συγχωρῶν ὅτου οἱ παῖδες τυγχάνουσι διαγινώσκεσθαι, καὶ τὰ τοιαῦτα. διὰ ταῦτα ἀπέκτεινα, διὰ ταῦτα κατ' [7] αὐτοῦ τὴν ἑαυτοῦ ὥπλισα δεξιὰν, διὰ ταῦτα τὴν καιρίαν ἐπήνεγκα, ἄξιον εἶναι τοῦ θανάτου νομίζουσα, [8] καὶ ὅσα τοιαῦτα. ΜΕτὰ τὸ ἀντέγκλημα θή-

---

6 Vind. εἴτις. — v. 7. Ald. ἀντιθέμενον. 7 Ald. καθ'.
8 Ald. νομίζοντα. scr. νομίζουσα.

*σεις τὴν δευτέραν μετάληψιν· ἥτις οὐκ ἀναγκαίως ἐμπίπτει, ἀλλ' ἐκ τῆς περιστάσεως εὑρίσκεται ὡς ἐνθάδε· οἷον, ἀλλ' ἔδει, φησὶν, ἀνακοινώσασθαι περὶ τούτου τῇ πόλει. Λύσεις τῷ νόμῳ, ὅτι οὐδὲν πλέον ἦν· εἰ μὲν γὰρ ἀμφίβολος ἦν ὁ νόμος, καλῶς εἶχεν ἀνακοινώσασθαι τῷ δήμῳ· εἰ δὲ διαῤῥήδην διηγόρευσεν τὸ πρακτέον τὰ γράμματα, τί ἔδει τῷ δήμῳ δι' ὄχλου γίνεσθαι; εἶτα ὅτι εἰ καὶ ἤγαγον τῷ δήμῳ πάντως ἂν κατὰ τοὺς νόμους περὶ τοῦτον ἔκρινε, καὶ τοῖς νόμοις ἀκολουθῶν οὕτω τὸ πρακτέον ὑπέβαλεν· ὥστε οὐδὲν ἄτοπον εἰ τοῦ δήμου τοῖς νόμοις μέλλοντος πείθεσθαι, αὐτὴ προβαλοῦσα τοῖς νόμοις κατηκολούθησεν· λοιπὸν ὅτι ἀπόδοτε [9] τοῖς νόμοις τὴν ἰσχὺν, ἀπόδοτε τῇ δημοκρατίᾳ τὸ προσῆκον· δείξατε, ὅτι διὰ σωφροσύνην ἡ δημοκρατία συνέστηκεν· καὶ ὅτι ἀποδημούντων τῶν ἀνδρῶν τὰς γυναῖκας πάντες [10] τηρήσουσιν, ἀδελφοὶ, γυναῖκες, συγγενεῖς ἅμα καὶ γνώριμοι. γινωσκέτωσαν ἅπαντες, ὅτι διὰ σωφροσύνην ὁ νόμος καὶ τὰς γυναῖκας ὁπλίζειν προῄρηται [11] καὶ τηρεῖν, καὶ αὐταῖς τὸν τῆς σωφροσύνης κίνδυνον ἐφίησιν. Εἶτα τῷ κοινῷ ἐπιλόγῳ, ὡς ἐν κοινῷ τόπῳ, μοιχὸς γὰρ, καὶ ἔχεις ἐκ τοῦ προγυμνάσματος ἅπαντας ἐναρμόσαι τοὺς τόπους.*

## *ΕΚ ΤΟΥ ΕΝΑΝΤΙΟΥ ΚΑΤΗΓΟΡΟΣ.*

*Ἡ κατάστασις τοῦ κατηγόρου μικτὴν ἔχει τὴν διήγησιν, πῇ μὲν κατὰ τῆς γυναικὸς, πῇ δὲ ὑπὲρ τοῦ μοιχοῦ· κατατρέχειν μὲν καὶ τῆς γυναικὸς εὔλογον ὡς ἀνελούσης παρὰ τὸν νόμον, ἀπολογεῖσθαι [1] δὲ ὑπὲρ τοῦ ἀνδρὸς ἐς δυνατὸν πιθανώτατα· ἐρεῖς οὖν ὅτι συνῴκουν*

---

9 Ald. Vind. *ἀπόδοτε*. Par. *ὑπέδοτε*. 10 Ald. Vind. *πάντας*. Par. *πάντες*. 11 Ald. *προείρηται*. Vind. Par. *προῄρηται*. 1 Ald. *ἀπολογῆσθαι*.

ἀλλήλοις· καὶ ὅτι ἀνὴρ οὐδέποτε παρὰ τοῦ δήμου καταγνωσθεὶς καὶ ὅτι κατ' ἀρχὰς αὐτὸν καὶ ἡ γυνὴ ἐπὶ σωφροσύνῃ[2] ἐθαύμαζεν· εἶθ' ὅτι συντυχόντα γυναικὶ οὐκ οἶδ' ὅπως οἷα εἰκὸς, ἄνδρα εὐθὺς, ὥσπερ τινὸς λαβομένη δεινοῦ, οὐ συνεῖδε[3] τὴν φύσιν, οὐ συνέγνω τῷ σφάλματι, ἀλλ' εὐθὺς ἦλθεν ἐπὶ τὸν φόνον, ἦλθεν ἐπὶ τὴν σφαγὴν, καὶ τὰ τοιαῦτα. ΜΕτὰ τὴν κατάστασιν τὸ παραγραφικὸν, θήσεις δὲ ἐξ ἀντιθέσεως τῆς γυναικός· εἶτά φησιν, οὐκ ὀφείλω κρίνεσθαι μοιχὸν ἀποκτείνασα. Ἡ ΛΎσις τῇ μεταλήψει· ἔστι γὰρ αὐτὴ τοῦ κατηγόρου· ὥςπερ ἡμῶν λεγόντων ὅτι μοιχὸς ὢν ἀναιρεθῆναι οὐκ ὤφειλεν· οὐ γὰρ τοῦτό φησιν, ἀλλ' ὅτι οὐκ αὐτῇ προςῆκεν ἐπιθεῖναι τὸ ξίφος· εἶτα μετὰ τὴν μετάληψιν λῦσον εὐθὺς τὴν ἀπὸ τοῦ νόμου διάνοιαν· οἷον, νῦν δὲ μετὰ τὸ παραβῆναι[4] τὸν νόμον, ὑπεξηγεῖσθαι τολμᾷ πᾶσιν ἡμῖν τὰ γράμματα· καί φησι καθόλου πᾶσι δεδωκέναι τὸν νόμον τὴν κατὰ τῶν μοιχευόντων[5] σφαγήν. Εἶτα ἔπαγε τούτου τὴν λύσιν οὕτω γνωμικῶς· πᾶσα γὰρ διάνοια γνώμῃ λύεται· ἐγὼ δέ φημι, ὅτι μάλιστα μὲν διήρηκεν ὁ νόμος σαφῶς, τίνι τιμωρεῖσθαι προςῆκεν μοιχόν· εἰδὼς γὰρ, τίνες εἰσὶ τὴν ὕβριν μάλιστα πάσχοντες, καὶ ὅτι τὸ πάθος τῶν ἀνδρῶν ἐστιν, ἐκείνοις καὶ τὸ ἀμύνεσθαι[6] συγκεχώρηκεν. εἰδὼς γὰρ, τίνας μάλιστα ἡ τῆς μοιχείας λυπεῖ συμφορὰ, καὶ ὅτι πᾶσι τυγχάνουσιν οἱ πεπονθότες[7] κατάδηλοι, τούτοις
395 καὶ τὸ τιμωρεῖσθαι κεκύρωκεν· ἂν δὲ καὶ δῷ τις τὴν τοιαύτην ἀδιόριστον εἶναι παρὰ τῷ νόμῳ τῶν προςώπων διαίρεσιν, τὸ τιμωρεῖσθαι τοῖς συγγενέσιν ὀφείλεται,

---

2 Ald. Codd. σωφροσύνην. 3 Ald. Codd. συνοῖδε. 4 Par. παραδοῦσθαι. ad marg. παραβῆναι. 5 Vind. μοχθευόν-ε-των. 6 Par. ἀμύνασθαι. 7 Ald. Codd. πεποιθότες.

τὸ [8] τιμωρεῖν διαφθειρομένῳ τῷ γένει, τὸ μὴ συγχωρεῖν λυμαίνεσθαί τινα τῇ διαδοχῇ τοῦ γένους· εἶτα ἔπαγε τὰ ὁρικά· σὺ δὲ κατὰ μηδὲ ἓν τούτῳ [9] προςήκουσα, ἀλλὰ παντάπασιν οὖσα ξένη τοῦ γένους τῇ τιμωρίᾳ σαυτὴν ὑπεύθυνον τῷ νόμῳ καταστῆσαι βεβούλευσαι· [10] εἶτα τίς ἀγνοεῖ, ὅτι πολὺ διενήνοχεν ἄνδρα καταλαβεῖν ἐπὶ τῇ συνοίκῳ μοιχὸν, καὶ σὲ διαφθεῖραι τὸν μοιχεύοντα. εἶτα τῷ συλλογισμῷ· δῆλον γὰρ ὡς ἕτερον τἀνδρὸς τυγχάνει καὶ γυναικὸς τὸ πρόσχημα· καὶ ταὐτὸν οὐκ ἔστι παρὰ τοῖς νόμοις τὸ πρόςρημα. ταῦτα δὲ πάντα πλατῦναι δεήσῃ παραδείγμασι, γνώμαις, παραβολαῖς, τοῖς τοιούτοις· εἶτα μετὰ τὸν συλλογισμὸν θήσεις τὴν πηλικότητα, ὅτι μέγιστόν ἐστι τοῦτο καὶ δεινὸν καὶ ὑπερβάλλον τῇ συμφορᾷ, τὸ τὴν γυναῖκα διαχρήσασθαι τον μοιχόν· εἶτα ἐκ τοῦ ἐναντίου· εἰ μὲν γὰρ ἀνὴρ ἦν, ᾧ παρὰ τῶν νόμων τὰ τῆς τιμωρίας ὀφείλονται, οὐδὲν ἀντείπομεν κειμένου τοῦ σώματος· ἐπειδὴ δὲ γυνὴ, ταύτην κατὰ τοῦ συνοίκου τὴν τραγῳδίαν ἐπλήρωσε, καὶ πλήρη τὴν ἑστίαν πεποίηκε συμφορῶν, δεινὸν, ἀφόρητον εἶναι νομίζω τὸ τόλμημα, καὶ ὅσα τοιαῦτα. Εἶτα μετὰ τὰ ὁρικὰ θήσεις τὴν ἀντεγκληματικὴν ἀντίθεσιν ἀπὸ τῆς γυναικός· ἀλλ᾽ ἄξιος ἦν τῆς σφαγῆς. ΛΥσεις τῇ μεταλήψει τῇ ὅτι ἔδει σε ἀνακοινώσασθαι τῷ δήμῳ· οἷον ἄξιος ἦν, φημὶ, καὶ αὐτὸς, ἀλλὰ παρὰ τοῦ δήμου παθεῖν, ὑπ᾽ αὐτῶν ἀναιρεθῆναι τῶν νόμων· σὺ δὲ τὸν δῆμον ἄκυρον μετὰ τὸν νόμον ποιήσασα, ἀφεῖσα ἐρεῖς τὴν ἀξίαν, τὸν τρόπον· ἄξιος ὁ μοιχὸς κολάσεως· ἀλλὰ παρὰ τοῦ δημίου παιόμενος, ὑπὸ τοῦ δημίου κρινόμενος, καὶ ὅσα τοιαῦτα. Εἶτα ἐρεῖς τὸν ἐπίλογον ὄντα κοινόν. οἷον τιμωρήσασθε [11] αὐτὴν ὡς ἀνελοῦσαν παρὰ τὸ δίκαιον, ὡς καταφρονήσα-

---

8 Ald. Codd. τῷ. 9 Ald. τοῦτο. scr. τούτῳ. 10 Ald. Vind. βεβούλευται. 11 Ald. τιμωρίσασθε.

σαν τῶν νόμων, καὶ ὡς ἐν κοινῷ τόπῳ πληρώσεις τὸν ἐπίλογον.

Κρινόμενός τις ὡς τὴν γυναῖκα ἀποκτείνας μόνην, τὸν δὲ μοιχὸν οὐκ ἀνελὼν, ἔφη καὶ τὸν μοιχὸν ἀνῃρηκέναι· καὶ εἰ ζῇ προαγαγεῖν αὐτὸν ἠξίωσε τὸν κατήγορον· τῶν δικαστῶν ἀναβαλλομένων, προαχθέντα ἀπέκτεινε, καὶ κρίνεται φόνου.

Ἡ μετάληψις αὕτη κατὰ στοχασμόν ἐστιν, ἐκ τοῦ ἀνῃρηκέναι τὸν μοιχὸν, καὶ παραχθέντα νῦν ἀνελεῖν. Ἡ κατάστασις ἔχει τὸν τῆς σωφροσύνης ἔπαινον, καὶ τὸ περὶ αὐτὴν θαῦμα, καὶ τοὺς νόμους τοὺς ἐπὶ τούτῳ ἄγοντας, καὶ ὅσα τοιαῦτα. εἶτα ὅτι τούτοις ἐντραφεὶς καὶ ἀγαγέσθαι ἠθέλησα, καὶ ὡς ἔνι μάλιστα σωφροσύνῃ ἐντραφεὶς, ζητήσας γύναιον, καὶ ὅτι συνὼν αὐτῇ μάλιστα πάντων τοὺς νόμους τοὺς περὶ σωφροσύνυς ἐδίδασκον, ἔλεγον, οἷον ἡ μοιχεία κακὸν, καὶ ὅσα ἐξ αὐτῆς τοῖς ἀνθρώποις συμβαίνει κακά. καὶ πρόςθες τὸ κατ' εἶδος, διαφθορᾷ,[1] ἀνατροπῇ τοῦ γένοης, ἀμφιβολίᾳ τῶν παίδων, ὁμονοίας ἐναλλαγῇ, καὶ ὅσα τοιαῦτα. εἶτα ὅτι οὐκ οἶδα πῶς ἐξαίφνης ἐθεασάμην τὸ γύναιον ἀποστρεφόμενον,[2] καὶ μηκέτι ὁμοίως μοι συνὸν,[3] μήτε τὴν αὐτὴν ἀποσῷζον διάθεσιν, μήτε πρὸς ἐμὲ, μήτε πρὸς τοὺς παῖδας. καὶ ἔλεγον πολλάκις, μή τι τῶν κατὰ τὴν οἰκίαν λυπεῖ, μὴ δυσχερές τι περὶ τοὺς παῖδας ἀπήντηκεν· εἶτα ταύτην ἠθοποιΐαν ἐκτείνας πρόσθες μετὰ βαρύτητος ἅμα καὶ πάθους ἐξαίφνης εἰςελθὼν, ἀπορῶν ὅθεν ἀηδῶς μοι σύνεστιν ἡ σύνοικος, τῶν πολιτῶν αὐτῇ συνόντα κατέλαβόν τινα, κατέλαβον οἴμοι ἀντ' ἐμοῦ ἀγαγόμενον ἕτερον. εἶτα ὑπὸ τοῦ θεάματος ὠδίνας τὸν φόνον καὶ τὴν ψυχὴν πρὸς τὴν σφαγὴν παρορμηθεὶς ἐχρησάμην τῷ δεξιῷ, καὶ τῆς συμφορᾶς ἐγίγνετο τὸ συμβὰν χαλεπώτερον, διέ-

1 Ald. Vind. διαφορᾷ. Par. διαφθορᾷ. 2 Ald. Codd. ἀποστεφόμενον (ό). 3 Ald. συνών. Vind. συνών. Par. συνόν.

δρασκεν ὁ ἐκ τῆς ἐμῆς ἑστίας μοιχὸς, καὶ φυγὴν μετὰ τὸ δρᾶμα τὴν σωτηρίαν ἠσπάζετο, καὶ τοῦτ' ἦν ἁπάντων τῶν γεγενημένων τὸ χαλεπώτερον. μοιχὸς ἀπὸ τῆς ἐμῆς ἑστίας σωζόμενος· κείμενον μὲν ἐπὶ τῷ δράματι 396
γύναιον. ὁ δὲ πρὸ πάντων ὀφείλων δοῦναι δίκην καὶ πρὸ [4] τῆς γυναικὸς ὁπλίσαι τῷ ξίφει τὴν δεξιὰν, οὗτος ἀθῷος ἀπὸ τῆς ἑστίας ἐγίγνετο. τί οὖν ἐπὶ τούτοις ἐγώ; ἐθρήνουν, ἐδάκρυον, ἐζήτουν τὸν μοιχὸν πανταχοῦ· καὶ τὸ γιγνόμενον ἄπορον ἦν, ἄχρις οὗ ὁ δαίμων τὸν πονηρὸν εἰς μέσον παρήγαγε, καὶ τῆς ἐμῆς πεποίηκε τὸ λειπόμενον παρανάλωμα δεξιᾶς. γραψάμενος γάρ οὗτός με ὁ κατήγορος ἐπὶ τῷ [5] μόνον ἀνῃρηκέναι τὸ γύναιον ὡς δίκαιον, ὡς ἀληθῶς εὐεργέτην ἐπὶ κατηγορίαν καλεῖν ἀναγκάσει στενοχωρεῖν τῷ λόγῳ, ὅτι διεχρησάμην τὸν μοιχὸν ἀποκρίνεσθαι. καὶ πεποίηκεν εἰς τὴν τοῦ μοιχοῦ παραγωγὴν ἀναβάλλεσθαι τὸ δικαστήριον. ὡς οὖν ἦλθεν ἡ κυρία ἡμέρα, κἀκεῖνος, ὁ λυμεὼν [6] τῆς ἐμῆς οἰκίας εἰς μέσον προήγετο, εὐθὺς ἦλθον ἐπὶ τὸ ξίφος, ὥπλισα τὴν δεξιὰν, προςέθηκα τοῖς ἐμαυτοῦ κακοῖς τὸ πάλαι ζητούμενον. καὶ νῦν τοῦ μοιχοῦ κειμένου γραφὴ καὶ δικαστήριον ἐπὶ τῷ φόνῳ, καὶ ὁ πάλαι κατηγορῶν καὶ μεμφόμενος, ὅτι τὸν μοιχὸν οὐκ ἀνῄρηκα, νῦν ὅτι τὸν μοιχὸν διεχρησάμην, ἐγράψατο· εἶτα ἔπαγε εὐθὺς τῇ καταστάσει τὰ παραγραφικὰ, ἀεὶ καὶ διὰ παντὸς καὶ ἀναγκαίως ἐμπίπτοντα. σχεδὸν γὰρ αὕτη ἐστὶ μετάληψις οὐχ [7] ὁλόκληρος. ἂν γὰρ τούτοις ὁ τρόπος προςτεθῇ, κυρίως ἡ μετάληψις γίγνεται· ἐρεῖς οὖν ὅτι οὐκ ὀφείλω κρίνεσθαι, μοιχὸν ἀνελὼν κατεγνωσμένον ὑπὸ τῶν νόμων· ὃν καὶ αὐτὸς ὁ κατήγορος οὐκ ἀρνεῖται μοιχόν· εἶτα φανεροῦ τοῦ ἀδικήματος ὄντος ἐφ' ᾧ ἀνῄρηκα, καὶ

---

4 Ald. πρός. Par. Vind. πρό. 5 Ald. Vind. τό. Par. τῷ.
6 Vind. λυμαιών. 7 Ald. οὐκ.

τοῦτο καθομολογησαμένου τοῖς ἅπασιν ὅτι μοιχὸς ἐκεῖνος καὶ πονηρὸς, πῶς ὀφείλω κρίνεσθαι; ΜΕτὰ τὸ παραγραφικὸν θήσεις τὴν μετάληψιν ἐξ ἀντιθέσεως οὖσαν ἀεὶ τοῦ κατηγόρου. ἀλλ' ἔδει, φησὶ, παραχρῆμα, μὴ νῦν ἀνελεῖν. Ἡ λύσις πρώτη ἐκ διανοίας τοῦ ῥητοῦ· εἴπομεν γὰρ πολλάκις ὅτι ἀναγκαῖόν ἐστι τὸ ῥητὸν ἀεὶ πρώτῃ διανοίᾳ λύεσθαι, εἶτα ταῖς ἐκ τῆς ἀκολουθίας, λέγω δὲ τῶν ἐπιχειρηματικῶν καὶ μετρικῶν λύσεων· οἷον εἰς ἀεὶ δίδωσιν ὁ νόμος, καὶ οὐδαμοῦ διώρισεν, πότε δεῖ ἀναιρεῖν [8] καὶ πότε μὴ, καὶ ὅτι εἰ εἶχέ τινα τοῦτο παρὰ τῷ νομοθέτῃ παρατήρησιν, προσέγραψεν ἄν. νῦν δὲ τὸ ἀεὶ καὶ διὰ παντὸς δεῖν ἀναιρεῖν τὸν μοιχὸν ἐπιστάμενος, οὐδὲ προσέγραψεν, οὐδὲ ἐπεσημήνατο τοιοῦτον οὐδέν. ἀλλὰ ἁπλῶς εἶπεν ἀναιρεῖσθαι τὸν μοιχὸν, καὶ δικαίως· [9] οὐδὲ γὰρ ὁ ἅπαξ ἐγχειρίσας τοιούτῳ τινὶ, οὗτος χρόνου παρελθόντος τινὸς οὐκ ἔτ' ἐστὶν πονηρός· καὶ ὅτι φονεὺς καὶ τυμβωρύχος, ἂν μὴ νῦν κολασθῇ, οὐκ ἔτι ὑπεύθυνός ἐστι τῇ τιμωρίᾳ, ἢ οὐκ ἔτι τοιοῦτός ἐστιν οἷος καὶ νομίζεται. ἀλλ' ἀεὶ καὶ διὰ παντὸς ὁ φονεὺς ἠλλάξατο τοῦτο τῆς ἐπωνυμίας τὸ πρόσρημα καὶ τυμβωρύχος ἀπὸ τοῦ τολμήματος τούτου ἔχει τὴν κλῆσιν ἀκόλουθον. ὥστε εἰ τὸ ὄνομα ἐκ τῆς πράξεως κατ' αὐτῶν κύριον, καὶ ἡ τιμωρία μετὰ τῶν νόμων κατ' αὐτῶν κυρία εἶναι ὀφείλει ἀεί· εἶτα λύσεις τοῖς ὁρικοῖς, ὅτι οὐδὲν διαφέρει τότε καὶ νῦν ἀνελεῖν, καὶ ἐπὶ τῆς οἰκίας, καὶ νῦν ἐπὶ τῆς ἀγορᾶς. εἶτα τῷ συλλογισμῷ, ὅτι ἴσον ἐστὶ τὸ χθὲς καὶ πρώην ἀνελεῖν τῷ νῦν διαχρήσασθαι· εἶτα τῷ πηλίκῳ, ὅτι οὐδέν ἐστι τὸ χρόνον ὀλίγον καὶ μίαν ἡμέραν καὶ δευτέραν γενέσθαι ἐν μέσῳ· ἰστέον δὲ ὅτι ταῦτα τὰ ἀπὸ τοῦ ὅρου ἐπιχειρήματα νοήματά ἐστι, καὶ τόποι ἀφορμὴν ἡμῖν διδόντες πρὸς ἐπιχείρησιν. ἐξ ὧν τόπων

---

8 Ald. ἀνερεῖν. — Post ὅτι inserui εἰ. 9 Ald. Codd. δικαίῳ.

ὀφείλειν ὁρικῶς προσεπινοεῖν ἐπιχειρήματα· μετὰ τὴν με-
τάληψιν οὖν τὴν τοῦ κατηγόρου καὶ τὴν λύσιν αὐτῆς
τὴν ὁρικὴν ἐρεῖς λοιπὸν τὴν ἀντίθεσιν, τὴν ἀπὸ τῆς συμ-
πλεκομένης στάσεως· ἔφαμεν δὲ πολλάκις ὅτι κατὰ μίαν
γίνεται τῶν λογικῶν· ἐνταῦθα οὖν ἐστι κατὰ στοχασμὸν,
πότερον ἀληθῶς ἀνήρηκεν, ἢ οὔ. καὶ πότερον οὗτός ἐστιν
ἢ οὔ.[10] ΕΡεῖς οὖν στοχαστικῶς τῇ ὕλῃ ἀκολουθῶν τὰς
ἀντιθέσεις· οἷον, ἀλλ' ἔφης ἀνῃρηκέναι, φησὶ, τὸν μοι-
χόν. καὶ πῶς οὐ τοῦτον ἀνῄρηκας; αὕτη γὰρ κατὰ στο-
χασμόν ἐστιν ἡ ἀντίθεσις. ζητούντων ἡμῶν τὴν γνώμην
τῆς πράξεως καὶ τοῦ λόγου, ὡς ἐπὶ τῶν ἀπὸ γνώμης 397
στοχασμῶν. ΛΥσεις δὲ οὕτως· ψευδόμενος εἶπον, καὶ
βουλόμενος αὐτὸν φανερὸν γενέσθαι, καὶ θαῤῥῆσαι αὐ-
τὸν θέλων, ὡς ἀπατωμένου[11] μου καὶ νομίζοντος ἀνῃρῆ-
σθαι· καὶ τὸν μοιχὸν ἀνεπίφθονον δὲ λαμβάνειν τοὺς
ἀδικήσαντας, καὶ ζητεῖν ὅπως δήποτε· ἡ γὰρ λύσις πᾶσα
ἡ τῆς ἀντιθέσεως ἐκ τούτων καὶ τῶν τοιούτων ἐστί. Με-
τὰ ταῦτα ἐρεῖς ἄλλην στοχαστικὴν, ἀλλ' εἰκὸς μὴ τοῦ-
τον εἶναι. Καὶ λύσεις τοῖς στοχαστικοῖς κεφαλαίοις, ὅσοις
ἐστὶ δυνατὸν, ἐλέγχων ἀπαιτήσει, ἀντιληπτικῷ, χρώματι.
οἷον αὐτὸς ἑαυτοῦ κατεμαρτύρησε, παρελθὼν, φανεὶς,
καὶ ἐλθὼν ὡς μοιχός· ἐξὸν[12] δὲ τοὺς τοιούτους τοῖς ἠδι-
κημένοις ἀναιρεῖν· εἶτα τῷ χρώματι, ὅτι ὀργὴ καὶ πά-
θος τὸν φόνον αὐτοῦ καθάπερ κωμάζοντος καὶ παρόν-
τος εἰς μέσον ἐπὶ τῇ καταφρονήσει τοῦ νόμου,[13] καὶ τὰ
τοιαῦτα. ΜΕτὰ ταῦτα πάλιν ἄλλη στοχαστικὴ ἐμπίπτει
ἀντίθεσις· ἀλλ' εἰκὸς μὴ εἰδότα ἐφ' ᾧ ἤγετο ἀπηντηκέ-
ναι. ἢ οὕτως, ἀλλ' εἰκὸς παρακεκλημένον ἀπηντηκέναι.
ΛΥσεις οὖν ὅτι οὐχ οἷόν τε ἦν αὐτὸν ἀγνοεῖν περιφανῶς
οὕτω γενομένης τῆς χρήσεως. ἀπάντων εἰδότων τῶν πο-

---

10 Vind. ἢ οὖν. 11 Ald. Codd. ὑπατωμένου. scr. ἀπατ.
12 Ald. Vind. ἐξ ὧν. in Par. prima manu ἐξόν. tum corr. ἐξ οὗ.
13 Par. γένους. ad marg. νόμου.

λιτῶν τήν τε τῶν δικαστῶν κρίσιν, καὶ τὴν ἐμὴν ἀπόκρισιν, καὶ τὴν σὴν ὑπόσχεσιν, καὶ τὴν τῶν δικαζόντων ἀναβολὴν, καὶ ὅτι ἅπαντες μὲν μάλιστα τὰ ἐν δικαστηρίοις πραττόμενα ἴσασι. πολλῷ δὲ πλέον ἐὰν παράδοξα ὦσι. σοῦ οὖν ὑποσχομένου, καὶ ἐπαγγειλαμένου τὸν μοιχὸν κομιεῖν, [14] τίς οὐκ ἂν ἐγένετο μετέωρος; τίς τὴν ἡμέραν ἐκείνην τῆς κρίσεως οὐ προσεδέχετο; τίνι δὲ τὸ γεγονὸς οὐ διήγγειλεν; οἶμαι ὅτι καὶ εἰς τὴν ὑπερορίαν ἡ φήμη διέδραμεν, ὅτι ὁ μὲν ἔφη ἀνῃρηκέναι, ὁ δὲ ἐπηγγείλατο τὸν μοιχὸν κομιεῖν. καὶ ὅτι καθάπερ τι τέρας ἅπαντες ἐνόμιζον εἶναι τὸν λόγον. καὶ ὅτι καθάπερ τι τῶν παραδόξων θεαμάτων ἰδεῖν ἅπαντες ἤλπισαν ἄνθρωποι· καὶ τὰ τοιαῦτα. ΜΕτὰ ταῦτα πεσεῖται ἄλλη ἀντίθεσις ἐκ τῆς πιθανῆς ἀπολογίας τοιαύτη. ἀλλ' οὐκ ἀνῆλθε, φησὶν, εἰ ἑαυτῷ συνῄδει μοιχεύσαντι. ΛΥσις, ὅτι οἱ θεοὶ ἤγαγον, καὶ οἱ θεοὶ πεποιήκασι συμφέρον μοι συνιδεῖν. καὶ καθόλου λύσεις αὐτὴν ὡς πιθανὴν ἀπολογίαν. ταύτην μὲν οὖν τὴν ἀντίθεσιν τὴν ἐκ τῆς πιθανῆς ἀπολογίας λεκτέον. ΕΚείνην δὲ θήσεις τὴν μεταληπτικήν· ἀλλ' ἔδει γνῶναι, τί κρίνουσιν οἱ δικασταὶ, καὶ γὰρ ἀναγκαῖά ἐστι καὶ ἐμπίπτει. ΛΥσεις· ὀργὴ, ἀγανάκτησις, τὸ θεάσασθαι τὸν μοιχὸν παρώξυνέ με καὶ τὰ τοιαῦτα. Ἐπίλογοί εἰσι παθητικώτατοι· καὶ ὅτι τηρήσατε τοὺς νόμους. δείξατε ὅτι διαφυγὼν μοιχὸς οὐκ ἔστιν ἀθῷος· ἀλλὰ καὶ φανεὶς δώσει τιμωρίαν· καὶ ὅτι συμβαίνει δόντος τοῦ κοινοῦ τὴν τιμωρίαν, σωφροσύνη κατὰ τὴν πόλιν, τῶν νόμων φυλακὴ, καὶ ὁ τῆς δημοκρατίας θεσμὸς μὴ καταλυόμενος καὶ ὅτι συμβήσεται τἀναντία, ἐὰν καταψηφισάμενοί μου δείξητε, ὅτι οὐκ ἐξόν ἐστι τὸν μοιχὸν ἀναιρεῖν. εἶτα διατύπωσις τοῦ πάθους καὶ τῆς μοιχείας· καὶ ὅτι ἕκαστος ὑμῶν ἔχει σύνοικον,

14 Ald. Vind. κομιέν.

οικον, καὶ ὅτι ὡς ἑαυτοῖς δικάζοντες κάθησθε. ἄδηλον μήτις, ὅπερ ἀπείη,[15] καὶ καθ' ὑμῶν γενήσεται πονηρός. καὶ παροξύνει διόλου πρὸς τὴν τιμωρίαν τοὺς δικαστάς, καὶ τὰ τοιαῦτα.

## ΕΚ ΤΟΥ ΕΝΑΝΤΙΟΥ Ο ΚΑΤΗΓΟΡΟΣ.

Ἡ κατάστασις ἡ τοῦ κατηγόρου πολλῆς ἐστιν οἰκονομίας μεστή. ἐπειδὴ γὰρ ὁ μοιχὸς παρελήλυθεν εἰς μέσον, καὶ τοῦτό ἐστι πρόδηλον, χρήσεται ὡς σφόδρα ἰσχυροῖς τοῖς τοῦ φεύγοντος λόγοις, ὅτι αὐτὸς εἶπεν ἀνηρηκέναι τὸν μοιχὸν, καὶ τοῖς τοιούτοις. ἐρεῖς οὖν· ἐπειδὴ γάρ τις ἐθρυλλεῖτο γεγενῆσθαι μοιχεία κατὰ τὴν πόλιν, καὶ περιβόητον ἦν τὸ δεινὸν, τοῦ μὲν ἀνδρὸς εὑρηκότος, φασὶ, τὸν τὴν οἰκίαν διορύξαντα, τῆς δὲ γυναικὸς, ὑπὸ[1] τούτῳ κειμένης, ἐπῄνουν τὸν νόμον, ἐθαύμαζον τὴν πολιτείαν ὅτι κατ' ἀμφοτέρων μίαν τιμωρίαν ἐνομοθέτησε· καὶ δι' ἑνὸς καιροῦ πίπτουσιν ἄμφω, ὅ τ' ἐπείξας[2] διαφθαρῆναι τὸ γύναιον, καὶ ἡ[3] ταύτην ἑλομένη τὴν ἐγχείρησιν. ἐπὶ τούτοις ἠρώτων, ἐζήτουν, εἰ μετὰ τῆς 398
γυναικὸς ὁ μοιχὸς συνανῄρηται. καὶ κατὰ τὸν νόμον ἀμφότεροι τὴν σφαγὴν μετὰ τὴν μοιχείαν κατέλαβον. ὡς δὲ κείμενον μὲν εἶδον τὸ γύναιον, τὸν δὲ μοιχὸν ἀφανῆ, ἐβόων, ἐλοιδορούμην τῷ δράσαντι· ὅτι πῆ μὲν τὸν νόμον ἐκύρωσε, πῆ δὲ παρέβη τὰ γράμματα. καὶ πῆ μὲν οἶδεν ὁπλίσαι τὴν δεξιὰν, πῆ δὲ τὴν καιρίαν κατώκνησεν. ἔφασκον τοιγαροῦν ὅτι προσῆκον, ἢ μηδένα πεσεῖν, ἢ διαχρήσασθαι μετὰ τῆς ὑπηρετησαμένης τὸν δράσαντα. ὡς δὲ τούτων ἦν πλέον τῶν λόγων οὐδὲν, ἀλλ' ἀνῄρητο μὲν ἡ γυνὴ, ὁ δὲ μοιχὸς ἦν ἐκποδὼν, ἦλθον ἐπὶ τοὺς νόμους καὶ γραφὴν πεποίημαι τὸ γενόμενον. ὁ δὲ

---

15 Ald. Codd. ἀπήει. 1 Ald. Codd. ἐπί. scr. ὑπό. vide Epist. crit. p. 69. 2 Ald. Codd. ὅτε πείξας. 3 Vind. εἰ.

παρελθὼν καὶ διὰ τοῦτο κρινόμενος ἔφη σαφῶς οὐ συνανῃρηκέναι τῇ γυναικὶ τὸν μοιχεύσαντα, καὶ κατ᾽ ἀμφοῖν μίαν ἐνηνοχέναι πληγήν. ὡς δὲ τὸν λόγον ἐθαύμασα, καὶ δοκιμάσαι τὴν ἀλήθειαν ἔγνωκα, σώζεσθαι τὸν μοιχὸν ἐβόων, ὡς [4] δυνατὸν εἰς μέσον ἐστί. καὶ τούτων ὑμεῖς [5] ἀκούοντες τῶν λόγων, εἰδότες αὐτοὶ καὶ τοῦ γνῶναι εἰ ἀληθῶς ἀνῄρηται μετὰ τοῦτον τὸν λόγον τὴν κρίσιν ἀνεβάλεσθε. ὡς δὲ κατὰ τὴν κυρίαν συνὼν ὤφθη ἑτέρῳ τινὶ, οὐ γὰρ οἶδα σαφῶς εἰ τοῦτον εἶχεν ἡ γυνὴ τὸν μοιχὸν, ὥρμησεν ἐξαίφνης, ἥρπασε κατὰ τοῦ πολίτου τὸ ξίφος, ἐχρήσατο κατὰ τοῦ ἀνδρός· ὦσε, φησὶ, κατὰ τοῦ μοιχοῦ τῇ δεξιᾷ. ἐπὶ τούτοις ἡ κρίσις, ἐπὶ τούτοις τὸ δικαστήριον, ὅτι κατὰ μέσην τὴν πόλιν εἷς ἐξ ὑμῶν ἀνῄρηται, καὶ τὰ τοιαῦτα. ΜΕτὰ τὴν κατάστασιν θήσεις τὸ παραγραφικὸν ἐξ ἀντιθέσεως, ὅπερ τοῦ φεύγοντος προηγούμενον ἦν. οἷον, ἀλλ᾽ οὐκ ὀφείλω κρίνεσθαι μοιχὸν ἀνελών. Ἡ Λύσις γίνεται τῇ μεταλήψει, τοῖς ὁρικοῖς, τοῖς ἀπ᾽ ἀρχῆς ἄχρι τέλους· ὅτι ἔφησεν ἀνῃρηκέναι, καὶ παρελθὼν πρὸς τό δικαστήριον παρόντων τῶν πολιτῶν, διεβεβαίους καὶ ἔφασκες συνανῃρῆσθαι τῷ γυναίῳ τὸν φθείραντα. ἔπειτα καὶ εἰ μοιχὸς ἦν, τότε σε ἔδει ἀναιρεῖν, [6] καὶ μὴ νῦν, ὅτε μετὰ τῆς γυναικὸς ὤφθη συνανακείμενος, ὅτε παρὰ τοὺς νόμους ἐπεχείρει τοῖς πράγμασιν, ὅτε καὶ τὴν γυναῖκα ἀνῄρηκας· τοιγαροῦν οὐδεὶς αἰτιᾶται, ὅτι τὴν γυναῖκα ἀνῄρηκας, ἀλλ᾽ ὅτι τότε τὸν μοιχὸν οὐκ ἀνελὼν, ἀλλὰ, φὴς, νῦν ἐχρήσω τῷ φόνῳ. ὥσπερ εἰ τότε ἀφεὶς τὸ γύναιον καὶ παρὰ τὴν πρᾶξιν καὶ τὴν ὀργὴν συνεχώρησας σώζεσθαι, μετὰ ταῦτα καὶ ὕστερον αὐτὸ ἀνῃρήκεις, ἐκρίνομέν σε ὡς παρανόμως τολμήσαντα, οὕτως ἐπειδὴ τότε, ὅτε καὶ οἱ νόμοι διδόα-

4 Ald. Codd. καὶ, scr. ὡς. Vide de hac confusione supra p. 69. 5 Ald. ἡμεῖς. 6 Ald. Vind. ἀνερεῖν.

σι, τὸν μοιχὸν οὐκ ἀνῄρηκας, νῦν ἀνελὼν ὑπεύθυνος εἶ τῷ γράμματι· εἶτα λῦσον εὐθὺς αὐτοῦ τὴν τοῦ νόμου διάνοιαν· οὐ γὰρ ἁπλῶς εἶπε δεῖν τὸν μοιχὸν ἀναιρεῖν, ἀλλ' ὅτε ἐκ τῆς πράξεως ταύτην ἔχει τὴν πρόςρησιν· εἰ μὲν οὖν ὡς σὺ φῂς τότε αὐτὸν ἀνῄρηκας, τί νῦν κατ' αὐτοῦ τετόλμηκας; εἰ δὲ τότε ὅτε ἡ πρᾶξις ἦν ἐν χερσὶν, ὅτε ἡ θέα πρὸς ὀργὴν ἐκίνει πρὸς τὴν σφαγὴν, οὐκ ἀνῄρηκας, οὐδὲ νῦν αὐτὸν ὤφειλες[7] ἀνελεῖν, ὅτε καιρὸς, μᾶλλον δὲ σὺ τούτῳ ἐδεδώκεις τὴν ἄδειαν· εἶτα τοῖς ὁρικοῖς· δῆλον γὰρ ὡς ἕτερον ἦν τότε ἀνελεῖν τὸν μοιχὸν, ἕτερον δὲ τὸ νῦν· καὶ ὅτι ὁ καιρὸς πολλὴν ἐν μέσῳ πεποίηκε τὴν διαφοράν. καὶ ὅτι ἁπλῶς αὐτὸν ὄντα ἐπὶ τῆς ἀγορᾶς ἀνῄρηκας τότε ὅτε ἀνῄρεις οὐκ ὄντα μοιχόν· ἡ γὰρ πρᾶξις δίδωσι τὴν προσηγορίαν τῷ δράσαντι. τῆς δὲ πράξεως οὐκ οὔσης, συναφανίζεται καὶ ἡ φύσις τολμήματι, καὶ τὰ τοιαῦτα. ΕΙΤΑ συλλογισμῷ, ὅτι οὐδὲν ἴσον ἐστὶ τότε καὶ νῦν ἀνελεῖν· τότε μὲν δὴ ἡ ὀργὴ, τὸ πάθος, ἡ συμφορὰ, τὸ ἔνδον ληφθῆναι ἐπὶ τῆς οἰκίας ἐποίει τὴν ἀναίρεσιν· νῦν δὲ ἐπὶ[8] τῆς ἀγορᾶς μεθ' ὁμολογίαν καὶ κρίσιν, μετὰ τὸ εἰπεῖν ἀνῃρῆσθαι τὸν αὐτὸν μοιχὸν, λελυμένης τῆς ὀργῆς, πεπαυμένου τοῦ πάθους, τὴν πληγὴν ἐπήνεγκας.[9] ΕΙΤΑ τῷ πηλίκῳ. εἶτα τοῦτον τούτων πεπραγμένων τὸν τρόπον, πῶς οὐ δεινὸν τὸ ἐγχείρημα, πῶς οὐκ ἀνόσιον τὸ πραχθὲν, καὶ μηδεμίαν ὑπερβαῖνον ὑπερβολήν; καὶ ἁπλῶς ὅλοις ἐξελεύσῃ τοῖς τοῦ
πηλίκου τρόποις. ΜΕΤΑ τὴν λύσιν τοῦ παραγραφικοῦ 399
ἐρεῖς, ἀλλὰ προτρεπόμενος εἶπον, ἵνα φανῇ ἡ λύσις. καίτοι πῶς οὐκ ἄτοπον καὶ πάσης μανίας γέμον καὶ παραχρῆμα τιμωρίας ἄξιον τὸ λέγειν ἐψεῦσθαι τοὺς δικαστὰς, καὶ

7 Ald. Vind. ὄφειλες. 8 Ald. Vind. μετά. Par. με. scripsi ἐπί. Frequens τοῦ μετὰ repetitio in errorem induxisse videtur scribam. 9 ἐπήνεγκας Ald. Vind. om., recepi ex Par. — v. 28. Ald. Codd. ἡγεμονίας. scr. μανίας.

συκοφαντίας ψήφῳ καθ' ἑαυτοῦ φέροντα ἑστάναι. εἶτα ὅτι εἰ τότε ἐψεύσω, πόθεν δῆλον, εἰ νῦν ἀληθεύεις; εἰκὸς γὰρ καὶ νῦν ψεύδεσθαί σε. οὐ γὰρ μοιχὸν ἀνῄρηκας, ἀλλ' ἁπλῶς ἄνθρωπον. πόθεν δῆλον, εἰ οὗτος μοιχός· ἔπειτα οὐ προσῆκεν ὡς αὐτὸς βούλεται διαπαίζειν τὸ δικαστήριον, καὶ ἀληθῶς καταλύειν τοὺς νόμους. καὶ ὥσπερ τινὶ τῶν θεῶν, οὕτω πιστεύειν λέγοντι· καὶ παραχωρεῖν μὲν ψευσαμένῳ, καὶ συντίθεσθαι τούτῳ, ὡς ἀληθῶς τοὺς δικάζοντας ἠπάτησε. νῦν δὲ ἀνελόντι πιστεύειν καὶ συγχωρεῖν τὴν αἵρεσιν· εἶτα ὅσα ἐκ τούτου ἐπιχειρήματα δυνατὸν ἀνευρεῖν. ΑΛΛ' αὐτὸς αὐτοῦ, φησὶ, τῇ παρουσίᾳ κατεμαρτύρησεν.[10] Ἡ Λύσις ὁμοίως στοχαστικὴ τοῖς ἐμπίπτουσι πρώτοις τόποις ἐκ τῆς τῶν ἐλέγχων ἀπαιτήσεως. οἷον, οὐκ εἴ τις πάρεστιν ἁπλῶς, οὗτος ὡς μοιχὸς πάρεστιν. οὐδὲ εἴ τις συνακολουθεῖ τινι εἰς δικαστήριον, οὗτος ὡς δράσας παρέρχεται. εἰκὸς γὰρ αὐτὸν καὶ ἀγνοοῦντα ἐληλυθέναι καὶ μὴ γινώσκοντα εἰς ὅ τι καὶ πάρεστιν, ἀλλ' ἁπλῶς ἀπηντηκέναι. τοῦτο δὲ οὐδεμίαν τινὶ φέρει κατάγνωσιν· εἶτα κατασκευάσεις τοῦτο παραδείγμασιν, ὅτι πολλοὶ ἀγνοοῦντες καὶ φίλοις ἀγνοοῦσιν ἀδικοῦσι συνέρχονται. ἆρ' οὖν ἐπειδὴ ἠγνόησαν, εἰδότες εἰσὶν ὃ ἔπραττον, καὶ ὅτι ἀγνοοῦντες πολλοὶ καὶ εἰς οἰκίας ἀλλοτρίας εἰσίασι, καὶ εἰς τόπους ἀλλοτρίους. καὶ πολλά ἐστιν εἰπεῖν ἃ κατὰ ἄγνοιαν ἄνθρωποι σφάλλονται.[11] εἶτα ἐρεῖς συγγνωμονικῶς τὸ πάλαι ῥηθέν· ὅτι φύσει σύμπαντες ἄνθρωποι εἰώθασιν ἐλάσσονα μὲν κατορθοῦν, πλείονα δὲ σφάλλεσθαι. εἶτα προσθήσεις τούτοις ἐκ τῆς πιθανῆς ἀπολογίας τὴν λύσιν, ὅτι εἰ συνῄδει ἑαυτῷ μοιχῷ ὄντι, οὐκ ἂν ἀπήντησεν, οὐκ ἂν ἦλθεν εἰς δικαστήριον· τίς γὰρ οὕτως ἄφρων ἢ ἠλί-

10 Vind. κατεμαρτύρισεν. 11 Ald. Vind. σφάλονται et paullo post v. 27. σφάλεσθαι.

θιός ἐστιν, ὃς ἅπαξ ἐκφυγὼν τὴν σφαγὴν ἑαυτὸν εἰς πρoῦπτον φέρει κακόν. καὶ ὅτι πάντως εἰδὼς, πάντως πείσεσθαί τι κακὸν εἰ φανείη, οὐκ ἂν ἦλθεν· εἰ μὲν γὰρ ὅτι ἐλθὼν εἰς τὸ δικαστήριον τῷ ἀνδρὶ τῆς γυναικὸς οὐ συντεύξεται· καὶ οὕτως μὲν ἄτοπον. ὅμως δὲ ἔχει τινὰ τὸ ἑλέσθαι ἐλθεῖν. ἐπεὶ δὲ ἀναγκαίως ἦν τὸ σοὶ ὀφθῆναι, καὶ εἰς χεῖρας αὐτὸν τοῦ μέλλοντος ἀναιρεῖν αὐτὸν ἐμβαλεῖν, δῆλόν ἐστιν ὡς οὐκ ἂν ἠνέσχετο ἐλθεῖν, οὐδ᾽ ἂν ὤφθη ποτέ· ὥστε πῶς ἀνῄρηκας τοῦτον ὃν πανταχόθεν ὁ λόγος ἐλέγχει μὴ δικαίως ἀνῃρημένον. ΜΕτὰ ταῦτα θήσεις ἀντίθεσιν συγγνωμονικήν· ἀλλ᾽ ἐπιγνοὺς, φησὶ, τὸν μοιχὸν, πρὸς τὸν φόνον παρώξυμμαι. Ἡ Λύσις μεταληπτική· καίτοι γε μάλιστά σε ταύτῃ πρέπον ἦν ἀναμεῖναι τὴν κρίσιν, καὶ ἐκδέξασθαι τὴν παρὰ τῶν δικαστῶν κατάγνωσιν· καὶ ὅτι οὐχ οἷόν τε ἦν αὐτὸν διαφυγεῖν τὴν δίκην, εἰ ἀληθῶς ὁ μοιχὸς ἦν, ἔνδον ὄντα τοῦ δικαστηρίου καὶ περὶ αὐτοῦ τούτου δικαζόμενον. καὶ ὅτι ἅπαξ αὐτοῦ διαφυγόντος, ἔδει γενέσθαι μετὰ κρίσεως τὴν σφαγήν. ΜΕτὰ ταῦτα θήσεις τοὺς ἐπιλόγους, ἔχοντας καταδρομὴν τοῦ ἀνελόντος μετὰ πολλῆς τῆς σφοδρότητος, καὶ ὅτι πάντα δεῖ τηρεῖν τοὺς δικαστὰς, κἂν ἡ τύχη ἡμῶν τὴν ἐξουσίαν ἀνέληται μὴ φιλονεικεῖν ἐναντία τῶν νόμων, ἀλλ᾽ ἐφ᾽ ὑμᾶς ἄγειν τὴν κρίσιν, καὶ παρ᾽ ὑμῶν τὴν τιμωρίαν ἐκδέχεσθαι, καὶ ζητεῖν ὅπως ὁ μοιχεύσας ἀσφαλέστερον παράσχοι τὴν δίκην· νῦν δὲ καθάπερ ἐν τυραννίδι ὁρώντων δικαζόντων ὑμῶν τετόλμηκεν, αὐτὸν κύριον καταστήσας φόνου. καίτοι πῶς οὐκ ἄτοπον τούτοις συγχωρεῖν τοῖς τολμήμασι, καὶ δημοκρατίας προσχήματος, καὶ τὰ τοιαῦτα.

Ἄχειρ ἀριστεὺς προσέταξε τῷ παιδὶ μοιχὸν ἀνελεῖν. ἀνεῖλεν ὁ παῖς καὶ κρίνεται φόνου.

Ἡ τοῦ παιδὸς κατάστασις ἔχει τὴν εὔνοιαν τὴν περὶ τὸν πατέρα, καὶ τὴν παρ᾽ αὐτοῦ παίδευσιν· καὶ ὅτι 400

πολλῆς ἦν ἀμοιβῆς ἄξιος. εἶτα τὸν πόλεμον καὶ τὴν ἀλήθειαν φιλοτίμως· καὶ ὅτι ἄχειρ ἦλθεν ὑπὲρ ὑμῶν, ὑπὲρ τῶν νόμων τὰς αὑτοῦ χεῖρας ἀφεὶς, ἵνα παῖς μὴ [1] ὑβρισθῇ, μηδὲ γυνὴ διαφθαρῇ, ἵνα μὴ δουλεύσῃ ἡ πόλις. εἶτα ὅτι συνῆν τῇ μητρὶ μετὰ πολλῆς εὐνοίας, μετὰ πολλῆς σωφροσύνης, ἄλλην τινὰ γυναῖκα οὐκ εἰδὼς, ἢ τὴν ἐμὴν μητέρα. εἶτα ὅτι ταῦτα ἡ μήτηρ οὐκ εἶδεν, οὐκ ἐμιμήσατο, οὐκ ἐζήλωσεν, ἀλλ' ἕτερόν τινα τοῦ πατρὸς προετίμησε. καὶ αἱ πρὸς τοῦτο ἠθοποιΐαι. καὶ ὅτι ἐλήφθη ὁ μοιχός· καὶ οὐκ ἔχων ὁ πατὴρ χρήσασθαι ταῖς ἑαυτοῦ χερσὶ προςέταξέ μοι ἀνελεῖν, καὶ ἀνεῖλον κατὰ τὸν νόμον. εἶτα ἐπισύναψον τῇ καταστάσει τὰ παραγραφικὰ, ὅτι ἄτοπον ὑπὲρ μοιχοῦ κρίνεσθαι οὕτω παρανόμως βιώσαντος, λυμηναμένου οἰκίαν τοιαύτην, καὶ ὅτι προκατεγνωσμένου ὑπὸ τῶν νόμων καὶ διαφθείραντος τὴν μητέρα, καὶ τοὺς τῆς φύσεως ἀνελόντος θεσμοὺς, καὶ τὰ τοιαῦτα. Εἶτα θήσεις ἐξ ἀντιθέσεως τὴν μετάληψιν. ἀλλ' οὐ σοὶ, φησὶν, ὁ νόμος δίδωσιν ἀναιρεῖν. ΛΥσεις πρῶτον τῇ διανοίᾳ. ἔφαμεν γὰρ πολλάκις ὅτι πᾶν ῥητὸν τῇ διανοίᾳ λύεται. ὁ νόμος ὁ τὸν μοιχὸν εἰπὼν ἀναιρεῖν οὐ διῄρηκεν, πότερον ὑπὸ τοῦδε, ἢ ὑπὸ τοῦδε δεῖν ἀναιρεῖσθαι, ἀλλ' ἁπλῶς εἶπεν ἀναιρεῖν. εἰ γάρ τις ἦν τοιαύτη διαφορὰ, ἐπεσημήνατο ἄν. νῦν δὲ μηδὲν διορισάμενος ἅπασι δέδωκεν ἀναιρεῖν. εἶτα τοῖς ὁρικοῖς. τί γὰρ διαφέρει τὸν πατέρα ἢ ἐμὲ ἀνελεῖν, ἅπαξ εἰπόντος τοῦ νόμου τὸν μοιχὸν ἀναιρεῖν· καὶ συστήσεις τοῦτο παραδείγμασιν. ὥσπερ ἂν εἰ ναύκληρόν τις δεξάμενος ἕτερος ἀκούων παρ' αὐτοῦ διευθύναι τὴν ναῦν, εἶτα ἐκεῖνος μὴ εὐθύνοντα [2] τὴν ναῦν κρίνοι τὸν ἄνθρωπον. ἢ ἰατρὸς καιρὸν οὐκ ἄγων πρὸς τὴν θεραπείαν τῷδε ἢ τῷδε ἰάσασθαι τὸ πάθος προςτάξειεν, εἶτ' ἐκεῖνος [3] λέγοι, οὐ

οι

1 μὴ Ald. Codd. om. 2 Par. εὐθύναντα τ. ν. κρίνει. [Ald. Vind. κρίνει.] 3 Ald. ἐκεῖνο λέγει. scr. ἐκεῖνος λέγοι.

παρὰ σοῦ [4] μοι προςῆκον ἦν, ἀλλὰ παρὰ τοῦ ἰατροῦ γενέσθαι τὴν ἐπιμέλειαν, ταὐτὸν τοίνυν τοῦτο κἀνταῦθα. τί διαφέρει πότερον ὁ πατὴρ [5] ἢ ἐγὼ τὸν πονηρὸν ἀνήρηκα; εἶτα τῷ συλλογισμῷ, ὅτι ταὐτόν ἐστιν, καὶ ὑπ' ἐμοῦ καὶ ὑπὸ τοῦ πατρὸς ἀναιρεθῆναι· [6] τὸ γὰρ τέλος ὁρᾷν δεῖ, καὶ μὴ ζητεῖν τὴν ἀρχήν. καὶ τοῦτο αὐτὸ σύστησον ἐκ τῶν παραδειγμάτων. ἆρα ἂν ἡ πόλις τὸ ἢ τὸ προςτάξειέ τινι ποιῆσαι; εἶτα ἐκεῖνος προςτάξειέ τινι τῶν ἐν χερσὶν, ἆρ' ὑπεύθυνός ἐστι τῇ πόλει ὡς παρακούσας τοῦ προστάγματος; οὐδαμῶς· τὸ γὰρ τέλος ὁρῶσα οὐ ζητεῖ τὸν τρόπον τοῦ κατορθώματος· εἶτα ἡ πηλικότης· ὅτι οὐδὲν ἄτοπόν ἐστι τοῦτο τὸ ὑπ' ἐμοῦ ἀναιρεθῆναι τὸν μοιχόν· οὐδὲ, ὥς φησιν ὁ κατήγορος, δεινὸν καὶ ὑπερβάλλον. εἶτα τῷ ἀντεγκλήματι, ὅτι καὶ ἄξιος ἦν· ἡ γὰρ μεταχείρισις [7] οὕτω σοι γενήσεται· ἔδει γὰρ κατὰ τὴν ἀξίαν αὐτὸν δοῦναι καὶ δίκην, καὶ τὰ τοιαῦτα. εἶτα ἐρεῖς καὶ τὸ τοῦ παιδός· ὅτι ἔδει πεισθῆναι τῷ πατρί. καὶ κατασκευάσεις τοῦτο ἐκ τοῦ πάθους, ἐκ τῆς συμφορᾶς, ἐκ τοῦ πᾶσι τὴν σωφροσύνην φυλάξαντα ἐπὶ τῆς οἰκίας μόνος μὴ εὑρεῖν ταύτην φυλαττομένην. εἶθ' ὅτι ἐγκελευομένου τοῦ πατρὸς ὀργίζοντος, φλεγμαίνοντος, ὠδίνοντος καθάπερ ἐν πολέμῳ τὸν φόνον, τί ἔδει ποιῆσαι; οὐχὶ πεισθῆναι τῷ πατρὶ, οὐδὲ ποιῆσαι τὸ κελευόμενον; οὐχὶ πρὸς τὴν χρείαν ὑπηρετήσασθαι; ἀλλ' ἔδει ἀπιθῆσαι, ἀναχωρῆσαι, ἐᾶσαι τὸν φύσαντα, ἐᾶσαι τοιαύτην κατὰ τῆς ἑστίας παρανομίαν, ἀφεῖναι [8] μοιχὸν ἐπ' αὐτοῖς τοῖς τοῦ πατρὸς ὀφθαλμοῖς, ἑστῶτος τοῦ πατρὸς ἐᾶσαι ἀθῷον, ἀπαθῆ τῆς οἰκίας τὸν πονηρευσάμενον, καὶ ὅσα τοιαῦτα. ΜΕτὰ ταῦτα ἐμπεσεῖται ἀντίθεσις παρὰ τοῦ κατηγόρου. ἀλλ' ἔδει, φη-

---

4 Ald. σοι. scr. σου. 5 ὁ πατὴρ Ald. Codd. om. 6 Ald. ἀνερεθῆναι. 7 Ald. μεταχείρησις. 8 Ald. Codd. ἀφεῖσαι.

σὶ, προτιμῆσαι τὸν νόμον. Ἡ Λύσις. ὅτι ἄχειρ ἦν ὁ πατὴρ, καὶ πῶς οἷόν τε προτιμῆσαι τῶν νόμων· εἰ γὰρ σωζομένης [9] αὐτῷ τῆς δεξιᾶς, αὐτὸς ἑκὼν ἐπὶ ταύτην ἀπήντηκα τὴν ἐγχείρησιν, εἰκότως ὑπὸ σοῦ τοῦτ' ἔχω τὸ ἔγκλημα· εἰ δὲ ἀδυνατοῦντος τοῦ πατρὸς, αὐτὸς ὑπηρετησάμην τῷ φύσαντι, ἀνθ' ὅτου τοῦτ' ἔχω τὸ ἔγκλημα·
401 εἶτα ἐρεῖς, ὅτι μηδεὶς μηδὲ μιᾶς οὔσης ἀνάγκης βούλεται ἐναγὴς εἶναι [10], οὐδὲ λύθρῳ πληροῦν τὴν δεξιὰν, οὔτε ὡς ἔτυχεν ἐμβαλεῖν ἑαυτὸν εἰς τὸν φόνον, οὐδ' ἐναγὴς εἶναι δοκεῖν· ἀλλ' ἂν μὲν ἀνάγκη τις ἦν, οὐκ ἔγκλημα τὸ πραττόμενον· ἂν δὲ ἑκών τις ἑαυτὸν ἐπιφέρῃ τοῖς μὴ προσήκουσιν, ἀδίκημα τὸ γιγνόμενον· εἶθ' ὅτι ἄτοπον δι' ὑμᾶς αὐτοὺς ἀφαιρεθέντα τῶν χειρῶν, καὶ διὰ τὴν ὑμετέραν εὔνοιαν ὑπερασπίσαντα κοινῇ τοῦ δήμου παντὸς μὴ τυχεῖν αὐτὸν καὶ παρ' ἐμοῦ τῆς τοιαύτης ἐπικουρίας. ΕΞῆς θήσεις καὶ ἄλλην μεταληπτικὴν ἀντίθεσιν ἐκ τοῦ κατηγόρου· ἀλλ' ἔδει φρουρῆσαι, φησὶ, τὸν μοιχόν. ΛΥσεις· ὅτι ἄτοπον ἦν, τοῦ νόμου εἰπόντος ἀναιρεῖν, φρουρεῖν· ἡ δὲ κυριωτάτη λύσις ἐστὶ συγγνωμονική· ὅτι ὠργίσθη, παρωξύνθη, ἅμα τὴν θέαν, τὴν σφαγὴν ὤδινε, καὶ τὰ τοιαῦτα. ΕΠίλογος κοινός.

## ΕΚ ΤΟΥ ΕΝΑΝΤΙΟΥ Ο ΚΑΤΗΓΟΡΟΣ.

Ἡ κατηγόρου κατάστασις καθαίρεσιν τῆς ἀριστείας, καὶ τῆς νίκης ἀναφορὰν εἰς τὴν τύχην, καὶ μετρίαν ἀπολογίαν ὑπὲρ τοῦ μοιχοῦ ἐν διασυρμῷ· οἷον ἐπειδὴ γὰρ ἡ τῆς πόλεως τύχη πανταχοῦ τηρεῖ τὴν πόλιν ἀπὸ τῶν πολεμίων ἀπήμαντον, καὶ τῆς πολιτείας μετὰ τοῦ δήμου ποιεῖται τὴν πρόνοιαν, καὶ μανέντων τῶν ἐχθρῶν καθ' ἡμῶν καὶ πολιορκήσας ἅπας ὁ δῆμος ἐξαναστὰς, καὶ

9 Ald. Vind. σωζομένου αὐτῷ τῇ δεξιᾷ. corr. Par. 10 Par. ad marg. γίγνεσθαι.

προαπαντήσας ταῖς[1] φάλαγξι, τοῖς φόνοις, τῇ δίκῃ τῶν τροπαίων, πρὸς σωφρονισμὸν ἀπέστρεφεν· ἐν ᾧ τροπαίῳ πάντων ἡμῶν κατὰ το δυνατὸν ἐπαμυνόντων τῇ πόλει, μόνος οὗτος τὴν ἀριστείαν θρυλλεῖ. μόνος τὸ δι' ἡμᾶς τῶν χειρῶν ἀφῃρῆσθαι[2] προβάλλεται· καὶ οὐ τοῦτό φησιν ὅτι τὴν ἀριστείαν ἐψεύσατο, ἀλλ' ὅτι βούλεται μόνου τυγχάνειν τὸ τρόπαιον, ἁπάντων ἡμῶν στρατευσαμένων, φανέντων μετὰ τῶν ὅπλων, δειξάντων μετὰ τῶν ὅπλων κατὰ τὴν μάχην κοινὴν τῆς πόλεως τύχην· ἀλλ' ἵνα μὴ δοκῶ φθόνῳ τινὶ διασύρειν τὸ τῆς ἀριστείας κατόρθωμα, σιωπῶ τὰ λοιπὰ, ἀφίημι τοῦτον μόνον ὡς ἀληθῶς τῆς ἐλευθερίας προστάτην· τί οὖν μετὰ τὴν μάχην, μετὰ τὴν ἀριστείαν, μετὰ τὸ κοινὸν τῆς πόλεως τρόπαιον μοιχὸν εἰληφέναι φησὶν, ὥσπερ ἀπὸ τῆς μάχης ἐπανελθὼν, ἵνα τοῦτον ἐπὶ τῆς ἑστίας θηράσῃ· λαβὼν οὖν, ὥς φησι, διαφθείραντα κατὰ τὴν οἰκίαν τὸ γύναιον τὸν νόμον εἰδὼς τὸ κοινὸν τῆς πόλεως πρόσταγμα, ὥσπερ ἐν ἐξουσίᾳ καὶ τυραννίδι τῷ παιδὶ προσέταξεν ἀναιρεῖν· καὶ τρόπον οὐδένα νομίσας πρὸς τὴν τιμωρίαν αὐτῷ νομικώτερον ἀντὶ δημίου τὸν παῖδα, ἀντὶ τῆς αὐτοῦ δεξιᾶς τῷ παιδὶ παρεστήσατο· καὶ τὸν νόμον ἐῤῥῶσθαι πολλὰ φράσας τῷ γράμματι μόνου τοῦ φόνου γεγένηται· εἶτα δικαστηρίων τανῦν συγκροτουμένων καὶ νόμων, καὶ τῆς παρανομίας οὕτως ἐκδήλου οὔσης τοῖς ἅπασιν, οὐκ ὀφείλω, φησὶν, ὁ παῖς κρίνεσθαι, μοιχὸν ἀνελών· μετὰ γὰρ τὴν κατάστασιν ἐπάγεις[3] τὸ παραγραφικόν· καὶ λῦσον τῇ μεταλήψει καὶ τοῖς ὁρικοῖς, ὥσπερ ἡμῶν τοῦτο ἐγκαλούντων, ὅτι καὶ μοιχὸς τυγχάνων ἀνῄρηται· ἀλλ' οὐχὶ μὴ προσῆκον αὐτῷ ὁπλίσαι τῷ ξίφει τὴν δεξιὰν αὐτὸς τὸν φόνον τετόλμηκεν· μὴ γὰρ ζητῶ

---

1 Ald. Vind. τοῖς. 2 Ald. ἀφῃρεῖσθαι, 3 Par. θήσεις. ad marg. ἐπάγεις.

τὴν ἀναίρεσιν· μὴ γὰρ τὸν φόνον ὀδύρομαι· ἐγκαλῶ σοι τανῦν ὑπηρετησαμένῳ τῷ δράματι· διακονίαν ἣν ἐποιήσω μέμφομαι· κατὰ σοῦ γραφὴν τὴν τοιαύτην ὑπηρεσίαν ἐμποιῶ· εἶτα ἔπαγε καὶ τὴν λύσιν τῆς διανοίας αὐτοῦ· ὁ γὰρ παῖς λέγει, πᾶσι δέδωκεν ἀναιρεῖν ὁ νόμος τῷ εἰπεῖν, τὸν μοιχὸν δεῖ ἀναιρεῖν· εἰ μὲν γὰρ αὐτὸς ἦν ὁ παθὼν, καλῶς ἐβόα τὸν νόμον, καλῶς ὑπανεγίνωσκεν ἡμῖν τὰ γράμματα, ὡς ἅπασιν ἀναιρεῖν συγχωρήσαντα· εἰ δὲ μηδὲν αὐτὸς ἠδίκηται, τί τοῦ νόμου πρὸς αὐτὸν οὐκ ἀποτεινομένου τὴν κέλευσιν ἰσχυρίζεται μόνος, οὐ προσηκόντως τῷ δόγματι· εἰ γὰρ ἅπασι δέδοται ἀναιρεῖν, κἀμοὶ καὶ τῷ τυχόντι καὶ ξένῳ πόθεν τοῦτο ποιεῖν συγκεχώρηται; εἰ δὲ τοῦτο κελεύειν τὸν νόμον οὐκ ἂν συγ-
402 χωρήσειας, τί σαφῶς εἰδὼς τὸ μὴ πᾶσιν ἐξὸν ὑπομεῖναι τετόλμηκας; εἶτα ἔπαγε τὰ ὁρικά· νῦν δὲ τοῦ νόμου τῷ πατρὶ κελεύοντος ἀναιρεῖν καὶ αὐτῷ τῷ παθόντι προστάττοντος, αὐτὸς, ὦ παῖ, μὴ προσῆκον τῷ φόνῳ διαχρήσασθαι τὸν μοιχὸν οὐ κατώκνησας· καίτοι τίς τοῦτ' ἀγνοεῖ ὡς ἕτερος σὺ τυγχάνεις· ἄλλος δέ τις ὁ παρασχών σοι τὴν γένεσιν[4]· καὶ διάφορα μὲν τὰ παρὰ τοῦ πατρὸς ἐνεργηθέντα πολλάκις· ἕτερα δὲ τὰ ὑπὸ σοῦ τοῦ παιδὸς μετ' ἐκεῖνον πραττόμενα· εἶτα τῷ πηλίκῳ· ὅτι καὶ δεινὸν καὶ πολλῆς ἄξιον ἀγανακτήσεως τὸ πραχθὲν, καὶ ὅσα τοιαῦτα. *ΕΙΤΑ* θὲς τὴν ἀντεγκληματικὴν ἀντίθεσιν τὴν παρὰ τοῦ παιδός· ἀλλ' ἄξιος ἦν, φησὶν, ἀναιρεθῆναι παρ' ἡμῶν ὁ μοιχός. Ἡ Λύσις κατὰ συνδρομήν· εἶτα τῷ ἔδει προτιμῆσαι τὸν νόμον, ἄξιος τῆς κολάσεως ὁ μοιχὸς φημὶ καὶ αὐτός· ἀλλ' οὐ τοῦτον ὑπομεῖναι τὸν τρόπον τὴν δίκην· οὐδ' ὥσπερ ἐπὶ σκηνῆς ἕτερον ἠδικῆσθαι, ἕτερον δὲ τὴν τιμωρίαν παρασχεῖν· καίτοι καὶ εἰ ἄξιος ἦν, προτιμῆσαι μᾶλλον τὸν νόμον

4 Par. τὰ γράμματα. ad marg. τὴν γένεσιν.

ἐχρῆν, μὴ παρακοῦσαι τοῦ γράμματος· φύλαξαι τὴν ἐξουσίαν τῶν νόμων· νῦν δὲ τὸ πρακτέον ἀφεὶς ἐγκαλεῖς ὡς ἀξίῳ τῷ μοιχῷ τοῦτο παθεῖν καὶ κατηγορίαν ἀντ' ἀπολογίας ποιῇ· καὶ τούτῳ μὲν ἐγκαλούμενος ἀφεὶς ἀλλαχόθεν σαυτῷ πορίζῃ τοὺς λόγους, καὶ τὰ τοιαῦτα· ἀντίθεσις· ἀλλ' ἔδει, φησὶ, πεισθῆναι τῷ πατρὶ, εἰ μὲν κατὰ νόμους, καλῶς, εἰ δὲ παρὰ τὸ πρέπον, οὐκ εὔλογον· καὶ ὅτι πεισθῆναι ἐχρῆν τοὺς λόγους φυλάσσοντα· καὶ ὅτι οὐχ ἅπαντα δεῖ πείθεσθαι τῷ πατρί· εἰ γὰρ ἅπαντα δεῖ πείθεσθαι, πάντα καὶ ὅσα κελεύουσι ποιεῖν δεῖ· εἰ δὲ τοῦτο ἀληθὲς, κἂν τυραννεῖν ἡμῖν κελεύσωσι, πράξωμεν καὶ παραβῆναι τοὺς νόμους ἀκούσομεν· εἶτα, ὅτι οὐχ ἡ φύσις ἡμᾶς ἀναγκάζει ὑπακούειν τοῖς πατράσιν ἡμῶν καὶ πείθεσθαι, ἀλλὰ τὸ ὀρθὸν, καὶ τὸ συμβουλεύειν αὐτοὺς τὰ προσήκοντα, καὶ τὰ τοιαῦτα· ἐρεῖς γὰρ συγγνωμονικῶς τὰ μὲν, τὰ δὲ παραδειγματικῶς, τὰ δὲ ἐνθυμηματικῶς[5]. Ἀλλ' ἄγειρ, φησὶν, ἦν ὁ πατήρ. ΛΥσεις μεταληπτικῶς· ὅτι ἐχρῆν φυλάττοντα, δεσμοῦντα, φυλακὴν ποικίλην ἐπινοοῦντα, καὶ τοῖς τοιούτοις· τί γὰρ οὐκ ἐφρούρεις τὸν ἄνθρωπον; τί δὲ τοῖς ἄρχουσιν οὐ παρεῖχες πρὸς κόλασιν; εἶτα ὅτι ἔδει ἀνενέγκαι τῷ δήμῳ· ἔδει κατηγορῆσαι λέγοντα τὰ καὶ τὰ, ἠθοποιΐαν γὰρ πλάσεις ἐντεῦθεν· εἶτα ὅτι ἢ ἐπέτρεπέ[6] σοι τὸ δικαστήριον ἢ οὔ· εἰ μὲν ἐπέτρεπεν, ἀνῄρεις· εἰ δὲ οὔ, ἀνεύθυνος ἦς μετὰ τοῦ τὸν μοιχὸν δοῦναι τὴν δίκην· εἶτα ὅτι κατὰ πολλοὺς τρόπους δυνατὸν ἦν μὴ παραβῆναι τὸν νόμον, κατηγοροῦντα, γραφόμενον, συνόντα, δεσμοῦντα, φυλάττοντα, καὶ τὰ τοιαῦτα. ΕΠίλογος μετὰ ταῦτα κατὰ τοῦ παιδὸς, ὡς παραβάντος τοὺς νόμους καὶ σωφρονισθῆναι ὀφείλοντος· ἡ παραγραφικὴ ἓν μὲν ἔχει τὸ κύριον ὄνομα· συνέζευκται δὲ

5 Vind. ἐνθυματικῶς. 6 Ald. Codd. ἔπρεπε. scr. ἐπέτρεπε, ut liquet ex sq. εἰ μὲν ἐπέτρεπε. Vide Epist. crit. p. 7.

κατὰ εὐθυδικίαν[7] πάντως ἄλλῃ τινὶ, ἢ μιᾷ τῶν λογικῶν, ἢ μιᾷ τῶν νομικῶν[8]· γνώριμος δέ ἐστιν, οὐκ ἐκ τοῦ προςκεῖσθαι παραγράφεται· μὴ γὰρ τοῦτο μόνον ἴδιον αὐτῆς εἶναι νομίσῃ τις, ἀλλ᾿ ἐκ τοῦ δὶς περὶ τῶν αὐτῶν μὴ εἶναι κρίσιν, εἶτα δὶς περὶ τοῦ αὐτοῦ κρίνεσθαι, ἢ δὶς διδόναι τιμωρίαν, ἢ δὶς περὶ τοῦ τι ποιεῖν ἀναγκάζεσθαι, ἤ τι τοιοῦτον· τοῦτο γὰρ μόνον παρατηρεῖν ἄξιος[9] εἰ ἐπὶ τῷ αὐτῷ πράγματι· ποιῆσαι τί δεύτερον ὁ φεύγων ἢ δὶς παθεῖν ἀναγκάζεται· ὡς ἂν μὴ τοῦτο μὲν ᾖ προηγουμένως· ὑπάρχῃ δὲ προςκείμενον μόνον τὸ παραγράφεται, οὐχ ἕξει τὸν οἰκεῖον χαρακτῆρα ἡ γραφή· οἷον ὡς ἐπ᾿ ἐκείνου τοῦ πράγματος, τῷ ἀτίμῳ μὴ μετεῖναι δίκης[10] καὶ εἰς τὰς τῶν ὀρφανῶν δίκας οἱ ἐπίτροποι εἰςίτωσαν· ἐπιτροπεύων τις ὀρφανοῦ ἠτιμώθη· ἐγράψατό τις ὡς ὑβριστὴν τὸν ὀρφανόν· ὁ ἐπίτροπος ἀξιοῖ λέγειν ὑπὲρ αὐτοῦ τὴν δίκην· ὁ δὲ παραγράφεται· τοῦτο γὰρ τὸ ζήτημα ἔστιν μὲν ἀντινομία· τὸ γὰρ παραγράφεται κεῖται ἐνταῦθα ἀντὶ τοῦ ἀντιλέγειν ἢ κωλύειν· αὐτὸς δὲ 403 οὗτος ὁ δοκῶν παραγράφεσθαι, οὔτε ὡς γενομένης ἤδη κρίσεως περὶ τῆς ὕβρεως παραγράφεται, οὔτε τιμωρία τις ἐπὶ τούτῳ δευτέρα παρηκολούθησεν, οὔτε ἄτιμος ἂν ἦν γενόμενος, ὥστε δύνασθαι παραγράφεσθαι· οὔτε ὅλως ἐπὶ τῇ νῦν παρούσῃ γραφῇ φαίνεταί τις γενομένη πρώτη ἢ τιμωρία ἢ κρίσις ἤ τι τοιοῦτον· ὥστε ἐκ τούτου δῆλον ὅτι τινὲς ἥμαρτον τῶν τεχνογράφων, εἰπόντες ὅτι γνωρίζεται ἡ παραγραφὴ ἐκ τοῦ προςκεῖσθαι ὅτι παραγράφεται· διὸ προςῆκε μὴ τούτῳ προςέχειν, ἀλλὰ τῷ τῆς παραγραφῆς ἰδίῳ· τῷ εἰ δίς τι περὶ αὐτοῦ γίγνεσθαι

7 Ald. Codd. εὐθυδίαν. 8 Ald. Vind. νομίμων. Par. νομίμῶν. scripsi νομικῶν. Menand. διαίρ. ἐπιδεικτ. p. 615. τί γάρ τοι νομιμώτεροι μὲν οἱ γάμοι, δικαιότερα δὲ τὰ συμβόλαια. Med. 2. νομικώτεροι. Eadem confusio est apud Plat. Pol. VII. p. 539. A. 9 Ald. ἄξιον. scr. ἄξιος. 10 Ald. δίκη. scr. δίκης. — v. 15. Ald. Codd. ὑβρίσθην. v. 20. Ald. οὕτω. scr. οὔτε.

συμβέβηκεν· διαιρεῖται δὲ ἡ παραγραφὴ τῇ τοῦ ῥητοῦ θέσει· ὅτι ὁ νόμος κελεύει τὸν ἅπαξ κριθέντα δὶς περὶ τῶν αὐτῶν μὴ δικάζεσθαι· εἶτα λύσεις[11] τοῦτο ἐκ διανοίας· γίγνεται δὲ ἡ διάνοια πρὸς τὸ συμφέρον τοῦ λέγοντος· ἂν μὲν κρίσις ᾖ γενομένη, οὕτως ἐρεῖ ὁ χρώμενος τῇ διανοίᾳ, ὅτι νόμος κεκώλυκε, δὶς περὶ τῶν αὐτῶν τιμωρίαν μὴ γίγνεσθαι· κρίσιν δὲ εἶπε τὴν τιμωρίαν· ὁ τῇ διανοίᾳ χρώμενος λέγει, ὅτι νόμος δὶς μὴ γίγνεσθαι εἶπε διαδικασίαν· ἐὰν δὲ ἰδιωτικὸν ᾖ, λέγει, ὅτι ὁ νόμος οὐ πρὸς πρεσβύτας· καὶ καθόλου ὁ λύων τῷ ῥητῷ καὶ[12] τῇ διανοίᾳ χρώμενος πρὸς τὸ[13] ἑαυτῷ συμφέρον ἁρμόζει τὴν διάνοιαν, τὴν κρίσιν τιμωρίαν λέγων, καὶ τὴν τιμωρίαν κρίσιν· καὶ ὡς φθάνοντες εἴπομεν, καθ' ἕκαστον μετατιθεὶς εἰς ἕτερον τὸ ῥητόν· εἶτα μετὰ τὴν θέσιν τοῦ ῥητοῦ καὶ τὴν ἐργασίαν τῆς διανοίας καὶ τὴν ἀπὸ τοῦ ῥητοῦ ἀπάντησιν τῇ ἐμπιπτούσῃ στάσει ἀπὸ τῆς εὐθυδικίας χρῆται· καὶ οἷα ἂν ἐμπίπτει στάσει τῇ ταύτης, κεφαλαίοις διαιρήσεις τὸ ὑπόλοιπον μέρος τοῦ ζητήματος· καὶ ἂν μὲν ᾖ στοχαστικὴ ἡ συνεζευγμένη στάσις, τοῖς τοῦ στοχασμοῦ κεφαλαίοις διαιρεθήσεται, ἂν δὲ ὅρος, τοῖς ὁρικοῖς, ἂν δὲ μετάληψις, τοῖς τῆς μεταλήψεως, ἂν δὲ μία τῶν νομικῶν, τοῖς ἐκείνοις κεφαλαίοις· καὶ ἔστιν ἡ τῶν νομικῶν ἐργασία καθαρά· ὥσπερ γὰρ εἰς στοχασμὸν ἐμελετῶμεν ἢ μίαν τῶν νομικῶν, ἢ λογικῶν· οὐδὲν γὰρ ὅλως ἡ παραγραφὴ διαφέρει τῶν ἄλλων στάσεων κατὰ τὴν ἐργασίαν, ὑφαιρεθέντων τῶν ἄλλων κεφαλαίων τῶν τῆς παραγραφῆς δηλωτικῶν, ὅτι ὁ νόμος κελεύει δὶς περὶ τῶν αὐτῶν μὴ κρίνεσθαι· καὶ τῆς τούτου λύσεως· ὅτι κρίσιν εἶπε τὴν τιμωρίαν καὶ τὴν διαδικασίαν. παρατηρεῖν δὲ

11 Ald. Vind. λύσις. 12 καὶ Ald. Codd. om. 13 Ald. Par. τῷ. Vind. τό.

ἄξιον μετὰ τὴν τοῦ ῥητοῦ θέσιν καὶ τὴν λύσιν τὴν ἀπὸ τῆς διανοίας, ὅπως ἀκολούθως εἰςβάλλῃς εἰς τὴν τῆς ἐμπιπτούσης στάσεως διαίρεσιν, καὶ μὴ ἀπηρτημένον ποιήσῃς τὸν λόγον· διέλωμεν οὖν τὸ πρόβλημα, ἵνα σαφὴς ἡ διαίρεσις γένηται.

Πληγάς τις δοὺς τινι ἀπεκηρύχθη ὑπὸ τοῦ πατρός· καὶ εἰςάγοντος τοῦ ὑβρισθέντος τὴν τῆς ὕβρεως γραφήν, παραγράφεται κατὰ τὸν νόμον τὸν δὶς περὶ τῶν αὐτῶν κρίνεσθαι κεκωλυκότα.

Ἐνταῦθα ἡ συνεζευγμένη κρίσις ἐστὶ μετάληψις· οὐ γὰρ τῷ ὑβρισθέντι[1] δέδωκεν, ὥσπερ εἰπεῖν, ἀλλὰ τῷ πατρί· καὶ ἔστιν ἡ τῆς παραγραφῆς εὐθυδικία μετάληψις· λέγοντος γὰρ τοῦ φεύγοντος, δέδωκα τὴν δίκην, ὁ κατήγορος λέγει, οὐκ ἐμοὶ δέδωκας, ἀλλὰ τῷ πατρί· ἔστι δὲ ἡ διαίρεσις αὕτη, μελετώντων ἡμῶν τὸν ὑβρισθέντα.
Ἡ Κατάστασις ἔχει μετὰ αὐξήσεως καὶ ἐπαίνου, εἰ δεῖ τοὺς νόμους καὶ μέτριον τῆς πολιτείας ἐγκώμιον ἐν θέσει διεξιόντων ἡμῶν, ὅτι κακὸν καὶ χαλεπὸν ἡ ὕβρις· ἐρεῖς γὰρ ὅτι εἰδυῖα τοῦτο ἡ πόλις, ὅτι ἄλλως οὐχ οἷόν τε ἦν συγκροτεῖσθαι τὴν πόλιν, ἔθετο κατὰ τῶν ὑβριστῶν νόμους· ἵνα μὴ ὥσπερ ἐν ἐρημίᾳ τινὶ καὶ τυραννίδι ἔξῃ[2] τοῖς μὲν ὑβρίζειν, τοῖς δὲ μὴ λαμβάνειν τὴν τιμωρίαν· ἀλλ' οἱ μὲν τῆς αὐτῶν προπετείας ἀνέχοιντο· οἱ δὲ παθόντες κουφίζοιντο τῇ τιμωρίᾳ τὴν συμφοράν· ταῦτα εἰδώς, ταῦτα ἐννοῶν, διῆγον κατὰ τὴν πόλιν, οὐδενὶ τῶν συντυγχανόντων μοι ἀπεχθής, οὐδενὶ τῶν πολιτῶν βαρύς, ἀλλ' ἴσος
404 ἐδόκουν εἶναι πρὸς πάντας καὶ πρᾶος, καὶ πρὸς οὐδένα τῶν πολιτῶν μηδεμίαν ἔχων δυςμενείας ὑπόθεσιν, ἀλλὰ φίλος καὶ προσηνὴς παρὰ πάντων ὀνομαζόμενος· ἔτι μᾶλλον ἐμοὶ πρὸς τὸν τοιοῦτον βίον παρεσκεύαζε[3], λέγων δεινὸν ἡ ὕβρις· αὕτη τὰς ἔχθρας, αὕτη τοὺς πολέμους

1 Ald. Vind. ὑβριδέδωκεν. 2 Ald. ἕξει. scr. ἕξῃ. 3 Ald. παρασκεύαζε. Vind. Par. παρεσκεύαζε.

ἀνακινεῖ, διὰ ταύτην πολιορκίαι καὶ μάχαι, διὰ ταύτην ἔχθραι καὶ πόλεμοι· ἂν ταύτην φύγῃς, οὐκ ἔσται σοι κατὰ τὸν βίον συμφορῶν ὑπόθεσις· τούτοις ἐμαυτὸν ἀεὶ παιδεύων τοῖς λόγοις, τούτοις πρὸς τὴν καθ' ἡμέραν τῶν πολιτῶν συνουσίαν ἀσκῶν περιπέπτωκα τοῖς ἀπ' ἐναντίας ἐμαυτῷ κακοῖς καὶ πάσης πεῖραν ἐξαίφνης ἐλάμβανον ὕβρεως· ἄνθρωπος οὐδὲ πώποτε παθὼν τοιοῦτον οὐδὲν ὑβριζόμην, ἐλοιδορούμην· εἶτα κατ' ὄνομα τὴν ὕβριν αὐξήσας εἰπὲ, ὅτι ἐμαυτὸν παρεμυθούμην, ἐπέχειν συμβουλεύων, ἐμαυτῷ λέγων, ὅτι ἐὰν ἐπιπλέον καρτερήσω, τούτου μὲν ἅπαντες καταγνώσονται· ἐμὲ δὲ τῆς ἀνεξικακίας θαυμάσουσι· καὶ ὅτι οὐχ ἅπαξ, οὐ δεύτερον ἐκεῖνος μὲν ὕβρισεν, ἐγὼ δὲ ἐκαρτέρησα· ως δὲ εἶδεν, ὅτι οὐδὲν πλέον ἐμαυτῷ τῆς ὕβρεως, ὥσπερ τῆς ἡσυχίας μοι βασκαίνων πληγὰς ἐνεφόρησεν· ἐν ᾧ καὶ αὐξήσεις πάλιν τὰς ὕβρεις, τὰς πληγὰς, ὡς ὁ Δημοσθένης τῷ σχήματι, τῷ βλέμματι, τῇ φωνῇ· εἶτα ὅτι οὐκ οἶδα[4], πῶς ὁ πατὴρ αὐτὸν ἀπεκήρυξεν· οἰκονομήσεις δὲ τοῦτο τῷ κατ' ἔμφασιν σχήματι, ἐνδεικνύμενος, ὅτι οὐ διά σεαυτὸν ἀπεκήρυξεν· εἶτα ὅτι εἰσάγω τὴν γραφὴν κατὰ τοὺς νόμους, καὶ τὸ κελευσθὲν ὑπὸ τῶν νόμων ποιῶν οὐ συγχωροῦμαι. Μετὰ τὴν κατάστασιν θήσεις τὴν παραγραφήν· ἔστι δὲ τὸ μὲν ῥητὸν ἐξ ἀντιθέσεως, ἡ δὲ διάνοια λυτικὴ τοῦ ῥητοῦ τυγχάνουσα τοῦ μελετωμένου· οἷον ἀλλ' ἅπαξ, φησὶ, δέδωκε τὴν δίκην· νόμος δὲ οὐδεὶς περὶ τῶν αὐτῶν τιμωρεῖσθαι κελεύει· καὶ δεύτερον ἡ λύσις τῇ διανοίᾳ· ἰστέον δὲ ὅτι οὐ μιᾷ μόνῃ, ἀλλὰ καὶ πλείοσιν ἂν εὑρίσκοι τις διανοίας· λύσει τὸ ῥητὸν μόνον, ἂν μὴ ὦσιν ἐναντίαι· ἰσχυρίζεται δὲ ἐκεῖνος τῇ τιμωρίᾳ· σὺ τῇ διανοίᾳ χρώμενος λέγε, ὅτι κρίνεσθαι εἶπεν ὁ νόμος ἅπαξ· λύσεις οὕτως· δέδωκα, φησὶ, δίκην ἄνθρωπος μὴ κριθεὶς,

---

4 Ald. εἶδα.

ἄνθρωπος μὴ καθίσας ἐφ' ἑαυτῷ δικαστήριον· καί τοι πῶς οἷόν τε τιμωρίαν λαβεῖν, μήτε τινὸς κατειπόντος, μήτε αὐτοῦ ἀπολογησαμένου, μήτε κληρωθέντων τῶν δικαστῶν· εἶτα ἄλλῃ διανοίᾳ χρῆσαι· καί τοι ὁ νόμος εἶπε δὶς περὶ τῶν[5] αὐτῶν τιμωρεῖσθαι μηδένα, δεικνὺς ὅτι δὶς περὶ τοῦ αὐτοῦ γίγνεσθαι κρίσιν οὐ προσῆκεν· ἀκόλουθον γὰρ ἐφ' ἑκάστῳ τῶν τοιούτων δίκην καὶ τιμωρίαν ἐπακολουθεῖν· εἰ μὲν οὖν ἐτιμωρήθη κατὰ τὸν νόμον, εἰπὲ τὸν καταψηφισάμενον δικαστήν· εἰπὲ τοῦ δικαστηρίου τὸν τόπον· εἰπὲ πόσοι συνήχθησαν δικασταὶ, πῶς δὲ τὰς ψήφους[6] οἱ κρίνοντες ἤνεγκαν· νῦν δὲ τούτων καὶ μέρος εἰπεῖν ἀπορῶν, καὶ χρήσασθαί τι μὴ δυνάμενος ἁπλῶς σοφίζῃ τὸν νόμον, καὶ καταλύεις τὴν πολιτείαν σοφίσμασι, δεδωκέναι μὲν τὴν τιμωρίαν βοῶν, οὐκ ἔχων δὲ τοὺς καταψηφισαμένους εἰπεῖν δικαστάς· εἶτα εὐφυῶς καὶ ἀκολούθως ἐκ τῆς διανοίας ἔμβαλε εἰς τὴν μετάληψιν· ἥτις ἐστὶν ἡ εὐθυδικία· ἵνα δὲ μὴ ἀπηρτημένος σοι ὁ νόμος γένηται, πρόσθες, ἀλλ' ἔστω δεδόσθω δεδωκέναι τὴν δίκην, καὶ τιμωρίαν ὑπεσχηκέναι τῆς ὕβρεως· λογίζομαι γὰρ ὡς ἀπό τινος δικαστηρίου τὴν ἀποκήρυξιν· τίνι ταύτην εἰπέ μοι τὴν τιμωρίαν παρέσχηκας; τίνι δέδωκας τὴν δίκην; τῷ πατρὶ πάντως ἐρεῖς· οὗτος οὖν παρὰ σοῦ καὶ τὴν ὕβριν ὑπέμεινεν· οὗτος ἐπὶ τοῦ σώματος ἤνεγκε τὰς πληγάς· καὶ τοῦτον αἰκισάμενος τὴν δίκην κατ' ἀκολουθίαν ὑπέμεινας· ἀλλ' οὐδαμῶς ἀπαναισχυντήσεις πρὸς ταύτην[7] τὴν ἀπόκρισιν· οὐδὲ τὸν ἀληθέστατον τουτονὶ λόγον εἰς τὸ ἐναντίον μεταβαλεῖς[8]· εἶτα κατασκευάσεις τοῦτο τοῖς ὁρικοῖς, ὡς διαιροῦντες καὶ τὴν μετάληψιν εἴπομεν,

---

5 τῶν Ald. Codd. om. Insere articulum, coll. Epist. crit. p. 7. 6 Par. πόλεις. ad marg. ψήφους. 7 Par. ταυτηνὶ τὴν ὑπόθεσιν. ad marg. ἀπόκρισιν. 8 Ald. Codd. μεταβάλλεις. scr. μεταβαλεῖς.

ὅτι πᾶσα μετάληψις τοῖς ὁρικοῖς καὶ κατασκευάζεται καὶ ἀνατρέπεται· ἐρεῖς οὖν ἀπὸ τοῦ ὅρου, ὅτι οὐκ ἔστι ταὐτὸν τῷ πατρὶ δοῦναι τὴν τιμωρίαν κἀμοὶ, ἀλλ' ἕτερος μὲν ἐκεῖνος, ἕτερος δὲ ἐγὼ, καὶ ὅτι ἐκεῖνος μὲν οὐχ ὑβρι- 405 σμένος ἀνέλαβεν[9] τὴν δίκην, καὶ τοῖς τοιούτοις· εἶτα τῷ συλλογισμῷ, ὅτι οὐκ ἴσον τὸ ἐκείνῳ δοῦναι τιμωρίαν κἀμοί· ἐγὼ μὲν γὰρ ἂν ὥσπερ εἰπεῖν ἐκουφιζόμην τῆς λύπης· ἐκεῖνος δὲ ὁ αὐτός[10] ἐστι νῦν τοῖς πρὸ τούτου· εἶτα τῷ πηλίκῳ, ὅτι οὐδὲν τοῦτο πραχθὲν, ἀλλὰ κατὰ πολὺ μέγα, τὸ μὴ ἐμοὶ δοθῆναι τὴν τιμωρίαν, καὶ τοῖς τοιούτοις, ἵνα μὴ ταυτολογῶμεν τοῖς ἐπιχειρήμασι· μετὰ ταῦτα θήσεις τὴν μεταληπτικὴν ἀντίθεσιν, ἀπὸ τοῦ κατηγόρου· ἀλλ' ἔδει πρὸ τῆς ἀποκηρύξεως κατηγορεῖν· ἡ λύσις γίγνεται· πρῶτον μὲν τὸ ὅτι ἠπείχθη σε ἀποκηρύξαι ὁ πατήρ· ἔπειτα ὅτι καὶ ἐνόμισέ με ἐκ τούτου παῦσαι τῆς γραφῆς· εἶτα ὅτι ἔξεστιν ὅταν βούλωμαι κατηγορεῖν, καὶ οὐδεὶς νόμος τῆς κατηγορίας οὔτε καιρὸν, οὔτε χρόνον ὁρίζει· ἀλλ' ἐπὶ τοῖς παθοῦσιν ἐστὶ τὸ εἰςελθεῖν ὅτε καὶ βούλονται τὴν δίκην·[11] καὶ εἰκότως· ἐπειδὴ γὰρ οἱ ἄνθρωποι πολλάκις ἄπειροι ὄντες τῶν πραγμάτων ἐπὶ πλέον βούλονται βουλεύεσθαι, ἢ χρόνου πρὸς παρασκευὴν χρῄζουσιν, εἶπεν ὁ νόμος ἐξεῖναι κατηγορεῖν, ὅτε καὶ βούλονται, ἵνα ἐπὶ τοῖς ἠδικημένοις γένηται τὸ δικάζεσθαι, καὶ μὴ, καὶ διόλου κατασκευάσεις ὡς ἀντιληπτικὸν κεφάλαιον· καὶ μετὰ ταῦτα προςθήσεις τῇ λύσει καὶ στοχαστικὰ ἐπιχειρήματα· ἐρεῖς γὰρ, ὅτι εἰκός σε καὶ δι' ἄλλας ἀποκεκηρύχθαι αἰτίας· πάλιν ἁμαρτήσαντός σου κατὰ τὴν οἰκίαν, ἢ λόγον εἰπόντος σου πρὸς αὐτὸν τὸν μὴ προςήκοντα, ἢ καὶ ἁψαμένου τῇ χειρί· εἶτα ἔπαγε βίαιον νόημα πρὸς κατασκευὴν τούτου· οὐδὲ

---

9 Vind. ἀνέλαβον. 10 Ald. Codd. αὐτός. scripsi ὁ αὐτός. — v. 9. Ald. Vind. τοῦ. Par. τοῦτο. 11 Ald. Codd. νίκην.

γὰρ ἂν ὤφθης κατὰ τὴν ἀγορὰν τοιοῦτος, εἰ μὴ καὶ κατὰ τὴν οἰκίαν ἦς παραπλήσιος· πεφύκασι γὰρ ἅπαντες ἄνθρωποι, οἷοι ἂν ὦσιν ἐπὶ τῶν οἰκιῶν τρόπον, τοιοῦτοι κἀπὶ τῆς ἀγορᾶς φαίνεσθαι· ὅτι οἱ ἔνδον ἡσύχιοι καὶ πρᾶοι καὶ ἐπὶ τοῦ δημοσίου τοιοῦτοί τινές εἰσι, καὶ ὅτι οὐδέποτ' ἂν ὀφθεῖεν οὗτοι τὴν ἑαυτῶν ἀγωγὴν παραβαίνοντες, οἱ δὲ ἐπὶ τῆς ἀγορᾶς ὑβρισταὶ καὶ τὸν τρόπον ἀηδεῖς δηλονότι καὶ ἑαυτοῖς εἰσι, καὶ ἐπὶ τῆς ἑστίας παραπλήσιοι· καὶ ὅτι εἰ μὴ καὶ τοῦτ' ἔστιν ἀληθές, ἐπὶ προσχήματί σε ἀπεκήρυξεν ὁ πατήρ, ἵνα πάλιν ἀναλάβῃ· ποία οὖν αὕτη δίκη ἢ ποία τιμωρία, ἡ ἐπὶ προσχήματι γενομένη, ἡ ἀπατῶσα τοὺς ἠδικημένους, καὶ τὰ τοιαῦτα· μετὰ ταῦτα οἱ ἐπίλογοι προτρεπτικοὶ τῶν δικαστῶν, καὶ συμβουλευτικοὶ μὴ δέξασθαι τὴν παραγραφήν, ἵνα μὴ πρόφασις ἅπασι γένηται, τοῦτον ἐκφεύγειν τὸν τρόπον τὴν τιμωρίαν, καὶ ὅτι καὶ ἑτέρους ὑβρίσας τῇ αὐτῇ ἀγωγῇ διαφεύξεται· καὶ οὕτω συμβήσεται πάντας μὲν τοὺς κατὰ πόλιν ὑβρίζεσθαι, τιμωρίαν δὲ μὴ κατακολουθεῖν ἐκ τῶν νόμων, καὶ ὅσα τοιαῦτα προτρεπτικὰ πρὸς τὴν τιμωρίαν ὑβριστὴς καὶ ὁμολογούμενος· διὸ καὶ τὴν καταφορὰν οἰκείαν ἕξει.

## ΕΙΣ ΤΟ ΕΝΑΝΤΙΟΝ Ο ΑΠΟΚΗΡΥΚΤΟΣ.

Ὁ ἀποκήρυκτος ἐπιείκειαν ὑποκρίνεται τῷ λόγῳ, καὶ πρὸς τοὺς δικαστὰς τρόπον χρηστόν· ἀπὸ γὰρ προοιμίων τοῦτο παραθήσῃ αὐτῷ, ἵνα τὴν γενομένην διὰ τῶν ἔργων κατάγνωσιν διαλύσῃ τῷ λόγῳ, καὶ δόξῃ δι' ὀργὴν τοῦ πατρὸς καὶ τραχύτητα μᾶλλον, ἢ διὰ τὰς πληγὰς ὑπομεῖναι τὴν ἀποκήρυξιν· ὅθεν ἡ κατάστασις αὐτῷ πολλὴν ἕξει τὴν τοῦ πατρὸς ὀργὴν ἐπὶ τοῖς πραττομένοις, καὶ ἐπὶ τοῖς ἐλαχίστοις ἁμαρτήμασιν ἀπαραίτητον· καὶ φόβον ἐπὶ τούτοις αὐτοῦ κατὰ τὴν οἰκίαν πο-

λὺν [1], καὶ ἤθους τραχύτητα· πρὸς δὲ τούτοις ἐρεῖς, ὅτι οὐκ οἶδα πῶς τύχη τις ἐπεβούλευσε σκαιὰ, καὶ δαιμόνιον εἰς ταύτην με τὴν τύχην κατήγαγεν· εἶτ' ἐπὶ τούτοις μικρὸν παθηνάμενος εἰς ταυτὴν εἰςβαλεῖ τὴν τῶν πραγμάτων διήγησιν· ἐρεῖ γὰρ ὅτι συνουσία τις ἦν καὶ κοινωνία φιλικὴ, καὶ οἷα εἰκὸς ἦν ἐν συνόδῳ πολλάκις τοὺς νέους ποιεῖν, λόφος ἦν καὶ παιδιά [2]· τὴν γὰρ ὕβριν ὁ ἀποκήρυκτος καὶ τὰς πληγὰς παιδιὰν [3] ἐρεῖ· εἶτα ὅτι τραχὺς οὗτος ὢν καὶ πρὸς παιδιὰν ἀνάρμοστος ἐξήχθη πρὸς ὀρ- 406 γὴν, καὶ τὴν συνουσίαν οὐκ ἤνεγκεν. ἀλλ' εἰδὼς ὅτι ἀπαραίτητός ἐστιν ὁ πατὴρ, καὶ πρὸς τὰ τοιαῦτα ἀσύγγνωστος, κατεῖπε, κατηγόρησεν, ἀνήγαγε τῷ πατρί· εἶτ' ἐκεῖνος καταγνοὺς ἀπεκήρυξε, καὶ μείζονα τὴν τιμωρίαν τῆς ἁμαρτίας ἐξήνεγκεν. διαθήσει γὰρ ὁ ἀποκήρυκτος περὶ τούτων λόγον, ὡς κατειπόντος, ὡς προςελθόντος τῷ πατρὶ, ὡς κατηγορήσαντος, ὡς ἐν τρόπῳ δικαστηρίου [τρόπῳ] καταγνόντος [4] τοῦ πατρὸς, καὶ κακωθέντος [5], καὶ διακούσαντος ἀμφοτέρων, καὶ τὴν τῆς ἀποκηρύξεως οὕτω ψῆφον ἐξενέγκαντος· εἶτα ἐπὶ τούτοις ἐρεῖς, ὅτι τούτων τοῦτον πραχθέντων τὸν τρόπον, πάλιν εἰςάγει τὴν ὕβριν, πάλιν κατηγορεῖ, καὶ εἰςβάλλει εὐθὺς πρὸς τὴν παραγραφήν· καὶ τὸ ἀπὸ τοῦ νόμου ῥητὸν, ὅτι τῶν νόμων εἰρηκότων ἅπαξ ἐπὶ τοῖς ἁμαρτήμασι κρίνεσθαι, καὶ δὶς ἐπὶ τοῖς αὐτοῖς οὐ συνάγεσθαι τὸ δικαστήριον. καὶ ἀπὸ γνώμης εὐθὺς κατασκεύασον τὸ ῥητὸν λέγων. εἰκότως· ἵνα μὴ περιπεσὼν πλημμελήματι πολλάκις τὴν τιμωρίαν διδῷ, μηδὲ ἐπὶ τοῖς αὐτοῖς καὶ ἅπαξ τις τιμωρεῖται καὶ δεύτερον, καὶ τὰ τοιαῦτα· εἶτα θήσεις τὴν ἀπὸ τῆς δια-

---

1 Ald. Codd. πολύς. 2 Ald. Vind. πεδία. 3 Ald. Vind. παιδίαν. 4 Ald. κατιφρότος. Vind. Par. κατανότος. scripsi καταγνόντος, et alterum τρόπῳ sepsi. 5 Ald. Codd. κακωσθέντος καὶ διακούσαντες. Ald. asteriscum ponit post καί.

νοίας ἐκείνου ἀντίθεσιν. ἀλλ' οὐκ ἐκρίθης, φησί· καὶ λύσεις τοῖς ἀπὸ τοῦ πατρὸς γενομένοις ὁρικοῖς, ὅτι κρίσις ἦν τὸ μαθεῖν τὸν πατέρα, τὸ δέξασθαι τὴν ἀκοήν· ὥσπερ κατηγορίαν τὸν φύσαντα· εἰ γάρ [6]· μὴ σὺ κατεῖπες τῷ πατρὶ, ἀλλ' ὡς εἰπὼν τῷ πατρὶ τὴν αὐτὴν ἂν σύνταξιν ἐπλήρου, τὸ καταψηφίσασθαι τὸν πατέρα, τὸ ἀποκηρύξαι, καὶ ὅσα τοιαῦτα. Εἶτα ἐλεύσῃ ἐπὶ τὴν μετάληψιν, τιθεὶς αὐτὴν ἐξ ἀντιθέσεως, ἢ λύων μόνον· ἐπὶ σοὶ γὰρ ἔσται σχηματίσαι ὡς προήρηται· ἀλλ' οὐκ ἐμοὶ, φησὶν, ἔδωκας τὴν δίκην. Ἡ Λύσις· οὐκοῦν ἐχρῆν πρὸ τῆς ἀποκηρύξεως κατηγορεῖν, πρὶν ὁ πατὴρ ταύτην ὑπὲρ σοῦ ζητήσει τὴν κόλασιν, πρὶν ἀλλότριος τοῦ γένους γένωμαι, πρὶν τῆς οὐσίας ἀποστερηθῶ, καὶ τὰ τοιαῦτα· εἶθ' ὁρικὴ, ὅτι σὺ ἐδέξω· ἐπὶ γὰρ τῇ ὕβρει ἡ ἀποκήρυξις γέγονεν. καὶ ὅτι πῶς λέγεις τὸ μὴ σοὶ δεδόσθαι τὴν δίκην; εἰ μὴ ἄρα τὸ μὴ εἰς χεῖρας νομίζεις τὴν τιμωρίαν λαβεῖν καὶ σέ· ὅρα γὰρ ἐπὶ τίνι ἡ ἀποκήρυξις· καὶ ὅτι ἡ ὑπόθεσις τῆς ἀποκηρύξεως δείκνυσιν, ὅτι σὺ τὴν τιμωρίαν εἴληφας. εἶτα τῇ πηλικότητι, ὅτι μεῖζον ἢ κατὰ ὕβριν ἡ δίκη, καὶ χρήσῃ ὅσα αὐτῷ πρόσεστιν ἐκ τῆς ἀποκηρύξεως, καὶ ὅτι οἱ δικασταὶ οὐκ ἂν ταύτην τὴν τιμωρίαν ἐζήτησαν, καὶ ὅτι πολλῷ ταύτης ἐλάττονα ἀνέλαβον τιμωρίαν, καὶ τὰ τοιαῦτα. Εἶτα μετὰ ταῦτα θήσεις τὴν ἀντίληψιν· ἀλλ' ἔξεστίν μοι, φησὶ, κατηγορεῖν, ὅτε καὶ βούλομαι. Ἡ Λύσις μεταληπτική· δῆλον γὰρ ὅτι πᾶσα ἀντίληψις τῇ μεταλήψει λυθήσεται· ἔξεστίν μοι καὶ αὐτός φημι, ἀλλ' οὐκ ἐπὶ τοῖς ἤδη κεκολασμένοις, οὐδὲ ἐπὶ τῶν ἤδη τετιμωρημένων· καὶ πρὸς τὴν τοιαύτην δυνατόν ἐστι λύσιν εὑρεῖν ἐπιχειρήματα· ἀλλ' ἠπείχθη σε, φησὶν, ἀποκηρύξαι ὁ πατήρ. λύσεις· τίνος γενομένου, τίνος ἁμαρτήματος, ποίας μέμψεως; ἅμα γὰρ λύσεις μετὰ ταύτης

6 post γὰρ Ald. Par. εἰ repetunt. Vind. εἰ γὰρ εἰμί. — v. 15. Ald. μὴ σύ. scr μὴ σοί.

καὶ ἄλλην ἀντίθεσιν τὴν ὅτι εἰκός σε ἐπ' ἄλλοις[7] ἀποκεκηρύχθαι ἐγκλήμασι. Μετὰ ταῦτα θήσεις τὴν στοχαστικήν· ἀλλ' εἰκὸς ἐπὶ προσχήματί σε τοῦ πάλιν ἀναλαβεῖν ἀποκηρύξαι τὸν φύσαντα. Λύσεις στοχαστικῶς· ἢ οὐκ εἰκὸς ἅπαξ ἐκβαλόντα τῆς οἰκίας, ἅπαξ ἄτιμόν με ποιήσαντα. καὶ καθόλου πᾶσιν ἐπεξελεύσῃ τοῖς ἀπὸ τῆς βουλήσεως ἐπιχειρήμασιν· εἶτα ὅτι εἰ ὅλως ἐπὶ τούτῳ με ἀπεκήρυττε, τίνος ἕνεκα καὶ τὴν ἀρχὴν ἐνέβαλλε, καὶ τὰ τοιαῦτα. Ἐπίλογος παθητικὸς, καὶ τοὺς δικαστὰς κινῶν εἰς ἔλεον, καὶ διατυπώσει τῶν καθ' ἑαυτῶν χρώμενος, καὶ ὅσας ἔχει συμφορὰς, παρὰ πάντων ὀνειδιζόμενος, ὑβριζόμενος, ἐκβαλλόμενος, καὶ τὰ τοιαῦτα.

## ΔΙΣ ΠΕΡΙ ΤΩΝ[1] ΑΥΤΩΝ ΜΗ ΕΙΝΑΙ ΔΙΚΑΣ.

Κρινόμενός τις λῃστείας ἠφείθη· ἕτερός τις ἐπὶ τῇ αὐτοῦ λῃστείᾳ βασανιζόμενος κατεῖπεν αὐτοῦ ὡς κεκοινωνηκότος. πάλιν κρίνεται, ὁ δὲ παραγράφεται.

Τοῦτο τὸ ζήτημα τὴν εὐθυδικίαν ἔχει στοχαστικήν. 407
ἀπὸ γὰρ τοῦ εἰπεῖν τὸν κλέπτην βασανιζόμενον ἐκεῖνος κρίνεται. διὸ μετὰ τὸ ῥητὸν τοῦτο ἀπὸ τῆς παραγραφῆς, καὶ τὴν λύσιν αὐτῆς τὴν τῆς διανοίας ἀκολούθως ἕξεις ἐπὶ τὰ ἐμπίπτοντα τοῦ στοχασμοῦ τὰ κεφάλαια· ἔστιν οὖν ἡ κατάστασις τοῦ κατηγόρου φανερά· αὔξησιν ἔχει καὶ καταδρομὴν τοῦ κακοῦ, καὶ δείνωσιν τῆς τοιαύτης συμφορᾶς, καὶ ὅτι εἰδότες οἱ νόμοι ὅτι πολλοὶ τῶν ἀνθρώπων τῶν ἀλλοτρίων ἐφίενται, καὶ τιμωριῶν οὗτοι καὶ κολαστηρίων οἱ τοιοῦτοι χρῄζουσιν, πρὸς σωφρονισμὸν ἔθεσαν τὸν νόμον. εἶτα ἐρεῖς ὅτι εἰς τὴν πολιτείαν οὗτοι σώζουσι καὶ τὴν δημοκρατίαν, καὶ τὰ τοιαῦτα. εἶτα ἐρεῖς, ὅτι πολλοὶ ληφθέντες ἐκολάσθησαν,

7 Ald. Vind. ἄλλου. Par. ἄλλοις. — 1 τῶν Ald. Codd. om.

τοιγαροῦν καὶ οὗτος αὐτὸς ληφθεὶς καὶ μέλλων κολάζεσθαι, οὐκ οἶδα πῶς ἀπάτῃ καὶ ψευδολογίᾳ διέφυγεν καὶ τὸ δικαστήριον διαδρὰς πιθανὴν ἀπολογίαν αὐτῷ πρὸς τὰς μετὰ ταῦτα λῃστείας πεπόριστο. τοιγαροῦν ληφθέντος τινὸς καὶ κρινομένου κατὰ τὸν νόμον, οὐ μόνον ὑμεῖς αὐτὸν [2] ἐξηλέγξατε, ἀλλὰ καὶ τοὺς κεκοινωνηκότας ἐγνώκατε. βασανιζόμενος γὰρ ἐκεῖνος, καὶ πολλάκις παρ' ὑμῶν ἐρωτώμενος μίαν ἔφη ταύτην φωνήν· οὗτος ὁ παρ' ὑμῶν ἀφεθεὶς, ὦ ἄνδρες δικασταὶ, μοὶ συνέγνωκεν, οὗτος ἐμοὶ τῆς λῃστείας μετέσχηκεν, οὗτος ὁ παρ' ὑμῶν δόξας τῶν τοιούτων ἐγκλημάτων ἀνεύθυνος, καὶ τὰ τοιαῦτα. τοιγαροῦν ἡμεῖς, ἐπειδὴ κατὰ τὸν νόμον ἀκόλουθον ἦν, τὰ γράμματα πάλιν τῆς λῃστείας αὐτὸν παρελθεῖν, διὰ τῆς κατηγορίας εἰς ὑμᾶς πάλιν κατηνέγκαμεν· καὶ χάρις γε τοῖς θεοῖς ὅτι μὴ διέφυγεν ὑμᾶς ὁ πονηρός. ἀπὸ τούτου δὲ καὶ προοίμιον ἕξεις ἁρμόττον [3] τῇ ὑποθέσει. Εἶτα μετὰ τὴν κατάστασιν θήσεις ἐξ ἀντιθέσεως τὴν παραγραφήν. οἷον, ἀλλ' ἐκρίθην, φησί· νόμος δὲ δὶς περὶ τῶν αὐτῶν εἶναι τὰς δίκας ἐκώλυσεν. Ἡ ΛΥσις τῇ διανοίᾳ τοῦ νόμου, ὅτι δίκας εἶπε τὰς τιμωρίας ὁ νόμος· εἰ μὲν οὖν αὐτὸς τετιμώρησαι, καλῶς κέχρησαι τῷ νόμῳ. εἰ δὲ οὐδέ πω τιμωρίαν παρέσχηκας, ἀνθότου τοῦτον ἀντ' ἀπολογίας προβάλλῃ τὸν νόμον; εἰ μὲν γὰρ ἤρκει τοῦτον ἀναγνῶναι πρὸς τὴν κατηγορίαν τὸν νόμον, ἅπαντες ἂν τὴν ἀρχὴν εὐθυνόμενοι, εἶτα διαδρᾶναι τὴν κατηγορίαν τολμήσαντες, ἀνεύθυνοι τοῦ λοιποῦ τῶν ἐγκλημάτων ἐγίγνοντο. ἐπειδὴ δὲ τοῦτον ἀπόχρη τὸν λόγον εἰπεῖν, πάλιν κρίσεις καὶ τὰ δικαστήρια, καὶ μάλα γε εἰκότως. ἐπειδὴ γὰρ εὔδηλον ἦν, ὅτι πᾶσα καταλίεται πολιτεία τοῦτον τὸν τρό-

2 Ald. Vind. αὐτῶν. Par. αὐτόν. 3 Ald. Vind. ἁρμόττοντα. Par. ἁρμόττον.

που, καὶ νόμοι καὶ δικαστήρια διαφθείρονται, ἂν τοῦτον ἰσχύσωσι τὸν τρόπον παραπέμψασθαι τὰς γραφὰς οἱ πονηροί, ἐδέξασθε παρ' ἐμοῦ ταύτην τὴν πρόσοδον, καὶ πάλιν τοῦτον παραδοῦναι τοῖς νόμοις συγκεχωρήκατε, ἵνα πανταχόθεν σώζηται τῇ δημοκρατίᾳ τὸ προσῆκον, καὶ μή τις τῶν πολιτῶν ἀδικούμενος τοῦ λαβεῖν παρ' αὐτοῦ δίκην ἐκκρούηται. εἰ μὲν οὖν τετιμώρηται παρ' ὑμῶν, εἰπάτω τοὺς καταψηφισαμένους δικαστὰς τὴν τιμωρίαν, ἣν τοῖς δικάζουσιν ἡμῖν παρέσχον. ὅτι δὲ τούτων οὐδέτερον εἰπεῖν εὐτυχεῖ, ἀνθότου τὸν νόμον, ἀνθότου προβάλλεται τὰ γράμματα, καὶ τὰ τοιαῦτα. εἶτα ἐντεῦθεν ἀκολούθως εἰςβάλλεις εἰς τὴν τῆς εὐθυδικίας στόχασιν, καὶ ἐρεῖς εὐθὺς τὴν τῶν ἐλέγχων ἀπαίτησιν. καὶ τίς μου καταμαρτυρεῖ, φησίν, ὅτι τῷ λῃστῇ κεκοινώνηκα; Ἡ ΛΥσις φανερὰ ἐκ τῶν στοχαστικῶν ζητημάτων. πρῶτον μέν, ἐκβολῇ τῶν μαρτύρων, καὶ ὅτι οὐ δεῖ τούτοις ἰσχυρίζεσθαι. εἰδότες γὰρ ὑμεῖς τὰς κατηγορίας τούτους μάλιστα πρὸς ἔλεγχον λανθάνειν σπουδάζετε. καὶ ὅτι εἰ καὶ παρῆσαν, εἶπεν ἂν καταψευδομαρτυρεῖσθαι, καὶ ὅτι τὰ πράγματα ἰσχυρά. καὶ ἔπαγε τὴν βούλησιν, εὐθὺς συνάψας αὐτὴν τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους, τουτέστι τῷ κατειπεῖν· οὐ γὰρ ἂν ἠβουλήθην σου κατειπεῖν ἄνθρωπος ἐν κρίσεσιν ὢν καὶ βασάνοις, καὶ εἰδὼς ὅτι ψευσάμενος μὲν ἐπὶ πλέον ἑαυτὸν τιμωρήσεται. τἀληθῆ δὲ εἰπὼν οὐδὲν τοιοῦτον πείσεται· καὶ πρὸς τοίτοις 408 οὔτε ἐχθρὸς ὤν, οὔτε διαφορὰν ἔχων πρὸς σέ τινα, τούτους εἰπεῖν ἂν τοὺς λόγους προήχθη. ἀλλ' ὑπ' αὐτῆς ἂν τῆς ἀληθείας καὶ τῶν γεγενημένων σοι σὺν αὐτῷ λῃστειῶν. πεφύκασι γὰρ ἅπαντες ἄνθρωποι ἐν ταῖς[4] βασάνοις μάλιστα τἀληθῆ εὑρίσκειν, ὅτι αὐτὸ τὸ δικαστήριον, ὁ φόβος, αἱ βάσανοι, οὐκ ἂν αὐτὸν συνεχώρη-

4 Ald. Vind. τοῖς. Par. ταῖς. h. l. et paullo post p. 280, 7.

σαν ψεύσασθαι, καὶ τὰ τοιαῦτα, ὅσα ἂν εἰς τὸν στοχασμὸν μελετῶν ἔλεγες. ΜΕτὰ τὴν βούλησιν καὶ τὰ ἀπ᾿ ἀρχῆς ἄχρι τέλους, δύναμις γὰρ οὐχ ἐμπίπτει, ἐρεῖς ἐξ ἀντιθέσεως τὸ χρῶμα. ἀλλὰ παῦσαι, φησὶν, αὑτὸν τῶν βασάνων βουλόμενος ἐπὶ τοῦτον ἦλθε τὸν λόγον. ΛΥσεις ὡς χρῶμα λύων ἐν στοχασμῷ, ὅτι οὐκ ἂν ἑαυτὸν μᾶλλον ἂν ἔπαυσεν, ἀλλὰ πλέον ἐν ταῖς βασάνοις συνέκλειεν ἂν, εἰ τοῦτον τὸν τρόπον διακείμενος κατεῖπεν. εὑρόντες γὰρ οἱ δικασταὶ τὴν ἀλήθειαν, πλέον ἂν αὐτὸν ἐβασάνισαν, εἶτα ὅτι οὐχ ἅπαξ εἶπεν, ἀλλ᾿ ἀπ᾿ ἀρχῆς καὶ τούτου οὐ μεταπέπτωκε τοῦ λόγου. καὶ ὅσα τοιαῦτα πρὸς λύσιν ἐστὶν τοῦ χρώματος ἁρμόττοντα. ΜΕτὰ τὸ χρῶμα πιθανὴ ἀπολογία οὐκ ἐμπίπτει· ἀλλ᾿ ἑξῆς ἔχει τοὺς ἐπιλόγους. εἰσὶ δὲ οἱ ἐπίλογοι προτρεπτικοὶ πρὸς τὸ μὴ προσέχειν τῇ παραγραφῇ· καὶ ὅτι ἐξ αὐτῆς εὕρηται τῆς ἀληθείας ὑπεύθυνος. καὶ ὅτι κοινωνός ἐστι τῆς κλοπῆς, καὶ ὅτι ἐργαστήριόν ἐστιν αὐτῶν, καὶ πρὸς τὴν τοιαύτην ἐργασίαν ὁλόκληρος σύλλογος. καὶ ὅτι ἂν τιμωρήσησθε, ἐκκαθήρατε τῶν πονηρῶν τὴν πόλιν. εἶτα διατύπωσιν τῶν ἀπολλύντων καὶ συλουμένων, καὶ αὔξησιν τοῦ πάθους. ὁ μὲν ἔτι κεκτημένος ἀπώλεσεν, ὁ δὲ ἀλλότρια ἔχων ἀφῄρηται, καὶ τὰ τοιαῦτα, ὅσα ἐστὶν ἐπιλογικά.

Ἐγράψατό τις ἐπίτροπός τινα φόνου ἐπὶ τῷ πατρὶ τοῦ ἐπιτροπευομένου ὡς ἄκοντα ἀποκτείναντα. καὶ εἷλεν. ἐν ἡλικίᾳ γενόμενος ὁ παῖς ἐγράψατο τὸν ἐπίτροπον καθυφέσεως·[1] καὶ εἷλε κατελθόντα ἐκεῖνον, μετὰ τὴν πενταετίαν κρίνει ὡς ἑκόντα ἀποκτείναντα. ὃ δὲ παραγράφεται.

Ἡ συνεζευγμένη στάσις τῇ παραγραφῇ στοχαστικὴ τυγχάνει, καὶ οὐχ ἁπλῶς στοχαστικὴ, ἀλλὰ καὶ ἀπὸ γνώμης· ἡ γνώμη γὰρ ζητεῖται τοῦ ἐπιτρόπου· πότερον ἑκὼν

1 Ald. Codd. καθ᾿ ὑφέσεως constanter.

καθυφῆκεν, ἢ ἄκων· ἡ οὖν κατάστασις τοῦ παιδὸς πάθος ἕξει, ὡς ἐπὶ πατρὶ ἀναιρουμένῳ ποιουμένου[1*] τὴν γραφὴν, καὶ βαρύτητα, ὅτι καθυφῆκεν ἐπίτροπος· ἔχεις γὰρ ὅτι εἷλε καθυφέσεως τὸν ἐπίτροπον. καὶ ὅλος αὐτῷ διατεθήσεται ὁ λόγος, μικτὸς πάθους καὶ βαρύτητος αὐτῷ πληρούσης τὸν λόγον. ἕξει δὲ καὶ συμφορὰς ἐν τῇ καταστάσει τοιαύτας· ὅτι μικρὸς καὶ πάνυ, κατὰ δὲ τὴν ἡλικίαν παρὰ τῶν πατρῴων καταληφθεὶς ἕνα τοῦτον ἐνόμιζον εἶναι πατέρα καὶ συγγενῆ καὶ ἐπίτροπον, καὶ τὰ τοιαῦτα· εἶτα ὅτι ἤκουον παρ' αὐτοῦ καὶ τῶν συνοικούντων παίδων ἡμῖν, ὅτι ὁ τὸν πατέρα τὸν σὸν ἀποκτείνας οὗτός ἐστιν. καὶ ἐζήτουν ἀεὶ γενέσθαι μοι δικαστηρίου τὸν καιρὸν πρὸς τὸ ἀμύνασθαι, καὶ ὅσα τοιαῦτα· εἶθ' ὅτι ἐμοῦ πάλιν θρηνοῦντος, δακρύοντος, ὀδυρομένου τὴν τοῦ πατρὸς ἀποβολὴν, ὁ ἐπίτροπος πρότερον[2] τὸ μέλλον στοχαζόμενος, καὶ χαρίσασθαι τἀνδρὶ βουλόμενος, ἀφίημι γὰρ τὸν τρόπον τῆς καθυφέσεως,[3] ἀκουσίου φόνου τοῦ ἀνδροφόνου ἐγράψατο· εἶθ' ὅτι ὁρῶν τὸ γιγνόμενον ἔστενον, ἐσιώπων, καιρὸν γενέσθαι βουλόμενος τῆς δίκης, καὶ τὰ τοιαῦτα. εἶθ' ὅτι, διατυπώσαντες οὖν ὡς ἠβούλοντο τὴν γραφὴν, ὡς τῇ ὁσίᾳ πληρώσας· τὸ γὰρ προσῆκον οὕτω διέκειτο· εἶθ' ὅτι μὴ φέρων ἐγὼ ἐγραψάμην αὐτὸν καθυφέσεως, καὶ πρὸς ὑμᾶς εἰσήγαγον. τοιγαροῦν καὶ ὑμεῖς καλῶς καὶ μετὰ τοῦ δικαίου δικάζοντες συνείδετε τῆς κατηγορίας τὴν ὑπόκρισιν, καὶ τὴν σκηνὴν ὅλην ἐσκέψασθε τῆς γραφῆς, καὶ τοῦ ἐπιτρόπου κατεχειροτονήσατε. ἐντεῦθεν ἐγὼ κατελθόντα τὸν τοῦ πατρὸς σφαγέα, τὸν ἀνδροφόνον, τὸν ἀλιτήριον εἰσαγαγεῖν πάλιν ἐσπούδασα, καὶ τὴν γραφὴν ἀληθε- (409) στάτην πεποίημαι, καὶ ἑκουσίου πρὸς αὐτὸν φόνου δικάζομαι· ὅθεν δέομαι ὑμῶν, ὦ ἄνδρες δικασταὶ, μὴ περιί-

1* Ald. Codd. ποιουμένῳ. 2 Ald. Codd. πότερον. 3 Vind. καθυφύσεως.

δητε τὸν πατέρα οὕτως οἰκτρῶς ἀνῃρημένον, μηδὲ συγχωρήσατε τούτῳ ἀνδροφόνῳ μὴ δοῦναι δίκην, ἀλλ' ἀνέλετε, καὶ καθάρατε τῶν ἀνδροφόνων τὴν πόλιν, καὶ ψῆφον ἐνέγκατε τὴν προςήκουσαν, καὶ τὰ τοιαῦτα. ΜΕτὰ τὴν κατάστασιν θήσεις τὴν παραγραφήν. ἀλλ' ἐκρίθην, φησί· νόμος δὲ μὴ κρίνεσθαι περὶ τῶν[4] αὐτῶν οὐδένα κελεύει καὶ δεύτερον. ΛΥσεις τῇ διανοίᾳ ἐκ τοῦ ἐναντίου, τρόπῳ λέγω καὶ προςώπῳ· ὅτι εἰ μὲν ἀκουσίου πάλιν ἔκρινον, καλῶς πρὸς τὴν κατηγορίαν ἀνθίστασο. ἐπειδὴ δὲ ἑκουσίου τοῦτον οὐκ ἀφεὶς, τανῦν προφέρει τὸν νόμον· καὶ εἰ μὲν πάλιν ὁ ἐπίτροπος ἔκρινε, καλῶς ἐμέμφου τὴν προαίρεσιν. ἐπειδὴ δ' ἐγὼ ὁ μήτε κρίνας πρὸ τούτου, μήτε πρὸς[5] σὲ δικασάμενος,[6] τίνος ἕνεκα τοῦτον προβάλλῃ τὸν νόμον; εἶτα καὶ ὁ νόμος εἶπε μηδένα[7] κρίνεσθαι περὶ τῶν αὐτῶν, ἵνα μηδ' εἰς ἀπέραντον[8] τὰς κατηγορίας ἐκτείνωσιν, ὑπὸ δ' ἑτέρων κρίνεσθαι πάλιν ὡς κατηγόρησε· καὶ ὅτι εἰ ἰσχυρὸν ἦν τοῦτο τὸ ὑφ' ἑτέρου κριθέντα ὑπ' ἄλλου πάλιν μὴ κρίνεσθαι, οὐδὲν ἂν ἐκώλυσεν ἅπαντας τοὺς φονεύοντας μὴ διδόναι δίκην καθιέντας καθ' ἑαυτοὺς κατηγόρους τινὰς, καὶ σχήματι μόνῳ τὴν γραφὴν προβαλλομένους, εἶτα ἀποφεύγοντας καὶ τῆς μετὰ ταῦτα τιμωρίας αὐτοὺς ἀπαλλάττοντας· εἶτα ἀκολούθως τούτῳ τῷ νοήματι εἴςβαλλε εἰς τὸν στοχασμὸν τὸν τῆς εὐθυδικίας τὴν τῶν ἐλέγχων ἀπαίτησιν παρείς· ἔφαμεν γὰρ πολλάκις, καὶ ὅτε τὰ στοχαστικὰ διῃροῦμεν, ὅτι ἐν τοῖς ἀπὸ γνώμης στοχασμοῖς οὐδέποτε ἐμπίπτει ἐλέγχων ἀπαίτησις· καὶ τὴν αἰτίαν ἐκεῖ προείπομεν· ἐρεῖς οὖν, ὅτι δῆλον γάρ ἐστι καὶ νῦν,

4 τῶν Ald. Codd. om. pro οὐδένα habent οὐδείς, quod correxi, ut paullo post. 5 Ald. Vind. προσέ. 6 Ald. Codd. δικασώμενος. 7 Ald. Codd. μηδεὶς. 8 Ald. Codd. ἵνα μηδεὶς ἀπέρδητον τ. κ. ἐκτείνωσι· ὑπό. — v. 18. Ald. Codd. εἰς ἄλλου.

ὅτι τοῦτον τὸν τρόπον ὑπὸ τοῦ ἐπιτρόπου κριθεὶς ἀπέφυγε τὴν τιμωρίαν, καὶ τὰ τοιαῦτα. ΕΙΤα ἐξ ἀντιθέσεως τὴν βούλησιν. ἀλλ᾽ οὐκ ἂν ἠβουλήθη, φησὶν, ἑκόντα με ἀποκτείναντα ἀκουσίου γράφεσθαι φόνου. ΛΥσεις, ὅτι εἰκὸς βεβουλῆσθαι, καὶ διὰ φιλανθρωπίαν κατὰ μηδὲν αὐτῷ τοῦ τελευτήσαντος διαφέροντος· πληρώσας καὶ τῇ ὁσίᾳ τὸ νομιζόμενον, καὶ σὲ μὴ ἀνελεῖν. εἶτα ὅτι πεφύκασιν ἅπαντες ἐν οἷς αὐτοῖς κέρδος οὐδὲν ὑπολείπεται μᾶλλον εἰς φιλανθρωπίαν ῥέπειν· καὶ κατασκευάσας τὴν βούλησιν ἔπαγε εὐθὺς τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους· δύναμις γὰρ οὐκ ἐμπίπτει. ὅτι τοιγαροῦν ἐγραψάμην καθυφέσεως αὐτὸν καὶ εἷλον, καὶ δῆλον ὅτι κἀκεῖνος ἑκὼν καθυφῆκε τὴν κρίσιν, ἵνα μὴ δῷς κατηγορίαν,[9] καὶ ὅτι οἱ δικασταὶ ἐπιγνόντες τὴν ὑπόθεσιν ἅπασαν εὐθὺς καὶ παραχρῆμα κατεψηφίσαντο. ὅθεν ἐκ τούτου προςῆκόν σε νῦν δοῦναι κατηγορίαν, ὡς ἑκόντα τὸν πατέρα διαχρησάμενον. ΜΕΤὰ ταῦτα λύσει ἐξ ἀντιθέσεως ὁ παραγραφόμενος τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, τῷ χρώματι. οἷον, ἀλλὰ τοιαύτη, φησὶ, τῶν δικαστηρίων ἡ τύχη, τῶν μὲν νικώντων, τῶν δὲ ἡττωμένων. ΛΥσεις, ὅτι οὐκ ἐκ τύχης τινὸς ἐνίκησα τὸν ἐπίτροπον,[10] ἀλλ᾽ ἐκ τῆς ἀληθείας αὐτῆς, καὶ τοῦ δικαίου τὴν δίκην προξενοῦντος. καὶ ὅτι οἱ τοιοῦτοί εἰσιν ὡς δικάσαντες, ὡς τύχῃ διδόναι τὰς κρίσεις. ἀλλ᾽ ἀκριβῶς ἐπεξέρχονται, καὶ καθ᾽ ἕκαστον ἐρευνῶσι τὰ λεγόμενα. καὶ οὐχ οἷόν τε παρακρούσασθαι, ἂν μετ᾽ ἀληθείας τις χρήσηται τοῖς λόγοις, καὶ τοῖς τοιούτοις πιθανὴ ἀπολογία οὐκ ἐμπίπτει. ἀλλ᾽ ἥξεις εὐθὺς ἐπὶ τοὺς ἐπιλόγους παθητικοὺς ὄντας, καὶ καταδρομὴν πολλὴν ἔχοντας τοῦ φονεύσαντος ἐπιτρόπου. καὶ ἠθοποιΐας πρὸς τὸν ἐπίτροπον· ὅτι δεῦρο ὅρα καταψηφισαμένους τοὺς δικαστὰς,

---

9 Ald. Codd. πονηρίαν. 10 Par. τρόπον. corr. ad marg.

τιμωρουμένους τὸν ἀνελόντα· καὶ ὅτι τάχα που πάντως καὶ ὁ πατὴρ ἐπισκοπεῖ τὰ γιγνόμενα. καὶ ἠθοποιΐα πρὸς αὐτὸν ἁρμόττουσα· ὅτι τοῦ φῦσαι ταῦτα καὶ εἰς φῶς ἀγαγεῖν ἀποδίδωμί σοι τὰς χάριτας. τῶν γὰρ τροφείων διὰ τῶν ἀνδροφόνων τούτων οὐ συγκεχώρημαι. καὶ ὅσα τὰ τοιαῦτα.

410 *Νόμον τις εἰσέφερεν, ἄλλος αὐτὸν ἐγράψατο· ὁ τὸν νόμον εἰσενεγκὼν ἀριστεύσας ᾔτησεν ἀναιρεθῆναι τὴν γραφήν· ἔλαβεν αὖθις, τὸν αὐτὸν εἰσφέρει νόμον. γράφεται αὐτὸν πάλιν ἐκεῖνος. ὁ δὲ παραγράφεται κατὰ τὸν νόμον, τὸν δὶς περὶ τῶν αὐτῶν μὴ εἶναι κρίσεις κελεύοντα.*

Ἡ εὐθυδικία κατὰ ἀντίληψιν, τὸ χρῶμα ἔχουσα ἀντιστατικόν· ὅτι ὑπὲρ τῆς πόλεως εἰσφέρει τὸν νόμον. διὸ καὶ ἡ κατάστασις ἔχει ἐν ἀρχῇ τὴν σύστασιν τῆς πολιτείας ἐκ τῶν νόμων. καὶ ὅτι ἄλλως οὐχ οἷόν τε δημοκρατεῖσθαι, εἰ μὴ πάντως οἱ νόμοι συγκροτῶνται. εἶτα ὅτι τοῦτο εἰδὼς εἰσῆγον τὸν νόμον ὑπὲρ τῆς πόλεως, ὑπὲρ τῆς δημοκρατίας, ἵνα πάντες ὠφελῶνται διὰ τοῦ γράμματος. διὰ γὰρ τοῦ λέγειν, ὅτι σφόδρα ὠφέλιμος ἦν ὁ νόμος, δεικνύεις ὅτι ἡ ἀντίῤῥησις κατὰ δύσνοιαν ἐγένετο. εἶτα ὅτι ἀντεῖπέ τις ὑμῶν πεπραγμένων, συγκαταθεμένων τῷ νόμῳ. μεθ᾽ ὃ τὸν πόλεμον καὶ τὴν τῶν πολεμίων ἔφοδον καὶ τὴν παρασκευὴν καὶ τὴν νίκην καὶ τὸ τρόπαιον. εἶθ᾽ ὅτι προκειμένης δωρεᾶς μετὰ τὸ τρόπαιον οὐδαμῶς τι κατ᾽ ἐμαυτὸν ἐζήτησα. ἐν ᾧ καὶ ἠθοποιΐα, ὅτι βέλτιον προκρίνειν τὰ δημόσια, ἢ τὰ ἴδια ὠφελεῖν· εἶθ᾽ ὅτι τούτους τοὺς λόγους σκεψάμενος οὐκ ᾔτησε σίτησιν, οὐ χαλκῆν εἰκόνα, οὐ στέφανον, οὐδέ τι τοιοῦτον ἕτερον, ἀλλ᾽ ἀναίρεσιν τῆς γραφῆς, ἵν᾽ ὁ νόμος ὑπὲρ ἡμῶν κείμενος ἀντ᾽ ἄλλης τινὸς εὐεργεσίας μένῃ[11] τῇ πόλει· εἶτα ὅτι τοιγαροῦν ὅτι καὶ νῦν μετὰ

11 Ald Vind. μένει. Par. μένῃ.

τὴν ἀναίρεσιν τῆς γραφῆς, οἰόμενος πεπαῦσθαι τῆς ἀνοίας τὸν κατήγορον, καὶ λοιπὸν τὰ λοιπὰ τῆς πόλεως φρονεῖν δίκαια, εἰςήγαγον εἰς ὑμᾶς πάλιν τὸν νόμον, καὶ τὰς αὐτὰς ἀφιέντος μου φωνάς, ὥσπερ καὶ πρότερον, ἐνίσταται κατηγορῶν, οὐ συγχωρεῖ κυρωθῆναι γράμματα. ΜΕΤΑ τὴν κατάστασιν θήσεις τὴν διάνοιαν ἐξ ἀντιθέσεως· τὸ γὰρ ῥητὸν τοῦ νόμου τοῦ γραφομένου τυγχάνει. οἷον, ἀλλ' οὐκ ἐκρίθη, φησίν, οὐδεμία γὰρ παρὰ τῶν δικαστῶν ὑπὲρ τοῦ νόμου ψῆφος ἐνήνεκται. ΛΥσεις τῷ νόμῳ, καὶ τοῖς γενομένοις εἰςαχθεὶς ἅπαξ, καὶ γνωσθεὶς τοῖς δικασταῖς καὶ φανερὸς γενόμενος κρίσιν ἔσχεν πρὸς αὐτὸν τὴν προςήκουσαν. ὅθεν καὶ ὁ νόμος δὶς περὶ τῶν αὐτῶν λέγει μὴ κρίνεσθαι οὐχ ἁπλῶς, ἀλλ' ἵνα μὴ δὶς περὶ τοῦ αὐτοῦ γραφὴ ἐν δικαστηρίοις γίγνηται. μηδὲ πολλάκις τῆς αὐτῆς δίκης ἀκούωσιν οἱ δικασταί. εἶτα τοῖς ὁρικοῖς, ὅτι ταὐτόν ἐστι νῦν ὥσπερ καὶ πρότερον. καὶ ἡ αὐτὴ κρίσις γίγνεται νῦν, ἥπερ καὶ πρότερον· τοῦτο δὲ ἀπαγορεύει ὁ νόμος· εἶτα ὅτι καὶ ἴσον ἐστὶ τὸ νῦν γιγνόμενον τοῖς πρὸ τούτου. πάλιν γὰρ καθεσθέντες ἔχουσιν ἀκοῦσαι τῆς γραφῆς καὶ τῆς αὐτῆς ἀνασχέσθαι φλυαρίας, καὶ πάλιν σου γνῶναι τὴν συκοφαντίαν, ὅπερ καὶ πρότερον γέγονεν· εἶτα τῷ πηλίκῳ, ὅτι δεινόν ἐστι τοὺς αὐτοὺς κατηγόρους δέχεσθαι ἐπὶ τοῖς αὐτοῖς· εἶτα πιθανῶς καὶ ἀκολούθως σύμβαλε εἰς τὴν ἀντίληψιν. κἂν συνεχῶς τις ὑπὲρ ὑμῶν νομοθετεῖν θέλῃ, ὅπερ ὑπὸ τῶν προτέρων γενομένων νόμων κυρίων συγκεχώρηται· καὶ κατασκευάσεις διόλου ὡς ἀντίληψιν. ΕΙΤΑ μετὰ τὴν ἀντίληψιν θήσεις τὸ μεταληπτικόν· ἀλλ' οὐ τοῦτον, φησίν, ἔδει σε τὸν νόμον εἰςφέρειν. ΛΥσεις τῷ χρώματι. εἰδὼς αὐτὸν χρήσιμον ὄντα τῇ πόλει εἰςήνεγκα, καὶ δυνάμενον ἅπαντας ὠφελεῖν, καὶ ὅσα τοιαῦτα κατασκευαστικὰ τοῦ χρώ-

ματος. ΜΕτὰ ταῦτα θήσεις τοὺς ἐπιλόγους κοινοὺς, ἀπὸ τοῦ δικαίου καὶ τοῦ συμφέροντος.

## ΠΡΑΓΜΑΤΙΚΑ.

### ΝΟΜΟΣ ΤΟΝ ΑΡΙΣΤΕΑ ΛΑΜΒΑΝΕΙΝ ἣν βούλεται δωρεάν.

Πένης καὶ πλούσιος ἐχθροὶ τὰ πολιτικά· ἠρίστευσεν ὁ πλούσιος· ἔλαβε δωρεὰν κατὰ τὸν νόμον τὸν πένητα, πολέμου προσδοκωμένου, καὶ δεύτερον ἀξιοῖ τις στρατεύεσθαι τὸν πένητα.

411 Μέσον ἐστὶ τὸ ζήτημα ἤθους καὶ σχήματος· ἤθους μὲν, ἐν οἷς ὑπὲρ τῆς πόλεως ὁ λέγων ἀξιοῦν ὑποκρίνεται, καὶ τοῦ τῆς πόλεως συμφέροντος οὐ τοῦ πένητος ἔχεται, σχήματος δὲ ἐν οἷς ἐγκωμιάζει τὸν πλούσιον, καὶ πρὸς τὴν ἄφεσιν τοῦ πένητος ἐπάγεται· χρήζει γὰρ αὐτοῦ τανῦν ὁ δημηγορῶν, καὶ πρὸς τὴν σπουδὴν ἀντιπράττοντος· διὸ καὶ καιρὸν ἔχει τὸν πλούσιον ἐπαινεῖν ὡς φιλάνθρωπος· ὅτι παρὰ τοῦ δήμου τὴν χάριν εὑράμενος τὸν ἐχθρὸν οὐκ ἀνῄρηκεν. ἐπιεικοῦς γὰρ λόγου καιρός· ἐν οἷς ἡμῖν συλλαβέσθαι τὸν πλούσιον παρακαλοῦμεν. ὡς ἐὰν πρὸς τὸν πλούσιον μαχώμεθα παροξύναντες αὐτὸν, τοὐναντίον ἢ [1] βουλόμεθα πράξομεν· διὸ τῆς ἀντιπολιτείας αὐτὸν μεμνῆσθαι καλὸν, ἀνασκευάσομεν γὰρ τὸ προκείμενον εἰς ὑπόμνησιν τὴν ἔχθραν ἄγοντες. οὔτε τὴν τοῦ πλουσίου ἀριστείαν ἐξαιρήσομεν· ἀφελῶς γὰρ αὐτῆς ὡς γενομένης χάριτος καθαψόμεθα. οὔτε μὴν ἀριστεύειν ἐπαγγελλόμεθα τὸν πένητα, ἵνα μὴ τῆς τοῦ πένητος ἀριστείας ἐλπίδα ποιήσαντες δῶμέν τι τῷ πλουσίῳ πρὸς φόβον ὡς καὶ τοῦ πένητος ἂν μετὰ τὴν ἀριστείαν τὸν πλούσιον ἀνταιτήσαντος· παρατηρητέον δὲ, ὅτι βαρὺ καὶ ἐπαχθὲς εἶναι δοκεῖ τὸ τὸν πλούσιον ἀντι-

---

1 Ald. Vind. ῆ. Par. ἥ.

λέγειν ὑπὲρ τῆς ἑαυτοῦ δωρεᾶς, καὶ ταῦτα ἀριστέα ὄντα. καὶ τὸ σαυτοῦ μᾶλλον ἢ τὸ τῆς πόλεως προκρίνειν δοκεῖ. βέλτιον οὖν καὶ ἄλλον ἀντιλέγειν, καὶ τὰς ἀντιθέσεις μὴ ἀπὸ τοῦ προσώπου τοῦ πλουσίου τιθέναι. ΠΡΟοιμίοις γὰρ χρησόμεθα τοῦτον τὸν τρόπον· ἕως ὅτου πρὸς τὸ βουλεύσασθαι παρέσχεν, ὦ πολῖται, καιρὸν ἡμῖν ἡ τύχη, καὶ μηδέπω πάντας ἡμᾶς ἀφῄρηται τὴν ὑπὲρ τῶν κοινῶν σκέψιν ὁ πόλεμος, ἀλλ' ἔτι σκοπεῖν [2] ὑπὲρ τῶν ἐν χερσὶν ἡμῖν συγκεχώρηται. κρίνατέ τι τῆς δημοκρατίας ἐπάξιον, καὶ τὸν πένητα κατὰ τῶν πολεμίων ἐκπέμψατε, ἵνα μὴ πάντων ὁπλιζομένων ἡμῶν εἷς τῶν παρ' ἡμῖν εὔνους καὶ φιλοκίνδυνος τῶν ὑπὲρ τῆς πολιτείας ἀγώνων στερίσκηται· εἰ γὰρ μὴ καλούσης τῆς χρείας, μόνος ἐπὶ ταύτην ἀπήντων ἐγὼ τὴν προαίρεσιν, καὶ τοῦ καιροῦ σιωπῶντος τὸν πένητα συνῆγον ἐπὶ τὴν ἐκκλησίαν τοὺς ἅπαντας, περιττὸν ἂν ἦν ψῆφον ἐπιζητῶν παρ' ὑμῶν εἰρήνην λαβεῖν πρὸς τὸ παρὸν οὐ κατήπειγεν· ἐπειδὴ δὲ κίνδυνος ἐφώρμα τῇ πόλει καὶ δεύτερον· καὶ δὴ καθέκαστον ἅπαντας ὑπὲρ τῶν νόμων συμβάλλεσθαι, γενέσθω τι πρὸ τῆς ἀγωνίας τῷ πένητι σύνθημα· καὶ μετὰ τῆς ἀσπίδος τοῦτον τῆς ἐκκλησίας προπέμψομεν· [3] ἵνα δοῦλον ἀπὸ τοῦ βήματος ἐξορμήσαντες νικῶντα ἀριστέα μετὰ τὴν ἀγωνίαν δεξάμεθα. [4] ΔΕΥτέρῳ δὲ χρήσῃ τοιούτῳ· ὁ μὲν οὖν πένης τὴν συμφορὰν μᾶλλον φέρει καὶ πείθεται· καὶ παρέστηκε σιωπῶν, καθ' ἣν τοῦτο λυπούμενος, ὅτι μὴ προλαβὼν τοὺς ἐναντίους κεχείρωται. ἀλλ' ἀναμένει τὸν πλούσιον, καὶ πρὸ τῶν νόμων τοῦτον ὡς δεσπότην δορυφορεῖ· ἡμεῖς δὲ τοῦ πολέμου τὸ δεινὸν ἀποκηρύττοντος, καὶ μελλόντων ὅσον οὐδέπω τῶν φόβων ἀγλαὸν [5] γενέσθαι τινὰ περὶ τὴν πόλιν, κατοκνοῦμεν

2 Ald. σκοπεῖ. Par. Vind. σκοπεῖν. 3 Vind. προπεπόμψομεν. 4 Ald. Vind. δεξάμεθα. Par. δεξώμεθα. 5 Ald. Vind. ἀγλαόνων. per corr. ἀγλαόν.

ψηφίσματι· καὶ στρατιώτην κατὰ τῶν πολεμίων ὠδίνοντα τῇ παρ' αὐτῶν ἐπέσχομεν ἡμεῖς μόνῃ βραδυτῆτι· ὃ μὴ πάθοιτε νῦν, οὐ γὰρ εὔλογον εὖ μέν τινα τὸ γένος προαιρεῖσθαι ποιεῖν, ἀποφοιτᾷν δὲ τῶν ἔργων τῷ μὴ τὸν δῆμον συναίρεσθαι· εἰ γὰρ τοῦ μὲν δράσαντος ὁ κωλύσας μεμπτότερος, τοῦ πράξαντος εὖ ὁ παρασχὼν τὴν ἀφορμὴν δικαιότερος· ὥστε εἰ τούτῳ παράσχοιμεν ὑπὲρ τῶν κατειληφότων τὴν ἄδειαν, αὐτοῖς ἡμεῖς τὴν ἐλευθερίαν, οὐ τῷ πένητι πρυτανεύσομεν· πολλάκις ἐπεσημηνάμην, ὅτι τὰ κωλοειδῆ καιρὸν ἐν προοιμίοις οὐκ ἐμπίπτει. ἀλλὰ κατάγνωσιν φέρει τιθέμενα. τρίτον δὲ τοιοῦτον ἐρεῖς· οἱ μὲν οὖν κακοδαίμονες ἐκεῖνοι πολέμιοι τάχα που πάντως ἔκδοτον τὸν πένητα γεγενῆσθαι νενομίκασι,[6] καὶ θαῤῥοῦντες, ὡς εἰκὸς, ἐπὶ τὴν ἀγωνίαν σπουδάζουσιν, ἅτε[7] δὴ μηδενὸς αὐτοῖς πρὸς τὴν καθ' ἡμῶν ἐπιβουλὴν ἀντιπράττοντος· ὑμέτερον οὖν ἔργον
412 ἐκείνοις μὲν ἀποτειχίσαι τῇ τούτου προθυμίᾳ τὴν πόλιν, ἐπιδεῖξαι δὲ προδόταις[8] τοῖς παρ' ἡμῖν, ὅτι καὶ πρότερον οὐ προσηκόντως εὔνουν πολίτην καὶ δημοτικὸν προέμενοι, νῦν ὅτε τῇ πείρᾳ τὰ σφάλματα μεμαθήκαμεν, ἑκόντες τὸ λυσιτελὲς οὐκ ἀφήκαμεν. ἑτέρα δὲ ἔννοια προοιμιακὴ ἐκείνη ἂν εἴη· ὁ μὲν οὖν πλούσιος ἔκδοτον τὸν πένητα παρὰ τοῦ δήμου καὶ ζῶντα μέχρι τοῦ δεῦρο κατέσχηκε, καὶ τυχὸν τοῦτον ὑπὲρ τῆς πολιτείας τετήρηκεν. εἶτα κατασκευάσεις τοῦτο αὐτὸ οὕτως. ὅπου γὰρ ἐξὸν ἀνελεῖν ἐφείσατο, πῶς οὐ δῆλον, ὅτι ὑπὲρ ἡμῶν προνοῶν οὐ προπετῶς τοῦτον ἀνῄρηκεν; εἶτα συμπεραίνεις· οὐκοῦν εὔλογον τοῦτον ἀφεῖναι, ὃν καὶ ὁ ἐχθρὸς τῇ πόλει διεφύλαξεν. ΔΥΝατὸν καὶ οὕτως εἰπεῖν· ᾤμην μὲν, ὦ πολῖται, τὸν πλούσιον ἀφ' ἑαυτοῦ παρασχήσειν τὸν πένητα πρὸς

---

6 Ald. Codd. μεμανήκασι. 7 Ald. Codd. ἦτε. scr. ἅτε.
8 Ald. Vind. προδότες.

πρὸς τὸ μέγεθος τῶν κατειληφότων φιλοτιμούμενος. ἐπειδὴ δὲ πρὸς τὸ πρέπον βραδὺς, ὡς ἔοικεν, οὗτος ἐλήλεγκται, αὐτὸς ἥκω γράφων ἐξιέναι τὸν πένητα, καὶ τὰ τοιαῦτα. ΔΥΝατὸν καὶ οὕτως· εἰ μὲν οὖν πρὸ τοῦ πολέμου μάθοιεν οἱ πολέμιοι τὸν πένητα στρατευόμενον, τάχα πρὸ τῆς συμφορᾶς, οἶμαι, τῇ πόλει παραχωρήσουσιν. ἐπειδὴ δὲ τέως τοῦτον ἰδεῖν οὐκ ἐλπίζουσι στρατευόμενον, ἡμεῖς αὐτὸν ἐξαίφνης μετὰ τῶν ὅπλων ἐπὶ τὸν πόλεμον ἐξορμήσομεν, ἵνα στρατιώτης παρ' ἐλπίδα φανεὶς μετὰ τῶν ἔργων ἐν τῷ πολέμῳ γένηται φοβερώτερος. Ἡ ΚΑτάστασις· ὁ καθιστάμενος οὐκ εὐκαίρως τῆς ἀντιπολιτείας μνησθήσεται. καὶ [9] γὰρ ἐὰν λέγῃ ὅτι δεινὰ ποιῶν καὶ παρανομῶν ὁ πλούσιος τὸν πένητα ἔσχε κωλύοντα, αὐξήσει μὲν τὴν τοῦ πλουσίου θρασύτητα. ἐκτείνων δὲ τὴν πολιτείαν τοῦ πένητος παροξύνει διὰ τῆς μνήμης τὸν πλούσιον δηλονότι. ἐκεῖνος δὲ λαβὼν τὸν πένητα δωρεὰν, καὶ τῆς πρότερον λαμβάνων ἔχθρας ὑπόμνησιν, οὐκ ἀφήσει τὸν πένητα. ἔστιν οὖν ἡ κατάστασις τοιαύτη ἔχουσά τι πρὸς ἐγκώμιον [10] πλουσίου, καὶ μετὰ βαθύτητος διασυρμὸν, ὡς καὶ τοῦ πολέμου διὰ τὸν πλούσιον γενομένου, καὶ τῆς ἀριστείας ἐξ ἐπιβουλῆς αὐτῷ προςγενομένης· οἷον, ἐπειδὴ γὰρ ἅπαντα μετὰ τῆς ἀγαθῆς τῆς πόλεως τύχης ὁ πλούσιος πολιτευόμενος ὑπῆρχεν, ὡς εἰκὸς, καὶ λόγοις καὶ χρήμασι χρήσιμος, καὶ τῶν κοινῶν οὐδὲν ἐνόμιζε προυργιαίτερον, οὐκ ἔχθραν, οὐ κέρδος, οὐ φιλοτιμίαν, οὐκ ἔρωτα πολέμου ποθὲν συμβεβηκότος τῇ πόλει, καὶ τὴν φύσιν προλαβόντος τοῦ πράγματος, εὐθὺς μετὰ τῶν ὅπλων ἀπαντήσας ἐπὶ τὸν πόλεμον, καὶ αὐτὸν προλαβὼν τὸν πένητα, μᾶλλον δὲ καὶ τὴν ἁπάντων παράταξιν, ἀγνοούντων ἔτι τῶν πολλῶν τὸ

---

9 Ald. Codd. εἰ. scr. καί. 10 Ald. Codd. πρὸς ἐγκωμίων.

δεινὸν, καὶ τοῦ θορύβου τὴν πρόφασιν τινῶν βουλομένων μαθεῖν, μετὰ τῶν τροπαίων ἀριστεὺς ἐπανήρχετο. καὶ συνῆπτε τῇ φύσει τὸ τρόπαιον, καὶ τοὺς λόγους ἡ ἀριστεία κατελάμβανεν. τότε μὲν οὖν ἁπάντων θαυμαζόντων ἡμῶν καὶ τὴν τῶν πολεμίων παράταξιν καὶ τοῦ πλουσίου τὸ τρόπαιον, καὶ κατ᾽ αὐτὸν ἐκπληττομένων, ἀριστείας ἅμα καὶ πολέμου ταχύτητα παρὰ τῆς δωρεᾶς κατὰ τὸν νόμον ἡδόμενοι συνηρχόμεθα. καὶ τοῦ γέρως προστιθέντες τὴν αἴτησιν ἕνα τινὰ πάντες εἶχον σκοπὸν τῷ πλουσίῳ χαρίσασθαι· τί γὰρ οὐκ ἔμελλον θᾶττον οὕτως ἄνθρωποι τὴν ἐλευθερίαν ἀπειληφότες, οὐ ταχθέντες μετὰ τῶν ὅπλων, οὐ περὶ τῆς τοῦ πολέμου τύχης εὐλαβηθέντες, καὶ τέλος οὐ τραυματίας ἰδόντες τοὺς ἑαυτῶν γνωρίμους καὶ φίλους. τοιγαροῦν ἐπειδὴ ἐζήτησε τὸν πένητα, καὶ τὴν αὐτοῦ προαίρεσιν ἅπαντες μεμαθήκαμεν, οὐκ ἀντείπομεν πρὸς τὴν ἐπιθυμίαν, μεμψάμενοι τὴν δωρεὰν οὐκ ἠχθέσθημεν. τί δέ μοι τούτων τῶν λόγων αὐτὸς ἑαυτὸν ἑκὼν ἐπεδίδου μετὰ τὴν αἴτησιν καὶ τὴν τῶν πολλῶν ψῆφον ὁ δῆμος προὔλάμβανεν, οὐ δυςχεράνας, οὐ τῷ κοινῷ τι μεμψάμενος, οὐ τῆς ἑαυτοῦ ποιήσας πολιτείας κατάλογον. εἶτα τὰ τοιαῦτα πιθανῶς διασκευάσας, ὡς μηκέτι παροξυσμὸν εἰπεῖν πρὸς τὸν πλού-
413 σιον, ἀλλὰ καὶ βαθέως αὐτοῦ τε καὶ τοῦ δήμου καθάψασθαι, ἔπαγε· εἰ μὲν οὖν μέχρι τούτων εἱςτήκει τὰ πράγματα, περιττὸς ἂν ἦν γράφων τανῦν, ἃ μηδὲ ὁ καιρὸς κατηνάγκασεν· ἐπειδὴ δὲ πρόδηλοι τυγχάνουσιν οἱ πολέμιοι, μετὰ παρασκευῆς ἐπερχόμενοι πλείονος, καὶ καταχθέντες οὕτως, ὡς καὶ πρὸς [11] πᾶσαν τὴν πόλιν ἀντισχεῖν, [12] εἰ στρατεύοιτο δὲ, αἰτῶ κοινῇ μεθ᾽ ἡμῶν συμπονῆσαι [13] τὸν πένητα. γράφω καὶ τὸν δοῦλον συ-

11 Ald. Codd. πρό. 12 ἀντισχεῖν, εἰ στρατεύοιτο δὲ, α. κ. μεθ᾽ ἡμῶν Ald. Vind. om., recepi ex Par. 13 Par. συστρατεῦσαι, ad marg. γρ. συμπονῆσαι.

στρατεύεσθαι. εἰς ταύτην γάρ με κατέστησε τὴν ἀνάγκην ὁ πόλεμος. ὅθεν δ' ἂν γλαφυρά τις ἡ κατάστασις γένοιτο, καὶ ἀπὸ ποίων νοημάτων [14] τούτου εὐπορήσομεν, σκοπῶν κατὰ μέρος τὴν κατάστασιν εὑρήσεις· οἷον εὐθὺς ἀπὸ τοῦ ψηφίσματος εἰπὼν ὅτι διὰ τὸ πάντας τοὺς πολεμίους παρεσκευασμένους παρέρχεσθαι. δεύτερον δύνασαι τὸν λόγον ἀποστρέψαι πρὸς τὸν πλούσιον, καὶ εἰπεῖν αὐτὸ ὑπὲρ ἐμοῦ τοῦτο· συμβούλευσον, πλούσιε, αὐτὸς ἀκριβέστερον τὰς τοῦ πολέμου τύχας μεμάθηκας· ὅμοιόν τι τοῖς πρότερον αὐτοῦ πεπολίτευσαι κατορθώμασιν, ἀντὶ λειτουργείας, ἀντὶ εἰσφορᾶς, ἀντὶ χρημάτων, ἀντὶ δωρεᾶς ἑτέρας· καὶ χάριτος κοινήν τινα πρὸς τὴν πόλιν φιλοτιμίαν ὑπόμεινον, καὶ τὰ τοιαῦτα. μὴ ἐπὶ πολὺ δὲ, ἐπειδὴ ἐπίλογον ποιεῖς. μετὰ ταῦτα θήσεις παραγραφικὴν ἀντίθεσιν τὴν ἀπὸ τῆς δουλείας τοῦ πένητος· ὅτι ἄτιμός ἐστι καὶ οὐ μέτεστιν αὐτῷ στρατείας. αἱ λύσεις ἀπὸ τῆς τοῦ πένητος ποιότητος· ὅτι εὔνους τῇ πόλει, καὶ οὐδὲ πώποτε καταγνωσθεὶς ἀπὸ τῶν πολεμίων, ἀπὸ τοῦ καιροῦ καὶ τῆς χρείας· ἀπαντήσεις δὲ ἐνστατικῶς· οἷον καὶ πότε διακρίνει τοιαύτην πόλεμος συμφοράν· πότε δὲ τοιαύτην ἀρετὴν ἐξετάζει τύχη, καὶ πταίσματα οὐκ οἶδεν [15] ἀνδρεία μηκέτ' εἶναι δουλείας προσχήματι, καὶ οὐδ' ἀτιμία φεύγει κατόρθωμα. εἶτα ἔπαγε τοῦ καὶ τοὺς ἀτίμους πολλὰ κατορθοῦν παραδείγματα. οἷον ὅτι πολλοὶ καὶ φύγαδες δυστυχούσῃ [16] πόλει συνήλγησαν, καὶ ψήφῳ ξένοι τῆς πολιτείας γενόμενοι ταὐτὰ τοῖς ἐπιτίμοις κατώρθωσαν. καὶ ἀπ' αὐτοῦ τὸ εὐθὺς ἀγωνιστικὸν ἐννόημα· εἰ μὲν γὰρ τοῦτο φῂς, ὡς

---

14 Vind. Par. νοσημάτων τούτων εὐπορήσομεν. Ald. νοημάτων τούτων ἀπορήσομεν. scripsi τούτου sc. τοῦ γλαφυρὰν γενέσθαι τὴν κατάστασιν. Lectio τούτων orta ex assimilatione cum praecedente νοημάτων. cfr. Epist. crit. p. 15. 15 Ald. Vind. εἶδεν. Par. οἶδεν. 16 Vind. δυστυχοῦσι.

τοὺς ἀξίους κρίνουσιν οἱ πολέμιοι, καθάπερ τοὺς ἐν ἀρχαιρεσίαις ἡ πόλις, καὶ τοὺς μαχομένους ἅπαντας πρὶν εἰς χεῖρας ἐλθεῖν δοκιμάζουσι, καλῶς τὴν μάχην ἀπαγορεύῃς τῷ πένητι· εἰ δὲ πρόςκειται τοῖς τολμῶσιν ἐπίσης ἡ τύχη, καὶ δεύτεροι πολλάκις ἄπεισι τῶν ἐλασσόνων οἱ κρείττονες, τί τινάλλως[17] περιεργάζῃ τὰ πράγματα, καὶ τὴν τοῦ δήμου πολυπραγμονεῖς δωρεὰν, καὶ δεύτερον ἐργάζῃ τῷ δυστυχήσαντι συμφοράν [18] εἶτα ἀνάδραμε ἐπὶ τὸ παράδειγμα· πόσοι ξένοι πολλάκις πολεμοῦντες μεμίσθωνται, καὶ δεξάμενοι μεθ' ἑαυτῶν φάλαγγα μὴ προσήκουσαν ἀτίμους συστρατευομένους ἐσχήκασι· καὶ τὴν αὐτὴν ὀδυρομένους τῷ πένητι συμφορὰν, κοινωνοὺς αὐτοὺς τῶν κατορθωμάτων ἐπέδειξαν· καὶ πρὸς τοῦτο ἕτερον Δημοσθενικὸν παράδειγμα· ὅτι χορηγοῦσι καὶ ξένοι καὶ ἄτιμοι. καὶ οὐδεὶς οὐδὲ πώποτε ἐπέλαβεν. ἀλλ' ἐκ τίνος;[19] ὀκνεῖ τῆς ἀσελγείας ταύτης αὐτόχειρ ὀφθῆναι γιγνόμενος. εἶτα τύχην τοῦ μισθουμένου μὴ κρίνοντος, ὥςπερ ἐν χρυσῷ τινα βάσανον κατὰ τῶν στρατευομένων ἐπιζητεῖς, καὶ γίγνῃ τοῦ δήμου τῷ πένητι μετὰ τὴν συμφορὰν χαλεπώτερος. μᾶλλον δὲ τὴν χάριν μετὰ τοὺς πόνους λαβὼν προθύμως οὐκ αὐτοῖς [20] ἐπαμείβῃ τὴν πόλιν. οὐδὲ συγχωρεῖς ἀπαλλαγῆναι τὸν δῆμον τῶν δεινῶν εὐχερέστερον. ἀλλ' ἵνα μείνῃ τις ἡμῶν κατορωρυγμένος ἐν σκότῳ, καὶ [21] μηδεμίαν εὕρῃ τῶν κατεχόντων ἀπαλλαγὴν, ἐπιπολὺ διαγενώμεθα [22] πολεμούμενοι, καὶ τοῦ παθεῖν εὖ παρὰ πόδας κειμένου, συμβῇ τι τῶν ἀβουλήτων διὰ τὴν σὴν ἔχθραν τῇ πόλει ποιεῖσθαι. τοιαύτην ἄνωθεν, εἰπέ μοι, τὴν πολιτείαν μεμάθηκας; τοῦτόν

---

17 Ald. *τηνάλως.* 18 Par. *δωρεάν.* ad marg. *συμφοράν.* 19 Ald. Vind. *ἔκ τινος.* Par. *τινος* per lacunam om. Scripsi *ἐκ τίνος.* — Dem. in Mid. p. 534. 20 Ald. Vind. *ἂν τοῖς.* Par. *αὐτοῖς.* 21 Ald. Codd. *κατά.* in Par. prima manu scriptum fuisse videtur *καί.* 22 Vind. *διαγενόμεθα.*

ποτε δημαγωγουμένους ἡμᾶς ἔγνως τὸν τρόπον; ἢ τῶν σαυτοῦ [23] προγόνων οὕτω πρὸς τὴν χρείαν σμικρολογουμένων; εἶτα θὲς πάλιν τὴν ἀντίθεσιν, λῦσον ὡς ἐν διανοίᾳ· τῶν ὅπλων οὐ μέτεστιν, φῄς, εἰ μὲν ἐν εἰρήνῃ, καλῶς· εἰ δὲ ἐν πολέμῳ μὴ συμμαχεῖν τὴν ἀνάγκην 414
ἀφεὶς, ἀκαίρως γίγνῃ τοῦ παρόντος κριτής· εἰ γὰρ χρηστὴ πολλάκις προαίρεσις μεῖναι βεβαίαν τὴν ὑπόληψιν οὐκ ἐᾷ, πῶς ὁ σφόδρα σπουδαῖος ἐν δευτέρῳ τὴν τῶν ἄλλων κατάγνωσιν παρὰ τὴν χρείαν οὐ θήσεται; εἶτα ἁπλοῖς τὸ κεφάλαιον καταχρηστικῶς· ὁ πόλεμος ἐπιταράττει τὴν πόλιν καὶ δεύτερος, καὶ τῶν ἔργων ὁ φόβος ἅπασιν ἐμπέπτωκε χαλεπώτερος, καὶ πολίτην εὔνουν τις οὐκ ἐᾷ τοὺς πολεμίους λυμήνασθαι. οὐδὲ στρατιώτην τις ἐν τοῖς κινδύνοις αἱρεῖται μᾶλλον πιστότερον. ἀλλ' ἀφεὶς ἐν τῷ πολέμῳ τὸν βέλτιστον, [24] ἀμφίβολον αἱρεῖται συμπαραστάτην μαχόμενος· καὶ προσφυλάττει καὶ πολεμούμενος. καὶ πρὸς τὴν τύχην οὐ σπένδεται, αὐτῇ πρὸ τῶν ἔργων ἐξιλεούμενος. πεῖραν πολλάκις τῆς αὐτοῦ γνώμης δέδωκεν ἄνθρωπος. καὶ δημηγορῶν ἐπὶ τοῦ βήματος ὡς πονηρὸς οὐχ ἑάλωκεν· οὐδὲ διέφθειρε τούτου διαβολὴ τὴν προαίρεσιν, εἶτ' ἔχοντες ὁπλίτην, εὔνουν, σπουδαῖον, φιλόπολιν, ἑκόντες ἀποστῶμεν τοῦ πρέποντος, καὶ κακοήθεις [25] περὶ ὑμᾶς αὐτοὺς οὕτω γενώμεθα· ἐπιδεῖξαι πάλιν τὴν πρὸς τὴν πόλιν διάθεσιν ὁ πένης ἐπείγεται καὶ δεξιὰν ἐκ πολλοῦ τῶν πολεμίων σχολάσασαν γυμνάσαι προῄρηται. σταλάξας, ὦ πολῖται, τὴν τύχην τὴν πρὸς τὴν πόλιν γνώμην οὐκ ἤμειψεν, ἀλλὰ καὶ δοῦλος γενόμενος τὴν πρώτην ἐτήρησεν εὔνοιαν· εἶτα τὴν ἀτιμίαν προφέρει, τίς [26] ὁπλιζόμενος καὶ θᾶττον αὐτόχειρ γενέσθαι τῶν ἐχθρῶν ἐπειγόμενος δυστυχοῦντα περιεργάζε-

---

23 Ald. Codd. σαυτῶν. 24 Ald. Codd. μέγιστον. Ven. ad marg. βέλτιστον. 25 Vind. κακοήθης. 26 Ald. Vind. τις. Par. τὶς, scripsi τίς et signum interrogationis posui.

ται πένητα, καὶ τῆς μάχης ἄνθρωπον ἀπωθούμενος[27] ἐᾷ τοὺς πολεμίους θρασύνεσθαι; οὐδεὶς δούλῳ πρὸ τῶν πολεμίων δικάζεται. οὐδὲ τῶν παρόντων ἕτερα νενόμικε προὐργιαίτερα· εἰ γὰρ τοῦ κατεπείγοντος ἅπαντες ἀμελήσομεν, ἄλλο τι θέμενοι τῶν ἐν χερσὶ τιμιώτερον, εἶτα ἀφῶμεν ὡς μὴ λυποῦντα τὸν πόλεμον, δουλείαν σαφῶς, οὐκ ἐλευθερίαν τιμήσομεν. μετὰ τὴν παραγραφικὴν[28] ἀντίθεσιν ἐμπεσεῖται λοιπὸν ἑτέρα ἀντίθεσις τοιαύτη. ἀλλ' ἄτοπον τῆς δωρεᾶς ἀφαιρεθῆναι τὸν πλούσιον. ἔστω δέ σοι ἐπιμελὲς μὴ πάσας ἑνὶ σχήματι τιθέναι, μηδ' εἰς τὸ ἐναντίον ἀεὶ χρηματίζειν αὐτάς, ἀλλὰ πολυτρόπως καὶ ποικίλως τάττειν αὐτάς, ποτὲ μὲν ἀορίστῳ σχήματι, ποτὲ δὲ ὡς ἀπ' ἐνδόξου κρίσεως, ποτὲ δὲ ὡς ἀπ' αὐτῶν τῶν ἀντιλεγόντων· οὕτω γὰρ ἔσται σοι μᾶλλον ὁ λόγος εὐσχημάτιστος. οἷον ἀορίστως εἶπε τὴν ἀντίθεσιν. ΑΛΛ' ἄτοπον τῆς δωρεᾶς ἀφαιρεθῆναι τὸν πλούσιον. Λύσεις ἐνστατικῶς· καὶ πῶς αἰτοῦντι τὸ κατ' ἀρχὰς τοιαύτην οὐκ ἀφῆκε, τίς τότε φωνὴν οὐκ ἄτοπον εἴρηκε, τὴν ἐλευθερίαν μεταμαθεῖν ὀψέ ποτε πένητα, ἀλλ' ἀφειδῶς οὕτω πολίτου τὸν δῆμον ἀφείλετο καὶ δημαγωγοῦ πένητος ἰδεῖν ἔρημον τὴν πόλιν τετόλμηκεν. οὐκοῦν οὐδὲ λέγειν καλόν· ὅτι δεσπότης γενόμενος ἀπαλλοτριοῦται τοῦ κτήματος· οὐδ' ἐφ' ἑαυτοῦ μέν τινα φυλάττειν τὸ προσῆκον, τῇ πόλει δὲ μὴ τετηρηκέναι τὸ δίκαιον. εἰ μὲν γὰρ αὐτοῦ τανῦν ἄτοπον ἀφαιρεθῆναι τῆς δωρεᾶς δηλονότι, πολὺ πρὸ τούτου τὴν πόλιν ταὐτὸν τοῦτο παθεῖν εὐλογώτερον. εἰ δὲ μηδὲν ἡμᾶς δυσχερὲς ἔχειν πιστεύων, εἰδὼς ὅτι τοιαύτην παρ' ὑμῶν εἴληφε δωρεάν, τί τηνάλλως[29] ἀκριβολογεῖται τανῦν δρῶν μᾶλλον αὐτὸς ἢ πάσχων παρὰ τὴν χρείαν τὰ μὴ προσήκοντα. ξενίζεις[30] ἡμᾶς, ὦ

27 Ald. Codd. ἀπωθούμενον. 28 Ald. Codd. παραγραφήν. 29 Ald. Codd. τηνάλως ἀκριβολογεῖτε. 30 Ald. Vind. ξενίζῃς. Par. ξενίζεις.

πλούσιε, νῦν ἐν πολέμῳ μικρολογούμενος. καὶ πάντα φιλοτιμησάμενος χρόνον τὸν[31] ἔμπροσθεν, οὐκ οἶδα πόθεν ἡμῖν οὐ συναγωνίζῃ φροντίζουσιν οὐδ' ἐπὶ ταύτην ἥκεις τὴν χάριν αὐθαιρέτως. τῆς τοῦ δήμου ταύτης[32] ὑπομνήσθητι δωρεᾶς, τῆς τιμῆς τὸν τρόπον ἐπίσκεψαι. οὐκ οἶδα πῶς τότε τοὺς νόμους ἡ παρὰ πάντων πρὸς σὲ νενίκηκεν εὔνοια. καὶ παρεῖδεν ἡ πόλις τοῦ πρέποντος, ἵνα σοὶ μᾶλλον παρὰ τὴν ἀριστείαν χαρίσηται, ἔκδοτον ἀπ' ἐκκλησίας γενέσθαι πρὸς ταύτην αὐτῆς συγχωρήσασα, καὶ δοῦλον τὸν περὶ τῆς δωρεᾶς μετ' αὐτῆς βουλευσάμενον· εἶθ' ὑποβάλλει τις ὡς ἄτοπον καὶ μεταποιεῖται **415** τοῦ πένητος· ἢ γὰρ ἐκ καταδίκης ὑπήκουσε, καὶ τὸ δουλεύειν αὐτῷ πονηρίας γέγονε τίμημα· ἢ μέμψιν ἔσχε τινὰ, τὴν ἀτιμίαν ταύτην αὐτῷ πρυτανεύουσαν, οὐκ ἔστιν εἰπεῖν. τίς γὰρ ἦν τῷ πένητι τότε παρὰ τῷ δήμῳ κατάγνωσις; ποίας προδοσίας γραφή; τίνα πρὸς τιμωρίας ἐγκλήματα; ἐπειδὴ γὰρ οὐ τότε, νῦν ἀνελθών τις εἰπάτω, τίς λόγος, τίς ἀγανάκτησις ἐπὶ ταύτην αὐτὸν τὴν τύχην κατήγαγε; ποία πολιτείας γραφή; τίς λοιδορίας ὑπόθεσις; παῤῥησιάσομαι γὰρ, κἂν δοκῶ παρὰ τὸ πρέπον θρασύνεσθαι· καὶ πρὸς θεῶν ἀχθέσθητε μηδὲν, ἂν μικρὸν τοῖς λόγοις χρήσωμαι[33] καὶ τολμηρότερον. καὶ τοῦ δήμου κατηγορήσω παντὸς, ὅτι δουλεῦσαι τοῖς ἐχθροῖς φυλαττόμενον ἄνθρωπον εὔνουν περιεῖδε δουλεύοντα, καὶ πολίτην ἔσχε μετὰ τὴν νίκην αἰχμάλωτον, καὶ δημαγωγὸν[34] εἶδεν οὐχ ὑπὸ τῶν πολεμίων ἀλλ' ὑπ' ἀριστέως[35] ἀγόμενον. εἰ μὲν γάρ ἐστιν εἰπεῖν, ὡς οὐδεμία ἦν τὸ γιγνόμενον συμφορὰ, ἀλλ' ἔσχε τι τὸ πάθος καὶ καθ' ἑαυτὸ μετριώτερον, μεταβολὴν τὸ δεινὸν ἦν ἐκ ταὐτομάτου λαβεῖν, οὐδ' οὕτως ὑπερορᾶν καλῶς εἶχε τοῦ χρή-

31 Vind. τοῦ. 32 Ald. Codd. ταύτην. 33 Ald. Codd. χρήσομαι. 34 Ald. δημαγάν. 35 Vind. ὑπαρίστως. Par. ὑπ' ἀρίστως.

ματος ἂν, ἀλλὰ καὶ νόμων [36] τὴν χρείαν καὶ ψηφισμάτων ἐπίπροσθεν τίθεσθαι. ἐπειδὴ δὲ τὸ δεινὸν ἐμμένον τοῖς δεδογμένοις ἐστὶν ἐμποδὼν, καὶ κρατεῖ τῶν ἔμπροσθεν τὸ παρὸν, μαθέτω τοῦτο παρ' ὑμῶν προχείρως ὁ πλούσιος. εἶτα κατασκεύασον ὁρικῶς, ὅτι οὐδὲ ἀφαιρεθῆναί ἐστι τοῦτον ἅπαξ λαβόντα καὶ χρησάμενον. ὅτι καὶ σώζει τὴν δωρεὰν, καὶ τοῦτον αὐτὸν οὐδεὶς ἀφαιρεῖται τοῦ πένητος· εἰ μὲν γὰρ αἰτοῦντι τὴν χάριν ἦμεν ἡμεῖς ἐμποδὼν, καλῶς ἂν εἶχε λέγειν πλεονεκτεῖσθαι τὸν πλούσιον· ἐπεὶ δὲ καὶ τὴν παρ' ἡμῶν δωρεὰν, καὶ τῆς τιμῆς ἀπήλαυσεν οὐ φθονούμενος, καὶ γὰρ ἔσχε τὸν πολίτην δουλεύοντα, καὶ σιωπῶντα τὴν τύχην, καὶ πρὸς τὴν αἴτησιν οὐ μαχόμενον, ἀλλ' ἀκολουθοῦντα τῷ δόγματι, καὶ τὴν ψῆφον δεχόμενον, τί τὴν παρ' ἡμῶν σοφιζόμενος αἴτησιν λαμβάνειν ὑπολαμβάνει τεχνιτευόμενος; καὶ ταῦτα τὴν καλὴν εἰσφορὰν ἀφαίρεσιν ὀνομάζει τῆς χάριτος, αὐτὸς φυλάξας μὲν τὴν αἴτησιν ὡς ὀφειλόμενον σώζεσθαι, καὶ τηρήσας ἀκέραιον ὡς χρηστὸς πολίτην καὶ σώφρονα, ὦ τοῦ δήμου παντὸς φιλανθρωπότατε πλούσιε, ὦ στρατιώτην τηρήσας ἡμῖν, ὃν ὁ δῆμος αὐτῷ μὴ τετήρηκε, καὶ φυλάξας ἄνθρωπον, ὃν εἰς σφαγὴν [37] ἅπαντες ἐκδεδώκασιν. ἕτερον ἀπὸ τῆς σῆς οἰκίας ὁπλίτην ἐπιζητῶ. ὑπὲρ τοῦ πολέμου τοῦτον ἀνείληφας. ὑπὲρ χρείας τῆς αὐτῆς παραχώρησον· καὶ γενέσθω τι καινὸν ἐπὶ σοὶ φιλοτίμημα. παραταττέσθω κατάδικος μὴ φιλονεικοῦντος δεσπότου. μετὰ ταύτην τὴν ἀντίθεσιν νομικὴ πεσεῖται ἑτέρα ἀπὸ τοῦ δικαίου ἐγγράφου. ἢ ὅτι ἐδεξάμην κατὰ νόμον τὴν δωρεὰν λαβών. Γλαφυρὰ δὲ πανταχοῦ αὕτη ἡ ἀντίθεσις πίπτουσα. καὶ γὰρ χρήσῃ τῇ διανοίᾳ τοῦ νόμου. καὶ πολιτείας ἔξεστιν ἐξετάσαι, ὅτι οὐδαμοῦ δουλεία τετίμηται. καὶ ἀπὸ τοῦ πένητος οἷόν τε λαβεῖν, ὡς μὴ προσηκόντως δουλεύοντος, καὶ ἀπ' αὐτῆς τῆς τοῦ πράγματος ἀτο-

---

36 Ald. Vind. νόμον. Par. νόμων. 37 Ald. φαγήν.

πίας, καὶ ἀπ᾽ αὐτῆς τῆς τοῦ νόμου ἀναγνώσεως, ὅτι οὐ λέγει δουλεύειν, καὶ ἀπὸ τῶν μετὰ ταῦτα, ὅτι οὐδεὶς ἔτι ἔνοιτ᾽ ἂν εὐνοεῖν τῇ πόλει, τοιαύτας ὁρῶν ἐν ἡμῖν οὔσας τὰς ἀμοιβὰς, καὶ ὅλως ὅπου δ᾽ ἂν τοιαύτη ἐμπέσῃ ἀντίθεσις, γλαφυρωτάτην αὐτὴν οὖσαν εὑρήσεις. ἵνα δὲ μὴ πάσας ἐξ ἀντιθέσεως θῶμεν, ἐπὶ τοῦ παρόντος τὰς λύσεις τάξομεν, προηγουμένως τὴν ἀντίθεσιν λύοντες· νῦν δὲ τῆς ἀπὸ τοῦ πένητος ἀφελείας λόγος ἅπασιν οὐδὲ εἷς. ἀλλὰ τοὺς νόμους κομπάζοντες οἴονται λύσειν καθάπερ ἐν θήρᾳ τῶν ἐμπιπτόντων ἐχόμενοι, καὶ δεδόσθαι θρυλλοῦντες κατὰ τὸν νόμον τὸν πένητα. ὥσπερ ἡμῖν τι χρηστὸν ἐπιγράφοντος τὴν ἀπὸ τοῦ ῥήματος ἀδοξίαν οὐ φεύγουσιν οὐδὲ σκοποῦσι κείμενα παρ᾽ ἡμῖν ἐπ᾽ ἐλευθερίᾳ τὰ γράμματα· καὶ τῆς δωρεᾶς ἐπ᾽ αὐτονομίᾳ κειμένης οὐχ ὁρῶσιν ἕνα τινὰ τῶν [38] παρ᾽ ἡμῖν πολίτην δουλεύοντα· εἶτα τὴν πολιτείαν ποιήσαντες παροιμίαν αἰνί- 416
γματι καὶ καθάπερ ἐπὶ σκηνῆς τὸ δεινὸν, πῇ μὲν ἐκκλίνοντες, πῇ δὲ δεχόμενοι, παίζοντες καὶ εἰς τὴν τύχην ἐλέγχονται· φέρε γὰρ αὐτόν μοι τις ὑπαναγνώτω τὸν νόμον καὶ τὴν ἐκείνου φωνὴν ἐπὶ τοῦ παρόντος ὑποκρινάμενος εἰπάτω, δουλείαν ὀνομάζει τὰ γράμματα. δεχέσθω, φησὶν, ἣν βούληται δωρεὰν καλῶς· τί τοίνυν ὁ τὸν νόμον δοὺς [39] ἐπὶ τούτῳ προῄρηται; ἢ τίνι τῶν παρ᾽ ἡμῖν τιμᾶσθαι τοὺς ἀριστεύσαντας βούλεται; ἀλλὰ μήπω τούτῳ τὴν δεσποτείαν, ᾗ χρησάμενοι πρῶτον οἱ πρόγονοι, τὸν νόμον τουτονὶ [40] κεκυρώκασι, καὶ τῶν θεσμῶν ὑπομνησθέντες τῶν προτέρων οὕτως ἐξετάσωμεν τὸ παρὸν ἀκριβέστερον· ἐξ ἀρχῆς τοίνυν πολιτεία τις ἦν, τῶν πάνυ τις ἀποκρινάσθω σοφῶν· ἢ πάντως διασύρας ταυτηνὶ τὴν ἐρώτησιν δημοκρατίαν ἐρεῖ· καὶ τῇ φωνῇ σεμνότερον

---

38 Ald. Codd. τόν. 39 δοὺς Ald. Codd. om. 40 Ald. Codd. τοῦτον ᾿εἰ κεκυρ.

προσχρησάμενος τὴν αὐτὴν ἄνωθεν εἴποι κατάστασιν ἔχειν ἡμᾶς. οὐκοῦν δοκεύειν ταῖς πολιτείαις οὐ πάτριον, ἀλλὰ ταύταις χρῆμα τοῦτο ἁπάντων ἐχθρότατον· εἰ γὰρ ἴσον δεῖν ἔχειν ἅπαντας νενομίκασι, καὶ τὴν ἰσηγορίαν ταύτην εἶναι πιστεύουσι, δουλεία τούτοις [41] ἀπεναντία ὑπάρχουσα μὴ νόμιμον εἶναι διδάσκει τὴν αἴτησιν. παρὰ τίσι [42] γὰρ ἑτέροις, ἢ παρὰ τοῖς ἐλευθέροις οἱ νόμοι; καὶ τίνες μᾶλλον ἑτέρων κέχρηνται δόγμασιν ἀληθέστερον. οὐ παρ' οἷς ἐστι τὸ δουλεύειν ἀπάνθρωπον, [43] οὐ παρ' οἷς δουλείας θάνατος αἱρετώτερος; πῶς τοίνυν εἰκάζειν καλὸν, ὅτι δεδωκότος τοῦ νόμου λαμβάνειν, ἣν βούλεται δωρεὰν, καὶ τὸ τοιαύτην περιθεῖναί τινι συμφορὰν συγκεχώρηται; εἰ μὲν γάρ ἐστιν εἰπεῖν ὡς ἔν τινι τῶν ἄλλων, στρατηγίας, ἢ ναυαρχείας, μᾶλλον δὲ δεσμῶν ἢ τιμωρίας ἑτέρας, καὶ τὸ δουλεύειν ἦν παραπλήσιον καλῶς ἐκ τῶν ἐνόντων λαμβάνειν, ἔφασκέ τις λαμβάνειν ὃ βούλεται. εἰ δ' ὑπακούειν οὐ σύνηθες, πῶς τὸ μὴ ὂν ὡς ὑπάρχον σοφίζεται; [44] ἐπεὶ φρασάτω τις ἐμοὶ παρελθών. πόθεν ἄλλοθεν ἄνθρωπος τοὺς πολεμίους ἀμύνεται μεθ' ὅπλων μὲν, ἀπελαύνει τὸν πρὸς τὴν χώραν φαινόμενον. εἴ τις τοῦ τείχους οὐ δέχεται μετὰ τῆς ἀσπίδος ἀλλόφυλον, [45] οὐκ ἐλευθερίας ἐκπεσεῖν φυλαττόμενος, οὐ τηρῶν τὴν αὐτονομίαν τῷ γένει, καὶ φεύγων μὲν παθεῖν τῷ πένητι παραπλήσια, κεῖσθαι δὲ μᾶλλον ἐθέλων, ἢ μεταλλάξαι τὴν τύχην. [46] διὰ τοῦτο τραυματίαι πάντες ἀπὸ τῶν πολεμίων οἱ φιλοκίνδυνοι. καὶ τροφαὶ μὲν τοῖς μαχομένοις καὶ χρήματα, τιμαὶ δὲ καὶ γέρα μετὰ τὴν νίκην τοῖς ἀριστεύσασιν· οὕτω τοὺς προδότας

---

41 Ald. Vind. τούτους. Par. τούτοις. 42 Ald. Codd. τοῖσι. scr. τίσι. 43 Vind. ἐπάνθρωπον. Par. ἐπ' ἄνθρωπον.
ον
44 Par. σοφίζεται. 45 Vind. ἀλλόφιλον. 46 Par. φύσιν. ad marg. τύχην.

κακίζομεν· οὕτω τοὺς λείποντας τὴν τάξιν ἐκβάλλομεν· καὶ φρουροῦμεν τὴν μὲν πόλιν τοῖς τείχεσι, πόνοις δὲ τὴν ἐλευθερίαν ἀκέραιον, καὶ δημοκρατούμενοι τοὺς πολέμους οὐ φεύγομεν, ὀλιγαρχούμενοι δὲ τὴν δουλείαν πεφρίκαμεν· ἀλλ' ἴσμεν πολιτείαν, ἐν ᾗ τὸ δουλεύειν φιλάνθρωπον. οὐδὲ δεσμὸν, ἐν ᾧ μὴ πάντες τοὺς παθόντας οἰκτείρουσιν. αὕτη καὶ βαρβάρῳ πολέμιος, αὕτη καί τισι τῶν ἀλόγων οὐ πρέπουσα. κἂν τῶν ἁπάντων εἴποις ἐχθρότατον τύραννον, οὐδὲ τοῦτον εὑρίσκεις δεχόμενον. εἶτα πανταχόθεν τῆς τοιαύτης ἀπελαυνομένης συμφορᾶς, λέγει τις οὐκ ἐᾷν τὸν νόμον τύχην χαρίζεσθαι. καὶ συκοφαντεῖ προχείρως οὕτω τὰ γράμματα καὶ τῆς τοῦ νόμου φωνῆς καταψεύδεται· μὴ γὰρ οὐκ ἐνῆν εἰπεῖν δουλείαν χαρίζομαι· μὴ γὰρ οὐκ ἐνῆν εἰπεῖν γιγνέσθω καὶ πολίτης τοῖς ἀριστεύουσιν ἔκδοτος. ἀλλ', οἶμαι, τὸ δεινὸν σεσιώπηκεν, οὕτως ἀπάνθρωπον ἔσεσθαι πολίτην οὐ προσδεχόμενος. ἐλπίσειν οὐδένα ποτὲ τοιαύτην ὁ νομοθέτης ἤλπισε δωρεάν· οὐδ' ἐπὶ ταύτην ἐλθεῖν ποτε τὴν τιμὴν εὔνουν πολίτην καὶ σώφρονα. εἰ δ' εὔρασθαι[47] τὴν ἀρχὴν οὐχ ὑπώπτευσεν,[48] πῶς οὐ σφόδρα δοῦναι τὸν δῆμον κεκώλυκεν; εἰ γὰρ ὅρον νομίζει τις εἶναι τῶν τιμῶν τὴν προαίρεσιν, καὶ περιγράφει τὴν χάριν τῷ λαμβάνειν ἃ βούλεται, δεχέσθω καὶ πολιτείας κατάλυσιν· γιγνέσθω μετὰ τὴν ἀριστείαν καὶ τύραννος. καὶ δορυφόρους αἰτείτω, καὶ μετ' ἐκεῖνον πολιτῶν ἀναίρεσιν ἕτερος· 417 τί γὰρ ἄτοπον καὶ τοιαύτας δίδοσθαι δωρεὰς, καὶ πληροῦν τὴν προθυμίαν ἐνδιδόντας τοῖς ἅπασιν. εἰ γὰρ ὅτι τις βούλεται, δώσομεν, καὶ μηδὲν ἀντεροῦμεν αἰτούμενοι, τοῦ τιμᾷν ἐξ ἀνάγκης συμβαίνοντος, καὶ τούτῳ τι τῷ βουλομένῳ παραχωρήσομεν, νῦν δ' οἶμαι σίτησιν

---

47 Ald. et Codd. εὐρᾶσθαι. 48 Ald. Vind. ὑπόπτευσαν. Par. ὑπώπτευσεν.

προξενεῖν ἀτέλειαν συγχωροῦντος τοῦ νόμου, ἡμεῖς δουλείαν δεδώκαμεν, καὶ χαλκοῦς ἐπ' ἀγορᾷ στῆναι τοὺς εὐεργέτας εἰ βούλοιντο, ἔκδοτον γενέσθαι πένητα παρὰ τὸν νόμον ἀφήκαμεν. ὢ τῆς παραδόξου ταύτης καὶ λυμηναμένης ἅπασι δωρεᾶς. σωθείς τις ἀπόλλυσιν ἕτερον· καὶ τραυματίας ἵνα μὴ δουλεύσῃ γενόμενος, δεσπότης μετὰ τὴν νίκην νομίζεται καὶ τὸν ἐχθρὸν ἀποφαίνει τοῦ παρ' ἡμῖν πένητος εὐτυχέστερον. βουλευσόμεθά [49] τι κἂν νῦν πρεπωδέστερον, καὶ διορθώσομεν δευτέρᾳ ψήφῳ τὰ πταίσματα καὶ τῇ χρείᾳ πρὸς βουλὴν ἀρίστην χρησάμενοι διαβολὴν τῶν καθ' ἑαυτῶν ἐπικρύψομεν. φανείτω [50] τοῖς πολεμίοις ὁ πένης παρατασσόμενος· ἵνα μὴ μαθόντες ἐκεῖνοι τὴν ἔκδοσιν τὰς ἀπὸ τοῦ πολέμου τύχας ἡμᾶς αὐτοὺς κατεγνωκέναι νομίσωσιν. ἐνῆν καὶ ἔτι πλατύτερον ἐκτεῖναι τὰ νοήματα λέγοντα, ἂν αἰτήσῃ τις σίτησιν, οὐ βασκαίνομεν, εἰκόνα χαλκῆν οὐκ ἀντιλέγομεν. πόσοι πολλάκις τετίμηνται παρ' ἡμῖν, πολλοὶ καὶ τῶν δικαζόντων ἡμῶν δωρεᾶς τετυχήκασιν· ἀλλ' οὐδεὶς οὐδέποτε παρὰ τοῦ δήμου τοιαύτην χάριν ἀνείληφε. κἂν ἐρωτήσῃ τις ἡμῶν τὸν ἕτερον, σίτησιν εὑρήσει τὴν δωρεὰν, ἀτέλειαν τὴν χάριν, εἰκόνα χαλκῆν, ἀστρατείαν, ἄλλα μυρία· τί τοίνυν πρὸς τὴν νῦν δωρεὰν, ποῦ τοιαύτην ἡμῶν τις κεκάρπωται. εἶτα καὶ ὅτι ἄτοπόν ἐστιν ὑπὲρ τοῦ μὴ δουλεῦσαι τοὺς παῖδας ἢ τὸ γένος ἡμῶν ποιουμένους τὸν πόλεμον, συγχωρεῖν τὰς τοιαύτας αἰτήσεις βούλεσθαι. ἔτι δὲ καὶ τὰ κυριώτατα νοήματα λυτικὰ τῆς ἀντιθέσεώς ἐστι. τί οὖν καὶ νῦν ἆρα ἐπαγγελλόμεθα τοιαύτην τινὶ δωρεάν; ἆρ' ἐὰν καὶ νῦν ἀριστεύσωσιν ἕτεροι, πάλιν τινὰς τῶν πολιτῶν ἐκδότους ποιήσωμεν; εἶτα ἁπλοῖς χρησάμενον νοήμασιν, ὅτι ἐντεῦθεν προλέγομεν, ὅτι τοιαύτην οὐδεὶς λήψεται δωρεὰν, ὅτι τῶν πολιτῶν τινας οἱ

49 Ald. βουλευσοίμεθα. 50 Ald. φανέτω.

προδώσομεν. καὶ ἔπαγε ἐκεῖνα τὰ νοήματα, μάλιστα πληκτικὰ τυγχάνοντα, ἃ καὶ τὴν πρώτην ἀριστείαν κακούργως γενομένην αἰνίττεται· κηρύξωμεν ὅτι τοὺς λείποντας τὴν τάξιν ἐκδώσομεν· ἐγὼ προλέγω πρὸ τῶν ἔργων τοῖς ἀριστεύουσιν, ἂν ἀφῇ τις τῇ ἁ [51] τοῦτον ἐκδίδωμι. ἂν προδότης ἁλῷ, τοῦτον κἀγὼ τοῖς αἰτοῦσι χαρίζομαι· [52] ἂν δειλὸς, ἂν τρέσας τὸν κίνδυνον, τοῦτον [53] ποιῶ τῆς πολιτείας ἐκτός· τοῦτον ἐπὶ βήματος οὐκ ἐάσω δημηγορεῖν, κἂν ὁ κῆρυξ καλῇ, κἂν ἀπαιτῇ πολλάκις ἡ χρεία, καὶ τὰ τοιαῦτα πλατύτερον, ἃ μάλιστα πλήττει τὸν πλούσιον. ἕξεις τὴν ἀντίθεσιν λυομένην μάλιστα τεχνικώτερον. μετὰ ταῦτά τις ἄλλη ἐμπεσεῖται ἀντίθεσις ἀντεγκληματικὴ, ὅτι ἄξιος ἦν ἐξαιτηθῆναι παρ' ἐμοῦ ἐχθρὸς ὢν, ἣν λύσεις τῇ τοῦ προσώπου ποιότητι, τῇ τῆς πολιτείας ἀφορμῇ. ὅτι διὰ τὸ [54] τὰ τῆς πόλεως φρονεῖν ἡ ἔχθρα γέγονεν. εἶτα τῷ χρόνῳ, ὅτι πρὸ τῆς πολιτείας ἐχθρὸς ἦν· τῷ τε μεταληπτικῷ καὶ τοῖς ἄλλοις ἐμπίπτουσι νοήμασιν. οἷον, ἀλλ' ἐχθρὸν ὄντα, φησὶ, μετὰ τὰς [55] ἀριστείας ἐζήτησα. ἡ λύσις ἔστω [56] γοργοτέρα καὶ εὔθικτος, [57] καὶ ποῦ γένοιτ' ἂν τούτων ἐν εἰρήνῃ μετὰ τὴν ἀριστείαν ὠμότερον; ἢ οὕτως, καὶ πῶς ἐν ταὐτῷ μετὰ τοῦ πένητος ἡ πόλις στενάζει τὴν συμφοράν; πῶς δὲ χρηστοῦ πολίτου μετὰ τὴν νίκην ἀφήρηται; ἢ πῶς τὴν ἔχθραν αὐτὸς εἰς τὸν βίον μετέστησας; καὶ τὸ κοινὸν τῶν δεινῶν συναπέλαυσας [58] ἐξαιτου-

---

51 Lacuna est in Ald. et Codd. etiam in Ven. In Med. locus exesus est, ita ut non liqueat, fuerit lacuna necne. 52 Par. χ[α]ειρίζομαι. 53 Ald. Vind. bis τοῦτο. Par. Med. τοῦτον. 54 τὸ Ald. Vind. om., est in Med. Par. 55 Ald. Vind. Par. τῆς. Med. τάς. 56 ἔστω Ald. Vind. Par. om., est in Med. 57 Par. εὔθηκτος. Vide Hermog. περὶ εὑρ. I. 2. cum Schol. 58 Med. συναπήλαυσας.

μένου τοῦ πένητος· καὶ πληγὴν κατ' ἄμφω μίαν καὶ τὴν αὐτὴν ἀγαγὼν τὸν σύμβουλον ἅμα καὶ τὴν ἐκκλησίαν ἠδίκηκας· εἰ μὲν γάρ τι βίᾳ τῶν σῶν ὑπεξῄρηται, ἢ τῶν κτημάτων ἀποστερήσας τὴν πρόσοδον τῆς τρυφῆς ἀφῃρεῖτο τὸν πλούσιον, καλῶς, ὦ ἄνδρες, ὡς ἐχθρὸς ὁ πένης
418 μεμίσηται. πολέμιος ὄντως ὁ τὸν εὐδαίμονα μὴ συγχωρῶν ἀπολαύειν τῆς τύχης, καὶ φιλαπεχθήμων ἀληθῶς ὁ βασκαίνων τοῖς κρείττοσιν· εἰ δέ τις συμμετρησάμενος [59] τοῦ μὲν καθ' ἑαυτὸν βίου τὴν ἐπιείκειαν, τῇ δὲ πόλει τὴν εὔνοιαν τὴν ἑαυτοῦ πόλιν δημοσιεύειν ἠπίστατο, καὶ βουλῆς προκειμένης τοῖς ἅπασι τὸ συμφέρον οὐκ ἀπεκρύπτετο, τί μὴ παθόντες, ἃ παρ' ἐχθρῶν εἰκὸς ἦν, τῇ δυσμενείᾳ τὸν φόβον [60] καλύπτομεν. καὶ πρὸς τὸν δῆμον ἀχθόμενοι κλέπτομεν ἀλλοτρίοις πάθος ἐγκλήμασιν; οὐδεὶς ἐχθρὸς ὁ μὴ λυπήσας ἰδίᾳ τὸν ἕτερον, οὐ φανερὸς δυσμενής ὁ μὴ τοῖς τοῦ πλουσίου ἐπιβουλεύσας πλεονεκτήμασιν. εἶτα τῶν τοιούτων ὄντων ἐχθρῶν [61] καὶ νομιζομένων παρὰ πᾶσι, τί σαφῶς ὁ πένης ἠδίκησεν, ἢ τί τῶν τοῦ πλουσίου καλῶν ἐξαίφνης ἀφῄρηται· μᾶλλον δὲ τίνι τῶν ἁπάντων ἡμῶν ὡς πονηρὸς ὁ δοῦλος λελύμανται, ἢ τίνα τιμῆς ὀφειλομένης ἢ κέρδους ἀφείλετο; εἰ δὲ τούτων τις οὐδὲν ἐγκαλεῖ, οὐδὲ σκῆψιν ἔχει τοιαύτην εἰπεῖν, φιλονεικήσας ὁ πλούσιος, ἐκ τίνος ἢ πόθεν ἐχθρὸς μαθεῖν ἐστι τὸ λειπόμενον. νῦν δ' οἶμαι τοιαύτην αὐτῷ τύχην ἡ πρὸς ἡμᾶς προὐξένησεν εὔνοια, καὶ παρὰ πάντα τὸν βίον ἔσχε [62] πολεμοῦντα τὸν πλούσιον. σιωπᾷν οὐκ ἔγνω τὸ παριστάμενον, οὐδ' ἀφῆκέ ποτε φωνὴν ἑτέροις χαριζομένοις ἃ βούλονται. ἀλλ' ἐξήλεγχεν

59 Ald. Codd. εἰ δέ τις συμμετρησαμένῳ τοῦ μὲν καθ' ἑαυτὸν τὴν βιοτὴν ἐπιείκειαν, etc. 60 Med. Par. φόνον. 61 Ald. ἐχθῶν. Sqq. καὶ νομιζομένων παρὰ πᾶσι, τί σαφῶς ὁ πένης ἠδίκησεν ἢ τι τῶν τοῦ Ald. Vind. Par. om., recepi ex Med. 62 Ald. Vind. Par. ἔγνω. Med. ἔσχε.

ἅπαντας· ἐτιμώρει βλαπτομένῃ τῇ πόλει. καὶ μὴ πράττων ὑπὲρ ἡμῶν οὐδ' ἂν ταύτην ὁ δυστυχὴς οὗτος ὠδύρετο συμφοράν. οὐδ' ἔσχεν αὐτῷ τινα προςκαθήμενον· ἀρκεῖ βίος ταύτην ἐπιδεῖξαι τὴν τύχην ὁ πρότερος· τότε τοίνυν καθ' ἑαυτὸν [63] ζῶντι τῷ πένητι καὶ μηδέπω προςαπτομένῳ τοῦ βήματος, μὴ μεταδιοικεῖν τι τῶν ἡμετέρων μετειληφότι, [64] ἦν μὲν πολέμιος οὐδὲ εἷς. τῷ δὲ πλουσίῳ τοιοῦτον ἔχθρας μετῆν, ὡς τιμᾷν ἐπαινεῖν οὐκ ἔχειν ὅ τι προςείπῃ κατ' ἀξίαν τὸν πένητα, παρεχούσης μὲν ἐν μέρει τῆς ἐπιεικείας τὰ θαύματα, τῆς δὲ σωφροσύνης τὴν ἔκπληξιν. ἀλλ' ἐπειδὴ τὸν κοινὸν ἔδει προστάτην νομίζεσθαι, καὶ δημηγόρον ἐπ' ἐκκλησίας εἶναι καὶ σύμβουλον, [65] τότε τὸ μῖσος κατ' αὐτοῦ δυσχεραίνοντα, σαφῶς δὲ τὴν ἐξαίτησιν φανταζόμενον, ἐνταῦθα δυνατὸν καὶ ἠθοποιΐαν πλάσαι, ὅτι αἰσθανόμενος ἔλεγον πρὸς ἐμαυτὸν, ὅτι ἀκράτῳ τῇ πρὸς τὴν πόλιν εὐνοίᾳ ὁ πένης κέχρηται. κινήσει τινὰ κατ' αὐτοῦ πάντως ἐπὶ τοῦ βήματος πόλεμον. δεινὸς ὁ φθόνος, οἶδε βασκανία πόρον εὑρεῖν κακουργήματος, οἶδε σπουδῇ πολλοὺς παρασκευάσαι πρὸς μάχην, καὶ τὰ τοιαῦτα. Ἐὰν [66] θέλῃς, ἐν ταὐτῷ καὶ πρὸς τὸν πένητα κατὰ ἀντιστροφὴν ἐρεῖς, ἐπίσχες μικρὸν, φείδου τῶν λόγων· μὴ πάντα τὸν τρόπον πρὸς τὸν δῆμον ἐνδείκνυσο, [67] τοὺς πλησίον ὅρα, τοὺς παρισταμένους ἐπίσκεψαι, καὶ τὰ τοιαῦτα· εἶτα τῆς πολιτείας, ὦ πλούσιε, τῆς ἔχθρας παρασχούσης τὴν πρόφασιν ταύτην, προσῆκον ἦν ἐπενεγκεῖν τῇ φιλονεικίᾳ τὴν δίκην, καὶ σπουδὴν τοιαύτην δουλείας τιμήσασθαι. ὡς οὐ δέον αὐτὸν ἅμα καὶ καθάπαξ ἀπολωλέναι, προςκρού-

μετ-

---

63 Ald. Codd. καθ' ἑαυτῷ. 64 Par. κατειληφότι. 65 Ald. Vind. ἄβουλον. Par. σύμβουλον. 66 ἐὰν abest ab Ald. et Codd., sed in Par. post τοιαῦτα brevis lacuna est. 67 Ald. Vind. ἐνδείκνυσι. Par. ἐνδείκνυσο.

*σαντα καὶ λυπήσαντά τι μηκέτ᾽ εἶναι κατὰ τὸν δῆμο ἐλεύθερον· ἢ καθάπερ ἄφωνον ἡσυχῇ μένειν, καὶ δε τέραν ἀτιμίαν ἔχειν τὴν σιωπήν. μὴ γὰρ οὐκ ἦν, ὦ ἄ δρες, τοῦτον ἑτέρως κατὰ τὴν πόλιν ἀμύνασθαι; γὰρ οὐκ ἐνῆν πολεμεῖν, φιλοτιμίαν ἐκ τῆς μάχης κα πούμενον; καὶ λυπεῖν τῷ δοκεῖν εἶναι μὴ παρὰ τοῦτ μόνῳ τὴν εὔνοιαν, καὶ ζηλοῦν ἀκολουθοῦντα τοῖς νόμο τὸ λυσιτελοῦν εἰσηγούμενον, τῶν δικαίων μηδαμῶς ἀφ στάμενον. ἐν ᾧ ὅτι εἰ ἔγραφε νόμον, συλλειτουργεῖν ὤφε λε χρήμασι· καὶ ψηφίσμασι μὲν ἀντιτιθέναι τὰς συμ φοράς, γνώμαις δὲ χορηγίας καὶ χρήματα, καὶ τὰ το αὐτα. τούτοις στενοχωρεῖν ἐκεῖνον προσῆκον ἦν, τούτο πολεμεῖν πολιτευόμενον πένητα τῷ γράφειν ἃ δεῖ, τ συμβουλεύειν τὰ πρέποντα, τῷ πείθειν τὰ κάλλιστα, τ πανταχοῦ συνεισφέρειν τὴν εὔνοιαν, οὕτω καὶ χοροὶ πο λάκις πρὸς ἀλλήλους πεπολεμήκασιν, οὕτω νικᾶν το ἐναντίους νομίζουσιν, ὅταν αὐτοὶ μᾶλλον τῶν ἐναντίω*
419 *θαυμάζωνται· εἰ μὲν γὰρ δεῖ μηκέτ᾽ εἶναι τὸ ἐναντίο καὶ βλάπτεσθαι, τί μὴ νόμος κυροῦται καινὸς, δύο το αὐτοὺς μὴ μετέρχεσθαι ἐπιτηδεύματα. εἰ καθάπαξ το ἀντικειμένους ἡμῖν ἀναρπάζομεν, ἀλλὰ συγχωροῦντες χ ρηγεῖν, καὶ τοὺς αὐτῶν συγκροτεῖν οὕτως ἡμεῖς τὰ ὑπερβολὰς τῶν καλῶν τῶν παρ᾽ ἐκείνοις θησείομεν·* [6 *καὶ τοῖς ὁμοίοις πανταχοῦ τῇ χορηγίᾳ χρησάμενοι κόσμ καὶ παρασκευαῖς πλείοσιν, τοὺς πολεμίους ὑπερακοντίζε σπουδάσομεν· τίς τοίνυν τὴν ὁμοίαν σε καθιέντα σπο δὴν οὐκ ἂν ἐθαύμασε, πλούσιε, καὶ κέρδος εἶναι τὴ τοιαύτην φιλονεικίαν ἐπίστευσεν, ἀμφοῖν ἡμῶν αἱρουμέ νων τὰ κάλλιστα, φαύλου δὲ παρ᾽ ὑμῶν τῇ πόλει συμ βαίνοντος μηδενὸς, εἶτα τὴν χρηστὴν ἔριν καὶ μάχη ἀφεὶς παρ᾽ ἡμῶν ἐξαιτεῖσθαι τοῦτον τετόλμηκας· κα τού-*

---

68 Ald. Codd. θησσεύομεν.

τούτου τοῦ πάθους ἄξιον νομίζειν τὸν πένητα. εἶτα ὅτι οὐδὲ ἄξιος ἦν ταύτης τῆς ἐξαιτήσεως. δεξάμενος γὰρ οὐκ ἀπέκτεινας· εἶτα ἔπαγε. οὕτω θανάτου φὴς καὶ τοιαύτης δωρεᾶς ἄξιος ὁ παρὰ σοὶ μέχρι καὶ δεῦρο σωζόμενος, ὁ τῷ δήμῳ παρὰ σοῦ τετηρημένος μετὰ τὴν χάριν, ὁ παθὼν μετὰ τὴν δουλείαν ἀνήκεστον παρὰ σοῦ μηδὲ ἕν. εἰ μὲν γὰρ αὐτόχειρ, ὦ ἄνδρες, μετὰ τὴν δόσιν παραχρῆμα γένοιτο, ἀληθῶς ἂν ἔδοξεν εἶναι τυχὸν τῆς ἀξίας κριτής· νῦν δὲ φυλάξας οὗτος ὃν ὁ δῆμος ἐπ' ἀναιρέσει προήκατο, τοῦ μὴ καλῶς ἐπὶ τῷ πένητι γεγενῆσθαι τὴν ἀρχὴν τοιαύτην δωρεὰν, ἀπὸ τῶν δευτέρων ἠνίξατο· ἀλλ', οἶμαι, τοῦτον μὲν πρὸς τὸν δῆμον, ὦ πλούσιε, τὸν λόγον ἐρεῖς· οὐδὲ προπετῶς οὕτω λοιδορήσεις μετὰ τὴν δουλείαν τῷ πένητι· μηδὲ γὰρ εἶναι καλὸν ποιεῖν ἀπεχθέστερα τῷ λόγῳ τὰ δυστυχήματα· συγχώρει δὲ λοιπὸν ἐπ' ἀδείας μετὰ τὴν ἐκκλησίαν στρατεύεσθαι, καὶ τὴν ἀσπίδα λαβεῖν, ὑπὲρ ἐλευθερίας καὶ νόμων γενέσθω σοι κατὰ τὸν πόλεμον παραστάτης, ὦ πλούσιε· μαθέτω τὸ πονεῖν παρὰ τὴν μάχην πεπαιδευμένος,[69] καὶ συμπλέκεις μὲν τοῖς ἀλλοφύλοις παραταττόμενος· οὐ παραχωρεῖς δὲ τῆς νίκης τοῖς πολεμήσασιν.[70] οὕτω τὸν δῆμον μετὰ τοὺς πόνους διδαξάτω τὴν εὔνοιαν καὶ διηγησάσθω τὰ σὰ μετὰ τὸν πόλεμον[71] κατορθώματα. τῶν σῶν ἔργων αὐτόπτης, ἐξηγητής σου τῶν ἔργων μετὰ τὸ τρόπαιον γένηται. μετὰ ταῦτα θήσεις ἀντίθεσιν ἀπὸ τῆς ὕλης ἐμπίπτουσαν. ἀλλ' οὐδὲν ὠφελήσει μόνος ἡμῖν προστιθέμενος, ἣν λύσεις αὐξητικῶς πολλοῖς καὶ διαφόροις ἐπιχειρήμασιν, πρῶτον τῷ κατὰ τὸν πλούσιον, ὅτι καὶ αὐτὸς μόνος νενίκηκε, καὶ μόνος ἀρι-

69 Ald. Codd. πεπαίδευκα. scripsi πεπαιδευμένος. 70 Ald. Vind. πολεμήμασιν. Par. πολεμήσασιν. 71 Par. τὸν πόλιων. Ald. Vind. τῶν πόλεων.

*στεύσας ἔλαβε δωρεάν· εἶτα ἡ προθυμία τοῦ πένητος ἱκανή ἐστι μεγάλην ποιῆσαι ῥοπὴν, καὶ ὅτι εὔνους στρατιώτης πλεῖστα κατὰ τὸν πόλεμον ὠφελεῖ· τοῦ μὲν εἰσηγουμένου, τοῦ δὲ ἔργῳ τὸ λεχθὲν πληροῦντος. εἶθ' ὅτι καὶ οἱ πολέμιοι φοβηθήσονται, εἰ πρὸς σὲ μόνον οὐκ ἀντισχόντες νῦν σχήσουσιν ἀνταγωνιστὴν καὶ τὸν πένητα· εἶθ' ὅτι καὶ στρατιῶται πάντες προμαχέσονται προθυμότερον, πολλῶν ὄντων τῶν συναιρομένων πρὸς τὸ τρόπαιον· μετὰ ταῦτα χρήσῃ καὶ διατυπώσει, λέγων ὅτι ὁ μὲν τοῦ δεξιοῦ κέρως ἡγήσεται,[72] ὁ δὲ θατέρου προστήσεται,[73] καὶ ὁ μὲν φυλάξει, ὁ δὲ τοὺς ἀντιτεταγμένους λοχήσει· καὶ ὁ μὲν διώξει, ὁ δὲ στήσει τὸ τρόπαιον· καὶ ὅτι πολλῶν ὄντων τῶν ἔργων κατὰ τὸν πόλεμον, τοὺς πόνους μερίσεσθε, καὶ τὰ τοιαῦτα. μετὰ ταῦτα ἐμπίπτει, ὅτι δέος μὴ μνησικακήσῃ μετὰ τὴν μάχην· ἣν λύσεις τῇ εὐνοίᾳ. Εἶθ' οὕτω τοὺς ἐπιλόγους ἐρεῖς ἔχοντας πολλὴν εὐπορίαν ἐπαγγελιῶν, προτροπῆς δωρεὰν, τὸ μηκέτι τοὺς πολεμίους στρατεύεσθαι, τῇ τῆς εἰρήνης πολιτείᾳ· ὅτι συννομούμενοι διώξομεν τῇ φιλίᾳ τῇ πρὸς τὸν πλούσιον· ὅτι φίλοι ὄντες πολλὰ τὴν πόλιν ὠφελήσετε.*

## *ΕΙΣΑΓΓΕΛΙΑ.*

Τὸν ἀριστέα γέρας λαμβάνειν, καὶ τοῦτο ἀναφαίρετον εἶναι, καὶ ὁ βουλόμενος ἀποθανεῖν ἑαυτὸν τῇ βουλῇ προσαγαγέτω. ἐφημίζετό τις ἐπὶ τῇ τοῦ υἱοῦ γυναικί· πολέμου ἐπιστάντος, ἐξῆλθον εἰς
420 πόλεμον ὅ τε πατὴρ καὶ ὁ υἱὸς, ἔλιπε τὴν τάξιν· ᾔτησεν ὁ πατὴρ τοῦ υἱοῦ τὴν σωτηρίαν, ἔλαβε· μετὰ ταῦτα προσαγγέλλοντος ἐκείνου ἑαυτὸν, ὁ πατὴρ ἀντιλέγει.

*Ἐσχηματισμένον τὸ ζήτημα· τῶν γὰρ κατ' ἔμφασίν ἐστι· καὶ δῆλον ὅτι διὰ τὴν τοῦ πατρὸς φήμην ἑαυτὸν*

---

72 Par. ἡγήσηται. 73 Ald. Vind. προσθήσεται. Par. προσιήσεται.

ὁ νεανίσκος προςήγγειλεν, ὡς εἰ μὴ τὸν πατέρα περὶ[1] τὴν τοῦ παιδὸς γυναῖκα διέβαλλον, οὐδ' ἂν ἀποθανεῖν ὁ παῖς ἐπεθύμησε· καὶ τοῦτο ὡμολόγηται· οὐδεὶς γὰρ οὐδέποτε τὰ δεινότατα τυγχάνει[2] διαπραξάμενος, δυνηθεὶς σώζεσθαι, πρὸ τῆς σωτηρίας αἰτεῖται τὸν θάνατον, διὸ προςῆκον ἐπικρύπτειν μὲν πανταχοῦ τὴν προαίρεσιν καὶ δηλοῦν τὴν φήμην κατ' ἔμφασιν, ἵν' ἐκ τοῦ φανεροῦ μηδὲν τῶν θρυλλουμένων κατηγόρων ἔχωσι πάντες μανθάνειν τὸ περὶ τὴν γυναῖκα δυστύχημα· τὴν κατάστασιν εὑρήσεις ἐκ τῆς πολιτείας καὶ τῆς τοῦ πατρὸς ἀγωγῆς· ἐν ᾗ δυνήσῃ διασκευάσαι τὸ κατὰ τὴν φήμην· λέγων ὅτι σωφρονεῖν ἡμᾶς ἐδίδασκε, μηδενὸς παρὰ τοὺς νόμους ἐπιθυμεῖν, ὑπὲρ τῆς πατρίδος πάντα ποιεῖν, πολεμεῖν, ἀριστεύειν, στρατεύεσθαι· ἐπεὶ οὖν λιπεῖν με τὴν τάξιν συμβέβηκεν, ἀξιῶ ἀποθανεῖν, καὶ τὰ τοιαῦτα· ἰστέον δὲ, ὅτι πανταχοῦ πρὸ τῆς ἐμπιπτούσης ἀντιθέσεως μεταληπτικῆς, τῆς οὐδέν σοι πέπρακται θανάτου ἄξιον, ἐνταῦθα ἐκλέλοιπεν αὕτη ἡ ἀντίθεσις· ἔλιπε γὰρ τὴν τάξιν. ΠΡώτη οὖν ἐμπεσεῖται ἀπὸ τοῦ δικαίου· οὐ σοὶ δίδωσιν ὁ νόμος προςαγγέλλειν αὐτὸν ὑπὸ πατρὶ τυγχάνοντι. ΛΥσεις ἀντιληπτικῶς· ὅτι πᾶσιν ὁ νόμος τοῖς βουλομένοις προςαγγέλλειν ἐκέλευσεν, ἐν ᾧ σχηματίσεις καὶ τὰ κατὰ τὴν γυναῖκα· ἐὰν οὖν δυστυχῇ, ἐὰν δὲ τὴν γυναῖκα μοιχευομένην αἰσθάνηται, ἢ τοὺς παῖδας ὁρᾷ μὴ γνησίους ὑπάρχοντας, οὐχ αὑτὸν αἱρεῖται μᾶλλον ἢ τὸ γένος ἰδεῖν ἀπολλύμενον. ΑΛΛ' ἡ νεότης αἰτία τοῦ λιπεῖν σε τὴν τάξιν γεγένηται. ΛΥσεις κατὰ συνδρομὴν, διὸ τοῦτο μᾶλλον ὀφείλω ἀποθανεῖν. ΤΡίτη· ἀλλ' ἀφαιρήσῃ τὴν τοῦ πατρὸς δωρεάν. ΛΥσεις ὁρικῶς· οὐκ ἔστι τοῦτο ἀφελέσθαι, εἴληφε γὰρ, εἰ δ' ἐγὼ οὐ βούλομαι, πῶς ἐκεῖ-

---

1 περὶ Ald. Vind. om., recepi ex Par. 2 Ald. Codd. τυγχάνῃ.

νον ἀφαιρεῖται τῆς χάριτος. ΤΕτάρτη· ἀπολογήσῃ τῷ δήμῳ στρατευσάμενος δεύτερον. ΛΥσεις· εἰ δὲ μηδεὶς μὴ γένοιτο πόλεμος, αὐτὸς τὴν οὖσαν διαβολὴν οὐκ ἐκφεύξομαι. ΠΕμπτη· ἀλλ' οὐδεὶς γηροκομήσει τὸν πατέρα· ἐν ᾗ τὸ πᾶν σχῆμα εὐπορώτερον διαθήσεις, κατ' ἔμφασιν λέγων, ἔχεις τὴν γυναῖκα, πάτερ, ἔχεις τοὺς παῖδας· αὐτοί σε γηροκομήσουσιν, αὐτοί σοι θεραπείαν δώσουσι τὴν προςήκουσαν, καὶ τὰ τοιαῦτα. ΕΠΙλογος μετὰ ταῦτα· αἱ δὲ ἀντιθέσεις αἱ προειρημέναι πᾶσαι ἀπὸ τοῦ δικαίου τυγχάνουσι· δυςχερὲς γὰρ ἀπὸ τοῦ συμφέροντος ἐμπεσεῖν.

Φιλάργυρος πωλήσας χωρίον, τοῦ πριαμένου αὐτὸ θησαυρὸν εὑρόντος, ἑαυτὸν προςαγγέλλει.

Σκοπός ἐστι τῷ φιλαργύρῳ τὸν θησαυρὸν ἀπολαβεῖν· διὸ καὶ ἐπὶ τὴν προςαγγελίαν ἐλήλυθεν· ἵνα διὰ τοῦτο κατασκευάσας τὸ αὐτοῦ [3] εἶναι χρήματα τὸν ὠνησάμενον τῶν ἑρμαίων ἀφέληται. Ἡ Κατάστασις φανερά· ὅτι καλὸν χρῆμα νομίσας τὰ χρήματα ἔσπευδον μὲν περὶ ταῦτα, ἵνα τι καὶ πλέον καρπώσωμαι, καὶ περὶ τὸν ἀγρὸν ἐπενόουν· ὡς δὲ οὐκ ἐπλήρου μου τὴν ἐπιθυμίαν ἡ τύχη, προηκάμην τὸ γήδιον· ἐκεῖνος λαβὼν εὗρε τὰ χρήματα. ΠΡώτη ἀντίθεσις μεταληπτικὴ ἀεὶ ἐμπίπτουσα, ἀλλ' οὐδέν σοι θανάτου πέπρακται ἄξιον. Ἡ ΛΥσις ἐνστατικῶς· καὶ τί τούτου γένοιτ' ἂν χαλεπώτερον· καὶ τὸ λαβεῖν ἕτερον ἐκ τῶν ἐμῶν κτημάτων τὰ χρήματα. ΔΕύτερον· ἀλλ' ἔχεις τοῦ χωρίου τὸ τίμημα. ΛΥσεις διασυρμῷ καὶ τῷ ποσῷ· καὶ ὅτι τὴν ἐμὴν ἐπιθυμίαν ἂν ἐπλήρωσεν ὁ θησαυρός· νῦν δὲ ἄλλου λαβόντος τί τοιοῦτόν με ὠφελεῖ τοῦ χωρίου τὸ τίμημα. ΤΡίτη· δύνασαι περὶ τῶν χρημάτων δικάσασθαι. ΛΥσεις οὔ-

3 Ald. Vind. αὐτόν. Par. αὐτοῦ.

τως· ὅτι τοῦτο χαλεπώτερον τὸ μὴ εὑρεῖν· ἔστι γὰρ ἐν 421
τῷ δικάζεσθαι καὶ τὰ ὄντα προσαναλῶσαι. ΤΕΤάρτη· οὐδεὶς προσαγγέλλει χρημάτων ἕνεκα ἑαυτόν. ΛΥσεις θετικῶς· ὅτι τὰ χρήματα μετὰ τὰ κτήματα κάλλιστόν ἐστι χρῆμα· ἐὰν οὖν τούτου τις ἀποτύχῃ, οὐδέν ἐστι τὸ λειπόμενον· διὸ πρέπον τούτου χάριν πᾶν ὁτιοῦν ὑφίστασθαι. Ο ΕΠίλογος ἔχει διασκευὴν καὶ ἔκφρασιν καὶ διατύπωσιν ὑπηρεσίας, χρημάτων, πλούτου, δορυφόρων, καὶ τῶν τοιούτων.

Βιασάμενός τις κόρην ἔτρωσε· ἀποθνήσκουσα ἐκ τῆς πληγῆς ἡ κόρη ἐπέσκηψε τῷ πατρὶ μὴ ἐπεξελθεῖν τῷ τρώσαντι· οὐκ ἐπέξεισιν· προσαγγέλλει ἑαυτὸν ὁ βιασάμενος· ἀντιλέγει ὁ πατὴρ τῆς κόρης· οὐδὲν ἄξιον πέπρακται. δευτέρα· ἐρῶν ἔπραξας. τρίτη· ἀφῆκέ σε ἡ κόρη τῆς γραφῆς. τετάρτη· πολλοὶ καὶ ἄλλοι βουλόμενοι γυναῖκα λαβεῖν ἀπέτυχον.

Φιλάργυρος ἑταίρας ἐρασθεὶς ἔδωκεν αὐτῇ τάλαντον· καὶ ἑαυτὸν προσαγγέλλει.

Σκοπὸς τῷ φιλαργύρῳ τὸ χρυσίον ἀπολαβεῖν· καὶ τοῦτο [4] διὰ τῆς προσαγγελίας ἑαυτῷ πρυτανεύεται· διὸ καὶ τὸ εἶδος ἠθικὸν τυγχάνον τοῦ λόγου σχήσει πολλάκις τὸν φιλάργυρον πρὸς τὴν δόσιν ἀποδυρόμενον· κατάστασις ὅτι ἀθρόως ὢν περιπέπτωκα πάθει τῇ φιλαργυρίᾳ· καὶ διὰ τοῦτο οὔτε εἰς συμπόσια, οὔτε εἰς ἑτέρας ἀπήντων [5] συνόδους, φυλαττόμενος ἐλαττῶσαι τὰ χρήματα· τοὺς οὖν τούτων τι ποιοῦντας ἠλέουν αὐτούς, σωφρονῶν αὐτός, τὰς τοιαύτας ἀποστρεφόμενος ἡδονάς, καὶ τὰ τοιαῦτα· τοὺς δὲ ἑταιρῶν γιγνομένους ἐραστὰς δυστυχεῖν ἐνόμιζον ἐπὶ πλέον· ἀλλ' ὅμως οὕτω διακείμενος οὐκ οἶδα πῶς ἠράσθην ἀθλίου γυναίου καὶ κακοδαίμονος· καὶ δυσχεράνας ἐπὶ πλέον κατ' ἐμαυτὸν ἔλεγον. ἐρῶ·

---

4 τοῦτο Ald. Vind. om., recepi ex Par. 5 Ald. Codd. ἀπήντουν.

πόθεν οὐκ οἶδα πρὸς τοῦτο ῥέποντα φιλάργυρον· οὐκ ἔστιν ἐραστὴς ὁ χρημάτων φειδόμενος, καὶ τὰ τοιαῦτα· ἀλλ' ὅμως προςῆλθον ἀνέχειν ἐπιπολὺ μὴ δυνάμενος, καὶ προςήδρευον, παρέμενον· ὡς δὲ οὐδὲν ἤνυον, προςῆλθον, εἶπον, ἔχεις ἔκδοτον τὸν φιλάργυρον, δοῦλον, ὑπήκοον, συγχωρῶ σοι καὶ τὸ σῶμα προςλαβεῖν, καὶ τὰ τοιαῦτα· εἶτα χρησάμενος ἀνακλήσεσιν ἐπ' ὀλίγον, καὶ τούτους αὐτοὺς ἄφες τοὺς λόγους· πρὸς τὴν ἑταίραν οὐκ ἠλλαξάμην μετὰ τὴν συνουσίαν παραχρῆμα τὸν θάνατον· οὐδὲν παραβαίνων τὸν ἐμαυτοῦ τρόπον ἐγίνωσκον· ἀλλ' ἀφεὶς ᾐσθανόμην παραδοξότερα ῥήματα, οἴμοι τῆς τύχης, φιλάργυρος ἐραστὴς[6] οὐκ ἐφοίτων πρὸς θάνατον, καὶ τὰ τοιαῦτα. νῦν δὲ οὐκ οἶδα, πόθεν μεθύων ὑπὸ τοῦ ἔρωτος ἐπηγγειλάμην καὶ τάλαντον· εἶτ' ἐπὶ τούτῳ μικρὸν παθηνάμενος ἐπάξεις τοὺς ἀγῶνας, πρώτην ἀπὸ τοῦ δικαίου ἀντίθεσιν· ὡς ἐπὶ πλεῖστον καὶ ἀπὸ τούτου τοῦ κεφαλαίου πᾶσαι ἐμπίπτουσαι. ΠΡώτη μεταληπτικὴ παραγραφική· ἀλλ' οὐδέν σοι θανάτου πέπρακται ἄξιον. Ἡ ΛΥσις ἀπὸ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους, καὶ τῆς τοῦ φιλανθρώπου ποιότητος, καὶ τοῦ ἡλαττῶσθαι τὴν οὐσίαν, καὶ τοῦ τὴν ἑταίραν τοῖς τοῦ φιλαργύρου χρήμασιν ἐντρυφᾶν· καὶ ἀπὸ τῆς πηλικότητος· ὅτι πολὺ καὶ μέγιστον τὸ δοθὲν, καὶ τῶν τοιούτων. ΔΕΥτέρα ἀντίθεσις μεταληπτική· οὐ δεῖ ὑπὲρ χρημάτων ἀπόλλυσθαι. ΛΥσεις κατὰ διασυρμὸν διατιθεὶς τὴν προτέραν οὐσίαν καὶ τὴν νῦν ἀπορίαν· ἐν αἷς ἐρωτήσεις συνεχέστερον, τὸ εἰ οὐ δεῖ ὑπὲρ χρημάτων ἀπόλλυσθαι, δεικνὺς πανταχοῦ τὴν ἀτοπίαν τῆς ἀντιθέσεως. ΤΡίτη ἀντεγκληματική· σὺ σαυτῷ αἴτιος τοσοῦτον δούς. Ἡ ΛΥσις κατὰ συνδρομὴν, ὅτι διὰ τοῦτο μάλιστα θανάτου ἐπιθυμῶ, ὅτι ἀπάτῃ ζημιωθεὶς μετὰ τὴν πεῖραν ἔγνων τὴν

6 Ald. ἐραυθής.

συμφοράν· προσθήσεις δὲ ἑξῆς καὶ παραδείγματα τὸν σκοπὸν ἀνύων τὸν σεαυτοῦ· ἐν οἷς ἐρεῖς, ὅτι ἄλλοι μὲν ζημίᾳ παραπεσόντες ἔσχον παραμυθίαν, ἢ πλῆθος χρημάτων ἀποκείμενον, καὶ πόρους ἑτέρους, ἢ φίλων παραμυθίαν, ἐμοὶ δὲ τούτων μηδέν, ἀλλ' ὅσα τῷ πόνῳ καὶ τῷ χρόνῳ συνήγαγον, ταῦτά μου γύναιον ἐξαίφνης ἀφεί- 422 λετο· δυνήσῃ δὲ καὶ παθήνασθαι πάλιν συγκριτικώτερον αὔξων τὴν συμφοράν· αἱ συγκρίσεις τὴν αὔξησιν ἐργάζονται· λέγων ὅτι ποῦ τοιοῦτον λυπηρόν· τίς τοιαύτη τῶν πολεμίων ἐπιδρομή; λάφυρον ἐν εἰρήνῃ τῆς ἑταίρας ἐγενόμην ὁ δυστυχής, καὶ τὰ τοιαῦτα. ΤΕτάρτη ἀντιστατική· ὑπὲρ σαυτοῦ δέδωκας. ΛΥσεις κατὰ εἰρωνείαν λέγων· ποῖον κέρδος μοι προσγέγονε, πάντα τὰ ἄλλα τῶν ἀνθρώπων κέρδη διεξιών· τὰ δὲ κατὰ τὴν λύσιν τοῦ ἔρωτος μὴ λέγων· εἶθ' ὅτι καὶ αὐτὸ τοῦτο τὸ ἀπαλλαγῆναι τοῦ ἔρωτος ἄλλως ἐνῆν[7] πρυτανεύσασθαι, καὶ γὰρ χρόνος καὶ φίλων συμβουλὴ[8] καὶ ἀποδημία καὶ ὅσα τοιαῦτα. Πέμπτη ἀντίθεσις· δυνατὸν πάλιν κτήσασθαι χρήματα. Ἣν λύσεις τῇ δυσχερείᾳ, τῷ χρόνῳ, τῷ μὴ ῥᾳδίως εἶναι, τῷ πολλάκις τὴν τύχην ἐναντιοῦσθαι. ΕΠίλογος πάθει μεστὸς διὰ τὴν ζημίαν, ἄλλη τοῦ αὐτοῦ ζητήματος διαίρεσις. ΤΡΙΤΗΝ θήσεις ἀντίθεσιν, καὶ ταύτην οὖσαν ἀντιστατικήν· ἀλλ' ἀπηλλάγης τοῦ ἔρωτος. ῞ΗΝ λύσεις διασύρων· ἀλλὰ προσαπώλεσα τάλαντον καὶ ὁρικῶς· ὅτι οὐκ ἔστι τοῦτο ἀπαλλαγῆναί τινος, τὸ τὸ ἕτερον προσαπολέσαι, καὶ τὰ τοιαῦτα. ΤΕτάρτην θήσεις ἀντεγκληματικήν· ἀξίαν αὐτὴν σὺ τοσούτου ἔκρινας. ῞ΗΝ λύσεις ἐνστατικῶς τῷ πάθει, ὅτι μὴ συνορῶν μηδὲν, μηδὲ ἐν ἑαυτῷ τυγχάνων διὰ τὸν ἔρωτα, οὗτος τὴν ἀξίαν οὐκ οἶδε. ΠΕμπτη μετὰ ταύτην, ὅτι καὶ ἄλ-

7 Ald. Vind. ἐνῆς. Par. ἐνῆν. 8 Vind. ad marg. γρ. συνδρομή. Ven. in contextu συνδρομή. ad marg. συμβουλή.

λοι μετὰ ταύτην χρήματα ἀπώλεσαν. ἩΝ λύσεις τῇ αἰτίᾳ καὶ τῷ τρόπῳ. ΕΠίλογος παθητικὸς τῆς ἀπολογίας τῶν χρημάτων.

Ὁ κατὰ τῶν μοιχῶν νόμος, καὶ ὁ τῆς προςαγγελίας ἐραστὴς τὸν ἐρώμενον μοιχὸν καταλαβὼν καὶ ἀποκτείνας ἀμφότερα τὰ σώματα ἑαυτὸν προςαγγέλλει.

Σκοπός ἐστι τῷ ἑαυτὸν προςαγγέλλοντι παραμυθίας παρὰ τοῦ δήμου τυχεῖν. ἔτι γὰρ καὶ νῦν ἐρᾷ τοῦ παιδὸς, καὶ τὴν ἀπὸ τοῦ πράγματος διαβολὴν ἐκκλῖναι βούλεται, ὅτι ἐραστὴς ὢν ἀπέκτεινε τὸν ἐρώμενον· διὸ καὶ τοῦτο καθιστάμενοι οἰκονομήσομεν τὸν μὲν κατὰ τῶν μοιχῶν νόμον καὶ τὴν μοιχείαν οὐκ ἐπεκτείνοντες· ἐναντίον γὰρ τῇ ποιότητι τοῦ ἐραστοῦ τὸ τὰ τῶν ἐρωμένων αὔξειν ἐγκλήματα· τῇ δὲ ὀργῇ καὶ τῷ θυμῷ χρήσασθαι τῷ ξίφει λέγοντες οὕτως ἂν μᾶλλον συγκρύπτοιμεν τὸ περὶ τὸν ἐρώμενον πάθος· ἡ μὲν οὖν κατάστασις δήλη· ἔχει γὰρ ἐγκώμιον τοῦ ἐρωμένου. ὅτι τῶν καλῶν ἄνωθεν ἐραστὴς ὢν[9] καὶ τιμῶν σφόδρα τὰ κάλλιστα, ἄλλων ἐρώντων καὶ ἀψύχων πολλάκις, αὐτὸς ἠράσθην γε, ἐν ᾧ ὅτι χρηστὸς ἦν, ἐλεύθερος, πρὸς ἀρετὴν νενευκώς· οὕτω γὰρ καὶ συνεῖναί μοι τὸν νέον προὔτρεψα καὶ μετὰ τῶν φιλτάτων συνδιατρίβειν συγκεχώρηκα·[10] ἀλλ' οὐκ οἶδα πόθεν δαίμων ἐπικωμάσας ἐμοὶ καὶ βασκήνας τοῦ ἔρωτος δρᾶμα καινὸν ἐπὶ τὴν ἐμὴν ἐτόλμησεν οἰκίαν. καὶ σιωπῶ τὸ πάθος· τί γὰρ ἐμαυτὸν ὑπομιμνήσκω τὰς συμφοράς; καὶ μᾶλλον ἐμαυτὸν τοῖς λόγοις παροξύνω πρὸς δάκρυα; ἐδεξάμην τὸ πλῆθος, ἀνεῖλον ἄμφω τὰ σώματα· ἐν ᾧ ὅτι καὶ τετόλμηκα ἰδεῖν προςκείμενον τὸν ἐρώμενον ἐπὶ τῆς οἰκίας, καὶ τῶν παιδικῶν αὐτόχειρ ὀνομαζόμενος θανάτων ταύτην λῦσαι προῄρημαι τὴν συμ-

9 Ald. Codd. ἐρασθεισῶν. 10 Ald. Vind. συγκεχώρησα.

φοράν· γνωστέον δὲ ὅτι ἐν ταῖς προςαγγελίαις συντόμους δεῖ μᾶλλον τὰς καταστάσεις ἐργάζεσθαι. ΠΡώτη μετὰ τὴν κατάστασιν ἡ συνήθης ἀντίθεσις· οὐδέν σοι θανάτου πέπρακται ἄξιον. ἭΝ λύσεις ὥςπερ τὰς ἄλλας. ΔΕΥτέρα ἀντιληπτικὴ ἀπὸ τοῦ νόμου τοῦ περὶ τῶν μοιχῶν· ὅτι κατὰ τὸν νόμον ἀπέκτεινας. ἭΝ λύσεις μεταλήψει· ὅτι ἄλλως[11] ἔδει κρῖναι· ἐν γὰρ τῷ ἀνατρέπειν τὴν ἀντίληψιν ἄξιον αὐτὸν μᾶλλον τοῦ θανάτου κατασκευάσει. ΤΡίτη ἀντεγκληματική· ἀλλ' ἄξιος ἦν· ᾧ ἀπαντήσεις δυςχερῶς· ἄξιος ἦν παρ' ἐραστοῦ ταύτην δέξασθαι τὴν σφαγήν· ὡπλισμένον ἰδεῖν τὸν συνήθη καὶ φίλον, καὶ τὰ τοιαῦτα. ΕΙΤΑ τὴν ἐκ τοῦ σκοποῦ ἀνακύπτουσαν ἀντίθεσιν· ἀλλ' ὁ χρόνος σε παραμυθήσεται, 423
ἢ ὅτι λύσει σοι τὸν ἔρωτα ἡ τῶν ἀδικημάτων ὑπόμνησις, ἤ τι τοιοῦτον. ἭΝ λύσεις ἐν τῷ φάσκειν, ὅτι οὐδ' ἕτερον λύσει τὸν ἔρωτα ἢ θάνατος· ἐξετάσεις καὶ τὸν νόμον, ὅτι διὰ τοῦτο κεῖται ὁ τῆς προςαγγελίας, ἵνα ἐπὶ τοῖς ἀνιάτοις ἀποθνήσκειν, εἰ θέλοι[12] τις, ἐπιτρέπῃ, καὶ τὰ τοιαῦτα· ἔστι δὲ καὶ ἀπὸ παραδειγμάτων καθ' ἕκαστον κεφάλαιον πλειόνων εὐπορῆσαι λύσεων. ΜΕτὰ ταῦτα θήσομεν ἐπιλόγους διασκευὴν ἔχοντας τοῦ πάθους καὶ τῆς σφαγῆς καὶ λόγους τοῦ ἐρωμένου, καὶ τὰ τοιαῦτα.

Τρεῖς τις ἔχων παῖδας, τοὺς δύο κατὰ τὸν τῶν ἀκρίτων νόμον ἀπέκτεινεν· ὁ τρίτος ἑαυτὸν προςαγγέλλει.

Σκοπὸς τοῦ ζητήματος οὐχ ὁ φαινόμενος, ἀλλ' ἕτερος· τὸν γὰρ πατέρα πεφόβηται καὶ τὸ ἐλπίζειν αναιρεθῆναι καὶ αὐτόν· διὸ ἀσφάλειάν τινα παρὰ τοῦ πατρὸς ἑαυτῷ πρυτανεύσασθαι βούλεται· τὸ δὲ εἶδος παθητι-

---

11 Ald. ἄλλος. — v. 8. Par. ἀντίθεσιν. ad marg. ἀντίληψιν.
12 Ald. Codd. ἐθέλοι. scripsi εἰ θέλοι.

κόν· ἀδελφοὶ γὰρ δύο παρὰ τοῦ πατρὸς ἀνήρηνται· ὁ δὲ τρίτος ἀποθανεῖν προσποιεῖται· ἵν' εἰ βούλει τὴν ἀσφάλειαν αὐτῷ πρυτανεύσηται· ἡ μὲν οὖν κατάστασις σχήσει τὸν πρότερον βίον τὸν τοῦ πατρὸς οἷος ἦν· καὶ ὅτι εὐσθενεῖν ἐδόκει οἰκίαν, καὶ ὅτι πλήρης ἦν κόσμου, σεμνότητος, ἁπάντων ἡμῶν τὴν πρὸς τὸν πατέρα εὔνοιαν ἀποπληρούντων, καὶ ζητοῦντος τοῦ ἑτέρου ὑπερβαλέσθαι τὸν ἕτερον, καὶ τὰ τοιαῦτα· εἶτα, ὅτι μηδενὸς ὄντος ἐγκλήματος ὁ πρῶτος ἀνήρηται· ἐν ᾧ δυνήσῃ καὶ πομπικώτερον τῷ λόγῳ χρήσασθαι· σχηματίζων [13] τὸν λόγον ἐλεγκτικώτερον, εἰπὲ, πάτερ, ὁ πρῶτος τί δέδρακεν; τί δέδρακεν; τί παρὰ τὴν σὴν τολμῆσαι προαίρεσιν ἀναπέπεισται; τί σοι μὴ καθ' ἡδονὴν οὐ πεπλήρωκεν; ἀλλ' ἐκεῖνος μὲν ἐάσθω εἴτε διαβληθεὶς, εἴτε δαίμονός τινος πονηροῦ τοῦτο πρυτανεύσαντος· εἶθ' ὁπωσοῦν οὐδὲν πολυπραγμονῶ οὐδ' ἐπιζητῶ· τὴν αἰτίαν [14] ἀφίημι· ἀλλ' ὁ δεύτερος, κἂν συγχωρήσω τὸ πάθος ἀναμιμνήσκει μου· εἶτ' ἐλεγκτικῶς χρηματίσας καὶ ἐπὶ τοῦ δευτέρου τὸν λόγον ἐρεῖς· ὅτι διὰ τοῦτο τοίνυν καὶ αὐτὸς ἀποθανεῖν ἐπιθυμῶ, ἵνα μὴ ἔργον γένωμαι πατρός· ἐν ᾧ ἁπλᾶ ποικίλα θήσεις· σχήσεις, πάτερ, μόνος σου τὴν οἰκίαν· οὐδεὶς ἔτι σοι διοχλήσει παῖς. ΠΡώτη μὲν οὖν μεταληπτικὴ ἀντίθεσις· οὐδέν σοι θανάτου πέπρακται ἄξιον. ἩΝ λύσεις ὁμοίως ταῖς ἄλλαις, τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους· καὶ ὅτι ὕποπτος γέγονας κἀμοί· καὶ ὅτι τοὺς δύο ἀνελὼν οὐδὲν ἐμοὶ ζῆν συγχωρεῖς· καὶ ἡ σφαγὴ τῶν πρώτων συνήθειαν πεποίηκε, καὶ τὰ τοιαῦτα. ΔΕΥτέρα ἀντίθεσις· ἀλλ' ἐξῆν πατρὶ ὄντι καὶ τοὺς παῖδας ἀνελεῖν. ἩΝ λύσεις τῇ περιστάσει καὶ τῷ νόμῳ. ὅτι ἔξεστιν ἐὰν ἁμάρτῃ τι. καὶ ὅτι ὁ νόμος τοῦτο εἰδὼς ὡς εἰλικρινὴς γένοιτ'

---

13 Ald. Vind. σχηματίζειν. Par. σχηματίζων. 14 Par. παιδείαν. ad marg. αἰτίαν.

ἂν δικαστὴς ὁ πατὴρ, τοῦτο προςέταξεν· ἐφ' ὅσον οὖν ὁ πατὴρ οὐδεμίαν αἰτίαν λέγει, περιττὸν τὸ λέγειν ἔξεστι. ΤΡίτη· ἀλλ' ἄξιοι ἦσαν. ῞ΗΝ λύσεις ὁμοίως τῷ διαπορεῖν, τί πρόσθεν ἔδρασαν· τί λόγῳ ἢ ἔργῳ ἐξήμαρτον· τί προςέκρουσαν ὅλως τῷ πατρί· τί δράσαντες ἀνῃρέθησαν· καὶ τῷ ὅτι οὐδεὶς λέγει ὅτι ἄξιος ἦν οὐ προςτιθεὶς τὸ ἁμάρτημα. ΜΕτὰ ταύτην ἐρεῖς, ὅτι μόνος εἶ τῷ πατρί. ῞ΗΝ λύσεις, ὅτι ἀδιάφορον καὶ αὐτό· κἀμὲ γὰρ τυχὸν ὁμοίως ἐκείνοις ἀναιρήσει. ΜΕτὰ ταύτην ἐρεῖς, ὅτι γηροκόμον οὐχ ἕξει μετὰ τὸν θάνατον ὁ πατήρ. ῞ΗΝ λύσεις διασυρμῷ· ὅτι δυνατὸν ἦν ἐφ' ἑκάστῳ τοῦτον αὐτὸν ἀφεῖναι τὸν λόγον, ἀλλ' ὅμως ἀπέκτεινε. ΜΕτὰ ταῦτα θήσομεν τὸν ἐπίλογον, παθητικὸν, πληκτικὸν, ἐν διασκευῇ τῆς ἀναιρέσεως, ἐν ἠθοποιΐα τῶν παίδων, ἐν θαύματι ὅτι οὐκ ἠλέησεν ὁ πατὴρ, ὁρῶν δακρύοντας, ἐλεεινολογουμένους οὐ τῶν ἐκτὸς τῶν πολλῶν διαβολὴν, οὐ τὴν ἀπανθρωπίαν τοῦ πράγματος, ὅτι φύσει πολεμεῖ, καὶ τὰ τοιαῦτα.

**Τὸν εὑρόντα θησαυρὸν διδόναι χιλίας· φιλάργυρος εὑρὼν πεντακοσίας δέδωκε χιλίας, καὶ ἑαυτὸν προςαγγέλλει.**

Σκοπός ἐστι τῷ φιλαργύρῳ, τὰς χιλίας ἀπολαβεῖν· 424
διὸ καὶ προςαγγέλλει ἑαυτὸν, ἵνα τούτῳ θηράσας τὴν ἐκκλησίαν ἀπολάβῃ τὰ χρήματα· ἠθικὸν δὲ διόλου τὸ ζήτημα, ἥ τε τοῦ φιλαργύρου ποιότης ταύτην ἀπαιτεῖ τὴν τάξιν καὶ ἡ τοῦ δεδωκέναι τὰ χρήματα δυςχέρεια· διὸ καὶ προςαγγέλλει ἑαυτόν· καὶ ἦθος οὕτω περιποιεῖ τῷ λέγοντι· ἡ μὲν οὖν κατάστασις καὶ ἐκ τῶν πρώτων διαιρέσεων τῶν ζητημάτων ἐστὶ φανερά· ἡ δὲ τάξις τῶν ἀντιθέσεων τοῦτον ἔχει τὸν τρόπον. ΠΡώτη μεταληπτική· οὐδέν τι θανάτου πέπρακται ἄξιον. ΔΕΥτέρα· κατὰ τὸν νόμον δέδωκας τὰς χιλίας. ῞ΗΝ λύσεις τοῖς ἀπ'

ἀρχῆς ἄχρι τέλους· ὅτι αὐτή ἐστι τῆς προσαγγελίας ἡ πρόφασις· θησαυρόν τις εὑρὼν προςζημιοῦται οἴκοθεν· καὶ νομίζεται μὲν ἑρμαίῳ περιπεσεῖν, προςαπόλλυσι δέ τι καὶ οἴκοθεν, καὶ τὰ τοιαῦτα. ΤΡΙΤΗ· πολλοὶ καὶ ἄλλοι χρήματα ἀπώλεσαν. ῞ΗΝ λύσεις· ὅτι ἄλλου δόξαντες τυχεῖν ἄλλα [15] προςαπώλεσαν. ῞ΗΝ λύσεις· οὐδὲ τοῖς ἔξωθεν περιπεπτώκασι δυςτυχήμασιν [16], οὐδὲ ὄντες φιλάργυροι. ΤΕΤΑΡτη· ὅτι οὐ δεῖ θανάτου τούτου χάριν ἐπιθυμεῖν. ῞ΗΝ λύσεις τῇ ποιότητι· καὶ ὅτι ὅταν τις ἃ νομίζει τίμια ἀπολέσῃ [17], δηλονότι οὐδὲ εἶναι ἔτι βούλεται. ΜΕτὰ ταῦτα θήσομεν καὶ τὸν ἐπίλογον.

Πένης καὶ πλούσιος ἐκ πολιτείας ἐχθροί· λιμοῦ γενομένου ὁ πλούσιος ἔφη θρέψειν τὸν δῆμον, εἰ λάβῃ τὸν πένητα πρὸς σφαγήν· ἐψηφίσατο ὁ δῆμος χρόνον τινά· ὥρισεν ἀφ᾽ οὗ δώσει τὰς τροφάς· ἐξῆλθεν ὁ πλούσιος ἐπὶ σίτου συλλογῇ· οὐκ ἦλθε κατὰ τὸν ὡρισμένον [18] καιρόν· καὶ ὁ πένης ἑαυτὸν προςαγγέλλει.

Σκοπός ἐστι τῷ πένητι λῦσαι τὴν δωρεάν· καὶ γὰρ ἡ προθυμία παρῆλθε· καὶ τὰς τροφὰς οὐδέπω τῷ δήμῳ παρέσχεν ὁ πλούσιος, καὶ πρὸς τὴν ψῆφον ὀνειδίσαι τῇ πόλει προήρηται· ὅτι δὲ παθητικὸν ὅλον τὸ ζήτημα μὴ καὶ περιττὸν εἴη λέγειν. Ἡ Κατάστασις ἔχει τὴν ἀντιπολιτείαν καὶ πλαγίως τὸν λιμὸν γεγενημένον διὰ τὸν πλούσιον· ὅτι σῖτον ἔχων οὐκ ἐπίπρασκεν, ἀλλὰ συνῆγε, καὶ τοὺς θησαυροὺς στενοχωρῶν οὐκ ἐπαύετο· τὸ δὲ τῶν πολιτῶν διὰ τὸν λιμὸν πάθος οὐ πάνυ αὐξήσομεν, θήσομεν γὰρ ἐντεῦθεν ἀντίθεσιν· εἶθ᾽ ὅτι ᾔτησεν ἐμὲ πρὸς σφαγήν· δέδωκε δὲ ὁ δῆμος, οὐχ ἧκε κατὰ τὸν ὡρισμένον χρόνον, καὶ προςαγγέλλω ἐμαυτόν. ΠΡώτη ἀντίθεσις· οὐδέν σοι θανάτου πέπρακται ἄξιον. ῞ΗΝ λύσεις

15 Ald. τυχεῖν. ΑΛΛά. 16 Vind. ad marg. γρ. δυςτυχήματα. 17 Ald. ἀπωλέσῃ. 18 Ald. ὁρισμένον.

ὡς ἔθος. ΔΕΥτέρα μεταστατική, ὁ λιμὸς αἴτιος. ΤΡίτη, ἀπὸ τῆς ἐκδόσεως, ὅτι οὐδὲν πέπρακας ἄξιον παρὰ τοῦ πλουσίου μετὰ τὴν ἔκδυσιν. ῾ΙΙΝ λύσεις, ὅτι τῷ χρόνῳ πλέον ἐκόλασε, καὶ τοῖς τοιούτοις. ΤΕτάρτη μεταστατική· εἰκὸς καὶ ἐπανελθόντα φείδεσθαι. ΠΕμπτη, ἀπὸ τοῦ παραβεβᾶσθαι τὸν χρόνον ἀνεξόμεθά σου ὡς παραβάντος τοῦ πλουσίου τὸν χρόνον. ἐγὼ δὲ ἀπὸ τοῦ χρόνου ἔθηκα τοιαύτην ἀντίθεσιν· λέλυται τοῦ δήμου διὰ τὸν χρόνον ἡ δωρεά· εἶθ᾽ ὅτι ἄλλην ἂν ἔλθῃ δώσομεν.

Πεπρωμένῳ τινὶ ἔχρησεν[19] ὁ θεὸς, ἀναβλέπειν, εἰ ὁ παῖς αὐτὸν ὑπὲρ αὐτοῦ ἐπιδοίη. πυθόμενος ὁ παῖς ἀνῄρηκεν ἑαυτόν· ἀνέβλεψεν[20] ὁ πατὴρ, καὶ μετὰ ταῦτα ἑαυτὸν προσαγγέλλει.

῾Η κατάστασις ἔχει τοῦ παιδὸς τὴν γένεσιν μετὰ σπουδῆς γενομένην, τὸ πάθος τοῦ παιδὸς, τὸν θάνατον. θήσεις δὲ καὶ τὴν ἀρετὴν τοῦ παιδὸς, καὶ τὴν πρὸς τον πατέρα διάθεσιν. ΠΡώτη ἀντίθεσις· οὐδέν σοι θανάτου πέπρακται ἄξιον. ΔΕυτέρα· ἐπείσθη τῷ χρησμῷ ὁ παῖς. ΤΡίτη[21]· ὑπὲρ σοῦ τοῦτο πεποίηκε. ΤΕτάρτη· ἔχει τὴν δόξαν ὁ παῖς. Πέμπτη, ἔδει φυλάττεσθαι. ῞Εκτη· πολλοὶ καὶ ἄλλοι παῖδας ἀποβεβλήκασιν. ᾿Επίλογος.

Δέκα νέοι συνέθεντο τύραννον ἀνελεῖν· ἕνα αὐτῶν λαβὼν ὁ πατὴρ ἐπυνθάνετο τί συντέθεινται· μὴ λέγοντα ἀπέκτεινεν· οἱ ἐννέα ἐτυραννοκτόνησαν, καὶ ἐτιμήθησαν· ὁ πατὴρ τοῦ ἀναιρεθέντος 425
προσαγγέλλει ἑαυτόν.

Σκοπός ἐστι τῷ πατρὶ οὐκ ἀληθῶς ἀποθανεῖν· δῆλον γὰρ ὅτι οὐ τοῦτο προῄρηται, ἀλλὰ τιμηθῆναι παρὰ τῆς πόλεως· ὡς καὶ τοῦ αὐτοῦ παιδὸς κεκοινωνηκότος τοῦ σκέμματος, καὶ τυραννοκτονήσαντος ἂν εἰ περιῆν· οὗτος

19 Vind. ἔχρισεν. 20 Ald. Codd. ἀναβλέψας. 21 Ald. Vind. τρίτην.

γὰρ διόλου τοῦτον ἔχων τὸν σκοπὸν ἐκφαντικῶς αὐτὸν, μᾶλλον δὲ μετὰ παῤῥησίας καὶ τυραννοκτόνον καλεῖ. καὶ διόλου πρὸς τοῦτο τεινούσας ποιεῖται τὰς κατασκευὰς τοιαύτας· ὅθεν καὶ ἡ κατάστασις τῷ πατρὶ τὴν ἀγωγὴν ἔχει καὶ τὴν ἄλλην παίδευσιν, καὶ τὴν τοῦ παιδὸς πρὸς τὸν δῆμον εὔνοιαν· εἶτα ὅτι ἑώρων αὐτὸν μετὰ ταῦτα ὀργιζόμενον πολλάκις, ἑαυτῷ προσομιλοῦντα, ἐπὶ τὸ ξίφος ὁρμῶντα, καὶ τὰ τοιαῦτα· διὰ γὰρ τούτων κατασκευάσεις, ὅτι ἐτυῤῥαννοκτόνει ἂν καὶ αὐτὸς εἰ περιῆν· ἐν οἷς καὶ ἠθοποιίαι τοῦ πατρὸς πρὸς αὐτὸν ἔχουσαι τὴν ἐρώτησιν· εἶτα ὅτι ὡς οὐδὲν ἐμάνθανον ἔξωθεν περιεργαζόμενος, ἔμαθον τὴν συνωμοσίαν· εἶτα ἐπὶ πολὺ αὐτῷ ἐπετέθην· πάλιν αὐτὸν ἐν τοῖς αὐτοῖς ὁρῶν παροξυνόμενον σχήμασιν καὶ πῇ μὲν θερμαινόμενον, πῇ δὲ παρὰ τὴν ἑστίαν ἐπὶ τὸ ξίφος ὁρμῶντα· ὡς δὲ ἐπὶ πολὺ ἐρωτῶν οὐκ ἐμάνθανον, ἀπέκτεινα, οἱ δὲ λοιποὶ ἐτυραννοκτόνησαν, ἃ μηκυνεῖς ὡς οἷόν τε· διὰ ταῦτα ἐμαυτὸν ἀνελεῖν προῄρημαι· διὰ ταῦτα ἐπὶ τὸν θάνατον ἔσπευσα.

ΜΕτὰ τὴν κατάστασιν πρώτη ἀντίθεσις· ἀλλ' οὐδέν σοι θανάτου πέπρακται ἄξιον. ῝ΗΝ λύσεις τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους, παῖδα ἀνελὼν τυραννοκτόνον καὶ τοιόνδε καὶ τοιόνδε ἀκούω, ὅτι οὐδέν μοι πέπρακται θανάτου ἄξιον. Κατασκευάσεις δὲ αὐτὴν διὰ τῶν ἐγκωμιαστικῶν τόπων τοῦ παιδός· εἶτα ἐρωτηματικῶς· τί οὖν ποιήσας ἄρα θανάτου ἦν ἄξιος; καὶ ἐπάγεις εὐτελῆ τινα, ἃ φανερὰν ἔχει τὴν ἐπίδειξιν· ὅτι οὐ δεῖ[22] ἐπὶ τοιούτοις προσαγγέλλειν ἑαυτὸν, ἀλλ' ἐπὶ μεγάλοις τισίν· οἷον παῖδα ἀνελὼν τυραννοκτόνον, παῖδα εὔνουν δημοτικὸν, καὶ τὰ τοιαῦτα· ὁ μέντοι σοφιστὴς Ἱμέριος[23] ἔφη· ταύτην ἐγὼ τὴν ἀντίθεσιν μελετῶν οὐδέποτε ἔθηκα, ἀλλ' ἀεὶ ἔλυσα.

---

22 οὐ δεῖ Ald. Codd. om. 23 Ald. ἵμερος. scripsi Ἱμέριος.

διότι καὶ τὰ τέλη τῆς καταστάσεως ταύτης ἐστὶ λυτικὰ [24] τῆς ἀντιθέσεως. ΔΕυτέρα ἀντίθεσις· ἀλλ' αὐτὸς ἑαυτῷ παῖς αἴτιος ἦν. ΛΎσεις, τοῦτο γάρ ἐστι τὸ χαλεπώτερον· καὶ διὸ μάλιστα πρὸς ταύτην τὴν προσαγγελίαν ἀπήντησα, ὅτι οὐκ εἶπεν, ὅτι τὴν γνώμην φανερὰν οὐκ ἐπέστησεν· ἀλλὰ σιωπήσας ἕτερά μοι δέδωκεν ὑπονοεῖν· καὶ χαλεπάς μοι περὶ αὐτοῦ ὑποψίας παρέσχετο, οὐκ εἰπὼν, οὐκ αἰνιξάμενος, καὶ ὅσα τοιαῦτα· ἰστέον δὲ ὅτι ἐὰν οἱ συνομόσαντες [25] παῖδες ὦσι κρίνοντες τὸν πατέρα φόνου, οὐ τεθήσεται αὕτη ἡ ἀντίθεσις, ἀλλὰ τοὐναντίον οἱ παῖδες ἀποδέξονται. καὶ θαυμάσουσιν αὐτὸν μὴ ἐξειπόντα· καὶ τοὐναντίον ἐπὶ τῇ σιωπῇ ἐγκωμιάσουσιν· ὅθεν καὶ τὰς προοιμιακὰς ἐννοίας τοιαύτας οἱ παῖδες ποιήσονται· ὁ μὲν πρὸ ἡμῶν ὡς ἀληθῶς τυραννοκτόνος καὶ τῇ καρτερίᾳ νικήσας τὴν παρὰ τοῦ πατρὸς ἀπειλὴν παρὰ τὴν ἀξίαν ἀνῄρηται· νῦν δὲ ἐπειδὴ ἀόριστόν ἐστι τὸ τοῦ κατηγόρου πρόσωπον, ταύτην τεθείκαμεν τὴν ἀντίθεσιν. ΤΡίτη ἀντίθεσις· ἀλλ' ἐφοβήθη μὴ ἔκπυστος ἡ συνθήκη γένηται. ΛΎσεις ὅτι οὐχ οἷόν τε ἦν· πατὴρ γὰρ ὢν καὶ εἰς τὰ τοιαῦτα ἐπιτηδεύματα αὐτὸν ἀναθρεψάμενος καὶ τῶν τοιούτων αὐτῷ ἐπιθυμιῶν διδάσκαλος γενόμενος οὐκ ἂν ἐξεῖπεν οὐδὲ τὴν γνώμην ἐδημοσίευσεν. ΤΕτάρτη ἀντίθεσις· ἀλλὰ κοινώσας τοῦ σκέμματος παραμυθεῖταί σου τὴν συμφοράν· ἢ οὕτως· ἀλλὰ καὶ αὐτὸς τῇ προαιρέσει τυραννοκτόνος γεγένηται· αὕτη δὲ ἡ ἀντίθεσις οὐχ ἁπλῶς ἐτέθη, ἀλλ' ἀπὸ τοῦ σκοποῦ· διὸ καὶ δοκῶν λύειν μᾶλλον αὐτὴν κατασκευάσει ὡς ἀληθῶς τοῦ παιδὸς τυραννοκτονήσαντος. Ὅτι οἶδα μὲν καὶ αὐτὸς ὅτι εἷς τῶν τυραννοκτόνων ἐστὶ καὶ ὁ παῖς ὁ ἡμέτερος· ἀλλ' οὐ διὰ τοῦτο λυπεῖσθαι οὐκ ὀφείλει, ἀλλὰ πολὺ πλέον· ὅτι τοιόνδε καὶ τοιόνδε ὄντα αὐτὸν ἀπεκ-

24 Ald. λυκτικά. 25 Ald. συνωμόσαντες. — v. 23. Ald. παραμηθεῖται.

426 τεινα. ΠΕμπτη ἀντίθεσις, ἀλλὰ παραμυθήσεται. ΛΥσεις ὁμοίως τῇ πρώτῃ· οἶδα μὲν τὸ τῆς πόλεως μεγαλόδωρον, καὶ τὸ πρὸς τοὺς εὔνους φιλότιμον· ἐξ ὧν καὶ τοὺς ἑτέρους παῖδας τετίμηκεν, ἀλλὰ τί μοι τῆς δωρεᾶς ὄφελος; ποῖον κέρδος τῆς ἀμοιβῆς; ποία παραμυθία τοῦ γήρως τοῦ παιδὸς κειμένου· ἑνὸς οὐ τῶν τυραννοκτόνων τετελευτηκότος, μέλλοντι ἐν τάφῳ διάγειν, θρηνεῖν, δακρύειν τὸν παῖδα. ΕΠίλογος πάθους μεστὸς καὶ συνεχῶν τῶν ἀνακλήσεων· καὶ ὅτι διὰ τάφου, διὰ τῶν χοῶν τῷ παιδὶ ἀπολογήσομαι· καὶ ὅτι τὸν τάφον οἰκήσω· καὶ ὅτι τάχα που παρέστηκε· καὶ ὅτι ἀπελογήσω [26], παῖ, διὰ τῶν συνωμοτῶν. καὶ ὅτι ἀπελογήσατο τὰ ἔργα ὑπὲρ σοῦ, πέπεισαι ὅτι ἡ συνεχὴς ὀργὴ καὶ ὁ πολὺς ἐκεῖνος παροξυσμὸς καὶ ἡ εὔνοια οὐ δι' ἑτέραν τινὰ αἰσχρὰν ἦν πρόφασιν, ἀλλὰ διὰ τὸν τύραννον, διὰ τὴν πρὸς τὴν πόλιν εὔνοιαν· καὶ ὅτι οὐ χοὰς ἀποδώσω κοινῇ, καὶ ὅσα τοιαῦτα· μετὰ τῶν ἄλλων παίδων τάφον ἐγείρω πολύτιμον· ἅπαντα ὅσα προσῆκον, εἰκόνα γράψω ἐν τῷ τυραννοκτόνου σώματι· διὰ τούτων σοι, ὦ παῖ, τῶν ἔργων ἀπολογήσομαι.

Σὺν δυσὶ παισὶν ἀριστεύσας τις ἐδεῖτο ἑτέρου παραχωρῆσαι τῷ ἀδελφῷ τοῦ γέρως· μονομαχήσας ἀπέκτεινε τὸν ἀδελφόν· καὶ ἐξίσταται τῷ πατρὶ δωρεᾶς· ὁ δὲ ἀξιοῖ μονομαχεῖν.

Σκοπός ἐστιν ὀνειδίσαι τῷ πατρὶ τὴν ἀδελφοκτονίαν· καὶ ὅτι οὐκ ἐπείσθη τῷ πατρί. διὸ καὶ ἡ κατάστασις αὐτῷ μετὰ τὴν ἀγωγὴν καὶ τὸν πόλεμον καὶ τὴν ἀριστείαν ἐν ἠθοποιΐαις ἔχει τὴν συμβουλὴν, τὴν περὶ τοῦ δεῖν παραχωρῆσαι τῆς δωρεᾶς· εἶθ' ὅτι οὐκ ἐπείσθη συμβουλεύοντι· ἃ βαρυτάτως ἐρεῖς λέγων, ὅτι ἔφην· τί

ταῦτα

26 Par. ἀπελολογήσω. Vind ἀπολογήσω.

ταῦτα, ὦ παῖ, οὐ πείθῃ περὶ τούτων τῷ πατρὶ, οὐδὲ παραχωρεῖς ἀδελφῷ, ἀλλ' ἀδελφοκτόνος ὀνομάζεσθαι θέλεις· ἐν οἷς αὐξήσεις μετὰ τὴν μονομαχίαν τὴν συμφοράν· ἔτι δὲ καὶ τὰ ἐν τῇ μονομαχίᾳ γενόμενα πάθη ἐκφράζων πληγὰς, σχήματα, ὀργὰς, πτώσεις, καὶ ὅσα τοιαῦτα· εἶτα ἡ κατὰ τὸν νόμον ἀξίωσις τοῦ πατρός. ΠΡώτη ἀντίθεσις ἐκ διανοίας τοῦ νόμου· ὁ νόμος εἶπε μονομαχεῖν ἂν βούλωνται [27]. ΛΥσεις τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους· νῦν οὖν οὐ προήρησαι, ἀλλ' ὅτε ὁ ἀδελφὸς ἦν, πολλὴν ἐπεδείξω τὴν προθυμίαν· νῦν δὲ περὶ τοῦ πατρὸς ἀναχαιτίζεις τὴν μάχην. Δευτέρα ἀντίθεσις, ἐξῆν μοι μὴ πείθεσθαί σοι. Ἡ ΛΥσις μεταληπτική· ἐγὼ δὲ πρώτην ἀντίθεσιν εἶπον ἐκ διανοίας, ὅτι οὐ δεῖ πατράσι μονομαχεῖν, πολλῷ πλέον οὐδὲ ἀδελφοῖς [28]. δεῖ οὖν, φησὶ, διάνοιαν τοιαύτην λαβεῖν, ἥ τις καὶ τὸ πρῶτον ἰσχυρὸν ἐᾷ, καὶ τὸ νῦν μὴ θέλειν οὐκ ἀναιρεῖ. πῶς οὖν ἐρεῖς, φησὶν, ἂν θῇς οὕτω τὴν διάνοιαν· νόμος δέδωκε [29] μονομαχεῖν ἂν [30] βούλωνται. τὴν δευτέραν εἶπον ἀντιληπτικήν· ἔξεστι παραχωρεῖν μοι τῆς δωρεᾶς· ὁ δὲ εἶπεν, οὕτω μᾶλλον ἔξεστίν μοι μὴ πείθεσθαι, διότι παρακληθεὶς οὐκ ἀνεχώρησε. καὶ διὰ τοῦτο [31] νῦν ὁ πατὴρ ἀξιοῖ μονομαχεῖν. ΤΡίτη ἀντίθεσις· ἔδει κἀκεῖνον παρακαλεῖν. Ἡ ΛΥσις, ὅτι οὐκ ἂν [32] ἤκουν ἐγώ. εἶτα ὅτι [33] καὶ πολλῷ προτιμότερος ἦν ὑπὲρ τοῦ ἀδελφοῦ [34] παρακαλῶν· καὶ ὅτι ἡ φύσις ἱκανὴ ἦν δυσωπῆσαι· καὶ ὅτι τοῦτο θαῤῥῶν οὐκ ἠξίωσα, καὶ ὅσα τοιαῦτα. ΥΠὲρ τῆς εὐδοξίας ἐποίησα. Ἡ Λύσις μετὰ διασυρμοῦ· τί οὖν κωλύει καὶ

---

27 Ald. βούλονται. h. l. et v. 18. 28 Ald. Vind. Par. ἀδελφῷ. Med. ἀδελφοῖς. 29 Ald Vind. ἔδωκε. Med. δέδωκε. Vide quae notavimus ad T. I. p. 513. 30 Par. ἦν. supra η est α. 31 Ald. Vind. τοῦτον. Med. Par. τοῦτο. 32 ἂν Med. om. 33 ὅτι Med. om. 34 ἀδελφοῦ Ald. Vind. Par. Ven. per lacunam om., est in Med.

νῦν πρὸς τὸν πατέρα μονομαχεῖν ὑπὲρ τῆς εὐδοξίας; ἐπαχθὲς, νεμεσητὸν, ἀμφοτέροις μονομαχεῖν. Ἢ οὕτως ἀπαραμύθητος ἡ συμφορὰ, ἀδελφῷ καὶ πατρὶ μονομαχεῖν. Ἡ ΛΥσις, ὅτι τὴν ἀρχὴν οὖν οὐκ ἦν νεμεσητὸν, ὅτι τὸν ἀδελφὸν ἑώρας ὑπὸ τῆς σῆς ἀναιρούμενον δεξιᾶς, καὶ ὅτι σὺ τὴν ἀρχὴν δέδωκας. καὶ εἰ τὸ πρᾶγμα νεμεσητὸν, ἀλλ' οὖν γε σὺ τὴν αἰτίαν παρέσχες. ΕΠίλογος παθητικὸς πρὸς τὴν μονομαχίαν ὀνειδιστικὸς ἐν τῷ λέγειν. καλέσω τὸν ἀδελφὸν, αὐτός μοι μαχομέ-
427 νῳ παρασταθήσεται. δεῦρο, παῖ, ὁπλίσθητι πάλιν τὴν δεξιάν· μὴ νομίσῃς δειλίᾳ νενικῆσθαι[35] τὸν ἀδελφόν· ᾐδέσθη τὴν φύσιν, καὶ τὰ τοιαῦτα.

ΤΟΝ ΛΙΠΟΝΤΑ ΤΗΝ ΤΑΞΙΝ μονομαχεῖν, καὶ τοὺς νικήσαντας φεύγειν.

Πένης μετὰ δύο υἱῶν ἔλιπε τὴν τάξιν. ἐμονομάχησε καὶ ἐνίκησεν· καὶ πλούσιος ἐχθρὸς ἠριστευκὼς αἰτεῖ γέρας μένειν αὐτόν· ὁ δὲ φεύγειν ἀξιοῖ.

Κατ' ἀντινομίαν ἐστὶν ἡ ὕλη τοῦ ζητήματος· διὸ καὶ κατὰ τὴν διαίρεσιν πῇ μὲν συγκριτικῶς προάξεις τὰς ἀντιθέσεις, πῇ δὲ ἀπὸ τοῦ πάθους τῶν παίδων· ἀφορῶν ὅτι τὸ φεύγειν ἀντὶ τῆς τιμωρίας νενομοθέτηται· ὁ δὲ σκοπὸς μένειν ὡς ἀληθῶς ἐν τῇ πόλει τὸν πένητα· βούλεται γὰρ ἐχθρὸς ὢν ἐν τοιαύταις ἂν καταναλίσκεσθαι συμφοραῖς· ἡ δὲ κατάστασις πολλὴν ἔχει τὴν μεταχείρισιν.[1] ἐσχηματισμένως γὰρ προάξεις τὸν λόγον, πῇ μὲν δοκῶν ὑπὲρ τοῦ πένητος ταύτην αἰτεῖν τὴν δωρεὰν, πῇ δὲ λανθανόντως ἐμφαίνων τὸ διάφορον· εἶτ' ἐπάξεις τὸ λιπεῖν τὴν τάξιν κατὰ βαρύτητα· καιρὸν γὰρ ἔχει νῦν καὶ ἐν ἠθοποιΐας σχήματι εἰπεῖν, ὅτι ἐθαύμασα τὸν δημοτικὸν, τὸν εὔνουν ὀνομαζόμενον λιπόντα τὴν τάξιν· ἐν οἷς

35 Ald. νενικεῖσθαι.   1 Ald. μεταχείρησιν.

εἶπον πρὸς ἐμαυτόν· τί ταῦτα; ὁ πάντας ἀκριβῶς τοὺς νόμους εἰδώς, ὁ τοὺς ὡς παρανομοῦντας πολιτευομένους γραφόμενος, ὁ δημοτικός, ὁ φιλόπολις, ἐπεὶ [2] τὴν αὐτοῦ δόξαν ἐξήλεγξε, πῶς λιπεῖν τὴν τάξιν ἐτόλμησε; καὶ τὰ τοιαῦτα· αἰτήσεις τὴν δωρεὰν μετὰ τὴν κατάστασιν. ΠΡώτη ἀντίθεσις· ὁ νόμος δίδωσι λαβεῖν ἣν [3] βούλομαι δωρεάν. Ἡ ΛΥσις μεταληπτική, ἀλλ' οὐ παράνομον· ἀλλ' οὐ λυμαινομένην δόγμασιν· οὐ γὰρ πᾶσαν ἁπλῶς ἔξεστιν αἰτεῖν· ἢ [4] γὰρ ἂν οὗτος καὶ κατάλυσιν αἰτήσῃ τῶν νόμων, καὶ τὰ τοιαῦτα· εἶτα ἐπειδὴ ἡ ὕλη ἀντινομικὴ ἐκ συγκρίσεως, θήσεις τῶν νόμων τὴν δευτέραν ἀντίθεσιν. ἀλλ' ὁ τοῦ ἀριστέως νόμος προτιμότερος. ἀλλ' ἐπίσης κατὰ τὴν ἰσχὺν εἰσιν ἅπαντες. καὶ οὐκ ἐὰν τὸν σόν τις φυλάξῃ νόμον, [5] οὗτος οὐ παραβέβαται· ἔξεστι δὲ καὶ τοῦτον φυλάξαι, καὶ σὲ λαβεῖν δωρεὰν ἣν βούλει. ἐν οἷς καὶ τὰ πάθη κινήσεις ὅτι μέρος ἐγένετο τοῦ νόμου· ἐμονομάχησα, τοὺς παῖδας ἀνεῖλον· ἐνίκησα νίκην, τραγῳδίας ὑπόθεσιν, καὶ κατὰ μὲν τῶν πολεμίων οὐκ ἴσχυσα ταύτην τὴν νίκην ἄρασθαι. κατὰ δὲ τῶν νέων νικηφόρος γεγένημαι· ἔασον οὖν καὶ τὰ ἀκόλουθα κυρωθῆναι τοῦ γράμματος. ΑΛΛὰ κατὰ τὸν νόμον πεποίηκας. Ἡ ΛΥσις κατὰ συνδρομήν. τούτου γάρ φημι, ὅτι γενομένης μοι ταύτης κατὰ νόμον τῆς συμφορᾶς· τὸ μένειν οὐκ ὀφείλει μοι γενέσθαι παράνομον, αὐτάρκη δέδωκας δίκην. Ἡ ΛΥσις κατὰ διασυρμόν· ὅτι ἐχθρὸς ὢν ἐλεεῖς καὶ φιλανθρωπεύῃ τὸν πένητα. καὶ κόρον τῶν ἡμετέρων λαβὼν συμφορῶν μέχρι τούτου ἵστης μοι τὰς συμφοράς, καὶ τὰ τοιαῦτα· οὐδείς σοι ὀνειδιεῖ· καὶ πῶς οἷόν τε, εἰ μὴ καὶ τὴν μνήμην ἀφαιρεθήσονται πάντες ἄνθρωποι· ἀλλ' ἂν ὀλίγη μοί τις ὑπάρξῃ διαφορὰ εἰς τὰς συμφοράς, εἰ προσφέρουσιν ἅπαντες τὸν παιδοκτόνον, τὸν λιπόντα τὴν

2 Ald. Codd. ἐπί. 3 Vind. ἣν βούλωμαι. Par. ἣν βούλωμαι. 4 Ald. εἰ. Vind. Par. ἢ. 5 Ald. Codd νόμος.

τάξιν ὀνομάζοντες. Εἶτα ὅτι ἀφόρητα ταῦτά ἐστι, καὶ τὰ τοιαῦτα χρησιμεύσει τῇ πόλει. Ἡ ΛΥσις στοχαστική. καταπονηθέντα καὶ συντριβέντα τοῖς πάθεσιν, πῶς ἔτι εικος χρήσιμον γενέσθαι τῇ πόλει. Ὁ ΕΠίλογος παθητικός· ὁ δὲ τοῦ πλουσίου φιλοτιμίαν ἔχων, πομπείαν παράγων, εἰς τὰς ἐκκλησίας τὸν πένητα σωφρονεῖν συμβουλεύων, πείθων φρονεῖν μέτρια εἰδότα ὅτι ἡ τύχη πολλάκις οὐκ ἀκόλουθα ταῖς διανοίαις ἡμῖν πρυτανεύεται, καὶ τὰ τοιαῦτα.

Τύραννος τὰ γεννώμενα ἐπώλει, καταλυθείσης τῆς τυραννίδος, ἀξιοῦσιν ἐπὶ τῶν ἀμφικτυόνων οἱ πατέρες τὰς τιμὰς καταθέμενοι ἀπολαμβάνειν τοὺς παῖδας, οἱ δεσμῶται ἀντιλέγουσιν.

Ἔοικε κατὰ διαίρεσιν τοῦτο τὸ πρόβλημα ἐκείνῳ τῷ ὅρῳ· ἐκτίθενται Ἀθηναῖοι ἐπὶ τῶν [1] τριάκοντα, καὶ
428 καθαιρεθείσης τῆς τυραννίδος αἰτοῦσι τὰ βρέφη· σκοπὸς δὲ οὐδεὶς ἕτερος ἢ ὁ φαινόμενος. Ἡ Κατάστασις ἔχει τὴν πολιτείαν καὶ τὴν ἐν αὐτῇ ῥᾳστώνην. εἶτα μετὰ τῆς προσηκούσης κατασκευῆς τὴν τυραννίδα· ἐν ᾗ θήσεις καὶ τὰς γινομένας δι' αὐτὴν συμφοράς. εἶτα τὴν πρᾶσιν τῶν βρεφῶν· εἶτα τοὺς δεξαμένους τὴν αἴτησιν. ΠΡώτη ἀντίθεσις· ἀλλ' ἐπριάμεθα, φασὶ, τοὺς παῖδας τοῦ τυράννου πωλήσαντος. ἔοικε δὲ ἡ ἀντίθεσις αὕτη τιθεμένη πολλάκις ἐν πολλοῖς ζητήμασιν, ἀλλ' ἔδοξεν ἅπαξ. ὅθεν καὶ ἡ λύσις ἀμφοτέραις μία μεταληπτική. ΕΠρίασθε, ἀλλ' οὐ τοῦτο δεῖ ζητεῖν εἰ ἐπρίασθε, ἀλλ' εἰ καλῶς καὶ προσηκόντως νῦν ἔχετε, καὶ τί κωλύει λαμβάνειν, εἶτα ἀποδοῦναι τοῖς οἰκείοις; καὶ ὅσα τοιαῦτα. Δευτέρα ἀντίθεσις. ἀλλ' ὑπὲρ ὑμῶν πεποιήκαμεν. ΛΥσις μεταληπτική· ἔδει οὖν εὐθὺς ἀποδιδόναι. ἔδει μὴ ἀναμεῖναι τὴν αἴτησιν· νῦν δὲ οὐδὲ αἰτούντων δίδονται, καὶ τὰ

1 Ald. Codd. τά.

*τοιαῦτα. Τρίτη ἀντίθεσις· ἀλλ' ὡς ἐλευθέροις αὐτοῖς προσφερόμεθα. καὶ πῶς οἷόν τε τοῦτο, ὅπου πᾶσίν εἰσιν ὡς ἀργυρώνητοι φανεροὶ, ὅπου παραμένουσιν ὡς δοῦλοι ὑπηρετούμενοι Οἱ ἐπίλογοι· καλέσει μοί τις τοὺς παῖδας· καλῶς μὲν πεποιήκασιν ὑμᾶς καὶ οὗτοι ὑποδεξάμενοι· ὅμως δὲ ὑμεῖς ἐπίγνωτε τὴν φύσιν, καὶ τὰ τοιαῦτα.*

*Μισθοφόροι τινὲς οὐκ ἔχοντες ἀποδοῦναι μισθὸν γῆν ἔδοσαν· οἱ δὲ πόλιν ἔκτισαν· μετὰ ταῦτα χρημάτων εὐπορήσαντες τὸν μισθὸν ἀξιοῦσι δοῦναι, καὶ τὴν γῆν κομίσασθαι.*

*Σκοπὸς λαβεῖν ἀληθῶς τὴν πόλιν· ἡ κατάστασις ἔχει τοῦ πολέμου αὔξησιν, καὶ τῶν ἐν αὐτῷ γεγενημένων κακῶν, εἶτα τὴν ἐπὶ τοὺς μισθοφόρους πρεσβείαν, ὡς μίαν αὐτοῖς ταύτην οὖσαν μόνην παραμυθίαν, εἰ βοηθήσαιεν. εἶτα ὁμολογία χάριτος. ὅτι ἦλθον προθύμως ἡμῶν ἐπαγγελομένων δώσειν χρήματα. εἶτα οἷα εἰκὸς ἐν πολέμῳ καταδαπανηθέντες, καὶ μὴ ἔχοντες ἀποδοῦναι, διὰ τὸ μὴ βούλεσθαι δοκεῖν τινες τυγχάνειν ἀγνώμονες γῆν ἀντὶ χρημάτων δεδώκαμεν, καὶ τὰ τοιαῦτα. ΠΡώτη ἀντίθεσις· ἀλλ' ἄτοπόν ἐστιν αὐτοὺς τῆς πόλεως ἐκβαλεῖν. ΛΥσεις ὁρικῶς· ὅτι εἰ μὲν τῆς οἰκείας, καλῶς. εἰ δὲ τῆς χώρας τῆς ἡμετέρας, καὶ ἣν ὥσπερ ἀντ' ἐχθροῦ τινος εἰλήφασι, πῶς ἄτοπον τὸ ἐκβαλεῖν;* [1] *εἶτα ὅτι οὐδὲ τοῦτο ἐκβολή ἐστιν ἀλλ' ἀπόδοσις· καὶ τὰ τοιαῦτα. ΑΛΛὰ κύριοι μὲν κεχρῆσθαι ὡς ἠβουλόμεθα τῇ χώρᾳ. καὶ ἔδει κωλύειν τειχίζοντας. ΛΥσις, οὐκ ἂν εἰλήφειμεν ἑαυτοὺς, καὶ περὶ τὰ οἰκεῖα ἠσχολούμεθα γένη. καὶ ὑπωπτεύομεν* [2] *ἔχθραν, καὶ πολλὰ ἦν ἐξ ἀρχῆς ἡμῖν ἐναντιώματα, καὶ ἄτοπον ἦν εὐθὺς μετὰ τὸ*

1 Ald. Vind. *ἐκλαβεῖν*. Par. *ἐκβαλεῖν*. 2 Ald. Vind. *ὑποπτεύομεν*.

λυθῆναι τὸν πόλεμον κωλύειν, καὶ τὰ τοιαῦτα. καὶ μεταληπτικῶς ἐν ἀρχῇ σπείρειν ἔδει, γεωργεῖν, καρποῦσθαι, καὶ τὰ τοιαῦτα· καὶ ὅτι κωλύειν ἔδει εἰ καὶ κακῶς τῇ χώρᾳ ἐκέχρησθε, καὶ τὰ τοιαῦτα. Ἀλλ' οὐκ ἐπὶ τῷ πόλιν ποιῆσαι δεδώκατε. Λύσις· ἀλλ' ἐπὶ συνθήκαις ἄλλαις, ὥστε, εἰ εὐπορήσομεν χρημάτων, τὴν χώραν ἀπολαβεῖν· καὶ φανερὸν ὅτι ἐπὶ τούτῳ δίδομεν, οἱ[3] γὰρ ὁμολογήσαντες δώσειν χρήματα, εἶτα μὴ δόντες διὰ τὸ μὴ ἔχειν δηλονότι εὐπορήσαντες δώσειν ἔμελλον, καὶ τὰ τοιαῦτα. Ἀλλὰ χρήσιμοί ἐσμεν παροικοῦντες ὑμῖν. Λύσεις κατὰ συνδρομὴν, ὅτι οἴδαμεν, ἀλλὰ προσῆκον, μὴ διὰ τὸ δοκεῖν βλάπτειν, καὶ τὴν πόλιν ἔχειν χρησιμεύειν, ἀλλ' οἴκοθεν[4] καὶ διὰ τὴν οἰκείαν προαίρεσιν. Ὁ Ἐπίλογος πραγματικώτερος καὶ ἐναγώνιος.

## ΕΚ ΤΟΥ ΕΝΑΝΤΙΟΥ ΟΙ ΜΙΣΘΟΦΟΡΟΙ.

Ἡ κατάστασις αὔξησιν ἔχει τῆς συμμαχίας, καὶ βαρύτητα τῆς αἰτήσεως τῆς χώρας. ΠΡώτη ἀντίθεσις· ἀλλ' ἥκομεν μισθὸν ἀποδώσοντες· ἢ οὕτως· ἀλλ' ἄξιον ἀποδοῦναι τὴν χώραν, λαβόντας τὰ χρήματα. Ἡ ΛΥσις,
429 ὅτι εἰλήφαμεν τὸν μισθὸν, καὶ οὐκ ἔτι μισθὸς οὗτος, καὶ τῆς χώρας οὐκ ἔστιν ἐκβαλέσθαι δίκαιον. Δευτέρα ἀντίθεσις· ἀλλὰ τὴν γῆν δεδώκαμεν, ἕως ἂν πορισώμεθα[1] χρήματα. ἀλλὰ πίστεως ἕνεκα τὴν χώραν δεδώκαμεν. Ἡ ΛΥσις ἢ οὐ πίστεως· οὔτε γὰρ προειρήκατε, οὔτε διδόντες οὕτως ἐδίδοτε, οὔτε ὅλως ἐνεχύρου λόγῳ τὸ διδόμενον ἦν, ἀλλὰ τῶν μισθῶν ἀπόδοσις. Τρίτη ἀντίθεσις· ἀλλ' οὐκ ἔδει τειχίζειν τὴν μὴ προσήκουσαν. Ἡ Λύσις ὅτι κύριοι ἦμεν, καὶ ἔδει ἡμᾶς τειχίζειν, καὶ κεχρῆσθαι τῇ γῇ καθ' ὃν ἂν βουλώμεθα[2] τρόπον. Ἔδει ἀνακοι-

3 Ald. Vind. εἰ. Par. οἱ. 4 Vind. εἴκοθεν καὶ διὰ τὴν οἰκίαν. 1 Ald. Vind. πορησώμεθα. Par. ποριουώμεθα. 2 Ald. Codd. βουλόμεθα. tum Par. τρόπῳ.

νοῦσθαι. Ἡ λύσις ὅτι περιττὸν ἦν ἅπαξ λαβόντας, ἔχοντας ἐξουσίαν ἀνακοινοῦσθαι περὶ ὧν ὑμεῖς ἐχαρίσασθε. Ἀλλὰ δέος μή τι κακὸν ἐργάσησθε[3] παροικοῦντες ἡμᾶς. Ἡ λύσις στοχαστική· ὅτι οὐκ εἰκὸς τοιοῦτόν τι εἰς ὑμᾶς τολμῆσαι ποιῆσαι, ἀλλὰ καὶ τὸ ἐναντίον εὐποιῆσαι, καὶ καθόλου βουλήσει καὶ δυνάμει κατασκευάσεις τὸ κεφάλαιον. ΕΠίλογος ἐπαγγελίαν ἔχων συμμαχίαν βοηθείας· καὶ ὅτι ἡμᾶς οὐκ ἔτι καλοῦσα περιελεύσεται, ἀλλ' αὐτόθεν ἁρπάσω τὸ ξίφος, τὴν ἀσπίδα λήψομαι, καὶ τὰ τοιαῦτα.

## ΤΟΝ ΥΠΕΡΗΜΕΡΟΝ ΔΟΥΛΟΝ ΕΙΝΑΙ.

Ὑπερήμερος συνέπλει τῷ δανειστῇ· χειμῶνος ὄντος καὶ τοῦ κυβερνήτου τὴν σωτηρίαν ἀπαγορεύοντος, μὴ γενομένης ἐκβολῆς, ἐξέῤῥιψε τὸν ὑπερήμερον ὁ δανειστής· ὁ δὲ σωθεὶς ἀξιοῖ ἐλεύθερος εἶναι. ὁ δανειστὴς ἀντιλέγει.

Ἡ κατάστασις ἔχει τὴν χρῆσιν τοῦ δανείου, τὴν ἀπαίτησιν, ἐν ᾗ καὶ ἠθοποιΐα βάρος ἔχουσα, διότι μὴ ἀπολαμβάνει, καὶ συμβουλευτικά τινα, ὅτι προσῆκον ἀποδοῦναι διὰ τὰς συνθήκας τὰς τῆς προθεσμίας, καὶ τὸν νόμον οἶδας τὸν περὶ τῶν χρεῶν κείμενον, καὶ τὰς τῶν ὑπερημέρων τύχας, καὶ τὰ τοιαῦτα. εἶτα ὅτι ὑπερήμερος ὢν συνῆν μοι, διῆγε, μηδενὸς ἐπαχθοῦς πειρώμενος. εἶτα ὅτι δεῆσαν πλεῦσαι, ἔπλευσε χειμῶνος γενομένου καὶ κινδυνευόντων ἡμῶν ἐξεῤῥίφθη.[1] εἶτα σωθεὶς δουλεύειν οὐ βούλεται, οὐδὲ δεύτερον εὐεργετηθεὶς ἐπίσταται, διὰ τὸ χρέος μὲν ἐν δουλείᾳ σχὼν μηδὲν ἐπαχθὲς, νῦν δὲ σωθεὶς καὶ τὰ τοιαῦτα. ΜΕτὰ τὴν κατάστασιν θήσεις παρὰ τοῦ ὑπερημέρου πρώτην ἀντίθεσιν. ἀλλ' ἅπαξ με, φησὶ, τῆς νεὼς ἐξέῤῥιψας. ΛΥσεις πρῶτον.

---

3 Vind. ἐργάσασθε. 1 Vind. Par. ἐξεῤῥίφη. bis.

ὁρικῶς, ὅτι ἐκριφθεὶς οὐδὲν ἐλευθερίας ἔτυχες. εἶτα ἀντιστατικῶς καὶ ἀντιληπτικῶς. Δευτέρα ἀντίθεσις· ἀλλὰ δι' ἐμὲ ἐσώθητε. ΛΥσεις ἐνστατικῶς, ὅτι οὐ διὰ σὲ, ἀλλὰ διὰ τὴν τύχην· καὶ διὰ τὸ οὕτω συνενεχθῆναι, καὶ ὅσα τοιαῦτα. Τρίτη ἀντίθεσις. ἀλλ' ἡ τύχη με ἔσωσε. ΛΥσεις ὅτι κἀμοὶ πρὸς τὴν δουλείαν ἡ τύχη σε ἔσωσε. διὰ τοῦτο ἄρα πρὸς ἐλευθερίαν ἀποστεῖλαι ὀφείλεις, καὶ ὅσα τοιαῦτα. ΕΠίλογος κοινός.

## ΕΙΣ ΤΟ ΕΝΑΝΤΙΟΝ Ο ΥΠΕΡΗΜΕΡΟΣ.

Ὁ ὑπερήμερος μετὰ βαρύτητος χρήσεται τῷ λόγῳ τὴν τύχην καταμεμφόμενος, ὅτι διὰ πενίαν ὑπερήμερος ἐγένετο. εἶτα χάριν ὁμολογήσαντι τῷ δαίμονι τῷ σώσαντι, ὅτι διὰ τοῦ κατὰ θάλασσαν κινδύνου αὐτὸν εἰς ἐλευθερίαν πάλιν ἐπανήγαγε. ΠΡώτη ἀντίθεσις παρὰ τοῦ πλουσίου. δοῦλος ἐμὸς εἶ. ΛΥσεις ὁρικῶς, ὅτι οὐκ ἔτι δοῦλος ἐκριφθεὶς,[1] καταφρονηθεὶς, ὁ τῇ θαλάττῃ δοθεὶς καὶ τῷ κύματι, δοῦλος ἔτι, καὶ τὰ τοιαῦτα. Δευτέρα ἀντίθεσις· διὰ τὸν κίνδυνον ἔῤῥιψα. Οὐκοῦν ὁμολογεῖς δι' ἐμοῦ τὴν σωτηρίαν εὐτυχηκέναι. ὅτι κινδυνεύων ἀφεὶς ἐμὲ τὴν σωτηρίαν ἀντείληφας, καὶ τιμὴν ἀπέλαβες πολλῷ τιμιωτέραν τοῦ δανείσματος, καὶ ὅσα τοιαῦτα. ΤΡίτη ἀντίθεσις, καὶ σωθεὶς ἐμὸς εἶ. Λύσεις βαρέως, ὅτι καὶ τύχης με ἀφαιρεῖται, καὶ τοῦ συμβεβηκότος ἑρμαίου, καὶ τῆς περιστάσεως με παραδόξου σωτηρίας· ἡ τύχη μοι τὴν ἐλευθερίαν προὐξένησε, καὶ σὺ κωλύεις τὸ εὐεργέτημα, καὶ τὰ τοιαῦτα.

---

1 Vind. Par. ἐκριφεὶς.

## ΑΛΛΑ ΠΡΑΓΜΑΤΙΚΑ ΠΡΟΒΛΗΜΑΤΑ. 430

*Πένης πλουσίῳ ἐξ ἀντιπολιτείας ἐχθρῷ διαλλαγεὶς, τρεῖς υἱοὺς ἔχων ἔδωκε θέσθαι. οἱ δύο ἐπ' ἀμφιβόλοις σημείοις φαρμάκων τεθνήκασιν, αἰτεῖ τὸν τρίτον ὁ πένης.*

Σκοπὸς διαβαλεῖν [1] τὸν πλούσιον ὡς ἐπιβουλεύσαντα τοῖς παισὶ, καὶ διὰ τοῦτο τὴν φιλίαν ὑποκρινόμενον· μικτὸς οὖν ὁ λόγος ἐκ πάθους καὶ βαρύτητος· πάθους μὲν διὰ τοὺς παῖδας· βαρύτητος δὲ διὰ τὸ ἠπατῆσθαι ὑπὸ τοῦ πλουσίου. Τὰ προοίμια μετὰ βαρύτητος. Ἡ Κατάστασις ἐκ τῆς ἀντιπολιτείας καὶ διαλλαγῆς καὶ τῆς τῶν παίδων εἰςποιήσεως καὶ τῶν ἑξῆς ἔχει ἠθοποιΐαν μετὰ βαρύτητος τῆς κατὰ φιλίαν· ἀπὸ τῆς πρώτης μὲν εὐθὺς μετὰ τὴν ἀντιπολιτείαν, ὅτι νενίκητο ὁ πλούσιος· καὶ λοιπὸν ᾤμην χρήσιμον αὐτὸν εἶναι τῇ πατρίδι, ζηλοῦντα τὸν πένητα, καὶ πίστιν ᾤμην εἶναι τούτου τὴν πρὸς ἐμὲ φιλίαν αὐτῷ· ἔχεις δὲ καὶ ἄλλην ἠθοποιΐαν παρὰ τοῦ πλουσίου· προςελθὼν γὰρ εἶπεν, ἐσφάλην, ἔγνων ὅτι τῇ πατρίδι πολιτεύεσθαι δεῖ, τοῖς νόμοις [2] πείθεσθαι, κοινώσασθαί σοι τὰ πάντα βούλομαι. ἐγώ σοι τὸν πλοῦτον, σύ μοι τὸ γένος. ὠφελησάτω τι τοὺς σοὺς παῖδας ἡμῶν ἡ διαλλαγή· ἔστωσαν ἀμφοτέρων υἱεῖς· σοῦ μὲν τῇ φύσει· ἐμοῦ δὲ τῷ νόμῳ· ταῦτ' εἰπὼν ᾤχετο. [3] ἀπώλοντο [4] οἱ δύο. αἰτῶ τὸν λειπόμενον· μετὰ δὲ ταῦτα ἀποστροφαῖς καὶ αἰτήσεσι τοῦ παιδὸς τέως οὐ χρήσεται. ἄκαιρον γὰρ πρὶν τὸν ἀγῶνα κρατεῖν. ἀλλὰ δέδωκας ἅπαξ, καὶ οὐκ ἔστιν οἷόν τε οἰκεῖν. γνωστέον ὅτι καὶ ἐπὶ ταύτης τῆς ἀντιθέσεως ἐμπεριέχεται καὶ τὸ, ὅτι οὐκ ἔξεστιν αἰτεῖν. ἐμοὶ γάρ εἰσιν [5] οἱ παῖδες τῇ ποιήσει. πᾶσα δὲ ἡ τοιαύτη ἀντίθεσις ἐνστατικοῖς λύεται· καὶ ἀγῶνα ἥττονα μὲν ἐν οἷς ἂν τὸ πάθος ἐπικρατῇ, δέχεται δ' οὖν ὅμως

1 Ald. διαβαλλεῖν. 2 Vind. τοὺς νόμους. 3 Par. ad marg. ἔθετο. 4 Ald. ἀπώλλοντο. 5 Ald. Codd. ἐστιν.

διὰ τὸ τῆς ἀντιθέσεως ἰσχυρὸν καὶ φανερόν· ὡς εἰ μὴ τοιοῦτον εἴη, ὁ ἀγὼν ἐπὶ πλέον γενήσεται, τὰ δὲ περιστατικά ἐστιν αὐτὰ τὰ ἐπιγενόμενα. οἷον οὐκ ἐπὶ τῷ ἀπολέσθαι δέδωκα, οὐχ ἵνα τοιαύτην ἐργάσωμαι κατ' ἐμαυτοῦ συμφορὰν, καὶ τὰ τοιαῦτα. ΔΕΥτέρα [6] ἀντίθεσις· εἰκός τινας τῇ φιλίᾳ βασκαίνοντας καὶ διαλῦσαι πειρωμένους ἐπιβεβουλευκέναι. ἩΝ λύσεις μεταλήψει. λέγοντος τοῦ φύσει πατρὸς ὡς φρουρεῖν ἔδει. καὶ οὐκ ἄν τι τοιοῦτον ἔπαθον οἱ παῖδες, ὥσπερ ὄντες παρὰ ἐμοὶ οὐδὲν τοιοῦτον ἔπαθον, οὕτω καὶ παρά σοι ὄντες ἐσώθησαν ἄν. αἱ τούτων ἀφορμαὶ [7] ἐκ τῆς τοῦ πλουσίου χορηγίας εὑρέθησαν. φρουροὺς παιδαγωγοὺς ἐπιστῆναι δυνατὸν ἦν. ΤΡίτη ἀντίθεσις· ἀλλὰ φρουρήσω τὸ λειπόμενον. ΛΥσομεν στοχαστικῶς. ὅτι νῦν οὐκ ἔθ' οἷόν τε γενήσεσθαι φρουράν. ὅτι μὲν γὰρ τοὺς πρώτους οὐκ ἐφρούρησας ὁμολογεῖς· ἀμελήσας δὲ ἐκείνων οὐ δίκαιος εἶ τὸν τρίτον ἔχειν. καὶ ὅτι εἰ τοὺς πρώτους φρουροῦντας ἀλλήλους ἔλαθέ τις, πολλῷ πλέον ὅτε μόνος ἐστὶν ὁ παῖς. ἅπαντα δὲ τὰ ἐπιχειρήματα ἐκ τούτων εὑρήσομεν. ΤΕτάρτη ἀντίθεσις κατὰ ἀντίθεσιν· ὅτι εἰκὸς αὐτὸν παρά σοι ὄντα ἐπιβουλευθῆναι, ταύτην δὲ, ὡς ἔφην, κατὰ ἀναίρεσιν εἴσαγε. διότι καὶ ἀσθενεστέρα δοκεῖ. οὐδὲν γὰρ διαφέρει τῷ πένητι εἰ πάθοι καὶ παρ' αὐτῷ τυγχάνων ὁ παῖς· ὁ γὰρ λόγος ὁ νῦν ὁ περὶ τοῦ δοθῆναι τὸν παῖδά ἐστι, καὶ οὐ περὶ ἑτέρου τινός. ΛΥσεις στοχαστικῶς· εὐλαβηθήσεται πατέρα ὄντα· καὶ ὅτι εἰδὼς ὡς ἡ φύσις ἱκανὸς φρουρὸς, καὶ ὅτι αὐτὸς ἐγὼ δι' ἐμαυτοῦ φρουρήσω, οὐκ ἐπαγόμενος πλούτῳ καὶ περιουσίᾳ, οὐδὲ τρυφῇ, οὐδὲ τῶν τοιούτων οὐδενί. γνωστέον δὲ ὅτι ταῦτα πάντα πανταχοῦ κατασκευάζει κακεμφάτως, ὥσπερ εἴρη-

---

6 Vind. δευτέραν. 7 Ald. Codd. ἀφορμαὶ αἱ ἐκ τῆς τὸν πλούσιον.

ται ἀκολούθως τῷ σκοπῷ. ΠΕΜπτη μετὰ ταύτην ἀντίθεσις· ἀλλ' ἀποστερήσεις πλούτου τὸν παῖδα. Ἡ Λύσις κατὰ ἀντίστασιν· ἀρκεῖ αὐτῷ τὰ παρ' ἐμοί· τουτέστιν εὔνοια πρὸς τὸν δῆμον, καὶ παρ' ἐκείνου αὐτῷ· καὶ ὅτι προτιμοτέρα ἡ σωτηρία τῶν χρημάτων· καὶ ὅτι οὐδὲν ὄφελος αὐτῷ ἀπολλυμένῳ τῶν χρημάτων. καὶ ὅτι 431
δύναται καὶ παρ' ἐμοὶ ὄντι δοῦναι χρήματα. ΕΠίλογος ἐπὶ τούτοις ἔσται παθητικὸς περὶ τῶν παίδων τῶν ἀπολωλότων, ὅτι ἐστέρηται. καὶ παραινετικὸς πρὸς τὸν πλούσιον, ὥστε ἐκστῆναι αὐτὸν τοῦ παιδός· κινήσεις δὲ μάλιστα καὶ ἔλεον ὑπὲρ αὐτοῦ τὴν ἐρημίαν καὶ τὴν πενίαν, καὶ τὸ ἀπαραμύθητον προβαλλόμενος· τοῦτο γὰρ ἐστι τοῦ ἐπιλόγου μάλιστα τὸ κυριώτατον· χρήσεται δὲ καὶ ἐσχηματισμέναις ἠθοποιΐαις, ὡς ἐπὶ τοῦ πλουσίου· θάρσει, ὦ πλούσιε· οὐ περιεργάζομαι τὸν παῖδα. οὐκ ἐρωτῶ πῶς ἀπέθανον[8] οἱ ἀδελφοί, καὶ τὰ τοιαῦτα. καταλύσεις δὲ τὸν ἐπίλογον οὕτως· λαβὼν ἔχω παρ' ἐμαυτοῦ τὸν υἱόν· ὑπὲρ τῆς φιλίας τοῖς κειμένοις ἀπολογησάμενος, ὡς οὐκ εὐτυχῶς αὐτοῖς ἐσπεισάμην· ἂν συγχωρῇ τὸ δαιμόνιον, ἐπιδώσω τὸν τρίτον τῷ βήματι.

*Πατὴρ τριῶν παίδων τοὺς δύο τυραννήσαντας ἀνελὼν αἰτεῖ γέρας, φεύγειν τὸν τρίτον. ἀντιλέγει τις.*

Σκοπὸς οὐκ ἀπολογήσασθαι τῷ πατρὶ, περιττὸν γὰρ, ἐπειδὴ τυραννοκτόνος γεγένηται, ἀλλὰ βούλεται φυλακὴν γενέσθαι τῷ παιδί· καὶ τυχὸν σκοπὸς ὁ φαινόμενος ἀσφαλίσασθαι[1] πρὸς τὸ μὴ τυραννῆσαι τὸν παῖδα τὸ φεύγειν καθεστηκέναι· εἰ γὰρ καὶ μόνον ἔχων, ἔτι διὰ τῆς φυγῆς ὡς εἰπεῖν καὶ τούτου στερίσκεται. ἀλλὰ πλέον φιλόπολις ἢ εἴπερ φιλόπαις ἐκ τῶν ἔργων φαίνεται. διόπερ οὐχ ὑποθετέον ἕτερον αὐτῷ τινα τὸν σκοπὸν, ἢ τὸν

8 Ald. Codd. ἐπέθανον. 1 Ald. Codd. ἀσφαλήσασθαι.

φαινόμενον εἴπερ προείπομεν, συντεινέτω δὴ οὖν αὐτῷ τὰ προοίμια πρὸς τὸ παθαίνεσθαι· τὴν γὰρ αὐτῶν τυραννοκτονιῶν φιλοτιμίαν οἱ τύραννοι παῖδες ὄντες ἐπιθραύουσιν. Ἡ Κατάστασις τὴν ἀγωγὴν ἔχει τῶν παίδων ἐπὶ πλέον παρατείνουσαν, καὶ περὶ τοῦτο διατρίβουσαν μάλιστα. ποιήσει γὰρ οὕτως ἑκάτερον· καὶ ὡς χρηστὸς πατὴρ καὶ ὡς ἅμα φιλόπολις. [2] πρὸς τὸ μηδὲν παρ' αὐτοῦ μοχθηρὰν ἀγωγὴν ἐπιδείκνυσθαι τοὺς παῖδας τετυραννηκότας, ἀλλὰ τύχης εἶναι καὶ βασκανίαν τινὰ δαίμονος τὸν ἐπὶ τυραννίδι τῶν παίδων φόνον. [3] ὅθεν εὔκαιρός τις καὶ ἠθοποιΐα γίγνεται μετὰ τὴν τοῦ πρώτου παιδὸς γεγενημένην ἀναίρεσιν. οἷα τοῖς λειπομένοις προήγγειλεν, ὅπως αὐτοῖς τὸ ξίφος τῆς τυραννοκτονίας ἐδείκνυεν· καὶ ὅλως οὐδὲν ἂν παραλείψειας καθιστάμενος, ὃ μὴ διὰ τῆς παιδοφιλίας αὐτὸν καὶ φιλόπολιν ἀποδείκνυσιν· ἀλλήλοις γὰρ ἄμφω συμπλεκόμενα ὁμοῦ καὶ βαρύτερον ποιεῖ λόγον καὶ ἀνύει τὸ σπουδαζόμενον· ἐπειδὴ δὲ ὑποθετέον αὐτὸν καὶ φιλόπαιδα, τὸ γὰρ μὴ τοῦ τρίτου τὴν σφαγὴν διὰ τῆς φυγῆς ταμιεύεσθαι, πρᾶος ἔστω πρὸς τὸν παῖδα καὶ ὑφειμένος [4] τῷ λόγῳ, καὶ τὸ κέρδος τῷ παιδὶ δεικνύων· οἷον οὐ κατεγνωσμένος ἀπελεύσῃ [5] τῆς πόλεως, ὦ παῖ, νικήσεις [6] διὰ τῆς φυγῆς μετὰ τοῦ πατρὸς τὸν δαίμονα. στῆσον ἡμῖν τὰ δυστυχῆ κατορθώματα· ἀλλήλοις τι διὰ τὴν φύσιν χαρισόμεθα. ἐγώ σοι τὸ μὴ τυράννῳ γενέσθαι διὰ τῆς φυγῆς· σύ μοι τὸ μὴ παιδοκτόνῳ διὰ τῶν αὐτῶν τούτων χαρίζεσθαι δίκαιον. τοιαῦται μὲν αἱ καταστάσεις· αἱ δὲ ἀντιθέσεις εἰσὶ μὲν αἱ αὐταὶ ἐκείνῳ τῷ πλάσματι, ἐν ᾧ πολλῶν ἀπὸ τοῦ γένους τυραννούντων, γράφει τις ἐλαύνεσθαι τὸ γέ-

---

2 Ald. Codd. φιλόπολιν. 3 φόνον Ald. Codd. om. 4 Ald. Codd. ὑφειμένως. 5 Ald. Vind. ἀπελαύσῃ. Par. ἀπελεύσῃ. 6 Ald. Vind. νικήσει. Par. νικήσεις.

νος· πλὴν ὅσον ἐκεῖ μὲν ἐπὶ τιμωρίαν γράφει τὴν φυγὴν, ἐνταῦθα δὲ οὔ. Ἡ τοίνυν πρώτη ἐνταῦθά ἐστιν· ἀλλ' ἄτοπον αἰτεῖς δωρεάν· ἐμπεριέχεται δὲ ταύτῃ τῇ ἀντιθέσει τὸ οὐδὲν αὐτῷ πέπρακται φυγῆς ἄξιον. Ἡ Λύσις κατὰ συνδρομήν· τὸ συμφέρον ἐν τῇ λύσει προβάλλεται· ὑπὲρ πάντων ὁμοῦ, ὑπὲρ τῆς πατρίδος, ὑπὲρ τοῦ παιδὸς, ὑπὲρ ἐμαυτοῦ· αὕτη δὲ ἡ δωρεὰ δίδοσθαι πρέπουσα καὶ τῷ νόμῳ χρήσεται, πρὸς ἀπόδειξιν τοῦ δεῖν λαμβάνειν. εἶθ' ὅτι καὶ πατήρ ἐστι, καὶ δίχα τοῦ νόμου τούτου ἐξουσίαν ἔχει. καὶ οὐδὲν ἐκ τῆς φυγῆς βλάβος, μήτε πονηρίας ἐξεληλεγμένης, μήτε ἑτέρου τινὸς ἐγκλή- 432
ματος· καὶ ὅτι οὐδὲ φεύγειν τοῦτό ἐστιν, ἀλλὰ φυλάξασθαι τῆς τυραννίδος τὸ δέος· τάχα δὲ καὶ μαρτυρία χρηστότητος, ἀτυχίας δὲ τὸ μὴ φεύγειν. Δευτέρα ἀντίθεσις· ἀλλ' εἰκὸς αὐτὸν σωφρονισθῆναι· ἔνθα καὶ εἰ μεθόδως καὶ ὑπὲρ τῶν προτέρων ἀπολογήσεται· ὡς οὐδὲ ἐκεῖνοι τοῦτο βεβούληνται. καὶ πίστις τούτου τὸ δεύτερον ἐπιθεῖναι τῇ τυραννίδι, τοῖς τοῦ προτέρου σωφρονισθέντα πάθεσι. καί τοι οὐδέν ἐστι δεινὸν ὃ ὑπερβαίνει θάνατον. ἀλλ' ὅμως ἐπειδὴ καὶ τοῦτο παράλογον, ὁ δεύτερος τέθυται.[7] δῆλον ὅτι πονηρία τύχης ἐστὶν, οὐ κακίας ἐπιθυμία τῶν παίδων τὸ ἔγκλημα. ταῦτα οὖν καὶ περὶ τρίτου δέδοικα οὐ καταγινώσκων τῆς ὑποθέσεως, ἀλλὰ δεδοικὼς τὴν ἠθοποιΐαν τοῦ δαίμονος· ἐν ᾧ καὶ ἠθοποιΐα ἁρμόσει σοι ὡς ἐν ἀγῶνι σύντομος. ὅτι διὰ τοῦτο μετὰ τὴν τοῦ πρώτου σφαγὴν οὐδὲν περὶ τῶν λειπομένων τούτων ἠξίωσα. ἐλογισάμην γὰρ κατ' ἐμαυτὸν, ὡς ἀδελφοὶ τὴν φύσιν ἀλλ' οὐ τὴν προαίρεσιν· τοῖς πταίσμασι τὸ λειπόμενον σωφρονήσει[8] τοῦ γένους. ὥστε μή μοι τις λεγέτω ταῦτα, οἷα ἀπατηθεὶς ἐδυστύχη-

---

7 Ald. Vind. τέθηται. Par. τέθυται. 8 Vind. σωφρονήσειν.

σα. Δεύτερον. ἀλλὰ συγχωρείτω τὴν χάριν εἴτε πατέρα δυστυχῆ, εἴτε τυραννοκτόνον ἀτυχέστατον, εἶτα ὅ τι καὶ βούλεται τρίτην τις συμφορὰν, ὑποτέμνοντος πατρὸς ἅμα καὶ πόλεως. Τρίτη ἀντίθεσις· ἄλλως αὐτὸν φυλάξομεν. Αἱ λύσεις καὶ φανεραὶ καὶ σύντομοι ἐρωτῶντος τὸν τρόπον τῆς φυλακῆς. βουλομένῳ μαθεῖν ἀκούειν ἐστίν. καὶ ὅτι ὁμολογήσει τῆς δωρεᾶς μείζονα τῷ τρόπον ὑποτιθεμένῳ δι' οὗ καὶ ὁ παῖς μένει, καὶ ἡ πόλις οὐ τυραννηθήσεται. καὶ καθ' ἑκάστην μελετητότερον ποιήσεται τῶν φρουρῶν τὴν ἐξέτασιν· οἷον, τοὺς φρουροῦντας περιστήσομεν. ἀλλὰ ταῦτα μάλιστα ἂν φοβήσειε, μὴ τῆς τυραννίδος αὐτῷ τοὺς φρουροῦντας ὁ δαίμων δορυφόρους παραστήσειε.[9] καὶ τὰ ἀπὸ τῆς ἱστορίας ἀορίστως λέγε· οἷον, ὅτι πολλοὶ φρουρὰς δεξάμενοι ἀορίστως κατέλαβον τὰς ἀκροπόλεις. οὐκοῦν τοῦτο ἐχέγγυον. εἶτα ἐφ' ἕτερον φρουρᾶς τρόπον δήσομεν ἢ καθείρξομεν ἐν οἰκήματι. ἔπαγε λύσεις σχετλιαστικάς· οἷον ἄπαγε τοῦ ῥήματος· τοῦτο τῶν πονηρῶν ἐστιν ἐπιτίμιον, καὶ ἡ φυγὴ αἱρετώτερον· τὸ μὲν γὰρ καὶ πόνον καὶ βάσανον καὶ τὰ τοιαῦτα ἔχει. καθάπερ ἑαλωκὼς ἐπὶ τῷ πονηρῷ τινι ἐπὶ τῷ διδόναι τὴν δίκην διὰ παντὸς γενήσεται. τὸ δὲ τῆς φυγῆς ἅπασιν ἐλευθερίαν ἔχει, ἀποδημίαν ἔχει· ἀποδημίαν εἶναί τις τοῦτο νομίσειε. τύχης ἐστὶν ἔργον τοῦτο οὐκ ἀδικήματος. αἱρετώτερον δὲ τὸ παρὰ τῆς τύχης ἀδικεῖν μᾶλλον, ἢ κατὰ γνώμην δοκεῖν πονηρεύεσθαι, καὶ τὰ τοιαῦτα. Τετάρτη ἀντίθεσις· ἀλλ' ἂν τυραννήσῃ, δώσει τὴν δίκην. Αἱ λύσεις συγκριτικαί· τί αἱρετώτερον τὸ ὑπομεῖναι τὴν πεῖραν, καὶ τὴν δίκην ἀκολουθεῖν, ἢ τὸ ἑκατέραν τὴν ἀρχὴν μὴ γίγνεσθαι; καὶ ὅτι τούτου τὴν πρόνοιαν ἔχει ἡ νῦν αἴτησις τῆς δωρεᾶς· ὁ δὲ λέγων τῇ τυραννίδι ἐπακολουθήσειν τὴν τιμωρίαν, αὐτὴν λέγει τὴν

π ρ
9 Par. καταστήσειε.

ἀνάγκην, δι' ἣν λαβεῖν τὴν δωρεὰν ὀφείλομεν. ἑκατέρᾳ[10] γὰρ τὸ δεινὸν ἀφόρητον, καὶ τῇ πόλει καὶ τῷ παιδί· τῇ μὲν εἰ τυραννηθήσεται, τῷ δὲ εἰ τὴν ἐπὶ ταύτῃ περιμενεῖ δίκην· εἰ δὲ δὴ προσθείη τις, ὃ μή τις θεῶν ποιήσειε, καὶ κατὰ τοῦ πατρὸς γενέσθαι τὴν σφαγὴν, ὅσα δεινὰ, ὅσα ἄτοπα, ἐξὸν πᾶσι χαρίζεσθαι διὰ τῆς δωρεᾶς. Ἐπίλογος πάθος ὁμοίως ἔχει καὶ παραίνεσιν πρὸς τὸν παῖδα, ὅπως ἂν πρᾴως, ὅπως ἂν μὴ χαλεπὸν εἶναι τὸν παῖδα δοκῇ, ἀναμιμνησκόμενος παιδεύσεως, ἀγωγῆς, γενέσεως, συντόμως ταῦτα ἀναφωνικῶς καὶ ἁπλῶς, ἵνα μὴ τοῖς ἐν τῇ καταστάσει περιπίπτοιμεν φανερῶς. καὶ κινήσει καὶ πάθος ἄξιον, καὶ ἱκετεύειν τὸν παῖδα, ἐπιστέλλειν τῷ πατρὶ τὰς ἑαυτοῦ τύχας, τοῦ βίου τὸν τρόπον, καὶ δεήσεις πρὸς αὐτὸν μὴ τοῦ ἀδελφοῦ διηγεῖσθαι τὸν θάνατον, μηδὲ τυραννοκτόνον ὀνομάζειν τὸν φύσαντα. ἀλλ' εἰ δοκεῖ, τὶ καὶ καταψεύδου πρὸς τοὺς ἐρωτῶντας τοῦ πατρὸς, ὡς χαλεπὸς, ὡς ἀπηνὴς, ὡς ἀπαραίτητος, ὡς ἐπὶ 433 τοῖς μικροῖς μεγάλας [πρὸς][11] ὀργὰς τοῖς ἔργοις ἐπιδεικνύμενος, ταύτην λέγε τῆς φυγῆς τὴν πρόφασιν· καὶ ὅτι οὐδὲν τῶν δεόντων ἐπιδείξει· τί μέλλεις, πρὸς ποίαν πόλιν, δοκεῖς,[12] κατὰ νῆσον, κατ' ἤπειρον ποιήσει τὴν φυγὴν ἀνεπαχθεστέραν, ἡ βούλησις, καὶ ὅσα τοιαῦτα. καταλύσεις δὲ οὕτως. ἂν δέ τις γιγνώσκων τὴν δωρεὰν, τὴν αἴτησιν, ταύτης τὴν πρόφασιν τῇ φυγῇ προσφερῇ, καὶ τὰς ἐκ τῆς ἑστίας τυραννίδας ἡμῖν, καὶ τὸν τοῦ τυραννοκτόνου γε πῶς ὀνομάζει τὸν πατέρα· μίαν μοι τῶν πάντων καὶ φεύγων ἀπόδυς τὴν χάριν, τύχης εἶναι μετὰ τῶν κατορθωμάτων λέγε τῆς ἑστίας τὰ σφάλματα.

---

10 Ald. Vind. ἑκατέρα. Par. ἑκατέρας. sed ς expunctum. — v. 9. Ald. δοκεῖ. 11 πρὸς quod est in Ald. Codd. uncis inclusi. Fortasse repetitio est praecedentis πατρός. 12 Ald. Codd. δοκεῖ.

## ΤΩι ΕΚ ΠΡΟΣΑΓΓΕΛΙΑΣ ΑΠΟΘΝΗΣΚΟΝΤΙ παρεῖναι τὸν στρατηγὸν, καὶ διδόναι τὸ[1] φάρμακον.

Ἀποκήρυκτος, στρατηγοῦντος αὐτῷ τοῦ πατρός, ἑαυτὸν προσαγγέλλει.

Ἐσχηματισμένον τὸ ζήτημα· οὐ γὰρ ἀποθανεῖν, ἀλλ' ἀναληφθῆναι βούλεται φοβῶν τῷ νόμῳ τὸν φύσαντα, καθ' ὃν ὁ πατὴρ αὐτὸς ἀναγκάζεται δοῦναι τὸ φάρμακον· ἔχει δὲ ἅμα καὶ ἀπολογίαν λεληθυῖαν ὑπὲρ τῆς ἀποκηρύξεως. δι' ἧς ἀνύει τὸ συναμφότερον· καὶ εἰς τὴν τῆς ἀποκηρύξεως μετάνοιαν ἄγει τὸν πατέρα καὶ ἀποτρέπει πολλῷ μᾶλλον δοῦναι τὸ φάρμακον. ὅπου γὰρ, εἰ καὶ ἦν εὐλόγως ἀποκηρυχθεὶς, παρῃτήσατο ἂν ὁ πατὴρ αὐτὸς διδόναι τὸ φάρμακον, πολλῇς πλέον τῆς ἀπολογίας ὑποτρεχούσης τὸ ζήτημα, τοῦτο ποιεῖν ἀποτραπήσεται· ἀπεκήρυξε μὲν γὰρ, ἀποθανεῖν δὲ οὐ προῄρηται. καὶ γὰρ αὐτὰς ποιοῦνται τὰς ἀποκηρύξεις σωφρονισμοῦ, καὶ οὐχ ἑτέρου τινὸς ἕνεκα· ὁ σκοπὸς τοιοῦτος, ἡ μέθοδος αὕτη· πρὸς τοῦτο τὰ προοίμια. ἐκ τούτων γὰρ τῶν προειρημένων καὶ πρὸς ταῦτα. Ἡ κατάστασις ἀγωγὴν ἔχει τοῦ παιδὸς, φιλοστοργίαν, κηδεμονίαν εἰς ταὐτὸν τοῦ πατρὸς, εἰς εὔνοιαν, ὅπως τε τῆς τῶν πονηρῶν κοινωνίας ἐκώλυεν, οὐ κοινωνοῦντα μὲν, οἷς δὲ πρὸς τὸ εὖ ἔχον ἤγαγε, τούτοις[2] καὶ τὴν ἀρχὴν ὅλως τῆς πρὸς τοιούτους συντυχίας ἀπεκώλυεν· ἐπαινετοὶ ἦμεν ἑκάτεροι ἐν τῇ πόλει· καὶ τὸν μὲν τῆς εὐπαιδευσίας πάντες ἐθαύμαζον· ἐμὲ δὲ τῆς τοῦ πατρὸς εὐνοίας εὐδαιμόνιζεν ἕκαστος· ἐντεῦθεν διέβαλλόν με πρὸς τὸν πατέρα τινὲς χρηστὸν ὄντα, συνήρπασαν τὸν πατέρα· οὗτος ἀνέγνω τὸν νόμον ἐμοῦ σιωπῶντος, καὶ πάντα ἀνεχομένου ποιεῖν, καὶ καρτεροῦντος ὅσα ἂν ὁ δαίμων καὶ ὁ πατὴρ βούλεται.

1 Vind. τόν. 2 Ald. Par. τούτους.

ται. ἐπειδὴ δὲ οὐδὲ ζῆν ἐμοὶ καλὸν τὴν τῶν ἀποκηρύκτων προςηγορίαν ἀτυχήσαντι, καὶ τοῦ πατρὸς πρὸς ὀλίγον κεχωρισμένῳ· στρατηγεῖ δὲ ὁ πατὴρ, καὶ νόμος ἐστὶ τῆς πολιτείας ἡμῶν ἄξιος, ὅπερ ἐστὶ τῷ παιδὶ κεφάλαιον προηγούμενον, ὁ τοῖς δυστυχοῦσιν ἐπικουρῶν. οὐ γάρ ἐστιν ἀποθνήσκειν ἐθέλειν μὴ δυστυχήσαντα· κελεύει δὲ οὗτος ὑπὸ τοῦ στρατηγοῦ τὸν ἀποθανεῖν προῃρημένον λαμβάνειν τὸ κώνειον. τούτου ἕνεκα ἐμαυτὸν προςαγγέλλω· ὁ στρατηγὸς πεισθήτω τῷ νόμῳ, διδότω κατὰ τοῦτον τὸ φάρμακον. ΠΡώτη ἀντίθεσις, ἀλλ' οὐ τοῖς ἀποκηρύκτοις τοῦτο ὁ νόμος δίδωσιν. ΛΥσεις κατ' ἔνστασιν· καὶ τούτοις μάλιστα καὶ αὐξήσει τὴν ἀποκήρυξιν, ὡς πάντων δεινότερον· καὶ συλλογιεῖται ἐκ τοῦ νόμου· ὅτι μάλιστα αὐτῶν δίδωσι τὴν προςαγγελίαν[3] ταῦτα καὶ τὰ τοιαῦτα. Δευτέρα ἀντίθεσις· πολλοὶ καὶ ἄλλοι ἀπεκηρύχθησαν. Ἡ Λύσις τῇ διαφορᾷ· οἱ μὲν κατεγνωκότες καὶ ἔχοντες εἰδέναι τῆς ἀποκηρύξεως τὴν πρόφασιν, καὶ ἐλπίζοντες εἰ σωφρονίσειεν, ἀναληφθήσεσθαι· ἐγὼ δὲ ἐπ' οὐδενὶ ἐγκλήματι, ἀλλ' ἐπὶ βουλήσει πατρός· ἔπειτα ὅτι καὶ τοῖς ἄλλοις ἐξῆς εἰ ἐβούλοντο προςαγγέλλειν ἑαυτούς· νῦν δὲ τυχὸν εἶχον παραμυθίαν τῶν ἀτυχημάτων· δι' ἣν τὸ ζῆν αὐτοῖς αἱρετὸν ἴσως ἐτύγχανεν, ἐμοὶ δὲ ἀφόρητον τὸ γιγνόμενον· ὥσπερ οὖν οὐδεὶς ἐκείνους ἐπὶ τὴν προςαγγελίαν ἰέναι κατηνάγκαζεν, οὕτως οὐδὲ ἐμὲ κωλύειν βουλόμενον εὔλογον· καὶ ἐξ αὐτοῦ δὲ τοῦ νόμου, ὅτι τῷ προαιρουμένῳ δίδωσι τὴν ἄδειαν· οὐκ εἰμί τις πρότερος, ἀνέγνω τὸν νόμον. τὰ 434 αὐτὰ παθὼν ἤδη, καὶ τὸν τοῖς ἴσοις περιπεπτωκότα κεκώλυκεν· κατὰ γὰρ τοῦτον τὸν νόμον ἢ πάντας ἔδει τοὺς ἀφισταμένους τὰ ἴσα ἀπόλλυσθαι, ἢ οὐδένα ὅλως· ἀλλ' ἄτοπον· πολύτροπος γὰρ οὖσα τῶν ἀνθρώπων ἡ φύσις

3 Ald. h. l. et paullo inferius v. 24. προσαγγελλίαν.

τοὺς μὲν εὐχερῶς ἔχει τὰ δεινὰ δυναμένους ὑφίστασθαι. τοὺς δὲ καὶ ἐπὶ τοῖς κουφοτέροις ἀπαγορεύοντας· διόπερ οὐ πρὸς ἑτέρους ὁ νόμος ἀπεῖδεν, ἀλλὰ τῷ βουλομένῳ τῆς τελευτῆς παρέχει τὴν ἄδειαν· ἐπάξεις δὲ καὶ παραδείγματα. οἷον εἴ τις ἠρίστευσεν, ἐπὶ πολλοῖς ἄλλοις προτέροις [4] ἀριστεύμασιν, εἶτα αἰτοίη τὴν δωρεάν· ἆρα τὴν αὐτὴν τῷ προτέρῳ λήψεται, ἢ ἣν ἔχειν αὐτῷ καὶ συμφέρον νομίσειεν; καὶ ἐν ἄλλοις οἷον τῶν ἀνδροφόνων οἱ μὲν ἀειφυγίᾳ, οἱ δὲ δημεύσει, οἱ δὲ θανάτῳ ἐζημιώθησαν· καὶ οὐ πάντες τὴν αὐτὴν ὑπέσχον δίκην· τὸ δὲ πρότερον παράδειγμα δοκεῖ μὴ ἕτερον εἶναι πρὸς τὸ ὑποκείμενον· διότι ἐπὶ κατορθώσαντι εἴληπται· τὸ δὲ προκείμενον θανάτου ἔχει τὴν ζήτησιν. ΤΡίτη ἀντίθεσις· ἀλλὰ σωφρονισμοῦ σου ἕνεκεν ἀπεκήρυξα. ΑΙ λύσεις μεταληπτικαί· ποίου σωφρονισμοῦ, καὶ ἐπὶ ποίοις ἀδικήμασιν, ἢ ποίων ἐγκλημάτων, ἢ ὅτι ἐξῆν ἑτέρως πληγαῖς, ἀπειλαῖς. καὶ ὅτι αὐτὴν τὴν ἀποκήρυξιν ἦν ἀνελεῖν, καὶ ὅτι χρόνου παρελθόντος οὐκ ἐπεκλάσθη πρὸς τὴν ἀτυχίαν, καὶ ἵνα τῷ πατρὶ χαρίσωμαι κρείττω σωφρονισμοῦ τὰ ἐμὰ ἁμαρτήματα· οὐ γὰρ ἂν εἰς τοῦτο ἦλθεν ὁ πατὴρ, εἰ μὴ τηλικαῦτα ἔγνω τυγχάνοντα. ΤΕτάρτη ἀντίθεσις· ἀλλ' εἰκὸς ἀναλαβεῖν. ΑΙ Λύσεις. οὐκ ἂν ἕλοιτο εὐμετάβολός τις καὶ εὐχερὴς εἶναι δόξαι νῦν ἀποκηρύττων, ἀναλαμβάνων ὕστερον. εἰ δ' ἄρα καὶ ἕλοιτο, ἐμοὶ καὶ τῆς ἀναλήψεως ὁ θάνατος αἱρετώτερος· οὐ γὰρ δυνατὸν τὴν τῆς ἀποκηρύξεως ἀνελεῖν ἀδοξίαν καὶ μνήμην· οὐδὲ ἐὰν εἰςποιήσηται [5] πάλιν τῷ γένει τὰ ὀνείδη ἀφόρητα, ἃ πρὸς ἁπάντων ἀκούειν ἐστίν· ἀποκήρυκτος ἐξ ἐλέου πατρὸς ἀναληφθείς· πρὸς δὲ τούτοις ἔτι καὶ πάλιν οἱ διαβάλλοντες, οἱ φθονοῦντες, πάλιν παροξύνου-

---

προ
4 Par. ἑτέροις. 5 Ald. Vind. εἰςποιήσεται. Par. εἰςποιήσηται.

σιν αὐτὸν, καὶ πάλιν ἐπὶ τὴν αὐτὴν ἴσως ἀποκήρυξιν ἐλεύσεται ἔχων τὴν ἐξουσίαν· ὅπου γὰρ τὸ πρῶτον ἐτόλμησεν, δῆλον ὡς καὶ τὸ δεύτερον εὐχερέστερον τολμήσειεν ἄν· ὃ αἱρετώτερον θανάτου, ἐφ' ὃν ἐλήλυθα· δότω οὖν τὸ φάρμακον· περὶ τούτου προςελήλυθα, οὐ περὶ ἀναλήψεως· μηδεὶς λυπείτω τὸν πατέρα, μηδὲ ἀνάγκη ποιείτω τὴν ἀνάληψιν·[6] ἀποκηρύκτου πατὴρ ἀκήκοεν. ὀνομαζέσθω καὶ τοῦ προςαγγείλαντος. ΠΕμπτη ἀντίθεσις· οὐ τοῖς πατράσι κελεύει δοῦναι τὸ φάρμακον. ΛΙ λύσεις ὁριστικαί. ἢ οὐκ εἰμὶ παῖς ἀποκήρυκτος ὤν; καὶ τοῖς τοῦ ὅρου πᾶσι, τελευταῖον δὲ φυλάξει ὁ νῦν νόμος μετὰ τὸ πρῶτον. καὶ ὅτι ὁ νόμος οὐ πρὸς ἓν διώρισεν, τίνι δοτέον, καὶ τίνι μή· εἰ μὲν γὰρ ἔτι παῖς ὢν προςῄειν, καλῶς ἐλέγετο ταῦτα· ἐπειδὴ δὲ ἀποκήρυκτός εἰμι καὶ ξένος τοῦ στρατηγοῦ, οὐ προςηκόντως λέγεται· καὶ ὅτι παραβῆναι τὸν νόμον ἄτοπον. ΕΠίλογος παθητικός· δὸς τὸ φάρμακον, μὴ μέλλε· ἐγὼ δὲ καὶ ἐν προσώπῳ σου καὶ ὁρῶντος ἐμφορηθήσομαι τοῦ φαρμάκου, καὶ ἀντιλήψομαι· χάρισαί μοι τοῦτο τελευτήσαντι· σπεῖσαί μου διὰ τοῦ θανάτου μέσου διάστειλον, τὰ νομιζόμενα ποίησον, μηδαμοῦ καλῶν τὸν ἀποκήρυκτον· ἀπολογήσομαί σοι καὶ τοῖς ἅπασι διὰ τῆς τελευτῆς ἐλεηθήσομαι· ἂν δέ τις λέγῃ,[7] σὺ δέδωκας τὸ φάρμακον, λέγε τὸν νόμον· μὴ λυπηθῇς ἐπὶ τῷ πάθει. γνωστέον δὲ ὅτι μικρός ἐστι καὶ ἄπειρος ὁ ἐπίλογος.

*Πλούσιος ἀριστεύσας ᾔτησε πένητος θυγατέρα πρὸς γάμον· ἔλαβεν· ἀνήρτησεν ἑαυτὴν ἡ κόρη, τὴν ἑτέραν αἰτεῖ· ἀντιλέγει ὁ πένης.*

Δῆλός ἐστιν ὁ σκοπός· οὔτε γὰρ δοῦναι βούλεται, καὶ ὀνειδίσαι τῷ δήμῳ διὰ τὴν προτέραν. τὸ δὲ εἶδος

6 Ald. Codd. ἀντάληψιν. 7 Ald. Vind. λέγει. Par. λέγῃ.

435 τοῦ λόγου παθητικώτερον διὰ τὴν τῆς θυγατρὸς ἀπώλειαν. καὶ πολλῷ πλέον, ὅσῳ καὶ σφόδρα μισῆσαι [1] τὸν τοῦ πατρὸς ἐχθρὸν διὰ τοῦ ἑαυτὴν ἀναρτῆσαι ἐπιδείκνυσι· μετέχει δέ τι καὶ ἀγῶνος τῷ [2] κατασκευάζειν, ὡς εἴληφε τὴν δωρεὰν ὁ πλούσιος. τὴν δὲ νῦν αἴτησιν καὶ διὰ τούτου, καὶ διὰ τοῦ προγεγενημένου πάθους ἀνατρέψαι πειράσεται· ὁ μὲν οὖν σκοπὸς καὶ τὸ εἶδος τοιοῦτόν ἐστι. ΤΑ προοίμια παθητικώτερα· ἐκ τούτων γὰρ καὶ πρὸς ταῦτα ἡ κατάστασις, ἡ ἔχθρα, ἡ πολιτεία· τῶν δύο ἡ ἀριστεία καθαιρουμένη· ἐπὶ τούτοις ἡ αἴτησις, ἣν ἀφηγούμενος καὶ πλήξεις [3] τὸν δῆμον βαρύτερον· τοῦτο δὲ οὐχ ἁπλῶς, ἀλλ' ἐπειδὴ πρὸς τὰ νῦν αὐτῷ κατ' ἀπόῤῥητόν τινα χρησιμεύει μέθοδον· οἱ γὰρ γνόντες ὅτι καὶ ἐπὶ τῆς προτέρας ἐξήμαρτον καὶ φθόνου [4] παραίτιοι τῷ δοῦναι γεγόνασιν· εἰς ταὐτὸ καὶ δεύτερον ὄνειδος ἐμπεσεῖν παραιτήσονται· ἑξῆς μετὰ τὴν κατάστασιν ὁ πένης ἕξει διπλοῦν προηγούμενον. ἓν μὲν ὡς ἔλαβεν· ἕτερον δὲ, ὅτι κύριος ὁ πατὴρ τοῦ δοῦναι καὶ μή· ὃ κατασκευάσει αὐτὸν καταιτιώμενος, καὶ ποιῶν τὸν λόγον βαρύτερον, ὅτι μὴ καὶ ἐπὶ τῆς προτέρας ἀντεῖπεν. ἐδίδου γὰρ αὐτῷ τὴν ἐξουσίαν ἡ φύσις· εἰ μὲν γὰρ ᾔτει ἔκδοτον πρὸς θάνατον ὁ δῆμος τὴν κόρην τοῦ δοῦναι καὶ μή. ἐπειδὴ δὲ πρὸς γάμον, κύριος ὁ πατὴρ τοῦ δοῦναι καὶ μή· οὐ ῥητέον δὲ ταῦτα· ἀλλὰ τούτῳ ἀκολουθοῦντα γράφειν τὸ προηγούμενον· παράδειγμα γάρ ἐστι τοῦ πῶς κύριος ὁ πατήρ. ΠΡώτη ἀντίθεσις· ἀλλ' οὐκ ἐχρησάμην τῇ δωρεᾷ. Ἡ Λύσις· ὅτι πεπλήρωται ὁ νόμος καὶ εἴληφε τὴν δωρεάν· καὶ ἀναγνώσεται τὸν νόμον τὸν κελεύοντα λαμβάνειν μίαν, οὐ πλείους δωρεάς· τοῖς τοῦ ὅρου λόγοις ἑξῆς πᾶσιν ὥσπερ ἀπ' ἀρχῆς ἄχρι τέλους

---

1 Ald. Codd. μισήσας. 2 Par. τό (ῷ). 3 Ald. Codd. πλῆξις. Ald. Vind. φθόνον. Par. φθόνου. — v. 18. Ald. τῷ δοῦναι.

ὁρμωμένου τοῦ πένητος ἐκ τῶν γεγονότων· λέγω δὲ τῆς ἐκκλησίας, τῆς δόσεως, τοῦ ψηφίσασθαι τὸν δῆμον, τοῦ ἀποστερῆσαι τοῦ πατρὸς, τοῦ παρ' ἑαυτῷ λαβεῖν, τοῦ ἀναρτῆσαι ἑαυτὴν τὴν κόρην. ἐκ τούτων κατασκευάσεις τὰ ὁρικὰ πάντα· ἡ γὰρ λύσις ὥσπερ ἔκποθεν ὁρική. ΔΕΥτέρα ἀντίθεσις μεταστατική· αὐτὴ ἑαυτῇ τοῦ πάθους αἰτία. Ἡ Λύσις ὁμοίως μεταστατική· σὺ παρέσχες τοῦ θανάτου τὴν ἐπιθυμίαν γάμον ποιήσας ἐξ ἐπιτάγματος· καὶ ταῦτα συμβαίνοντα τῷ σῷ τρόπῳ· τί γὰρ πένης καὶ πλούσιος· καὶ τὴν ἔχθραν παρίημι, ἥ τις ἐφόβει τὴν παῖδα καὶ ὄνειδος οὐκ ὀλίγον ἐκ τῆς κοινωνίας παρίστη τῷ παιδὶ, ἔκδοσιν νομιζούσῃ καὶ εἰς γάμον τὸ γιγνόμενον πρὸς ἄμυναν ἔχειν πατρῴας πολιτείας ἐνόμιζεν, οὐ πρὸς βίου κοινωνίαν· καίτοι γε εἰ μὴ ἔχθρα ἦν, οὐδ' οὕτως ἐκτὸς ὑποψίας ἦν τὸ πραττόμενον· τὸ γὰρ ἄνισον τῆς τύχης πονηρὰν ἐκίνει[5] τὴν ὑπόνοιαν· ὅτε δὲ καὶ καθ' ἑαυτὸ μόνον ἀφόρητον ἂν τοῖς σωφρονοῦσι τὸ τοιοῦτον δοκῇ, πῶς ταῖς σώφροσιν, ὅταν ἔχθρα προσῇ, τὰ τῆς συνοικίας οὐχὶ καὶ θανάτου βαρύτερα; εἶτα ὅτι ἐκ τῶν φθασάντων δῆλον ὡς δι' αὐτὸν ἐπὶ τὴν ἀγχόνην ἢ τὸν βρόχον ἐλήλυθε· τί γὰρ μὴ πρὸ τούτου ἑαυτὴν ἀνήρτησε; τί δὲ μὴ ἐπεθύμει θανάτου; ἀλλ' ἔμενεν ἐν λιτότητι πενίαν ἀγαπῶσα καὶ βίον· ἔμεινεν[6] ἂν καὶ νῦν κἀμοὶ σωζομένη καὶ τοῖς αὐτοῖς ἤθεσι διοικουμένη καὶ τρόποις, εἰ μὴ τὰ τῆς αἰτήσεως τὴν αἰσχύνην προὐξένει· ὥσπερ οὖν σοῦ μὴ αἰτήσαντος περιῆν ἂν ἐμοὶ καὶ ἐσώζετο, οὕτως ἐπειδὴ διὰ τὴν αἴτησιν ἑαυτὴν ἀνήρτησεν, ὁ τὴν αἴτησιν ποιησάμενος καὶ τῆς ἀπωλείας αἴτιος. εἶτα ἑξῆς· τίς γὰρ ἐρᾷ θανάτου, τίς δὲ ἀπροφασίστως ἐπὶ τοῦτον ἔρχεται, τίς μεγάλου τινὸς ὄντος κακοῦ ἀπαλλαγῆναι τοῦ βίου προῄρηται; καὶ ὅσα τοιαῦτα. οἷον, ὅ τι

---

κίνει.

5 Par. ἐποίει. 6 Ald. ἔμειναν — σωζομένη — διοικουμένη.

καὶ ἐκ τούτων δὲ δῆλον, ὡς οὐκ αἰτεῖν σοι μέτεστι τὴν δευτέραν· ἠμύνω τὸν ἐχθρόν· διείλου πρὸς ἐμὲ τὸ γένος. πάντων πανηγυρισάντων, ἐν θυσίαις ὄντων, καὶ προσόδων γιγνομένων τοῖς θεοῖς· μόνον εἶδες θρηνοῦντα τὸν πένητα, μόνον τὴν σὴν δωρεὰν ὀδυρόμενον. πῶς αἰτεῖς καὶ δευτέραν, ὑπὲρ ἑνὸς τροπαίου δύο δωρεὰς, ὑπὲρ εὐημερίας τινὸς [6*] ἐκ μιᾶς αἰτίας διττὰς κόρας ἐκδότους
436 αἰτεῖς· μὴ πρὸς τοῦ τροπαίου, πλούσιε, φύλαξον ἀριστεύσας τοὺς νόμους, ἰσαρίθμους ταῖς νίκαις [7] τὰς δωρεὰς οἰόμενος, τροπαίῳ καὶ δεύτερον, καὶ λαμπρὸς ἐπανέλθῃς ἀπὸ τῆς τάξεως· αἴτει τότε δευτέραν, μηδὲν τότε τῶν πενήτων τὰς ἑστίας περιεργαζόμενος, τότε προσιὼν τῷ δήμῳ δέχου χάριν ἀδάκρυτον· πλουσίου τινὸς ἀριστέως ζήτει παρθένον, αἴτει καὶ κήρυγμα, δέχου στεφάνους, σιτήσεως ἀτέλειαν. αἴτει πρεπούσας τιμὰς τοῖς κατορθώμασιν· παράδος σου καὶ γραφῇ τὸ [8] κατόρθωμα. ποίει τοὺς πολεμίους ὡς ἦσαν τοῖς ἔργοις μαχόμενοι. δεῖξον καὶ τὴν πόλιν ἐξιοῦσαν μετὰ τῶν ὅπλων καὶ τρέχουσαν καὶ σαυτὸν μετὰ ξίφους τὸν πλούσιον. ποιείτω σε πανταχοῦ τοῖς χρώμασιν ὁ ζωγράφος φαινόμενον, νῦν μὲν ἐξορμῶντα τῆς φάλαγγος, νῦν δὲ κατὰ τῶν πολεμίων χορεύοντα, ἀπιστούμενον ὑπὸ τῶν ὁρώντων ποτέροις μάχῃ, ποτέροις συναγωνίζῃ κατὰ τὸν πόλεμον. ἀλλὰ τί μοι ταῦτα; νῦν αὐτὸς ὑποθήσῃ τῷ ζωγράφῳ τὴν τῶν κατορθωμάτων ὑπόθεσιν ἀκριβέστερον· ἐμὲ δὲ μὴ βιάζου πρὸς δευτέραν τὴν συμφοράν· ἔασον [9] ἀπελθεῖν με τῆς ἐκκλησίας. τὴν μὲν, ἵνα θρηνήσω κειμένην. τὴν δὲ, ἵνα φυ-

---

6* Par. ad marg. μιᾶς. 7 Ald. Codd. δίκαις. scr. νίκαις. ut paullo ante: πῶς αἰτεῖς καὶ δευτέραν, ὑπὲρ ἑνὸς τροπαίου δύο δωρεάς. Vide Epist. crit. p. 43. — v. 10. Ald. Codd. ὀνόμενος, asterisco in Ald. praefixo. 8 Ald. Codd. καί. scr. τό. 9 Par. ἔ ἀπελθεῖν με πρὸς (τῆς) ἐκκ.

λάξω καὶ ζῶσαν ἐπὶ τῆς ἑστίας, εἰ ἔτι καταλάβω μετὰ τὴν αἴτησιν· ὡς δέδοικά γε μὴ μελλόντων ἡμῶν, ὦ πολῖται, καὶ βουλευομένων [10] ἔτι, ὑποπτεύσῃ μὲν ἡ παῖς ἡ λειπομένη τῇ προτέρᾳ τὰ παραπλήσια. φθάσῃ δὲ τὴν ἐκκλησίαν ἑαυτὴν διαχρησαμένη, καὶ μηδέν μοι πρὸς παραμυθίαν ἔτι τῶν πρώην ὑπολειφθῆναι. αἰτῶ χάριν ὑμᾶς καὶ αὐτὸς, ὦ πολῖται, οὐχ οἵαν ᾔτησεν ἀριστεύσας τις πλούσιος· ἀλλ' οἵαν ἂν πένης τυχὸν πρὸς παραμυθίαν λαβεῖν ἄξιος εἴη. [11] τιμήσατέ μου τὴν πολιτείαν ἀτυχήσασαν· δότε μοι κοινωνὸν τοῦ πάθους· ἤρας ἐκείνης, ὦ πλούσιε; ἔασον ὑπὸ τῆς ἀδελφῆς τυχεῖν τῶν νομιζομένων κειμένην· ἀλλήλοις ἐπὶ τοῦ τάφου συγκλαύσωμεν· ἐκείνη μὲν τὴν ἐμὴν πολιτείαν, ἐγὼ δὲ τῆς ἀπελθούσης τὸν θάνατον. ταύτην ὑπὲρ τῶν νόμων, ταύτην ὑπὲρ ψηφισμάτων, ὑπὲρ δημηγοριῶν καὶ πόνων πολλῶν, ὧν ὑπέστην ἐπὶ τοῦ βήματος, χαρίσασθέ μοι τὴν ἄδειαν. μηδὲν παρ' ἡμῶν ἐπιζήτει περαιτέρω, πλούσιε· δίδωμί σοι κἀγὼ μετὰ τὸν δῆμον ἐκ τῆς ἐμαυτοῦ προαιρέσεως, εἰ δοκεῖ, καὶ δευτέραν δωρεάν· οἰκήσω μετὰ τῆς θυγατρὸς τὸν τάφον. θάρσει σιωπήσω λοιπὸν σιωπὴν μακράν· οὐκ ἔτι μετὰ ταῦτα πολιτεύσομαι· ἐν δὲ τῇ θεωρίᾳ ἐπισημήνασθαι δεῖ, ὅτι περιττὸν τὸ τιθέναι· φυλάξω τὴν ἑτέραν. οὔσης τῆς ζητήσεως περὶ τοῦ εἰ δεῖ δοθῆναι· εἰ μὴ γὰρ ἐπαγγελλομένου τοῦ δῆμον ἐκώλυεν, εἰκότως ἂν ἔπιπτεν ἡ τοιαύτη ζήτησις· ἐπεὶ δὲ οὐδὲ αἰτεῖν συγχωρῇ, δῆλον ὡς ἰσχυριζόμενος, τὸ μὴ μετεῖναι δευτέρας αὐτῷ δωρεᾶς· πῶς οὐ περιττὸν παντί τῳ καταφαίνεται τὸ [12] περὶ ταύτης λέγειν.

---

10 Ald. Codd. βουλομένων. scr. βουλευομένων. Vide de hac permutatione ad Rhet. Gr. T. I. p. 34. 11 Ald. Codd. εἶεν. 12 Ald. Codd. τῷ.

ΤΗΝ ΕΙΣΕΛΘΟΥΣΑΝ ΕΙΣ ΤΟ ΓΥΜΝΑΣΙΟΝ ΓΥΝΑΙΚΑ ἔδει κολάζεσθαι· καὶ ἐξεῖναι καὶ μητράσιν ἀκρίτους ἀναιρεῖν τοὺς παῖδας.

Πορνεύοντα τὸν υἱὸν ἐδίωκεν ἡ μήτηρ ἀναιρήσουσα· ὁ παῖς ἔφθη καταφυγὼν εἰς τὸ γυμνάσιον. συνεισελθοῦσα ἡ μήτηρ, διεχρήσατο [1] αὐτὸν ἐν τῷ γυμνασίῳ, καὶ ὑπάγεται νόμῳ.

Ταραχθείη μὲν ἄν τις ὡς ἀντινομίας οὔσης τοῦ πλάσματος, διὰ τὴν ἐν αὐτῷ τῶν νόμων ἐναντιότητα. ὅσοι δὲ ἀκριβέστερον καὶ μετὰ τέχνης κατανοεῖν τὰ τοιαῦτα παιδεύονται, ῥητὸν εἶναι καὶ διάνοιαν χαρακτηριοῦσιν αὐτό· οὐ γὰρ περὶ ἑνὸς πράγματος ἀμφότεροι τοὺς νόμους προβάλλονται, ὅπερ ἐπὶ τῆς ἀντινομίας ἔθος ὁρᾷν, ἀλλ' εἰς τὴν τοῦ δοκεῖν καὶ μὴ παρανενομηκέναι [2] πίστιν, τὰ ἑξῆς ἡ μήτηρ προβάλλεται· λέγω δὲ τὴν τοῦ νόμου διάνοιαν· οἷον, εἰσελήλυθας εἰς τὸ γυμνάσιον οὐκ ἐξόν. ὁ νόμος τὴν ἀπροφασίστως εἰσιοῦσαν, τὴν ἐπὶ τῇ κατασκοπῇ τῶν γιγνομένων λέγει. καὶ
437 εἰς τούτου κατασκευὴν τὸ ὅτι ἐξῆν μοι διαχρήσασθαι τίθησι, καὶ τὰ ἑξῆς· γνωστέον δὲ, ὅτι πᾶν ῥητὸν καὶ διάνοια μετὰ τὴν ἀπὸ τοῦ νόμου πρότασιν καὶ τὴν διάνοιαν, ᾗ τις τοῦτο λύει, κατὰ μίαν τῶν δικαιολογικῶν στάσεων τὴν ἐμπίπτουσαν διαιρεῖται. ὥσπερ καὶ ἐπὶ τούτου τοῦ πλάσματος μετὰ τὴν ἀπὸ τοῦ νόμου πρότασιν, καὶ τὴν ἀπὸ τῆς διανοίας λύσιν. Ἡ ΕΜπίπτουσα στάσις ἐστὶν ἀντιληπτική· ἐξεῖναι γὰρ ἀναιρεῖν ἡ μήτηρ φησί. κατὰ ταύτην οὖν ἡ διαίρεσις· καὶ ἔστιν ὡς ἐν ὑποδείγματος τρόπῳ, τοιάδε τις τοῦ πλάσματος ἡ τομή. ΠΡώτη ἀντίθεσις ἡ ἀπὸ τοῦ νόμου. εἰσῆλθες παρὰ τὸν νόμον εἰς τὸ γυμνάσιον. ΛΥσις τοῦ ῥητοῦ ἡ διάνοια.

---

1 Ald. Codd. ἐχρήσατο. scr. διεχρήσατο. 2 Ald. παρανενομικέναι.

εἰσιέναι κωλύει τοῖς ἐπὶ περιεργίᾳ τὰς ἁπλῶς εἰσιούσας, τὰς ἐπὶ κατασκοπῇ, οὐχὶ τὰς διὰ χρείαν· ὅπερ ἐμοὶ συμβέβηκε· τιμωρήσασθαι δέον ἑταιροῦντα παῖδα, ὡς ἐφίησιν, ὅπερ ἐγὼ πεποίηκα. μέχρι τούτου ἐστὶν ἡ νομικὴ ζήτησις· ἐξῆς γὰρ εἰς τὴν τῆς διανοίας ταύτης κατασκευὴν ἡ μήτηρ τίθησι τὴν ἐμπίπτουσαν στάσιν, ὡς ἐνταῦθα τὴν ἀντίληψιν· ἐρεῖ γὰρ, ἐξῆν μοι ἀναιρεῖν κατὰ τὸν νόμον· εἶτα κατασκευάζων τὴν ἀντίληψιν ἅμα καὶ τὴν λύσιν πλατύνεις, καὶ τὴν διάνοιαν ἰσχυροτέραν ποιεῖς, οὐδὲν μὲν ἔτι τῆς διανοίας προςαπτόμενος. διὰ δὲ τῆς ἀντιλήψεως, ὅτι τὸν νόμον τὸν προβαλλόμενον οὐ παραβέβηκεν, δικαστὴς ἅμα συμπείθεται. ΜΕτὰ τοίνυν τὴν ἀπὸ τῆς ἀντιλήψεως ἐργασίαν θετέον ἀντίθεσιν μεταληπτικήν· ἔδει ἄλλως τιμωρήσασθαι. ἮΝ λύσεις τῷ χρώματι, ὅ ἐστιν ἀντέγκλημα. εἶτα ἐπισυνάψεις τῷ ἀντεγκλήματι [3] Ἑτέραν ἀντίθεσιν, τὴν ὅτι οὐκ ἐνταῦθα ἔδει. ἮΝ λύσεις τῇ συγγνώμῃ λέγων, ὅτι θυμῷ ἐπειςελθοῦσα ἔλαθεν ἐκ τῆς διώξεως. ΜΕτὰ ταῦτα θήσεις τοὺς ἐπιλόγους, ἐρεῖς, ἔχοντας γενναιότητα τῆς μητρὸς καὶ σωφροσύνην πολλὴν, καὶ ὅλως ἀνδρεῖον τὸ φρόνημα, πανταχοῦ ταύτης ὑποστήσασθαι δεῖ.

Ἀριστεὺς ἀπὸ πολέμου ἐπανελθὼν εὗρε τὴν πόλιν λοιμώττουσαν· νόμος [1] ἐντὸς ἡμερῶν τριάκοντα τὸν ἀριστέα λαμβάνειν τὸ γέρας· πανσαμένου τοῦ λοιμοῦ μετὰ τὴν προθεσμίαν αἰτεῖ τὴν δωρεὰν ὁ ἀριστεύς.

Ἔλεος τὸν ἀριστέα καὶ λαμπρὰ τύχη μερίζεται, καὶ τὰ μὲν ἔξω ζηλωτὸς τοῖς κατορθώμασι· ταῖς δὲ λοιμοῦ συμφοραῖς τὴν πομπείαν ἀφῄρηται. τὸ γὰρ ἅμα τῷ τροπαίῳ συμπεπτωκέναι τῶν ἀναγκαίων τὴν ἔνδειαν, καὶ

---

3 Ald. ἀνεγκλήματι. 1 Ald. Vind. νόμον. Par. νόμου. scr. νόμος.

μέχρι τῆς προθεσμίας τῆς κατὰ τὸν νόμον ἐπικεῖσθαι τῇ πόλει, καὶ τὴν χάριν τῆς νίκης ἀμβλυτέραν ἐργάζεται· καί τι καὶ πρὸς εὐσέβειαν καθέστηκεν ὕποπτον· ὥσπερ ἐπιτηδευτοῦ δαιμονίου τὸν λοιμὸν τῆς τιμῆς ἐπιθέντος ἐμπόδιον· ὅθεν αὐτῷ τις καὶ ἀντίθεσις κινηθήσεται· ὡς δέος μὴ τῷ δαιμονίῳ κινήσωμεν ἀγανάκτησιν, τιμῶντες ὃν τιμᾶσθαι τῇ συμφορᾷ [2] κεκώλυκεν· βαρυνόμενος οὖν πάθει καὶ νόμῳ ἐπιεικὴς μὲν ἔσται πρὸς τὴν αἴτησιν. τοιοῦτον γὰρ αὐτὸν ἡ λύσις τῆς ὑποτρεχούσης ὑποψίας καθίστησι. Δημοσθενικῇ δὲ τῇ μεταχειρίσει χρώμενος εἰς τοὐναντίον ὑποστήσει τὴν ὑπονοουμένην καθ' ἑαυτοῦ τῆς τύχης ἐπήρειαν, [3] καὶ καθάπερ ἐκεῖνος τύχης πεποιημένος διαίρεσιν ἰδίας καὶ κοινῆς ἔσχεν ἐν τῷ περὶ στεφάνου εὐνοίας χορηγίας τὸ ἔγκλημα, οὕτω δὲ καὶ ὁ νῦν μελετώμενος δράσει ταὐτὸ διπλῇ τῆς πατρίδος εὐεργέτην αὐτὸν μεθόδῳ δεικνὺς καὶ τοὺς ἔξω πολεμίους κεκρατηκότα τοῖς ὅπλοις, καὶ τὴν κοινὴν τύχην ἰδίοις τοῖς πόνοις ἐπανορθούμενον [4] προνοίᾳ τῇ κρείττονι, ἣν τοῖς θεοῖς διηκονήσατο. Δημοσθενικῶς δὲ καὶ τοῦτο θεώρημα, ἤδη δὲ καὶ εἰ βούλει καὶ Ἀριστείδειον· [5] ὁ μὲν γὰρ ἐν τοῖς περὶ [6] Θηβαίων, ὁ δὲ ἐν τῷ περὶ τεσσάρων αὐτῷ κατεχρήσατο, διακόνους γεγενῆσθαι τοὺς ἄνδρας εἰπὼν εἰς τὰ καλὰ τοῖς κρείττοσι· ταῦτα μὲν οὖν ὡς ἐν συντόμῳ λελέχθω τοῦ πλάσματος. ἡ δὲ λέξις ἔστω, καθάπερ προείρηται, ἐπιεικοῦς

---

2 Ald. συμφωρᾷ. 3 Ald. ἐπήριαν. 4 Ald. ἐπανυρθούμενοι. Vind. ἐπανουρθούμενοι. Par. ἐπανορθώμενοι. 5 Ald. Vind. ἀριστείδιον. Par. ἀριστείδειον. 6 Ald. Vind. παρά. Par. περί. Respicere videtur ad foedus cum Thebanis Demosthenis opera initum, pro cor. p. 291. sqq., praesertim p. 293. ἅ γε μηδὲ πεῖραν ἔδωκε θεῶν τινος εὔνοια καὶ τὸ προβαλέσθαι τὴν πόλιν ταύτην τὴν συμμαχίαν, ἧς σὺ κατηγορεῖς.

μὲν καὶ συναλγοῦντος τοῖς πρότερον· προϊόντος δὲ ἡδομένου καὶ μετρίως, εἴπου καιρὸς ἐμπίπτει, πομπεύοντος.[7] 438
ΤΟ πρῶτον προοίμιον ἐκ περιχαρίας. χάρις μέν, ὦ ἄνδρες πολῖται, τοῖς κρείττοσιν, οἳ καὶ τροπαίῳ δυςφοροῦσαν ἐπὶ τῷ λοιμῷ τὴν πόλιν παρεμυθήσαντο, καὶ καιρὸν εὐγνωμοσύνης παρέσχοντο τὸ δεινὸν ἰασάμενοι· ἐκκλησία γοῦν, ὡς ὁρᾶτε, καὶ βουλευτήριον καὶ δῆμος μανθάνων ἀριστέως προθυμίαν ἅμα καὶ τρόπαιον· ἵνα μὴ τοῦ πολέμου λάθῃ τὰ διηγήματα καὶ τῆς πατρίδος εὐγνώμων τρόπος κηρύττοιτο. εἶτα ἡ κατασκευή· ἐπειδὴ δὲ εἰσί τινες καὶ τοῦ λοιμοῦ καὶ τοῦ πολέμου τῆς βασκανίας δεινότεροι, καὶ τὸν δῆμον ἀγνωμονεῖν βιάζονται, συλλαβὰς μόνον ἀναγινώσκοντες, τὴν δὲ τοῦ νόμου σιωπῶντες προαίρεσιν, ἥκω μὴ συγχωρῆς ἀπατᾶσθαι τὴν πόλιν. εἰ γὰρ ἄτοπον ἀνδρείᾳ τοὺς πολεμίους καὶ κινδύνοις ἐλέγξαντα παριδεῖν ἀναξίους ὀφθῆναι τοῦ κατορθώματος· ὃ παθεῖν οὗτοι βιάζονται τὴν δωρεὰν ἀφαιρούμενοι· δευτέρα ἔννοια· μικροῦ μὲν οὖν οὐδ' ἐπὶ τοῦ παρόντος προςῆλθον αἰτήσων τὴν δωρεάν, αὐτὸν ἀναμείνας τὸν δῆμον μαθεῖν εἰ τὴν οἰκείαν σώζει μετὰ τὸ πάθος προαίρεσιν. τρίτη ἔννοια. ὁ μὲν οὖν ἀντιβαίνων ἡμῖν πρὸς τὴν αἴτησιν μάρτυς ἐστὶ τῆς φιλανθρωπίας τῆς ἐμῆς. οὐ φοβεῖται διὰ τῆς τιμῆς δεσπότην ἀριστέα γιγνόμενον. Ἡ Κατάστασις δήλη· ἔστι γὰρ ἡ εὔνοια τοῦ ἀριστέως, καὶ φθόνος τοῦ δαίμονος, καὶ σύντομος διατύπωσις. Ἡ ΠΡώτη ἀντίθεσις· ἔδει πρὸ τῶν τριάκοντα ἡμερῶν αἰτεῖν. ΛΥσεις ἐπὶ τὸν λοιμόν· ἡ μετάστασις αὐξητικῶς πάνυ· αὕτη γὰρ τοῦ μὴ αἰτῆσαι ἡ πρόφασις· δῆλον δέ, ὅτι προταξάντων ἡμῶν τὰς διανοίας τοῦ νόμου, ὅτι ὁ νόμος ἐὰν οὐδὲν κωλύῃ, καὶ ὅτι ἵνα λαμβάνωσιν ἐπάναγκες, οὐχ ἵνα μὴ μετὰ ταῦτα ἀποστερῶνται· εἰ γὰρ τοῦ-

---

7 Ald. Vind. πομπεύοντες. Par. πομπεύοντος.

το ἐδόκει τῷ νομοθέτῃ, εἶπεν ἂν προςθεὶς μὴ λαμβάνειν ἔτι μετὰ τὴν προθεσμίαν· νῦν δὲ, ἵνα καὶ ἐπὶ σχολῆς αἰτῶσιν ἃ βούλονται,[8] καὶ ἵνα καὶ προςπίπτοντα παραμυθῶνται[9] ταῖς δωρεαῖς, ὅσα συμβαίνει πολλάκις, ὁ νόμος τὴν προθεσμίαν ὥρισεν, ὥσθ' οἷς καθ' ἡμῶν τις ἀναγινώσκει τὸν νόμον, τούτοις ἡμῖν λανθάνειν συνηγοροῦντα δεικνύς· ταῦτα πρῶτον μετὰ τὴν ἀντίθεσιν. εἶτα ἡ εἰς τὸν λοιμὸν μετάστασις αὐξητικῶς, δι' ἣν αἰτίαν προείπομεν, μετὰ τὴν ἀντίθεσιν. 'Αλλ' ἡ τύχη αἰτία. Ἡ ΛΥσις κατὰ τὴν τῶν τυχόντων διαίρεσιν. πῶς οὖν ἠρίστευσα δυστυχῶν;[10] πῶς δὲ ἡ ἰδία τύχη τῆς κοινῆς κεκράτηκεν, ἡ μικρὰ τῆς μείζονος; καὶ ὅσα Δημοσθένης περὶ τύχης διεξῆλθεν. ΑΛΛη ἀντίθεσις· ἀλλ' εἰκὸς ἀγανακτῆσαι τὸ δαιμόνιον, εἰ τιμήσομεν ὃν τιμᾶσθαι τῇ συμφορᾷ κεκώλυκεν. Ἡ ΛΥσις στοχαστική· δῆλον καὶ αὐτὸν τὸν ἀριστέα μόνον κακῶς διέθηκεν· εἴ γε διὰ τοῦτο ἠγανάκτει, καὶ τὸν λοιμὸν διεκίνησε,[11] καὶ μετὰ τὴν ἀριστείαν ἐπανελθεῖν ἐκώλυσε. ΜΕτὰ ταῦτα ὁ ἐπίλογος κοινός.

## ΝΟΜΙΚΩΝ ΡΗΤΟΥ ΚΑΙ ΔΙΑΝΟΙΑΣ.

Αἱ νομικαὶ κοινῇ πᾶσαι μίαν ἔχουσι συνεζευγμένην τῶν λογικῶν στάσεων· ὃν τρόπον ἐπὶ τῆς παραγραφῆς φθάσαντες ἐπεδείξαμεν· διὸ κἀνταῦθα μία ἡ τῆς συνεμπιπτούσης στάσεως ὑπάρχει διαίρεσις μετὰ τὸ πρῶτον κεφάλαιον τὸ τῆς ὑποκειμένης στάσεως ἴδιον· ἐπὶ μὲν γὰρ ῥητοῦ καὶ διανοίας θέντες τὸ ῥητὸν, εἶτ' ἐπάγοντες τὴν διάνοιαν, εἰςάγομεν τὰ λοιπὰ κεφάλαια κατὰ ἀντίστασιν. ὡς ἐπὶ τοῦ ἀνελθόντος ἐπὶ τοῦ τείχους ξένου καὶ ἀριστεύσαντος, καὶ ὑπαγομένου τῷ νόμῳ· πλὴν

---

8 Ald. βούλωνται. 9 Ald. Codd. παραμυθῶντα. 10 ἐκίνησε. Ald. δωστυχῶν. 11 Par. διέθηκε.

ἰστέον καθόλου καὶ πανταχοῦ, τὴν ὕλην παρατηρεῖν ἄξιον· κανονίζουσα γὰρ αὕτη τὰ πράγματα πολλάκις καὶ πλείους ἀντιθέσεις δίδωσι τῷ ζητήματι· ἐπὶ δὲ τῆς ἀντινομίας ὁμοίως. τῶν γὰρ πρώτων κεφαλαίων ὥσπερ διπλῶν ὄντων ῥητοῦ καὶ διανοίας, πάλιν ἐπάξεις κατὰ τὴν ὑποκειμένην ὕλην τὴν ἐκ τῆς συνεμπιπτούσης στάσεως ὡρισμένην διαίρεσιν· καὶ ἐπὶ τῶν λοιπῶν δὲ τὸν
αὐτὸν τρόπον ἀμφιβολίας καὶ συλλογισμοῦ, ὡς ἐπιδείξο- 439
μεν ἐν τοῖς κατὰ μέρος ἐπεξιόντες ζητήμασι.

## *ΤΟΝ ΑΠΟΓΡΑΨΑΜΕΝΟΝ ΟΛΥΜΠΙΑΣΙΝ, ΕΑΝ ΜΗ ἀγωνίσηται, μηκέτι Ὀλύμπια ἀγωνίζεσθαι.*

Ἀπογραψάμενός τις ἐπύθετο πολεμουμένην τὴν πατρίδα, πορευθεὶς συνεμάχησεν, ἠρίστευσεν· ἀπογράφεται τὸ δεύτερον ἐν Ὀλυμπίᾳ· καὶ κωλύεται ὁ ἀριστεύς.

Ἡ κατάστασις τῷ ἐγκλήματι τῶν μὲν ἄλλων βίων[1] ἔχει καθαίρεσιν, ἀθλητικῆς δ' αὔξησιν[2]· ἔχει γάρ, ἐζήτουν βίον ἐμαυτῷ πρὸς τὰς ἀριστείας καὶ τοὺς πολέμους ἁρμόττοντα, καὶ ὅτι πολλὰ διασκοπούμενος εὕρισκον ἰατρικὴν μὲν παντελῶς τῶν προκειμένων ἀποσκευάζουσαν, φιλοσοφίαν δὲ πολλῷ πλέον τῶν πολεμικῶν ἔργων ἀπέχουσαν, καὶ ὅσα τοιαῦτα. εἶθ' ὅτι τὴν ἀθλητικὴν δὲ καὶ ταύτην τὴν περὶ τὰ γυμνάσια παρασκευὴν μόνην εὑρὼν ὥσπερ τι τῆς ἀριστείας προγύμνασμα, ἦλθον ἐπὶ τὸ γυμνάζεσθαι προθυμότερον, εἰπὼν πρὸς ἐμαυτόν, αὕτη πρὸς τοὺς πολεμίους ἡ τέχνη ἁρμόδιος· αὕτη καθάπερ ἐν ἱεροῖς προτελεῖ με πρὸς τὴν μέλλουσαν τύχην καὶ κατορθώματα· εἶτα εἰπὼν ὅτι πανταχοῦ ἀγωνιζομένῳ ταινίαι ἐγίγνοντο καὶ στέφανοι καὶ εὐφημίαι καὶ τιμαὶ παρὰ τῶν πολεμίων· εἶτα ἐρεῖς, ἀλλὰ τούτων οὐδὲν

1 Ald. βοῶν. Par. Vind. βίων. 2 Par. ἄθλησιν. marg. αὔξησιν.

ἐνόμιζον κέρδος εἶναί μοι, εἰ μὴ καὶ τὰ παρ' ὑμῶν προςτεθείη τοῖς πρότερον, ἡ νίκη μία τῶν Ὀλυμπίων τοὺς φθάσαντάς μοι μόνους ἐπιψηφίσηται· οὕτως ἦλθον ἐπὶ τὸν ἀγῶνα· οὕτως τὸν ἐν ἅπασιν οὕτω θαυμαστὸν ἀγῶνα κατέλαβον· ὀλυμπιονίκης ἐπιθυμῶν προςαγορεύεσθαι, καὶ τὰ τοιαῦτα· εἶθ' ὅτι ἦλθον εἰς τὸν ἀγῶνα, παρεγενόμην προθύμως, ἀπεγραψάμην· εἶτα ἐν τῷ μεταξὺ ἐβάσκηνεν ἡ τύχη· καὶ πρότερον ὀλίγα ὀδυρόμενος ἐρεῖς μετὰ πάθους καὶ αὐξήσεως τὴν ἀγγελίαν, τὸν φόβον, τὸν πόλεμον, καὶ ὅπως ἀκούσας διετέθην, καὶ οἷα εἶπεν ἀναχωρῶν τοῦ ἀγῶνος, ὅτι νικήσας εὐθὺς ἐπανελεύσομαι, καὶ ἀγωνιοῦμαι, καὶ ὅσα τοιαῦτα. εἶτα μετὰ αὐξήσεως τὰ κατὰ τὸν πόλεμον ἐρεῖς, ὅπως ἐπορθεῖτο, ὅπως ἐπολιορκεῖτο ἡ πόλις, καὶ ὅτι ἐξελθὼν ἐνίκησα· δήλη δὲ τοιούτων ἡ διασκευή. εἶτα ἐπάγεις· ὅτι δευτέρων ὄντων Ὀλυμπίων καὶ ἀγῶνος ἑτέρου πάλιν ἐλθὼν, πάλιν παραγενόμενος κωλύομαι ἀγωνίζεσθαι· μετὰ τὴν κατάστασιν θήσεις πρῶτον τὸ χαρακτηρίζον ἐν τάξει κεφάλαιον, τουτέστιν ῥητὸν καὶ διάνοιαν· ῥητὸν μὲν ἐξ ἀντιθέσεως, τοῦ γὰρ κατηγόρου τυγχάνει· τὴν διάνοιαν δὲ λυτικὴν τοῦ ῥητοῦ· ταύτῃ γὰρ χρήσεται πρὸς τὴν λύσιν τῆς ἀντιθέσεως ὁ νῦν μελετώμενος· οἷον, ἀλλ' ἀπογραψάμενος, φησὶ, καὶ διαγωνιοάμενος ὑπὸ τοῦ νόμου κωλύῃ ἀγωνίζεσθαι. δεύτερον ἡ λύσις ἐκ διανοίας· ἔφαμεν γὰρ πολλάκις, ὅτι πᾶν ῥητὸν διανοίᾳ λύεται, καὶ ἐνταῦθα μὲν τὸ ῥητὸν ἀεὶ τοῦ κατηγόρου τυγχάνει· ἡ δὲ διάνοια τοῦ φεύγοντος· ἐρεῖς οὖν, ὅτι πρῶτον μὲν ὁ νόμος αὐτῶν τῶν Ὀλυμπίων εἶπε, μὴ ἀγωνιζόμεθα δεύτερον· οὐχ ὡς ὁ κατήγορος ἕτερα Ὀλυμπιά φησι μηκέτ' εἶναι ἀναλαμβάνειν, ἵνα μὴ τὸν αὐτὸν ἀγῶνα ἐξῇ καταλιμπάνειν, καὶ πάλιν ἀναλαμβάνειν· εἶτα ὅτι τὸν χωρὶς ἀνάγκης ἀπολιπόντα τὸν ἀγῶνά φησι μήκετ' εἶναι ἐξὸν ἀγωνίζεσθαι· μηδὲ τύχης τινὸς ἢ δαίμονος τὴν προθυμίαν ἀποσκευά-

ζοντος· εἰ γὰρ τοῦτ' ἦν, ἁπάντων ἂν ἐγένετο τῶν ἄλλων ὁ νόμος ἀπανθρωπότατος·[3] φέρε γὰρ εἰ νόμος κατέσχε παρ' αὐτὸν τὸν ἀγῶνα τὸν ἀγωνίζεσθαι μέλλοντα, καὶ παρὰ τὴν Ὀλυμπίαν αὐτὴν ἀῤῥώστημά τι συνέβη τῷ σώματι· εἶτα πρὸς τὴν προθυμιαν ἔσχεν αὐτῷ τὸ πάθος ἀντεγειρόμενον, καὶ παρ' αὐτὸ τὸ στάδιον ἔσχεν αὐτῷ τὴν νόσον πρὸς τὴν ἰσχὺν ἀντιβαίνουσαν, ἆρα καὶ τοῦτον ὁ νόμος ἐκώλυσεν ἄν· ἢ τοῦ καὶ δεύτερον ἀθλῆσαι πάλιν ἀπέκλεισε τὸν καὶ τὴν πρώτην τύχην ὑπὲρ τῶν 440
φθασάντων ἀποδυρόμενον, καὶ κατ' αὐτὸ τοῦτο κατηγοροῦντα τοῦ δαίμονος· ὅτι μὴ καὶ πρότερον μετὰ τὴν πανήγυριν στεφανίτης προσηγορεύετο· ἀλλ' ἄφνω καὶ παρ' ἐλπίδα τῶν προκειμένων ἀπεχωρίζετο· εἶτα τοσαύτης ἀνάγκης πρὸς τὴν ἀπολογίαν παρορμησάσης ἡμᾶς, αὐτοὶ τὸν νόμον ἡμῖν ἀντὶ[4] τῆς συγγνώμης κομίζουσιν· εἶτα μετὰ τὰ τοιαῦτα ἐρεῖς μεταστατικῶς, ἐν οἷς καὶ συγγνώμη τὸ ἐλεῆσαι πορθουμένην τὴν πατρίδα, καὶ ἡ ἀντίστασις ἔχουσα τὴν ἀριστείαν, καὶ τὰ ὑπὲρ τῆς πατρίδος αὐτῷ πεπραγμένα, καὶ τὰ πρὸς τὸν πόλεμον γεγενημένα ἅπαντα πομπικῶς καὶ μετὰ πολλῆς φαντασίας ἐρεῖς τὴν ἀνάγκην, καὶ τὸ μὴ καταφρονήσει δοκεῖν ἀποκεχωρίσθαι τοῦ ἀγῶνος προβαλλόμενος. ἕξεις δὲ μετὰ ταῦτα καὶ ὁρικοῖς χρήσασθαι ἐπιχειρήμασι, λέγων ὅτι οὐδὲ τοῦτό ἐστιν ἀπολειφθῆναι, οὔτε ἴσον τῷ ἑτέρως, καὶ διὰ καταφρόνησιν, καὶ ὅσα τοιαῦτα. ΜΕτὰ ταῦτα πεσεῖται ἀντίθεσις αὐτῷ μεταληπτική, ἐκ τῆς ὕλης ἐμπίπτουσα, οἷον, ἀλλὰ δυνατὸν ἦν καὶ ἄνευ σου περιγενέσθαι τὴν πόλιν. Ἡ ΛΥσις ὅτι ἄτοπον ἦν νέου μου τυγχάνοντος οὕτω πορθουμένην τὴν πόλιν περιϊδεῖν· καὶ ὅτι πάντες ἂν εἰς ἀδοξίαν ἐμὴν ἔλαβον τὸ πραττόμενον· ὅτι νέος ὢν καὶ πρὸ πάντων ὀφείλων ἐν ταῖς τοιαύταις

---

3 Par. ἀπανθρωπότερος. (ατ written above)    4 Par. ἀπό. (ἀντί written above)

χρείαις τῇ πατρίδι προφαίνεσθαι, οὐ μόνον πολεμουμένης αὐτῆς πρὸς τὴν ἀνάγκην οὐκ ἀπήντησα, ἀλλὰ καὶ πανηγύρεσιν ἐσχόλαζον καὶ στεφάνοις καὶ φιλοτιμίαις, ἐκείνης περὶ δουλείας, περὶ ἀνδραποδισμοῦ ἐχούσης τὸν κίνδυνον, καὶ ὅσα τοιαῦτα. ΜΕτὰ ταῦτα θήσεις ἑτέραν ἀντιληπτικὴν ἀντίθεσιν· ἀλλ' ἔδει, φησὶ, μετὰ τὰ Ὀλύμπια πρὸς τὴν μάχην σπουδάσαι. Ἡ ΛΥσις τῷ καιρῷ· ὅτι πεπληρωμένης ἅπαξ τῆς μάχης, καὶ κινδυνευσάσης καὶ κατορθωσάσης τῆς πόλεως, τί τὸ κέρδος ἦν ἢ τί τὸ ὄφελος, κειμένων παίδων καὶ γυναικῶν καταλαβεῖν τότε τὴν πόλιν, τότε μᾶλλον ἐπὶ τοῖς κειμένοις ὀδύρεσθαι προσῆν, ὅτε θρηνεῖν, ὅτε στένειν τὴν συμφοράν· εἰ μὴ γὰρ τοῦτό μοι πρὸς τὴν πόλιν ὠφείλετο μετὰ τὴν χρείαν ἁπαντῶν, καλῶς εἶχε τοῦτον τὸν λόγον ἐρεῖν· εἰ δὲ προςῆκον θρεψαμένης ἡμᾶς τῆς πόλεως καὶ συγκινδυνεύειν τοῖς δυςτυχήμασι καὶ μὴ περιορᾶν πυρπολουμένην, πολιορκουμένην, γινομένην ἁλώσιμον· τί τὸν καιρὸν μετατιθεὶς κλέπτῃ τὴν ἀνάγκην τοῖς ῥήμασιν; εἶτα ἐρεῖς εἰ ἀναμείνας ἦν τὸν ἀγῶνα, οὐδ' ἂν ἠρίστευσα· οὐδ' ἂν τοιαύτην ἔσχον φιλοτιμίαν ἐν τῇ πόλει, σώσας παῖδας, γονέας, πολίτας ἅπαντας, νικηφόρος τροπαιοῦχος ὀνομαζόμενος, ὡς ἀπ' Ὀλυμπίων αὐτῶν φανεὶς τοῖς κινδυνεύουσι σύμμαχος, καὶ τὰ τοιαῦτα. Εἶτα μετὰ ταῦτα θήσεις ἑτέραν μεταληπτικὴν, οἷον, ἀλλ' ἔδει, φησὶ, τοῖς ἑλλανοδίκαις ἀνακοινώσασθαι. Ἡ ΛΥσις στοχαστική· ὅτι ἐνεχώρει καὶ κωλυθῆναι· εἶτα κωλυθέντος τὸ συμβὰν, οἷον ἂν ἦν δουλεία πατρίδος, πολεμίων νίκη, ἅλωσις τῆς γῆς, ἐξανδραποδισμὸς, καὶ τὰ τοιαῦτα. εἶτα οὐδεμία ἐκ τούτου βλάβη τοῖς Ὀλυμπίοις ἦν· οὐδὲ πλέον οὐδὲν παραιτησαμένου τοὺς ἑλλανοδίκας· τί γὰρ καὶ τὸ κέρδος ἦν, καὶ τὰ τοιαῦτα. εἶτα ὅτι εἰ μὲν ἐπέτρεψαν, τοῦτο ἂν ἐποίησαν, ὥσπερ κἀγὼ, συνεχώρησαν γὰρ σῶσαι τὴν πόλιν, περιγενέσθαι τῶν πολεμίων, μὴ περιϊδεῖν τὴν θρεψαμένην,

ψαμένην, γιγνομένην ἁλώσιμον. εἰ δὲ μὴ ἐπέτρεψαν, ἐμποδίζεσθαι ἦν τὴν ἀριστείαν, τὴν σωτηρίαν, τὸ τρόπαιον, τὸ σώζεσθαι νῦν καὶ περιεῖναι τὴν πόλιν, καὶ τὰ τοιαῦτα· μετὰ ταῦτα θήσει τοὺς ἐπιλόγους. εἰσὶ δὲ οἱ ἐπίλογοι πομπικοὶ ἔχοντες διασκευὴν τῆς ἀριστείας, καὶ ἐκφράσεις τῆς μάχης τῶν ἀναιρουμένων, τῆς νίκης. ἐν οἷς καὶ ἠθοποιΐαι, ὅτι νῦν γεγένημαι τῶν Ὀλυμπίων ἄξιος ἀριστεὺς μετὰ τηλικοῦτον τρόπαιον παρ' ὑμῖν ἀγωνιζόμενος, συνάψαι βουλόμενος τουτονὶ τὸν παρ' ὑμῶν στέφανον τοῖς κατὰ τὸν ἐχθρὸν κατορθώμασι, συνάψαι [με] δὲ ταῖς ἀριστείαις καὶ τὰ τῶν Ὀλυμπίων κατορθώματα, νικᾷν ἐκ τῆς μάχης δεδίδαγμαι· καὶ γέγονε παίδευμά μοι τῶν μετ' ὀλίγον ἐσομένων ἀγωνισμάτων ὁ πόλεμος. εἶτα ἐρεῖς, ὅτι μὴ φθονήσητέ μοι τοῦ στεφάνου, 441
μὴ τῆς νίκης βασκήνητε,[5] ἀλλὰ δείξατε ὅτι τὸ νικᾷν ἐμοὶ παρὰ τῆς τύχης πεπλήρωται. εἶθ' ὅτι, μετὰ τὸν ἀγῶνα παραπέμψουσιν ἅπαντες ἐπὶ τὴν πόλιν, οἱ μὲν ὀλυμπιονίκην, οἱ δὲ ἀριστέα προσαγορεύοντες, καὶ ὅτι ἐροῦσιν οἱ πολῖται μετ' εὐφημίας σωτήριον, ὀλυμπιονίκην προσαγορεύουσι, καὶ τὰ τοιαῦτα.

## ΕΙΣ ΤΟ ΕΝΑΝΤΙΟΝ Ο ΚΑΤΗΓΟΡΟΣ.

Ὁ κατήγορος ἐν τῇ καταστάσει καὶ δι' ὀλίγου τοῦ λόγου δεινοποιήσει καὶ πείσει μὴ δεῖν παραβῆναι τὸν νόμον, καὶ τὴν ἀριστείαν καθαιρήσει,[1] οὐκ ἰδίαν αὐτὴν τοῦ ἀθλητοῦ, ἀλλὰ κοινὴν εἶναι φάσκων τῆς πόλεως, καὶ καταφρόνησιν ἐρεῖ τὸ γιγνόμενον, καὶ ὥσπερ πολιτείας διάλυσιν· πῇ μὲν διὰ τοῦ νόμου κωλύων ἀγωνίζεσθαι δεύτερον· πῇ δὲ καὶ στοχαστικῶς εἰς ἀσέβειαν ἄγων τοῦτο ἀγωνίζεσθαι δεύτερον· ἐρεῖς ὅτι ἐπειδὴ γὰρ

5 Ald. Vind. βασκήνηται. Par. spiritus super ρρ om.

1 Ald. Vind. καθαῤῥήσει.

ὁ τῶν Ὀλυμπίων ἀγὼν κατεστάσθη τοῖς Ἕλλησι, μᾶλλον δὲ πᾶσιν ἀνθρώποις ἐγένετο, εἴτε θεοῦ τινος, εἴτε καὶ ἥρωος ἀρχηγοῦ ταύτης γενομένου τῆς πανηγύρεως, ὥσπερ ἐν πολιτείᾳ ἤ τινι κρείττονι καὶ νόμοι παρὰ τῶν ἠγωνισμένων καὶ ἤθη κεκύρωται. ἢ οὕτως εἰπέ· ὅτι ἐπειδὴ γὰρ ταύτης εὑρεθείσης τοῖς ἀνθρώποις τῆς πανηγύρεως, φιλονεικίαι πολλαὶ καὶ μάχαι παρὰ τοὺς ἀγωνιζομένους ἐγίγνοντο, νόμοι πολλοὶ καὶ ἤθη τινὰ περὶ τὸν ἀγῶνα τοῖς Ἠλείοις ἐξεύρηνται. οἷς πρὸ πάντων τοὺς ἀγωνιζομένους προςῆκον πείθεσθαι. καὶ μάλα εἰκότως· ἐπειδὴ γὰρ τῶν ἁπανταχοῦ ὁ κορυφαῖος ἀγὼν οὗτος εἶναι νενόμισται, καὶ τῶν ἄλλων ἁπάντων καθάπερ τι παίδευμα κοινὸν οὗτος ὑπείληπται, τάς τε τῶν ἀγωνιζομένων προσόδους, καὶ τοὺς τῶν ἀγωνοθετούντων θεσμοὺς καὶ κρίσεις, καὶ ἆθλα καὶ ἀγωνίσματα νόμοις διειλήφασιν, ἵνα μηδὲν ὑπάρχῃ περὶ τὸν ἀγῶνα τοῦτον ἀνομοθέτητον· τὰς μὲν οὖν τῶν ἀγωνιζομένων προσόδους πῶς γίγνεσθαι κεκελεύκασιν. λέγειν ἐστὶ περὶ τῶν ἁπάντων ἀεὶ τῶν ἐνταυθοῖ τὸν ἀγῶνα τοῦτον ἀνειληφότων, καὶ πρό γε τούτων τοῦ νῦν ἀγωνίζεσθαι θέλοντος δεύτερον πεπειραμένου τοῦ γράμματος. καὶ γὰρ προςῆλθον ὑμῖν κατὰ τὸν νόμον, καὶ θεσμοῦ τὴν ἀπογραφὴν τὴν περὶ τῶν ἀγωνιζομένων πεπλήρωκε. καὶ μέχρι τούτου γε οὐδὲν ἐγκαλοῦμεν ὑμῖν. πλήν γε ὅτι τὰ δεύτερα οὐδαμοῦ φαίνεται τοῖς προτέροις ἀκόλουθα. κελεύοντος γὰρ ἐμμένειν τοῖς αὐτῶν ἐπαγγέλμασι τοὺς ἀγωνιζομένους τοῦ γράμματος, καὶ μὴ παραβαίνειν τὰ περὶ τὴν ἀγωνίαν, ὑποσχέσει προστάττοντος ἁπάντων τῶν νόμων φυλαξάντων τῶν πώποτε, καὶ μηδενὸς τὸν παρ' ὑμῖν τύπον καὶ θεσμὸν τοῦτον παραβῆναι τολμήσαντος· εἰ καὶ μόνος οὗτος παραλῦσαι τὸν νόμον ἐτόλμησε, καὶ φήσας πολιορκεῖσθαι τὴν πόλιν, καὶ τοὺς ἐχθροὺς προςκαθῆσθαι τοῖς τείχεσιν, ὥσπερ ἐρήμου τυγχανούσης τῆς χώρας

ἀνδρῶν, καὶ μηδεμίαν ἐχούσης ἐπικουρίαν, εἰ μὴ τῶν ἀθλητῶν εἰς αὐτὴν σύμμαχος ἐξ Ὀλυμπίας ἀφίκοιτο ῥίψας, ἐάσας τὸν παρ᾽ ὑμῖν ἀγῶνα καὶ στέφανον, ὥσπερ τις φυγὰς ἐξ Ὀλυμπίας ἀπέδρασεν. εἶτα τοῦτον τὸν τρόπον χλευάσας ἡμᾶς ἀγῶνος τοῦ προτέρου, καὶ διασύρας τὰ κοινὰ τῆς Ὀλυμπίας μυστήρια, πάλιν ἐπὶ τὴν αὐτὴν ἀκολουθίαν ἀπήντησεν· εἶτα ἔπαγε τὸν νόμον καὶ κωλυόμενος καθάπερ κικλίσι τῷ γράμματι τὸν μέγαν τῆς Ὀλυμπίας θεσμόν· καταλῦσαι γὰρ τὸν κοινὸν τῆς Ὀλυμπίας ἀγῶνα προήρηται, ὥσπερ ἀγνοῶν, ἢ τοῦτον Ὀλυμπιᾶσι δεδεγμένος τὸν νόμον· καὶ διεξελεύσῃ καὶ καθ᾽ ἕκαστον μέρος αὐτοῦ καὶ ἐρωτήσεις, εἴτι ἕτερον λέγει, καὶ τὰ τοιαῦτα. μετὰ τὴν κατάστασιν θήσεις ἐξ ἀντιθέσεως μίαν τῶν διανοιῶν αὐτοῦ· εἰδὼς τοῦτο ὅτι ἀναγκαῖον ἐπιθεῖναι μὲν μίαν, λῦσαι δὲ ἐν τῇ λύσει καὶ τὴν ἑτέραν. Οἷον ἀλλ᾽ ὁ νόμος, φησὶ, τὸν αὐτὸν ἀγῶνα ἐκώλυεν ἀπογράφεσθαι. 442
Ἡ Λύσις. ὥσπερ ἐν ὅρῳ γνώμη νομοθέτου, ὅτι εἰ τοῦτο ἦν ἀληθὲς, εἶπεν ἂν ὁ νομοθέτης καὶ σαφῶς τοῦτο προέγραψε τῷ γράμματι· νῦν γὰρ καθόλου εἶπε μὴ ἀγωνίζεσθαι δεύτερον τὸν ἅπαξ ἀπογραψάμενον, εἶτα τὴν ἀγωνίαν διαδράσαντα. καὶ δῆλον οὐδεμίαν συγγνώμην ἀπένειμες τοῖς ἢ δι᾽ ἀνάγκην, ὡς σὺ φῂς, ἢ δι᾽ ἔλεον τῆς πατρίδος ἀπολειφθεῖσι, καὶ καθόλου καὶ διαῤῥήδην εἶπε μηδεμίαν μετουσίαν τῆς ἀγωνίας ὑπολιμπάνεσθαι, καὶ ὅσα τοιαῦτα, τῷ λέγειν τί κεκώλυκε προγράψαι, προσθεῖναι τῷ νόμῳ. δῆλον γὰρ ὅτι οἱ νομοθέται σαφῶς ἅπαντα διαγορεύουσιν,[2] ἃ ποιεῖν τοῖς δημόταις προστάττουσιν· ὥστε ἀνθ᾽ ὅτου σαφῶς οὐ προέγραψεν. ἀλλ᾽ οὐκ ἔστιν ἀπολογίαν, μᾶλλον δὲ ἀπάτην ὑπὸ τούτου οὐδεμίαν εὑρεῖν, καὶ τὰ τοιαῦτα. μετὰ τὴν τοιαύτην ἀντίθεσιν θήσεις τὰς ἀπὸ τῆς συνεμπιπτούσης στάσεως ἀντιθέσεις·

---

δια

2 Par. προαγορεύουσιν.

ἔστιν δὲ ἡ ἀντίθεσις ὡς διὰ τὴν νίκην ἐπὶ τὸ τρόπαιον. ἡ μετάστασις ὡς ἐπὶ τὴν πόλιν. ἡ συγγνώμη, ὡς ἐπὶ τὸν ἔλεον, τὸν πολιορκουμένης τῆς πατρίδος γιγνόμενον. ΑΛΛ' ἠλέησα, φησὶ, πολιορκουμένην τὴν πατρίδα μαθών. Ἡ Λύσις· καὶ τὸν ἅπαξ ἀπογραψάμενον ἔδει μένειν· καὶ μὴ τὸν ἐνταῦθα παραβαίνειν. μηδὲ ἵνα ἕτερον φυλάξῃς νόμον ἢ ἔθος ἕτερον παραβαίνειν. εἶτα ὅτι ἄλλοι ἦσαν οἱ ὑπὲρ[3] τῆς πόλεως ἀγωνιζόμενοι, εἶτα αὐτὸς οὐδὲν μέγα παρασχεῖν εἶχες τῇ πατρίδι πολλῶν ὄντων τῶν ἀμυνομένων ὑπὲρ αὐτῆς, καὶ εἰ μάλιστα ἔδει ἀναχωρῆσαι τοῦ ἀγῶνος, ἀνακοινώσασθαι προσελθεῖν ἔδει τοῦ ἀγῶνος τοῖς κυρίοις, ἐν οἷς καὶ ἠθοποιΐα ὑπὸ τοῦ ἀριστέως πεπλασμένη, ὅτι ἐγὼ μὲν ἠβουλόμην τιμωρηθῆναι παρ' ὑμῶν. ἐπεὶ δὲ ἡ πατρὶς κινδυνεύει, συγχωρήσατε καὶ δεηθῆναι ὡς ἔνι μάλιστα τῶν ἑλλανοδικῶν, καὶ τὰ τοιαῦτα. οὐδὲν ποιήσας τούτων, οὐδὲν ἐάσας ἀναχωρῆσαι τοῦ παραβῆναι τὸν νόμον πρόνοιαν οὐδεμίαν πεποίησαι, καὶ τὰ τοιαῦτα. ΜΕτὰ ταῦτα θήσεις ὡς ἀνθυποφορὰν πίπτουσαν ἐκ τοῦ εἰπεῖν, ἔδει ἀνακοινώσασθαι, ἀλλ' ὁ καιρὸς οὐκ ἐνεδίδου, φησί. ΛΥσεις τῷ εὐχερεῖ· ὅτι ῥᾷον ἦν προσελθεῖν εἰπεῖν, καὶ οὐδεμία ἐκ τούτου ἀναβολὴ ἦν, ἢ χρόνος τις ἐνεγίγνετο. οὐδ' οὕτως ἦν ὁ πόλεμος ὀξὺς, ὥστε σχεῖν πέρας σοῦ προϊόντος, καὶ τὰ τοιαῦτα. ΕΠίλογοι συμβουλευτικοὶ τοῦ φυλάττειν τὰ πάτρια.

## ΝΟΜΟΣ ΤΟΝ ΑΝαλώσαντα τὰ πατρῷα κωλύεσθαι λέγειν.

Ὁ νεανίσκος φιλόπολις καὶ εὔνους καὶ φιλότιμος· συνέζευκται δὲ τῷ πλάσματι ἀντίληψις.

Ἡ κατάστασις ἔχει τὴν τοῦ πατρὸς ἀγωγὴν, τὴν πρὸς τὴν πόλιν εὔνοιαν αὐτοῦ, τὴν συμβουλὴν, τὴν ὑπὲρ τῆς πόλεως, καὶ ἄλλα ὅσα δημοτικά. εἶτα τὴν πολιτείαν αὐτοῦ, καὶ τὸ μικρὸν πᾶν ἡγεῖσθαι τὸ εἰς τὴν πατρίδα

3 Ald. Codd. ὑπὸ h. l. et v. 29.

γιγνόμενον. ἐν οἷς καὶ γνῶμαι, ὅτι πάντα ὑπὲρ [1] τῆς πατρίδος ποιεῖν. εἴτε τὸ μέχρι πάντων τῶν χρημάτων καὶ τῆς οὐσίας ἐλθεῖν· ἐν οἷς καὶ ἀναφώνησις, καὶ τὸ ἀποδύρεσθαι ἔχει καιρὸν, ὅτι μὴ πλείονα ἐκέκτητο, ὥστε εἰς τὴν ἐνεγκαμένην ἀναλῶσαι, καὶ τὰ τοιαῦτα. *ΑΛΛ'* ἀναλώσας, φησὶ, τὰ πατρῷα, καὶ κωλύουσί σε λέγειν οἱ νόμοι. Ἡ Λύσις ἐκ τῆς διανοίας, ἢ οἱ νόμοι κωλύουσι τοὺς εἰς ἀσέλγειαν [2] καὶ μέθην καὶ ἀσωτείαν καὶ κώμους καὶ ἑταίρας ἀναλώσαντας, καὶ συμπόσια κροτήσαντας. εἰ μὲν οὖν ἕν τι τούτων πεποίηκα, [3] σαφῶς εἰπὲ, ποία μέθη, πότε διεφθάρην τὸν λογισμὸν, ποία τὴν οὐσίαν ἑταίρα διέφθειρε. ταῦτ' εἰπὲ, ταῦτα καιρὸν κατηγορίας ἔχει τὸν κάλλιστον. ὑπὸ τούτων αὐτὸς οὐ μόνον ἀπαλλαγῆναι τῆς πολιτείας, ἀλλὰ καὶ δοῦναι δίκην προῄρημαι, καὶ ὅσα τοιαῦτα. ὥστε τοὺς μὲν ἀφεὶς ἴσθι παρ' ἡμῶν, ὅτι τὸν ὑπὸ τῆς πόλεως τῷ πλούτῳ χρησάμενον οὐκ ἀπείργει τῆς πολιτείας τὰ πράγματα. οὐδὲ τοιαύτην τοῖς εὔνοις ἀποδίδωσιν ἀμοιβήν· οὐδὲ ὥσπερ ἀδίκους τοὺς φιλοτιμησαμένους ἀμύνεται, καὶ ὅσα τοιαῦτα. ΜΕτὰ ταῦτα θήσεις ἀντίθεσιν τοιάνδε. ἀλλ' 443
ἔδει, φησὶ, τῇ φιλοτιμίᾳ μεμετρημένως χρήσασθαι. Λύσεις τῷ λέγειν οὐδὲ ταῦτα τῆς πατρίδος ἄξια. ΕΙτα ἀντιληπτικῇ, ὅτι ἔξεστιν εἰς τὴν ἑαυτοῦ τινα ἀναλίσκειν ὅσα καὶ βούλεται· ἣν κατασκευάσεις ὡς ἀντίληψιν. ἀλλ' εἰκός σε πενόμενον ἐν τῇ πολιτείᾳ κακουργεῖν. *ΛΥσεις* [4] ὁμοίως στοχαστικῶς τοῖς ἐγχωροῦσι τοῦ στοχασμοῦ κεφαλαίοις. οἷον βουλήσει καὶ δυνάμει καὶ τοῖς τοιούτοις· ἢ μᾶλλον καθαρῶς καὶ ἀδωροδοκήτως πολιτεύσομαι, ὅσῳ καὶ δόξης ἕνεκα τοῦτο πεποίηκα, καὶ προκρίνω δόξαν χρημάτων. οὐ γὰρ δὴ [5] κατεφρόνησα μὲν τῶν πατρῴων·

---

1 Ald. Codd. ὑπὸ scr. ὑπέρ. 2 Ald. Codd. ἄλγειαν. 3 Ald. πεποίησα. 4 Vind. λύσις. 5 Ald. Codd. οὐ γὰρ

ἵνα εὐδοξήσω. ᾑρούμην [6] δὲ τὰ μὴ προςήκοντα λαμβάνειν, ἵνα καὶ τὴν ὑπάρχουσαν δόξαν ἀπολέσω, καὶ ὅσα τοιαῦτα. εὑρήσεις δὲ ἐκ τούτων αὐτῶν πλείονα σπᾶσαι ἐπιχειρήματα, καὶ ἐκ τῶν στοχαστικῶν ἀφορμῶν. ΕΠίλογος ἔχει προτροπὴν καὶ πρὸς τοὺς ἄλλους, ὥστε πάντα τῆς πατρίδος νομίζειν καὶ τὰ ἴδια, καὶ τὰ δημόσια, καὶ τὸ ἀπὸ τοῦ βήματος ἔσται [7] μοι πολιτείας ἑτέρας ἀφορμή· προςθήσω γὰρ τῷ νόμῳ μὴ λέγειν τοὺς τὴν πατρῴαν οὐσίαν καταναλώσαντας. πλὴν εἰ μὴ τῇ πόλει ταύτης ἐξέστησαν, καὶ τὰ τοιαῦτα. ὥστε φανερὸν εἶναι τὸν νόμον, ὁ λόγος καὶ μὴ τοῖς συκοφάνταις ἀφορμὴν εἶναι κατηγορίας τὰ γράμματα, καὶ ὅσα τοιαῦτα. εἶτα, ὅτι ἐπιτρέψατε οὖν, ἀπόδοτέ μοι τὴν πολιτείαν, ἐμαυτὸν ζηλώσω πάλιν, ὑπὲρ [8] τῆς πολιτείας πᾶσαν ἀφήσω φωνήν· φιλεῖ τὴν πόλιν ταύτην νομίζειν εἶναι τὰ σφέτερα. καὶ ὅτι καθαρῶς πολιτεύσομαι, σώσω τὸ πρόςφορον σχῆμα τοῖς φράσασι, [9] καὶ τὰ τοιαῦτα.

## ΕΙΣ ΤΟ ΕΝΑΝΤΙΟΝ Ο ΚΑΤΗΓΟΡΟΣ.

Ἰστέον ὅτι ὁ κατήγορος μετὰ τὸ συμπλέκεσθαι τῷ ζητήματι τὴν ἀντίληψιν καὶ ὑποτρέχοντα ἔχει τὸν στοχασμόν· ἐρεῖ γὰρ ὅτι πρόσχημά ἐστιν ἡ πολιτεία, ἀνάλωκε δὲ τὰ πατρῷα, εἰς ἃ ἀνάλωσε. κατ' ἔμφασιν γὰρ ὃ προήρηται σημαίνει. προάξει δὲ τὴν κατάστασιν τοῦτον τὸν τρόπον. οὗτος γάρ, ὦ ἄνδρες πολῖται, πλούσιος καὶ πολυκτήμων, ἄνωθεν ἐκ προγόνων γενόμενος, καὶ

δεῖ κατεφρονήσαμεν. δὴ et δεῖ permutata vide ad Nicol. Soph. VII. 2. 6 Ald. Vind. αἱρούμενοι. Par. αἱρούμενος. scripsi ᾑρούμην. 7 Ald. Vind. ὕςται. Ald. praefigit asteriscum. Par. ἔυται. ut liquet ex spiritu leni: ε per atramenti conglomerationem ita informe, ut ο potius videatur. 8 Ald. Codd. ὑπό. 9 Ald. σφάσασι.

πάντας ὑπηρέτας τοὺς πώποτε μετὰ τὴν πρώτην ἀγωγὴν, ἢ ὅπως διήγαγεν οὐκ ἐρῶ, ἵνα μὴ τῆς παρούσης προσηγορίας δόξω πολυπραγμονεῖν ἔξωθεν ἕτερα. πλὴν προσελθὼν τῷ βήματι, καὶ πρὸ πάντων ὑπαναγινώσκω τῷ δήμῳ τοὺς νόμους εἰδὼς, ἐπιστάμενος τίνας λέγειν οἱ νόμοι κωλύουσι, καὶ πολλοὺς πολλάκις εἰδὼς ἀποκλεισθέντας τοῦ βήματος, μίαν ἢ δευτέραν ποιησάμενος εἰς τὴν πόλιν χρημάτων καταβολὴν, ὥσπερ τις κλέπτης τῶν οἰκείων γενόμενος ἅπαν τὸ λεῖπον τῇ πόλει λελόγισται· καὶ νῦν τὸν νόμον εἰδὼς, καὶ θᾶττον ἐκ τῆς αὐτοῦ προπετείας ὑπεύθυνος τῷ νόμῳ γενόμενος, λέγειν ἀπαγορεύειν προήρηται, καὶ ὅσα τοιαῦτα. Εἶτα θήσεις ἀντίθεσιν ἐκ τῆς διανοίας τοῦ νόμου. ἀλλὰ τὸν εἰς ἀσωτείας, φησὶν, ἀναλώσαντα λέγειν ὁ νόμος κεκώλυκεν· τὸν δὲ πρὸς τὴν πόλιν φιλοτιμησάμενον οὐκ ἀπείργει τοῦ βήματος. Ἡ Λύσις ἀπὸ τοῦ ῥητοῦ, ὅτι τοιοῦτον οὐδὲ ὁ νομοθέτης διήρηκεν, οὐδὲ τὸν μὲν ἀπεδέξατο, τὸν δὲ τῆς πολιτείας κεκώλυκεν. ἀλλὰ καθόλου εἶπε τὸν τὴν πατρῴαν οὐσίαν φυλάξαι μὴ δυνηθέντα καὶ τοῦ λέγειν ἐκβάλλεσθαι.[1] εἶτα ἐπάγεις διάνοιαν κατασκευάζουσαν τὸ ῥητόν· καὶ τοῦτο πεποίηκεν εἰκότως. ἐπειδὴ γὰρ ὁ τὴν ἰδίαν οὐσίαν φυλάξαι μὴ δυνηθεὶς, οὗτος τῶν ἀλλοτρίων γενέσθαι κηδεμὼν οὐ δυνήσεται, ἀπείργεσθαι τῆς ἐκκλησίας τοὺς τῆς πατρῴας οὐσίας ἐκστάντας ἐκέλευσεν, ἵνα μὴ καὶ τῇ πολιτείᾳ κακῶς, ὥσπερ καὶ τοῖς σφετέροις χρήσωνται χρήμασι. νῦν δὲ, ὅπου μὴ μεμετρημένως, μὴ πεφεισμένως περὶ τῶν οἰκείων βεβούλευσαι, πῶς βουλήσῃ ποτὲ περὶ τῶν πολιτικῶν ὀρθὸν ἢ μεμετρητὶ βουλεύσασθαι; Μετὰ ταῦτα θήσεις ἀντιληπτικὴν ἀντίθεσιν· οἷον ἔξεστί μοι, φησί. Λύσεις τῇ μεταλήψει· οὐχ οὕτως ἔδει ἀναλῶσαι ὡς ἑαυτὸν γενέσθαι πένητα καὶ

1 Ald. Codd. ἐκβάλεσθαι.

444 τῷ νόμῳ τυγχάνειν ὑπεύθυνον, καὶ ὅσα λυτικά ἐστι τῆς ἀντιλήψεως ἐρεῖς. πολλάκις δὲ τὰς ταύτης λύσεις ἐν πολλοῖς ἐπεξῆλθον ζητήμασι. μετ' αὐτὴν θήσεις ἀντιστατικὴν ἑτέραν ἀντίθεσιν. ἀλλὰ πάντα, φησὶν, ὑπὲρ τῆς πατρίδος ἀνάλωσα. καὶ ἄξιός εἰμι πολιτεύεσθαι· καὶ πῶς ὑπὲρ τῆς πατρίδος, ὅπου πρὸ πάντων τοὺς ταύτης παρέβης νόμους; καὶ πῶς ἄξιος εἶ πολιτεύεσθαι νόμους παραβὰς, καὶ πένης γενόμενος; εἶτα γνωμικῶς ἀποδεικνύεις, ὅτι ἡ πενία πολλὰ ἀναγκάζει ποιεῖν καὶ αἰσχρὰ, καὶ τὸν πενόμενον οὐχ οἷόν τε μὴ αἰσχροῖς τισιν ἐπιχειρεῖν πράγμασιν ὑπὸ τοῦ τῶν ἀναγκαίων πόρον εὑρεῖν. καὶ ὅτι ἂν μὴ βούληται τολμῆσαι, αὐτὴ ἀναγκάζει αὐτὸν ἐγχειρῆσαι ἡ πενία καὶ νόμον[2] ἀσύμφορον εἰςενεγκεῖν, καὶ γραψάμενον χρημάτων ἀφεῖναι τῶν ἁμαρτήσαντα, καὶ ὅσα τοιαῦτα· εἶτα ὅτι διὰ τοῦτο οὖν, ὅτι πένης ἐγένετο, προςῆκον αὐτῷ μὴ πολιτεύεσθαι, καὶ τὰ τοιαῦτα. ΕΠίλογος ἐσχηματισμένος καταδρομὴν ἔχων καὶ τῶν χρημάτων ἐξέτασιν, καὶ λογισμὸς ἁπάσης αὐτοῦ φιλοτιμίας, δι' ὧν ἐπιδείξεις τοῖς ἀκούουσιν, ὅτι οὐχ ὑπὸ τῆς πόλεως, οὐδ' εἰς τὴν πόλιν ἀνάλωσε τὰ χρήματα, ἀλλ' εἰς αἰσχρὰς χρείας· καὶ ὅτι προςῆκον κωλύειν,[3] ἵνα μὴ πρόσχημα γένηται ἡ πολιτεία τῆς αὐτῆς ἀσωτείας, ὅτι φυλάττειν τοὺς νόμους, καὶ τὰ τοιαῦτα.

Οἱ Μεγαρεῖς χειμῶνι[1] χρησάμενοι κατήχθησαν εἰς τὸν λιμένα τοῦ Πειραιῶς,[2] καὶ ὑπάγονται ψηφίσματι.

Τινὲς συγγνώμην εἶναι βούλονται, ὡς ἀκόντων αὐτῶν καταχθέντων· τινὲς δὲ ῥητὸν καὶ διάνοιαν, ὅτι βέλτιστον· τῷ ῥητῷ γὰρ καὶ τῇ διανοίᾳ συμπλέκεται[2] καὶ ἡ μετάστασις· καὶ γὰρ παραβέβασται τὸ ψήφισμα, καὶ τῷ ῥητῷ χρῆται ὁ κατήγορος· τῇ δὲ διανοίᾳ οἱ φεύγον-

2 Ald. νόμου. 3 Par. ὑβρίζειν. ad marg. κωλύειν. 1 Ald. Codd. χειμῶνος. 2 Ald. Πειρεῶς. 3 Ald. συνπλέκεται.

τες· ἔστιν οὖν ἡ κατάστασις τὴν ἔχθραν ἔχουσα [4] τὴν Μεγαρέων καὶ τὰ ἁμαρτήματα τὰ εἰς Ἐλευσῖνα· ἔτεμον γὰρ τὴν ὀργάδα· εἶτα τὸ Περικλέους ψήφισμα. καὶ ὅτι ἐπείσθη ὁ δῆμος, εἰδὼς ὅτι ὑπὸ τῶν Ἐλευσίνων δεῖ τιμωρεῖσθαι Μεγαρέας· εἶτα, ὅτι πλέοντες εἰς τὸν Πειραιέα κατήχθησαν, καὶ τὰ τοιαῦτα· εἶτα θήσεις τὴν τοῦ ῥητοῦ διάνοιαν ἐξ ἀντιθέσεως. *ΑΛΛ' ἄκοντες, φησὶ, κατήχθημεν.* Ἡ Λύσις ἀπὸ τοῦ ῥητοῦ. ὡς καὶ ἐπὶ τῶν ἑτέρων ζητημάτων, ἢ ὁ νόμος εἶπεν, εἴτε ἑκόντα, εἴτε ἄκοντα, ἁπλῶς μὴ μετασχεῖν τῆς Ἀττικῆς· ἐν οἷς προςπλάσεις καὶ ἀποστροφὰς πρὸς τὸν Περικλέα. καὶ περὶ τῶν ἐν Ἐλευσῖνι γιγνομένων, καὶ ὅσα τοιαῦτα. ὅτι διὰ ταῦτα οὐδεμίαν ὑποδιαίρεσιν ἔχει τὸ ψήφισμα. ἀλλὰ καθόλου καὶ διαῤῥήδην μὴ μετέχειν Μεγαρέας τῆς Ἀττικῆς. ΜΕτὰ ταῦτα ἐλεύσῃ ἐπὶ τὴν μετάστασιν· *ἀλλ' ὁ χειμὼν, φησὶν, αἴτιος.* Ἡ Λύσις, ὅτι καὶ ἀντισχεῖν ἔδει καὶ μὴ λῦσαι τὸ ψήφισμα, καὶ ἀντιβῆναι τῷ πνεύματι. καὶ εἰ οἷόν τε κινδυνεῦσαι, ἵνα μὴ μετὰ ταῦτα κινδυνεύσητε. ἐπὶ μὲν γὰρ τῆς θαλάσσης εἰκὸς ἦν καὶ σωθῆναι. ἐπὶ δὲ τῆς Ἀττικῆς ἀναγκαῖον τὸ δοῦναι τὴν τιμωρίαν, καὶ τὰ τοιαῦτα. ΜΕτὰ ταῦτα ὁ [5] ἐπίλογος.

## ΕΙΣ ΤΟ ΕΝΑΝΤΙΟΝ ΟΙ Μεγαρεῖς.

Η κατάστασις τῶν ἐν βαρύτητι, καὶ ὅτι Περικλῆς ἄγει καὶ φέρει, καὶ δι' ἰδίαν [καὶ] ἔχθραν, οὐχὶ διὰ τὴν ὀργάδα κατ' αὐτῶν ἔγραψε τὸ ψήφισμα. τοῦτο δὲ πεφεισμένως ποιοῦσι· μεγίστης γὰρ οὔσης τῆς Περικλέους δόξης, καὶ κρινομένων αὐτῶν Ἀθήνησιν ἀμεθόδευτον εἰς ἔχθραν ἐκκαλέσασθαι τὸν Περικλέα. καταβοήσει δὲ πολλὰ καὶ τῆς τύχης, καὶ ἐν τῇ καταστάσει καὶ ἐν τοῖς προοιμίοις, καὶ ὅτι οὐ μόνον τοιοῦτον κατ' αὐτῶν κυρωθῆναι πεποίηκε ψήφισμα, ἀλλὰ καὶ κατὰ θάλατταν δυςτυ-

4 Ald. Codd. ἔχουσαν. 5 ὁ Ald. om., recepi ex Par. Vind.

χήσαντας καταχθῆναι εἰς τὴν Ἀττικήν. Ἀλλὰ παρέβης, φησὶ, τὸ ψήφισμα, καὶ τιμωρίᾳ ὑπάρχεις ὑπεύθυνος. Ἡ λύσις ὁρικῶς· ὅτι οὐ παρέβην, πρώτοις ἐπιχειρήμασι χρησάμενος τοῖς ἀπὸ τῆς διανοίας. ὅτι τὸ ψήφισμα ἔχει τοὺς ἑκόντας καὶ μετ' ἐξουσίας καταίροντας, οὐ τοὺς 445 ὑπὸ βίας χειμῶνος καὶ πνευμάτων ἐκβαλλομένους· ἐν οἷς διαθήσεις τὸν χειμῶνα καὶ τὴν ἀνάγκην, καὶ πλάσεις ἠθοποιΐας ἐχούσας τὸν φόβον καὶ τὸν κίνδυνον. καὶ παραθήσεις ἀμφοτέροις καὶ ἀμφότερα χαλεπὰ δείξεις. εἶτα ἑξῆς ὅτι ἀναγκασθέντες καὶ εἴσω τοῦ χειμῶνος γενόμενοι ἐνενοήσαμεν[6] τὴν Ἀθηναίων φιλανθρωπίαν, καὶ τὸν τοῦ ἐλέους βωμὸν, καὶ ὅσα τοιαῦτα. ΕἶΤα μεταληπτικὴ ἀντίθεσις· ἀλλ' ἔδει, φησὶ, καὶ κινδυνεῦσαι. Ἡ λύσις, ὅτι μείζων[7] ἦν ὁ χειμὼν καὶ ἀντεχόμενος ὡς ἔνι μάλιστα. καὶ ὑπὸ τοῦ πνεύματος ἐνικήθημεν, καὶ ὅσα τοιαῦτα τοῦ κύματος ἐγειρομένου, τοῦ κλύδωνος μὴ συγχωροῦντος διεκπεραιωθῆναι τοῖς σκάφεσι, καὶ τὰ τοιαῦτα. Μετὰ ταῦτα ὁ ἐπίλογος.

## ΑΝΤΙΝΟΜΙΚΑΙ.

*ΝΟΜΟΣ ΤΟΝ ΒΙΑΣΑΜΕΝΟΝ Κόρην διδόναι χιλίας· καὶ νόμος αἰτίας θανάτου δίδοσθαι δίκας.*

Κόρην τις πατέρα χειραγωγοῦσαν[1] τυφλὸν ἐβιάσατο· ἠνέχθη κατὰ κρημνῶν ὁ πατήρ· καὶ βούλεται μὲν διδόναι χιλίας ὁ βιασάμενος· ἡ δὲ κόρη ὑπάγει αὐτὸν τῷ τῆς αἰτίας θανάτου νόμῳ.

Πάλιν κατὰ τὴν αὐτὴν μέθοδον καὶ κατὰ τὴν ἀντινομίαν τὸν αὐτὸν τρόπον ταῖς ἄλλαις διαιρήσομεν· μία γὰρ ἡ τομὴ τῶν νομικῶν στάσεων κατὰ τὴν ἐμπίπτουσαν στάσιν δέχεσθαι τὴν διαίρεσιν. ὥσπερ καὶ ἐπὶ τοῦ προκειμένου ζητήματος· μετὰ γὰρ τὰς δύο προτάσεις τὰς

6 Ald. ἐννενοήσαμεν. 7 Ald. μεῖζον, omisso sq. ὡς.

1 Ald. Vind. χειραγωγοῦσα.

νομικὰς, τήν τε ἀπὸ τοῦ νόμου καὶ τῆς διανοίας, τοῦ ἑτέρου νόμου ἐπὶ τὴν ἐμπίπτουσαν στάσιν· ὥσπερ γὰρ διπλῆν ῥητὸν καὶ διάνοιαν τὰς πρώτας νομικὰς ζητήσεις κατασκευάσομεν· εἶθ᾽ οὕτως ἐπὶ τὴν ἐμπίπτουσαν στάσιν μετελευσόμεθα·[2] ζητήσεις τοιγαροῦν τὰς δύο προτάσεις· καὶ κατασκευάσαντες[3] ἐπὶ τὴν οἰκείαν τῷ προβλήματι στάσιν[4] μετελευσόμεθα. ζητήσεις τοιγαροῦν τὰς δύο πρώτας προτάσεις· καὶ κατασκευάσαντες ἐπὶ τὴν οἰκείαν τῷ προβλήματι μετελευσόμεθα ζήτησιν, ἥ τις ἐμπίπτουσα κατὰ συγγνώμην εὑρίσκεται. βία γὰρ καὶ πρόφασις ἐρωτικὴ τὸ γινόμενον, διὸ καὶ τοιαύτη τις ἄνωθεν ἡ διαίρεσις προφανήσεται. ΠΡώτη ἀντίθεσις· ἀλλ᾽ αἴτιος εἶ, φησὶ, θανάτου, πηροῦ τὴν χειραγωγὸν ὑφελόμενος. ΛΥσεις ὁρικῶς λέγων, ὅτι ἔστι τὸ αἴτιον εἶναι θανάτου· οἷον, τὸ εἶναι τὸ φάρμακον, τὸ ξίφει παρασχεῖν, ἐμπρῆσαι οἰκίαν, βόθρον ὀρύξαι, καὶ ὅσα τοιαῦτα. εἶτα μετὰ τὸ ὁρικῶς λῦσαι θήσεις ταῦτα τὰ ἀπὸ τῆς διανοίας τοῦ νόμου· ὅτι εἰ μὲν ἐχθρὸς ὢν ὑφειλόμην, αἴτιος εἰκότως τοῦ θανάτου γεγένημαι. εἰ δὲ μία μοι πρὸς τὸν πονηρὸν οὐδὲ πώποτε διαφορὰ γέγονεν, οὐχ ὕβρις, οὐ πρᾶξις, οὐ χρήματα, οὐ κοινὸν οὐδὲν, οὐ λύπη τις, οὐ πόλεμος, ἄνθ᾽ ὅτου καὶ τὴν τοιαύτην ἐγὼ καταφορὰν ἐπεχείρησα· ἔπειτα οὐδὲ κέρδος ἐμοὶ τὸ τελευτῆσαι τὸν πηρὸν ἐγένετο. τοὐναντίον δὲ βλάβη, τὸ λυπεῖσθαι τὴν κόρην, τὸ νομίζειν τοῦ γένους πολέμιον, τὸ τοῦ θανάτου δοκεῖν τῷ πατρὶ παρεσχηκέναι τὴν πρόφασιν, ὥστε ἐξ ἁπάντων ἐγὼ τῆς τοιαύτης αἰτίας ἀνεύθυνος· αὐτὸς δὲ τῆς τοιαύτης αὐτῷ συμφορᾶς συναίτιος, μὴ μείνας, μὴ χειραγωγὸν ἐπικαλέσας ἕτερον, μή τινος τῶν παριόντων λαβόμενος, ἀλλ᾽ ὁρμή-

2 Ald. Vind. μεταλευσόμεθα. 3 Ald. Vind. κατασκευάσεις. 4 Ald. Vind. στάσει.

σας πρὸς δρόμον, καὶ τῆς αὐτοῦ σωτηρίας μὴ φεισάμενος, μὴ τὴν ἀπειρίαν τῆς ὁδοῦ φυλαξάμενος, μὴ ταύτην ἐννοήσας τὴν συμφορὰν, μὴ προσκεψάμενος, ὡς καὶ βόθρῳ περιπεσεῖταί τινι ὡς ἔτυχε πορευόμενος· εἶτα ἐπὶ τούτοις ἐρεῖς· καὶ ζῶν ἂν ὠφέλησε τὸν βιασάμενον· ἔπαυσε γὰρ μὴ χαλεπαίνειν οὕτω κατὰ τοῦ βιασαμένου τὴν κόρην, χειραγωγὸν σχήσειν ἐλπίσας, καὶ δεύτερον ὑπηρέτην, σωτήριον, ἡγεμόνα, κατ᾽ οὐδὲν τῆς κόρης λειπόμενον, καὶ τὰ τοιαῦτα. ΜΕτὰ τὴν ἀπὸ τοῦ νόμου πρότασιν θήσεις δευτέραν ἀντίθεσιν· ἀπὸ τῆς διανοίας τοῦ ἑτέρου νόμου. ἀλλ᾽ οὐ ταῖς χειραγωγούσαις πατέρα
446 τυφλὸν διδόναι τὰς χιλίας τοῖς βιασαμένοις ὁ νόμος προςτέθεικε. Ἡ Λύσις ἀπ᾽ αὐτοῦ τοῦ νόμου· εἰ τὰς βιασθείσας ἁπλῶς λαμβάνειν χιλίας ὁ νόμος ἐκέλευσε καὶ διαφορὰν οὐδεμίαν ἐν τῷ νόμῳ παρέθηκεν. εἰ γάρ τι παρατηρεῖσθαι τοιοῦτον ἐκέλευσεν, οὐδὲν ἦν ἐμποδὼν προςθεῖναι τῷ γράμματι. πλὴν εἰ μή τις χειραγωγοίη πατέρα τυφλόν· νῦν δὲ τὸ καθόλου κεῖσθαι τὸν νόμον οὐδεμίαν τοιαύτην διαφορὰν τῷ γράμματι προςέθηκεν, καὶ ὑπαναγνώσεις τὸν νόμον, καὶ κατὰ μέρος ἐξετάσεις, μηδὲν τοιοῦτον τὸν νομοθέτην κεκελευκέναι σαφῶς, ἀλλ᾽ εἶναι κομψείαν ἄλλως τῆς κόρης τὰ ῥήματα. ἰστέον δὲ ὅτι ἐν πάσαις ταῖς ἀντινομικαῖς ἰσχυρὸν καὶ ἀναγκαῖόν ἐστιν ἐπιχείρημα, τὸ λέγειν ὅτι τοῦτον φυλάξαντες τὸν νόμον κἀκεῖνον φυλάξομεν, καὶ δεῖ τοῦτο τιθέναι τὸ ἐπιχείρημα. εἶτα τοῦτον κατασκευάζων τὸν νόμον, καὶ τὸν νομοθέτην ἐγκωμιάζων ἐπὶ τῷ γράμματι, ἐπὶ τὴν συγγνώμην σαφῶς εἰςβάλλεις, λέγων μηδὲν τοιοῦτον διειρηκέναι τὸν νόμον. ἔδει γὰρ τοὺς βιαζομένους τῷ ἔρωτι δουλεύοντας, καὶ μηδὲν τῶν κατὰ φύσιν βουλεύοντας,[5]

5 Ald. Vind. δουλεύοντα. Par. βουλεύοντα. scr. βουλεύοντας. et ἐξεστηκότας. Ald. ἐξεστηκότατα. Par. Vind. ἐξεστηκότα.

ἀλλ' ἁπλῶς ἐξεστηκότας τῷ πάθει, καὶ τῶν μὲν ἄλλων ἀπροόπτους τυγχάνοντας, πάντα δὲ δρᾶσαι καὶ παθεῖν ἀναπειθομένους ὑπ' ἔρωτος, εἶτα τὴν συγγνώμην πλατύνας, ὡς ἔνι μάλιστα ἀποστροφαῖς τε καὶ ποικίλοις ἐπιχειρήμασι· πῇ μὲν φυσιολογεῖν περὶ τοῦ πάθους, πῇ δὲ τὸν λόγον ἀποστρέφειν πρὸς τὴν κόρην. Εἶτα ἑτέραν θήσεις ἀντίθεσιν, τὴν ὅτι ἔδει προςελθεῖν τῷ πατρὶ μεταληπτικήν. Εἶτα λύσεις πάλιν τῇ συγγνώμῃ, ὅτι θεασάμενος ὥρμησα, κατασχεῖν τῆς[6] ἐπιθυμίας οὐκ ἴσχυσα, βουλεύσασθαί τι τῶν χρησίμων οὐ δεδύνημαι· εἰ δὲ μή τις οὐκ ἂν προςελθὼν ἐδεήθη τοῦ πατρὸς, καὶ τὸ πάθος καθωμολόγησε, καὶ τὸν ἔρωτα κατεμήνυσε.[7] νῦν δὲ πολὺς χορεύσας, καθ' ἡμῶν τῶν συμφερόντων οὐδὲν συνεχώρησεν.[8] ἔπειτα ὅτι ἄδηλον ἦν εἰ προςελθὼν ἂν ἠδυνήθην τυχεῖν, καὶ τὰ τοιαῦτα. Εἶτα θήσεις τοὺς ἐπιλόγους, ἐρωτικῶς τὴν πᾶσαν ἔχοντας διατύπωσιν καὶ παραμυθίαν τῆς τοῦ πατρὸς συμφορᾶς, καὶ γάμου ἐπαγγελίαν, καὶ ὁμονοίας ὑπόσχεσιν, καὶ βιων καὶ τῶν τοιούτων κατάστασιν χρηστὴν, καὶ τὰ τοιαῦτα.

## ΤΗ ΕΠΙΚΛΗΡΩι ΕΠΙΔΙΚΑΖΕΣΘΑΙ ΤΟΝ ΑΓΧΙΣΤΕΑ.

Πλέων τις μετὰ θυγατρὸς ὑπὸ λῃσταῖς ἐγένετο· μετὰ ταῦτα ἔπεμψεν εἰς τὴν ἑαυτοῦ, ἐπαγγελλόμενος δώσειν τὴν θυγατέρα πρὸς γάμον τῷ λυτρωσαμένῳ· πλεύσας τις ἐπὶ τὴν λύτρωσιν τὸν μὲν κατέλαβε τετελευτηκότα, τὴν δὲ λυτρωσάμενος ἐπανήγαγεν. ἀμφισβητεῖ τις τῶν ἀγχιστέων τῷ γάμῳ αὐτῆς, καὶ ἀντιλέγει ὁ λυτρωσάμενος.

Τὴν ἀντινομίαν ἐργάσῃ ἐν τοῖς πρώτοις κεφαλαίοις, ὥσπερ διπλῆν ῥητὸν καὶ διάνοιαν. ῥητοῦ γὰρ ἀντιτεθέν-

---

ης
6 Par. τε. 7 Ald. Vind. κατεμύνησε. Par. κατεμήνυσε.
8 Ald. Codd. συνεχόρησεν.

τος,[1] λύσεις τῇ διανοίᾳ. εἶτα ἀντίθεσιν θεὶς ἐκ τῆς διανοίας τοῦ οἰκείου ῥητοῦ λύσεις αὐτῷ τῷ ῥητῷ. εἶτα μετὰ ταῦτα τῇ συνεμπιπτούσῃ στάσει χρήσῃ πρὸς τὴν διαίρεσιν· ὥσπερ ἐνταῦθά ἐστι συνεζευγμένη πραγματική. τίς γὰρ μᾶλλον ὀφείλει λαβεῖν, ἐστὶ τὸ ζητούμενον, πότερον ὁ ἀγχιστεὺς ἢ ὁ λυτρωσάμενος. Ἡ κατάστασις ἀπὸ γνώμης ἐστὶ τοῦ πατρός· ὅτι εἰδὼς ὅπως εἰμὶ εὔνους αὐτῷ ἐγὼ, ἐκήρυξε τῷ λυτρωσαμένῳ δώσειν· τὴν γὰρ γνώμην ἐρεῖς. τίνος ἕνεκα ὁ πατὴρ περὶ τῶν λύτρων οὐκ ἐδήλωσεν· ἢ οὕτως· ἔχει δὲ ἡ κατάστασις τοῦ λυτρωσαμένου τὴν σπουδὴν τὴν ἄνωθεν, καὶ τὴν πρὸς τὸν πατέρα τῆς κόρης διάθεσιν· ταύτην γὰρ δίδωσιν αὐτῷ τὴν ποιότητα τὸ τὴν κόρην λυτρώσασθαι. διὸ καὶ τὴν ἄνωθεν πρὸς αὐτὸν φιλίαν ἐρεῖς, καὶ τὴν λανθάνουσαν πρὸς τὴν κόρην διάθεσιν· εἶτα τὴν ἀποδημίαν μετ' αὐτῆς τοῦ πατρὸς, καὶ τὴν ὑπὸ τοῖς λῃσταῖς ἅλωσιν· εἶτα τὴν πρὸς
447 τὴν λύσιν τοῦ πατρὸς προτροπὴν καὶ τὴν ἐπαγγελίαν τοῦ γάμου. ἐν οἷς καὶ πλάσεις, καὶ ἠθοποιΐαι ἐρωτικαὶ, καὶ τὰ τοιαῦτα. εἶτα ἐρεῖς, ὅτι ἐπεδήμησα καταφρονήσας τοῦ μισθοῦ· εἶτα τεθνηκότα τὸν πατέρα εὗρον· ἐν οἷς καὶ πάθη κινήσεις τινά· εἶτα ὅτι ἐλυτρωσάμην τὴν κόρην, ἐν ᾗ καὶ ἠθοποιΐαι πρὸς τοὺς λῃστὰς προτρεπτικαὶ τοῦ ἀφεῖναι τὴν κόρην. εἶτα ὅτι ἐπανήγαγον, καὶ λαβὼν ἀπὸ τῶν λῃστῶν ἔχω παρ' ἐμαυτῷ καὶ γαμῆσαι κωλύομαι.

ΜΕτὰ τὴν κατάστασιν θήσεις τὰς τῆς ἀντινομίας χαρακτηριστικὰς πρώτας ἀντιθέσεις. τουτέστιν αὐτὴν ἀντινομίαν·[1*] οἷον, ἀλλ' ὁ νόμος, φησὶ, τοὺς ἐπικλήρους τοῖς ἀγχιστεῦσι παρέχεται. Ἡ Λύσις ὁμοίως, ὥσπερ ἐν ῥητῷ καὶ διανοίᾳ, καὶ παντὶ ἁπλῶς ἐξ ἀντιθέσεως εὑρισκομένῳ ῥητῷ τῇ διανοίᾳ. οἷον, κατὰ συνδρομὴν πρῶτόν φημι καὶ αὐτός. ἀλλ' ἂν μὴ προκαταβληθείσης

---

νομίαν

1 Ald. ἀντιτιθέντος. 1* Par. ἀντίθεσιν.

εὐεργεσίας ὁ γάμος ἀμοιβὴ τυγχάνῃ, μηδὲ ὑπὸ τῶν λῃστῶν τις αὐτὴν ἀφέληται. εἶτα κατασκευάσεις[2] ταύτην τὴν διάνοιαν διὰ ποικίλων καὶ διαφόρων ἐπιχειρημάτων συστατικῶν τῆς διανοίας, τῷ λέγειν, εἰ δὲ ἐχθρὸς ἦν ὁ ἀγχιστεὺς, εἰ δὲ πλείονα εὐεργετήσας ἕτερα, εἰ δὲ καμὼν εἰς τὴν κόρην, εἰ δὲ κινδύνοις αὐτὸν παραβαλὼν, ὥσπερ ἐγὼ, εἰ δὲ καθάπερ ὠνησάμενός τις· ἧς ἄρα καὶ τοῦτον διὰ τὸν ἀγχιστέα ὁ νόμος ἀποστερεῖ οὐδαμῶς, ἀλλὰ δῆλον ὅτι τῷ ἀγχιστεῖ δίδωσιν. ἂν μηδὲν ἕτερον ἢ τοῦτον ἀντιβαίνων τὸν νόμον. Εἶτα θήσεις ἐξ ἀντιθέσεως τὴν διάνοιαν τοῦ οἰκείου ῥητοῦ. ἵνα λύσῃς[3] αὐτὴν τῷ ῥητῷ· ἀλλ' ὁ πατὴρ, φησὶ, τοῦ διδόναι τὴν κόρην ᾧ βούλεται κύριος μέχρις ἂν ζῇ, καὶ εἰλήφεισαν ἂν τὴν κόρην, εἰ ὁ πατὴρ περιῆν. Λύσεις τῷ ῥητῷ· δῆλον γὰρ ὅτι κειμένης τῆς ἀντιθέσεως διανοίας. ἡ λύσις ἂν ἐκ διανοίας ἐγένετο. οἷον, ἐκήρυξας δώσειν τῷ λυτρωσαμένῳ πρὸς γάμον, ὥσπερ τινὰ νόμον ἐπὶ τῆς θυγατρὸς τὴν ἐπαγγελίαν πεπλήρωκεν, καὶ οὐχ οἷόν τ' ἐστιν εἰπεῖν ὅτι ζῶντος μὲν ἐστιν ἡ ὑπόσχεσις κυρία, τελευτήσαντος δὲ ἄκυρος. εἰ μὲν γὰρ μηδὲ μιᾶς ἀφορμῆς ὑποκειμένης ἁπλῶς ἐπηγγείλατο, καλῶς εἶχε τοῦτο λέγειν· ἐπεὶ δὲ ἐπὶ τῷ λύσασθαι καθάπερ ἐπ' ἔργῳ τινὶ τὸν μισθὸν τοῦτον ἐκήρυξεν, οὐκ οἷόν τε λέγειν, ὅτι ζῶν μὲν ἐνέδωκε, τελευτήσας δὲ οὐκ ἔχει τὴν ὑπόσχεσιν μένουσαν, καὶ ὅσα τοιαῦτα. Εἶτα ἐλεύσῃ ἐπὶ τὴν πραγματικὴν, ᾗ τις συμπλέκεται τῇ ἀντινομίᾳ. ἀλλ' ἔμελλον, φησὶ, κἀγὼ τὴν κόρην λύεσθαι. Ἡ Λύσις· οὐκοῦν αὐτῷ αἴτιος. καὶ τὴν βραδυτῆτα μᾶλλον μὴ τὴν ὑπόσχεσιν αἰτιῶ· εἶτα ὅτι σὺ αὐτὸς ἐμὲ κρίνεις τοῦ γάμου ἄξιον, μελλῆσαι[4] πρὸς τὴν λύτρωσιν φάσκων· εἰ γὰρ καταμέμφῃ σαυτὸν ὡς μελλή-

2 Ald. Codd. κατασκευάσας. 3 Ald. Vind. λύσεις. Par. λύσῃς. 4 Ald. Codd. μελῆσαι. et v. sq. μελήσαντα.

σαντα, τί μὴ ἐπαινεῖς μᾶλλον ὡς σπουδάσαντα· εἶτα παραδείγμασιν, ὥσπερ ἂν εἴ τις ἐν ἀγωνίσμασιν, ἢ δρόμῳ τοῦ φθάσαντος τὸ ἆθλον γίνεται, καὶ ὅσα τοιαῦτα κατασκευαστικὰ τοῦ ὅτι ἄξιος μᾶλλόν ἐστιν οὗτος τοῦ γάμου ὁ ἀπολυτρωσάμενος. ΜΕτὰ ταῦτα οἱ ἐπίλογοι προτρεπτικοὶ τοῦ δοῦναι αὐτῷ τὴν κόρην, ἔχοντες καὶ ἀποτροπήν τινα τοῦ μὴ τῷ ἀντιλέγοντι παρασχεῖν, ἐν ᾧ καὶ σχήματα καὶ ἀποτυπώσεις τοῦ γάμου, καὶ πανηγυρικὰ πολλὰ καὶ συμβουλευτικὰ τοῖς πολίταις [5] λύεσθαι τοὺς ἐπαγγελομένους [6] τὸν γάμον· ἐν ᾧ [7] οὔτε ἐκεῖνοι [8] τοῦ λύσαντος ἀστοχήσουσιν, [9] οὔτε οἱ δεδωκότες τὰ χρήματα.

## ΕΙΣ ΤΟ ΕΝΑΝΤΙΟΝ Ο ΑΓΧΙΣΤΕΥΣ.

Ἡ κατάστασις ἔχει τὴν συγγένειαν καὶ τὰ γεγενημένα ἔν τισι διηγήμασιν. ἐπειδὴ γὰρ ἄνωθεν ἡμᾶς συνῆψε καὶ πρὸς συγγένειαν ἡ τύχη, καὶ τῆς συναφείας τοῦτο πρῶτον ἡμῖν ὁ δαίμων ἐπρυτανεύσατο, οὐκ οἶδα πῶς ὁ συγγενὴς, ὁ τῆς κόρης πατὴρ ἐκδημῆσαι πρὸ μικροῦ [1] ἐβουλεύσατο. εἶτα ὅτι ἐξελθὼν ὑπὸ λῃσταῖς ἐγένετο. εἶτα ὅτι περὶ τῶν λύτρων γέγραφεν εἰδὼς ἀκριβῶς, ὅτι πρὸ πάντων αὐτὸς ἀπαντήσω πρὸς σωτηρίαν αὐτῷ, καὶ τὰ τοιαῦτα· εἶτα ἐρεῖς ὅτι ἐπιβουλεύοντες ἔκρυπτον, ἐσιώπων· εἷς οὗτος ἦν ὅστις πρῶτον μαθὼν
448 ἐσπούδασεν, ὡς ἔνι μάλιστα κρύψαι τὴν ἐπαγγελίαν, λαθεῖν ποιῆσαι τὴν συμφοράν· εἶτα πόῤῥωθέν ποθεν μα-

ϑὼν

5 τοῖς πολίταις Ald. Vind. Par. om., est in Med. 6 Par. ἐπαγγελλομένους. 7 Ald. Vind. ἐν ᾧ οὖ οὔτε. Ven. sine lacuna: ἐν ᾧ οὔτε. Par. Med. ἐν ᾧ ὅτι οὔτε. 8 Ald. Codd. omnes ἐκεῖ-
ου
νον. 9 Ald. Vind. ἀστοχήσουσι. Par. ἀστοχήσωσι. 1 Med. πρὸς μικρόν. Par. πρὸ μικρόν.

*θὼν εἶπον πρὸς ἐμαυτὸν, τίς ταῦτα περὶ λύτρων οὐ δηλοῖ, τίς τῷ συγγενεῖ οὐ γράφει περὶ χρημάτων, ἀλλὰ φέρει τὴν δουλείαν ἐπαχθῶς, καὶ τὰ τοιαῦτα· εἶτα, ὅτι μέλλων καὶ παρασκευαζόμενος, εὐπρεπίσας τὰ χρήματα ἕτοιμος ἦν, ὡς δὲ λοιπὸν τῆς ἀποδημίας εἰχόμην, ἔμαθον ἐφθακέναι τοῦτον, καὶ τὸν πατέρα τῆς κόρης τετελευτηκέναι, καὶ τοῦτον εἰληφέναι τὴν παῖδα, τὴν ἐπίκληρον*[2] *λοιπὸν γενομένην, καὶ τὰ τοιαῦτα. οὕτως ὑπέστρεψα, οὕτω τὴν ἀποδημίαν ἐπέσχον, καὶ ὅσα τοιαῦτα. Εἶτα θήσεις τὸ ῥητὸν τοῦ ἐναντίου ἐξ ἀντιθέσεως. ἀλλὰ τῷ λυτρωσαμένῳ, φησὶν, ὁ πατὴρ καθυπέσχετο δώσειν τὴν κόρην. ΛΥσεις τῇ διανοίᾳ, ὅτι αἱ τοιαῦται ἐπαγγελίαι ἀβέβαιοί εἰσι, μέχρις ἂν ζῶσιν οἱ ἐπαγγελλόμενοι· οὓς καὶ πρὸς τὴν ὑπόσχεσιν καταναγκάσαι δυνατὸν ἦν. εἶτα ὅτι ἐπηγγείλατο δώσειν πρὸς γάμον, ἂν μηδεὶς ἀντιλέγῃ*[3] *τῶν συγγενῶν, καὶ ὅσα τοιαῦτα. ἐν ᾧ ὅτι ᾔδει τὸν τῶν κληρονόμων νόμον, καὶ ὅτι ἐμοὶ πρὸ πάντων ὠφείλετο τοῦ πατρὸς τελευτήσαντος. ΑΛΛ' ἐλυτρωσάμην, φησὶ, τὴν κόρην, ὅθεν ὁ νόμος οὐκ ἀφαιρεῖταί με τοῦ γάμου. ΛΥσεις τῷ ῥητῷ.*[4] *ὅτι ὁ νόμος εἶπε τοὺς ἀγχιστεῖς ἁπλῶς γαμεῖν τὰς ἐπικλήρους, οὐδὲν διορισάμενος, οὐδ' ὑποδιαίρεσιν οὐδεμίαν καταλιπὼν, ἀλλ' ἁπλῶς δοὺς τοῖς συγγενέσιν. καὶ τοῦτο εἰκότως. ἵνα μὴ ἁπλῶς ἑαυτὰς ἐπιδιδῶσιν*[5] *αἱ κόραι ἀγνῶσιν ἀσυνήθεσιν ἀνθρώποις, τούτου χάριν τοὺς συγγενεῖς γαμεῖν τὰς ἐπικλήρους ἐκέλευσεν, ὥστε περιττὸν τὸ λέγειν ἐλυτρωσάμην. εἰ μὲν γὰρ νῦν ἐπίκληρος οὐκ ἔστι τοῦτο, εἰπέ· εἰ δέ ἐστιν ἐπίκληρος, καὶ περὶ τούτων ὁ νόμος λέγει, καὶ*

---

2 Ald. *ἐπι καικλῆρον.* Vind. *ἐπὶ καὶ κλῆρον.* Ald. et Vind. *λοῖπον* (supra: *και κληρον*). Med. *ἐπίκληρον λοιπόν.* Par. *ἐπι λοιπόν.* 3 Ald. Vind. Med. *ἀντιλέγει.* Par. *ἀντιλε* (supra: *γ*). 4 *τῷ ῥητῷ* Ald. Vind. Par. om., recepi ex Med. 5 Ald. Codd. *ἐπιδιδοῦσιν.*

κηρύττει τὸν γάμον νυμφίου τὰ γράμματα, τίνος ἕνεκα σὺ φιλονεικεῖς,[6] καὶ ὅσα τοιαῦτα. ΑΛΛ' ἄξιος μᾶλλόν εἰμι λυτρωσάμενος. Ἡ Λύσις, ὅτι ἔφθασας τούτου χάριν, ἵν' ἔχῃς πρὸς ἐμὲ φιλονεικεῖν περὶ γάμου, καὶ σπουδή σοι γεγένηται τὸ λύειν. οὐ διὰ τὸν γάμον ἀληθῶς, ἀλλὰ διὰ τὴν πρὸς ἐμὲ βασκανίαν. εἶτα τοῦτο ὅτι κἀγὼ ποιεῖν ἔμελλον καὶ εὐτρεπίσθην, καὶ ὅσα τοιαῦτα. ΕΙτα ὁ ἐπίλογος, μὴ λῦσαι τὸν νόμον, μὴ ἄκυρον ποιῆσαι, μὴ διαλῦσαι τὴν συγγένειαν ὀμωκοκότας κατὰ τοὺς νόμους δικάζειν. εἶτα, ὅτι τάχα που καὶ ὁ πατὴρ ἕστηκε, καὶ ἥδεται καὶ σπεύδει τὸν συγγενῆ τὴν παῖδα λαβεῖν, καὶ ὅσα τοιαῦτα προτρεπτικὰ πρὸς τὸ δοῦναι τὴν κόρην. μὴ ἔστω δὲ ὁ ἐπίλογος χάριτος μελετητικῆς ἐκτὸς, μηδὲ διατυπώσεως τοῦ γάμου, μηδὲ γνωμῶν, ὅτι οὗτος μάλιστ' ἔστιν ὁ ἄριστος γάμος, ὁ κατὰ τὸν νόμον[7] καὶ τὴν συγγένειαν γιγνόμενος. καὶ διαβολὴν δὲ ἐδέχετο τοῦ ἀντιποιουμένου, καὶ ἀποτροπὴν τῶν δικαστῶν, ὥστε τῷ λυτρωσαμένῳ μὴ παρασχεῖν, καὶ ὅσα τοιαῦτα.

ΤΟΝ ΦΘΟρέα μυρίας ἀποτίνειν, καὶ αἰτίας θανάτου δίκας εἶναι.

Χειραγωγοῦσάν τις τὸν πατέρα πεπηρωμένον ἐβιάσατο ἁρπάσας. ὁ πηρὸς κατὰ κρημνῶν ἐνεχθεὶς ἀπέθανεν· ὁ μὲν ἀξιοῖ μυρίας ἀποτίνειν· ἡ δὲ οὐ λαμβάνουσα κρίνειν αὐτὸν αἰτίας θανάτου.

Ἡ διαίρεσις· πρῶτον ὁ κατήγορος τίθησιν ἐξ ἀντιθέσεως τὸ ῥητόν· εἶτα λύει αὐτὸ τῇ διανοίᾳ, καὶ τῷ οἰκείῳ ῥητῷ. εἶτα μετὰ τὸ οἰκεῖον ῥητὸν τίθησιν ἐξ ἀντιθέσεως αὐτοῦ τὴν διάνοιαν· εἶτα λύει αὐτὴν τοῖς ὁρικοῖς λέγων, ταὐτὸν εἶναι, ὅπερ ἐκεῖνος λέγει καὶ ὁ νόμος· εἶτα ἔρχεται ἐπὶ τὰς ἐκ τῆς ὕλης ἀνατυπούσας ἀν-

6 Ald. Vind. φιλονικεῖς. Par. φιλονεικεῖς. 7 τὸν et τὴν Med. om.

τιθέσεις. Ἡ Κατάστασις ἔχει τὴν ἀνατροφὴν τῆς κόρης ἐν παραδρομῇ καὶ διεξόδῳ, τὴν ἐξαίφνης γινομένην συμφοράν. εἶτα τὴν χειραγωγίαν τὴν παρὰ τῆς κόρης, καὶ τὴν παρ' αὐτῆς παραμυθίαν ἐν αὐξήσει γιγνομένην· εἶτα τὴν ἐξαίφνης ἁρπαγὴν, ἣν αὐξήσεις δεινοποιῶν· ἐν οἷς καὶ ἠθοποιΐα τοῦ πατρὸς βαρυτάτη, ὅτι ποῖος πόλεμος ἄρα, τί τὸ πραχθέν; τίς οὕτω τολμηρὸς καὶ ἀνόσιος, ὡς μόνον περιϊδεῖν πηρὸν ἀλώμενον; εἶτα τὴν ἐρημίαν αὐτοῦ, ἐν ᾗ καὶ ἑτέρα ἠθοποιΐα· πότερον βαδίσει 449
μή που περιτύχῃ τὴν κόρην· μᾶλλον δὲ, ὅτι ἡ φωνὴ τῆς κόρης ἐξεκαλεῖτο τὸν πατέρα, καὶ τολμηρότερον πεποίηκε πρὸς τὴν συμφοράν· εἶτα ὅτι ἀκολουθῶν ἀεὶ τῇ φωνῇ, καὶ πρὸς τὴν κραυγὴν τῆς κόρης τὴν πορείαν ποιούμενος, κατὰ κρημνῶν ἐνεχθεὶς ἐτελεύτησεν· ἐν οἷς τὰ πάθη κινήσεις, καὶ τὴν συμφορὰν ὡς οἷόν τε αὐξήσεις. ΜΕτὰ τὴν κατάστασιν θήσεις πρῶτον τὰς ἀντιθέσεις νομικάς· οἷον, ἀλλ' ἐβιασάμην, φησὶ, καὶ κατὰ τὸν νόμον δίδωμι τὰς μυρίας. ΛΥσεις τῇ διανοίᾳ· ὁ νόμος δίδοσθαι κελεύει τὰς μυρίας, ἐὰν βιάσηται κόρην ἐν πανηγύρει. μᾶλλον ἀδικῶν μὴ παραβαίνων τὸν νόμον, μηδὲ ἑτέρου αἴτιος θανάτου γιγνόμενος. ὅπερ ἐπὶ τοῦ παρόντος ἐποίησας, τὴν μὲν κόρην λαβὼν, τὸν δὲ πατέρα κατὰ κρημνῶν ἐάσας πεσεῖν, καὶ ὅσα τοιαῦτα ἀπὸ τοῦ οἰκείου νόμου κατασκευαστικά· ἐκ γὰρ τούτων καὶ τῶν τοιούτων ἅπαντα ἐποίσεις τὰ ἐπιχειρήματα. ΕΙτα θήσεις τὴν διάνοιαν ἐξ ἀντιθέσεως τοῦ ἑτέρου νόμου. ἀλλ' ὁ νόμος φησὶ κρίνεσθαι αἰτίας θανάτου τὸν αὐτὸν, ἢ ὤσαντα, ἢ ξίφος δόντα, ἢ φάρμακον, καὶ ἐᾶσαι πηρὸν πρεσβύτην κατὰ κρημνῶν πεσεῖν. ΕΙτα τῷ συλλογισμῷ, ὅτι ἴσον ἐστὶ τούτων ποιῆσαί τι, καὶ τῆς χειραγωγοῦ ἀφελέσθαι τὸν τῶν ὀφθαλμῶν γενόμενον ἔρημον. ΕΙτα τῇ γνώμῃ τῇ τοῦ νομοθέτου·[1] τοιγαροῦν

1 Ald. θανάτου. Vind. Par. νομοθέτου.

καὶ ὁ νόμος οὐκ εἶπε τὸ, ὁ ποιήσας αἴτιός ἐστι θανάτου, ἀλλ' ἁπλῶς ἐπὶ τῇ κρίσει τῶν πασχόντων καὶ τῶν πραγμάτων αὐτῶν πεποίηται τὴν διάκρισιν· εἶτα τῷ πηλίκῳ καὶ τῷ πρός τι· [2] οἰκείως δὲ καὶ προσεχῶς φαίνηται διαστάσεως. *Ἄλλη* ἀντίθεσις· ἀλλ' αὐτὸς ἑαυτοῦ αἴτιος, μὴ στὰς καὶ μείνας ἀφαιρεθείσης τῆς χειραγωγοῦ. Ἡ *Λύσις*· ὅτι πατὴρ ὢν, τῆς βοῆς αἰσθανόμενος ἐπέδραμεν εἰκότως ἐπιζητῶν ὑπεξελέσθαι τὴν κόρην, οἰόμενος αὐτὴν πλησίον εἶναί που, ἀφελέσθαι ταύτην βουλόμενος, καὶ ὅσα τοιαῦτα. *Ἀλλ'* ἐρασθεὶς, φησὶν, ἐποίησα. *Λύσεις* τῷ ἐναντίῳ· καί τοι οὐκ ἦν ἔρωτος ἄξιον, ἀλλ' ἐλέου καὶ οἴκτου τὸ τοιοῦτον· κόρη παρθένος πηρὸν χειραγωγοῦσα τὸν φύσαντα· εἰ δὲ ἀληθῶς ἔρως ἦν, ἔδει τῷ πατρὶ προσελθεῖν, πρὸς γάμον αἰτήσασθαι, ἐκλιπαρῆσαι, πεῖσαι, ὡς ἔνι μάλιστα, καὶ βιάσασθαι, καὶ ὅσα τοιαῦτα. Ὁ *Ἐπίλογος* προτρεπτικὸς εἰς τιμωρίαν, ὡς ἀσελγοῦς, ὡς ὑβριστοῦ, ὡς μηδὲν ἀνθρώπινον ἐπιδεικνυμένου. εἶτα ἡ διατύπωσις οἵα ἦν ἀποσπωμένη ἡ παῖς, οἷα ἔλεγεν. ὁ δὲ οἷος ἦν θαῤῥῶν τῷ πλούτῳ, καὶ ταῖς μυρίαις, καὶ τῇ περὶ αὐτὸν δυνάμει, καὶ ὅσα τοιαῦτα. τούτου μέμνησο τοῦ ἐπιχειρήματος, ὅτι τούτου φυλαχθέντος τοῦ νόμου, κἀκεῖνός ἐστι κύριος. καὶ ἐκ τοῦ ἐναντίου, ὅτι τούτου παραβεβασμένου τοῦ νόμου, κἀκεῖνος παραβέβασται. χρησιμώτατον [3] γὰρ καὶ ἀναγκαῖον τὸ τοιοῦτον ἐπιχείρημα ταῖς ἀντινομικαῖς.

## *ΕΙΣ ΤΟ ΕΝΑΝΤΙΟΝ Ο ΒΙΑΣΑΜΕΝΟΣ.*

Ὁ βιασάμενος ἐν τῇ καταστάσει συστήσει ἑαυτοῦ τὸ πρόσωπον. ταύτῃ δὲ τοῦτο ποιήσει, ἐπιεικῆ καὶ πρᾷον ἐκ τῶν βεβιωμένων ἐπιδεικνύων· τὴν δὲ βίαν ταύτην οὐ δι' ἀσέλγειαν, οὐδὲ ὕβριν, ἀλλὰ δι' ἔρωτα μᾶλλον πεποιηκέναι ἐνδεικνύμενος καὶ σύνοικον ἔχειν βουλόμενος·

2 Vind. καὶ τῷ πρόςεστι. 3 Ald. χρησημότατον.

εἶτα διοικήσεται τὴν ἁρπαγὴν οὐχ ἁπλῶς οὐδ' ὡς ἔτυχεν πεποιῆσθαι· ἀλλ' εἰδὼς ὡς οὐδὲν ὀνήσει προσιὼν, παρακαλῶν, καὶ ὅσα τοιαῦτα. εἶτα ὅτι θεασάμενος αὐτὴν ἐπὶ πλέον παρώξυμμαι· ἐν οἷς ἐρεῖς καὶ γνωμικὰ, ὅτι ἐν τῇ θέᾳ ἔρως ἐστί. καὶ ἐπιθυμία φαινομένης τῆς ἐρωμένης πέφυκεν αὔξεσθαι· ὅτι ἔλαβον, ἐβιασάμην, δίδωμι κατὰ νόμον τὰς μυρίας. ΕΙΤΑ θήσεις διάνοιαν τούτου· ἀλλ' ὁ νόμος, φησὶ, τὰς μυρίας ἐπὶ βίᾳ μόνῃ προσέταξεν. Ἡ λύσις τῷ ῥητῷ, ὅτι οὐ διῄρηταί τι τοιοῦτον οὐδὲν, οὐδὲ γέγραπται πῶς διδόναι, ἢ πότε μὲν δώσομεν, πότε δὲ μὴ, ἀλλ' ἁπλῶς εἴρηται τὰς μυρίας διδόναι τὸν βιασάμενον, καὶ ὅσα τοιαῦτα. εἶτα πάλιν ἔπαγε τὸν νόμον. ἐγὼ ἐβιασάμην, δίδωμι κατὰ νόμον τὰς μυρίας. Εἶτα θήσεις τὸν ἐναντίον νόμον ἐξ ἀντιθέσεως. ἀλλ' αἴτιος 450 γέγονας θανάτου, χειραγωγοῦσαν τὴν κόρην ὑφελόμενος, καὶ κριθήσῃ κατὰ τὸν νόμον. Ἡ Λύσις ὁρικὴ, ὅτι οὐ γέγονεν αἴτιος θανάτου τῷ πατρί. αἴτιος γάρ ἐστιν ὁ δοὺς τὸ ξίφος, ὁ φάρμακον, ἢ ὤσας κατὰ βάθρου, καὶ ὅσα τοιαῦτα. Εἶτα κατασκευάσεις τοῦτο ὁρικῶς, [ὅτι πολὺ [4] τοῦτο τοῦ πραχθέντος κατασκευάσῃ τοῦτο ὁρικῶς·] ὅτι οὐκ ἔστι τοῦτο αἴτιον θανάτου· εἶτα συλλογιστικῶς, ὅτι πολὺ τοῦτο τοῦ πραχθέντος ἀληθῶς αἴτιον θανάτου εἶναι κεχώρισται. εἶτα ὅτι οὐδὲ ὅλως δεινὸν τοῦτο, καὶ ὅσα τοιαῦτα. Ἀλλ' ἐπικουρῆσαί μοι βουλόμενος ἐβάδισεν. Ἡ Λύσις ἀπὸ τοῦ πάθους· ποία ἦν ἡ ἐπικουρία δυνατὴ μὴ ὁρῶντι ἀνθρώπῳ καὶ αὐτὸν ἐπιγνῶναι τὸ πάθος, καὶ ὅσα τοιαῦτα. εἶτα ὅτι ἔδει αὐτὸν ἐννοῆσαι ἰδεῖν, ὅτι οὐχ οἷόν τέ ἐστιν ἐρῶντος ἀνδρὸς ἀφελέσθαι τὴν κόρην, καὶ ὅτι οὐδ' εἰ ἑώρα δυνατὸς [5] ἂν ἐγένετο βιάσασθαι τὸν ἔρωτα. ἐν ᾧ ὅτι μέγας καὶ ἰσχυρὸς οὗτος ὁ θεός ἐστιν ὁ ἐπεγείρων πρὸς τὰ ἐπιχειρήματα, καὶ ὅτι τῶν ἐρώντων οὐδεὶς ὡς ἐνθουσιώντων περιγίνεται. Ἀλλ'

4 Vind. πολλύ. 5 Ald. δανατός.

ἐχρῆν, φησὶν, ἀνακοινώσασθαι τῷ πατρί. Ἡ Λύσις ὅτι ἐφοβήθην ἀποτυχεῖν, καὶ τὰς τῶν παρακαλουμένων εἶδον ἀνατάσεις, καὶ ἐνενόησα ὅτι παρακαλέσας καὶ ἀποτυχὼν φυλάττειν αὐτὸν ποιήσω ἐπὶ πλέον τὴν κόρην, καὶ ὅτι οὐκ ἔτι οἷός τε ἦν οὐδὲ τοῦτον αὐτὴν τὸν τρόπον λαβεῖν, καὶ τὰ τοιαῦτα. Ὁ ἐπίλογος ἔχει πάθος τοῦ πατρός. ἔχει δὲ καὶ προτροπὴν τοῖς δικασταῖς ὡς συγχωρῆσαι αὐτῷ, δοῦναι τὰς μυρίας ἀντὶ προικός. εἶτα πρὸς τὴν κόρην καὶ τοὺς δικαστὰς περὶ ταφῆς τοῦ πατρὸς διαλέξεται, καὶ ὅτι κοινῇ τοῦτον δακρύσωμεν, ὁμοῦ τοῦτον θρηνήσωμεν, τάφον ἐγείρωμεν ἐπίσημον, ἐπιγράψωμεν αὐτῷ ἐπιγράμματα, ὡς τυφλὸς ἦν, καὶ διὰ βίαν τινὸς τοιαύτην ἔσχε τὴν τελευτήν.

## ΠΑΙΔΕΣ ΥΒΡΙΖΟΜΕΝΟΙΣ ΤΟΙΣ

*Πατράσι βοηθείτωσαν*·[1] *καὶ τῷ ἀτίμῳ μὴ μετεῖναι δίκας.*

*Ἀτίμῳ τυπτομένῳ ὁ υἱὸς ἐπαμύνας, κρίνεται ὕβρεως ὁ παῖς.*

Ἡ συνεζευγμένη στάσις τῇ ἀντινομίᾳ τυγχάνει μεταληπτική, τοῦ παιδὸς λέγοντος· οὐκ ἔστιν αὕτη ἡ δίκη, ἧς τὸν πατέρα ἀπείργει[2] ὁ νόμος. οἷον τὸ ἐπαμῦναι, ἀλλὰ τὸ μὴ δέχεσθαι ἐν δικαστηρίῳ τιμωρίαν. διὸ καὶ ἡ κατάστασίς ἐστιν ἐν αὐτῷ πολλὴν ἔχουσα διάθεσιν αὐτοῦ πρὸς τὸν πατέρα, καὶ στοργὴν ἐκ τῆς ἀνατροφῆς, ἐκ τῆς παιδείας, ἐκ τῆς ἄλλης παιδεύσεως, εἶτα ὅτι κατ' ἐπιβουλὴν αὐτῷ τινες βασκαίνοντες ἄτιμον αὐτὸν πεποιήκασιν, ἵνα μὴ πολιτεύηται, ἃ καὶ διόλου οἰκονομήσεις ἐν τῇ καταστάσει· ὅτι εὔνους, ὅτι τηρῶν τοὺς νόμους, ὅτι δημοτικώτατος· διὸ καὶ παρὰ τῶν ἄλλων πολιτευομένων ἠτίμωται· ὧν εἷς καὶ οὗτος. εἶτα ὅτι ὑβριζόμενον αὐτὸν οὐ περιεῖδον, ἀλλ' ἐπήμυνα κατὰ τὸν νόμον, καὶ ἐβοήθησα τῷ πατρί· εἶτα λήψῃ τὸν δι' ἐναντίας νόμον

1 Ald. βοηθήτωσαν. 2 Vind. ἐπείργει.

ἐξ ἀντιθέσεως. Ἀλλ' ἐπήμυνας, φησὶ, τῷ πατρὶ δίκης τοῦ νόμου τοὺς ἀτίμους ἀποστερήσαντος. Λύσεις τῇ διανοίᾳ· τίνα δίκην ὁ νόμος λέγει, τὴν ἐν τοῖς δικαστηρίοις, τὴν ἐν ταῖς κρίσεσι καὶ κατηγορίαις, οὐχὶ τὴν παρὰ τοῦ παιδὸς βοήθειαν; εἶτα ὁρικῶς, ὅτι βοήθεια τοῦτο, [3] οὐχὶ δίκη· εἶτα ἐπάγεις καὶ τὸν οἰκεῖον νόμον· τοιγαροῦν τοῦτο εἰδὼς ὁ νομοθέτης, ὅτι δίκη αὕτη οὐκ ἔστιν, ἕτερον νόμον τὸν κελεύοντα ἐπάναγκες εἶναι βοηθεῖν τῷ πατρί. Εἶτα θήσεις τούτου τοῦ νόμου τὴν διάνοιαν ἐξ ἀντιθέσεως. ἀλλ' ὁ νόμος βοηθεῖν εἶπε τοῖς πατράσιν ἐντίμοις οὖσιν οὐκ ἀτίμοις. Ἡ Λύσις ὅτι οὐ τοῦτο μόνον ἐστὶ βοηθεῖν, ἀλλὰ ὑβριζομένοις βοηθεῖν. Εἶτα οὐδὲ διήρηκεν ὁ νόμος πῶς δεῖ βοηθεῖν, ἢ πότε, ἀλλ' ἁπλῶς βοηθεῖν. Φανερὰ δὲ ἡ λύσις ἐκ τοῦ προτέρου ζητήματος. εἶτα ὅτι καὶ ᾔδειν, ὅτι μάλιστα φυλάξας τὸν νόμον, ἕτερον οὐ παραβήσομαι. βοηθήσας γὰρ τῷ **451** πατρὶ οὐδεμίαν παράβασιν ἑτέρου νόμου ἐποιούμην, καὶ ὅσα τοιαῦτα. Ἀλλ' ἔδει παρακαλεῖν ὑπὲρ τοῦ πατρὸς, καὶ τοῦτον αὐτὸν βοηθεῖν τὸν τρόπον. Ἡ Λύσις ἀπὸ τοῦ πράγματος, ὅτι πατὴρ ὢν ὑβριζόμενος, τυπτόμενος, εἰς ὀργὴν, εἰς παροξυσμόν με κεκίνηκε, καὶ τὰ τοιαῦτα. Ὁ ἐπίλογος συμβουλευτικὸς περιϊδεῖν τὸν πατέρα, μὴ καταφρονῆσαι τῆς φύσεως· ἐν οἷς πολλοῖς ὑμῶν παῖδές εἰσιν, πολλοῖς δὲ καὶ πατέρες δικάζουσιν. καὶ ὅτι ἐννοεῖν τὴν φύσιν ἀκόλουθον· ἐν οἷς θήσεις καὶ διατύπωσιν τῆς ὕβρεως, τῶν πληγῶν, τῆς ἀτιμίας, καὶ τῶν τοιούτων. εἶτα καὶ ἐς ἔλεον ἐκκαλέσεις τὸν δικαστὴν μὴ διπλαῖς αὐτὸν περιβαλεῖν τιμωρίαις, μιᾷ μὲν τῇ τοῦ πατρὸς ἀτιμίᾳ, ἃ παθητικῶς διέξελθε. ἑτέρᾳ δὲ τῇ αὐτοῦ τιμωρίᾳ. ἀλλὰ δείξει κἂν ἄτιμοί τινες ὦσιν, οὐ πάντη τῆς ἀπὸ τῶν νόμων φιλανθρωπίας ἐστέρηνται, καὶ ὅσα τοιαῦτα.

---

3 Ald. τούτῳ. scr. τοῦτο.

εἶτα ὅτι ποίας ἀπέδωκα τῷ πατρὶ τὰς ἀμοιβάς; τῶν τροφῶν, τῆς παιδεύσεως, εἴπερ εἶδον αὐτὸν ὑβριζόμενον. καὶ ὅτι πλείστη ἂν κατ' αὐτοῦ διαβολὴ κατὰ τὴν πόλιν ἐγένετο, καὶ ὅτι εἶπον ἄν τινες καὶ πατραλοίαν [4] με ὡς ἀληθῶς, ὅτι τυπτόμενον τὸν πατέρα παρεῖδον, καὶ ὅσα τοιαῦτα. νῦν δέ με κἂν τιμωρήσησθε, [5] φέρω καὶ ταύτην ὑπὲρ τοῦ πατρὸς τὴν τιμωρίαν. ὑπομενῶ τὴν ψῆφον διὰ τὴν δίκην, καὶ ὅσα τοιαῦτα.

## ΕΙΣ ΤΟ ΕΝΑΝΤΙΟΝ Ο ΚΑΤΗΓΟΡΟΣ.

Ἡ κατάστασις καταφορικὴ τοῦ βίου, τῆς πράξεως τοῦ πατρὸς, καὶ ὅτι ἀξίως διὰ τὴν αὐτοῦ προαίρεσιν ἠτίμωται. τοιγαροῦν οὐκ ἐσωφρονίσθη οὐδὲ μετὰ τὴν τιμωρίαν, ἀλλ' ἐπιμένει κατὰ τῶν πολιτῶν. θρασύνεται γοῦν ὡς καὶ κατ' ἐμοῦ ἐθρασύνετο. εἶτα εἰδὼς ὅτι χαλεπὸν ἡ ὕβρις ἐλευθέρῳ ἀνδρί· εἶτα λέγεις, ὅσα ἐν τῷ κατὰ Μειδίου περὶ τῆς ὕβρεως· ὅτι κινεῖ, ἐξίστησιν ἀνθρώπους ἀήθεις ὄντας τοῦ προπηλακίζεσθαι. τοιγαροῦν αὐτὸν ἠμυνόμην ἀδικοῦντα, ὑβρίζοντα, ὃ δὲ δέον ἐπισχεῖν τὸν πατέρα, κωλῦσαι προπετευόμενον· ἐπεξῆλθεν, ὕβρισεν, δεινότερά μοι τοῦ πατρὸς παρέσχετο, εἶτα ἀκολούθως θήσεις τὸν νόμον. Ἀλλ' ὁ νόμος, φησὶν, ἐπάναγκες εἶπεν, βοηθεῖν τῷ πατρί. ΛΥσεις τῇ διανοίᾳ, ὅτι ἐν πολέμῳ καὶ οὐκ ἐν εἰρήνῃ. καὶ ἐπιτίμοις οὖσιν οὐκ ἀτίμοις, καὶ ἀδικουμένοις, οὐκ ἀδικοῦσιν ἅπαντα κατασκευάσει παραδειγματικῶς· καὶ πρὸς τούτοις ἐρεῖς, ὅτι καὶ ταῦτα δεῖ ποιεῖν, μὴ παραβαίνοντα νόμον ἕτερον· νῦν δὲ αὐτὸς παραβέβηκας· τοῦ γὰρ νόμου λέγοντος μὴ μετεῖναι δίκης τοῖς ἀτίμοις αὐτὸς ἐβοήθησας, καὶ τὰ τοιαῦτα. Εἶτα ἀντιθήσεις [1] τούτου τοῦ νόμου τὴν διά-

4 Ald. Codd. πατραλλοίαν. 5 Par. νῦν δέ με κατηγορήσητε. ad marg. κἂν τιμωρήσησθε. 1 Ald. Vind. ἀντιθήσειν. Par. ἀντιθήσεις.

νοιαν· ἀλλὰ δίκην ὁ λόγος λέγει τὴν τιμωρίαν. Ἡ ΛΥσις ὅτι οὐ τὴν τιμωρίαν μόνην λέγει· ἀλλὰ καὶ τὴν ἐκδικίαν καὶ τὴν βοήθειαν, καὶ ὅτι τοιοῦτον οὐδὲν διήρηται ἐν τῷ νόμῳ, καὶ ὅτι εἰ τοῦτο ἦν ἀληθὲς, καὶ τίς ἐν δικαστηρίῳ τιμωρίας ἀποστερεῖ τοὺς ἀτίμους; εἶπεν ἂν σαφῶς καὶ διαῤῥήδην ὃ βούλεται. νῦν δὲ τὴν κοινῶς καὶ κατὰ πάντων εἰπεῖν, καὶ τῆς τοιαύτης δίκης ἀποστερῶν τοὺς ἀτίμους ἐλέγχεται, καὶ ὅσα τοιαῦτα. εἶτα ὁρικῶς κατασκευάσεις ὅτι τοῦτο μάλιστά ἐστιν ἡ τιμωρία. ΜΕτὰ ταῦτα θήσεις συγγνωμονικὴν ἀντίθεσιν. ἀλλ' ἠλέησα, φησὶ, τὸν πατέρα τυπτόμενον. ΛΥσεις ὅτι εἰ ἠλέεις [2] τὸν πατέρα, ἐζήτεις ἂν ὅπως παύσει τὴν ὕβριν· οὐχὶ πλείονα τὸ ἐπαμύνειν κατ' αὐτοῦ παρεσκεύαζες, καὶ εἰ ἠλέεις ἐμὲ ἠξίους καθυφεῖναι, καὶ εἰ ἠλέεις αὐτῷ παύσασθαι συνεβούλευες. Ἐπίλογοι καταφορικοὶ, ὅτι παραπλήσιος οὗτός ἐστι τῷ πατρὶ, καὶ ἐὰν μὴ δῷ τιμωρίαν, πλείονα καθ' ἡμῶν ποιήσει κατὰ, ἣ ὁ πατὴρ πεποίηκε, καὶ τὰ τοιαῦτα.

## ΑΜΦΙΒΟΛΙΑ.

Ἡ ἀμφιβολία ὁμοίως ταῖς ἄλλαις διαιρεῖται διάνοιαν, τί μᾶλλον ἠθέλησεν εἰπεῖν. Λέοντι πάντα ἢ Πανταλέοντι [1] τἀμαυτοῦ καταλιμπάνω. εἶτα καὶ τὴν ὕλην ταῖς ἐμπιπτούσαις ἀντιθέσεσιν. ἐνίοτε δὲ οὐδεμίαν τιθεὶς ἀναφαίνεταί, ἐνίοτε δὲ καὶ τοῖς τελικοῖς διαιρεῖται τοῦτο μᾶλλον συμφέρον ὑμῖν. καὶ τοῦτο μᾶλλον 452
δυνατὸν ἢ ἐκεῖνο· ὡς ἐπὶ τὸ,

Τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα [2] Ζεύς.

καὶ τοῦ μὲν τὰς τριήρεις, τοῦ δὲ τὴν ἀκρόπολιν τειχίζειν βουλεύοντος, ἐν τοῖς Μηδικοῖς ἔχρησεν ὁ θεός.

Τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεύς·

---

2 Vind. ἠλέης. 1 Vind. παντελέοντι. 2 Vind. εὐριόπα. — Her. VII. 141. cfr. Tom. IV. p. 844.

καὶ ὁ μὲν συμβουλεύει τὰς ναῦς. ὁ δὲ ξυλίνῳ τείχει τειχίζειν τὴν ἀκρόπολιν. ἡ ἀμφιβολία τὰ ῥητὰ ἐν αὐτῇ στοχαστικῶς ἔχει κατασκευαζόμενα. εἶτα μέχρι τούτων ἵσταται τὸ ζήτημα τῆς ὕλης, μηδεμίαν ἐχούσης ἀντίθεσιν. ἢ ὥσπερ καὶ τοῖς ἄλλοις ἐκ τῶν λογικῶν, καὶ ἐκ τῆς πραγματευτικῆς. ὥσπερ ἐνταῦθα τοῦτο συμφορώτερον [3] μᾶλλον ἢ ἐκεῖνο· καὶ τοῦτο δίκαιον μᾶλλον ἢ ἐκεῖνο, καὶ ὅσα τοιαῦτα. οἷον, ὡς ἐπὶ τοῦ προκειμένου ζητήματος. μετὰ τὴν κατάστασιν ἥ τις ἔχει την διαίρεσιν φανερὰν, τὰ γὰρ μὴ δίκαια ἔστι καὶ φόβος. εἶτα ἡ ἐρώτησις ἡ εἰς τὸν θεόν· εἶτα ὁ χρησμός· ἐρεῖς προηγουμένως, ὅτι τὰς τριήρεις ὁ θεὸς εἶπε· ξύλινον γὰρ τεῖχος αἱ τριήρεις. ΕΙΤΑ ἀντίθεσιν τιθεὶς τὸ ἕτερον ῥητὸν οὐκ εἶπε, φησὶ, τὰς τριήρεις ὁ Πύθιος, ἀλλὰ φράξαι ξυλίνῳ τείχει τὴν ἀκρόπολιν. καὶ γὰρ προτοῦ ξυλίνῳ τείχει ἐπέφρακτο. Ἡ Λύσις στοχαστική. ὅτι τοῦτο οὐκ εἶπεν ὁ θεός· οὐδὲν γὰρ ἡμῖν τοῦτο τὸ τεῖχος χρησιμεύει εἰς τὸν πόλεμον· φανερὰ δὲ ἡ διασκευὴ τῆς λύσεως· τί γὰρ ἡμῖν τοῦτο τὸ τεῖχος χρησιμεύει τῆς θαλάσσης ἀνῃρημένης; τῶν ὅρων κατεσκευασμένων; τῶνδε πραχθέντων καὶ τῶνδε; εἶτα διασύρων τὸ τεῖχος τῆς ἀκροπόλεως. καὶ ὅτι οὐ δυνατὸν ἀντισχεῖν πρὸς τοσαύτην τοῦ βαρβάρου παρασκευήν· πρὸς τί γὰρ ἀντιβῆναι δυνήσεται, πρὸς πῦρ, πρὸς μηχανήματα; καὶ ὅσα τοιαῦτα. ΜΕτὰ ταῦτα θήσεις πάλιν ἑτέραν ἀντίθεσιν. ἀλλ' ἐργῶδες, τὸ τριήρεις κατασκευάσαι, καὶ καμάτου πολλοῦ καὶ τῶν τοιούτων. Ἡ Λύσις ὅτι οὐ δεῖ ζητεῖν εἰ ἐργῶδες, ἀλλ' εἰ τοῦτο δυνησόμεθα τοῦ βαρβάρου κρατῆσαι. Ο Ἐπίλογος προτροπὴν ἔχει ἐπὶ τὰς ναῦς, καὶ διατυπώσεις τὰς μάχας καὶ στοχαστικὰ πολλά. ὅτι οἱ θεοὶ συμμαχήσουσιν ἡμῖν· ἐκ μὲν τῆς πόλεως Ἀθηνᾶ, ἐκ δὲ τῆς Ἐλευσῖνος ἡ Δημήτηρ καὶ ὁ Ἴακ-

3 Ald. συμφερώτερον. — v. 31. Ald. ἴαχος.

χος· ἐκ Δελφῶν ὁ Πύθιος, καὶ τοῖς τοιούτοις. ἐρεῖς καὶ οἷα ἔσται καὶ μετὰ τὴν νίκην τὰ πράγματα, καὶ ὅτι τὴν ἡμετέραν γνώσονται σύνεσιν ἅπαντες Ἕλληνες, καὶ οἷον σχήσομεν φρόνημα, καὶ τὰ τοιαῦτα. Εἶτα ὁ συλλογισμὸς κατὰ τὴν διαίρεσιν, οὐδὲν διαφέρει τοῦ ὅρου πλὴν τοῦτο· ὅτι ἐν ἀρχῇ εὐθὺς τὸν συλλογισμὸν πρῶτον τίθησιν; ἴσον λέγων εἶναι τοῦτο ἐκείνῳ· εἶτα ὅτι ταὐτόν ἐστι καὶ ὁ νόμος τοῦτο λέγει. εἶτα τῷ πηλίκῳ, εἶτα τῷ πρός τι. ἐρεῖς οὖν ὅτι ἴσον ἐστὶ τὸ πραχθὲν τῷ ὑπὸ τοῦ νόμου εἰρημένῳ· εἶτα ὅρος, ὅτι ταὐτόν ἐστι τοῦτο ἐκείνῳ·[4] εἶτα γνώμην νομοθέτου· ὅτι τῇ διανοίᾳ ταύτῃ ἔθηκε τὸν νόμον, ἵνα καὶ οἱ ἐκ πόνου κωλύωνται.[5] εἶτα ἡ πηλικότης. εἶτα τὸ πρός τι· μεθ᾽ ἃ ζητήσεις, μή τις ἂν τῆς ὕλης ἐμπίπτῃ ἀντίθεσις· ἐνίοτε γὰρ εὑρήσεις καὶ συγγνωμονικὴν, καὶ μεταληπτικὴν, ἤ τινα τῶν λογικῶν μίαν ἢ δευτέραν γιγνομένην ἀντίθεσιν· ἃς χαρακτῆρι ὑποβαλὼν χαλεπὸν, ἅπερ οὐ τῆς τῶν πραγμάτων ὑπαρχούσης περιστάσεως· καὶ τῆς ὕλης μόνης τὴν τῶν ἀντικειμένων εὕρεσιν παρεχούσης τοῖς δυναμένοις ἐνορᾶν τὴν τῶν ὑποκειμένων πραγμάτων πλοκήν. τέμνε δὲ ἐπὶ παραδειγμάτων τὸν συλλογισμόν. ὁ ἄρχοντα τύψας ἀποτιννύτω μυρίας·[6] ὁ ἰδιώτην χιλίας· ἄρχων ἄρχοντα ἔτυψε. καὶ ὁ μὲν αἰτεῖ μυρίας· ὁ δὲ χιλίας δίδωσιν· ἡ κατάστασις ἡ τοῦ κατηγόρου ἔχει τὴν γνώμην τῶν θεμένων τὸν[7] νόμον τὸν περὶ τῶν πληγῶν, καὶ τὴν διαφοράν· τίνος ἕνεκεν ἐπὶ μὲν ἰδιώτου χιλίας ἔταξεν, ἐπὶ δὲ ἄρχοντος μυρίας· καὶ ἐρεῖς, ἵνα ἡ πόλις πανταχόθεν καθαρεύῃ τῆς ὕβρεως· εἶτ᾽ ἐπὶ πολὺ τοῦτον ἐπαινέσας τὸν νόμον, καὶ εἰπὼν, ὅτι οὔτε ἡ πόλις τῶν ὕβρεων κα-

4 Ald. Codd. ἐκεῖνο. 5 Ald. Codd. κωλύονται. 6 Ald. Codd. τιμωρίας h. l. et v. sq. — scr. μυρίας. 7 Ald. Vind. τῶν νόμων τῶν. Par. τῶν νόμων τόν.

θαρά, οὔτε οὐδὲν ἀλλήλους διατιθεμένων, ὧν κρατήσαντες οἱ πολέμιοι. μεταβαίνεις ἐπὶ [8] τὴν ὑποκειμένην περί-
453 στασιν. ἐρεῖς γὰρ, ἀλλὰ νῦν οὐκ οἶδα πῶς ὁ χρηστὸς οὑτοσὶ φέρων τὸ κοινὸν τῆς δημοκρατίας ἀξίωμα καταφρονήσαντος τοῦ νόμου· ὑπεριδὼν τοῦ γράμματος εἰς τὰς ὕβρεις, χορηγῷ μόνῳ χρησάμενος τῷ πλούτῳ ἐτύπτησε, πληγὰς ἐνεφόρησε, [9] προπηλακίζων τὸ σῶμα διέτριβε τῷ σχήματι, τῷ βλέμματι, τῇ πληγῇ πᾶσαν αἰκίαν ὑποβαλλόμενος· εἶτα προηγουμένως κατασκευάσεις καὶ τὸ ῥητόν. παρατηρητέον γὰρ τοῦτο ἀεὶ ἐν τῷ συλλογισμῷ, ὅτι προηγουμένως τὸ ῥητὸν κατασκευάζεται ἀεὶ τοῦ κατηγόρου καὶ τοῦ φεύγοντος. οἷον εἶτα τοῦ νόμου σαφῶς εἰπόντος μυρίας διδόναι τῷ ἄρχοντι χεῖρας ἀδίκους ἐπενεγκόντα. καὶ τοῦ γράμματος πρόςτιμον ὡρισμένον ἐπὶ τῶν ἀρχόντων διατυπώσαντος· οὕτως ἀντὶ τῶν μυρίων χιλίας ἀποτιννύειν [10] προῄρηται. οὐχ ὡς ἰδιώτην, ἀλλ᾽ ὡς ἄρχοντα πατάξας· ὡς ἕνα τινὰ τῶν ὀλίγων· ἀλλ᾽ οὐ τὸ κοινὸν ἀξίωμα τῆς πόλεως περικείμενον. καὶ δευτέραν παρανομίαν ἐπὶ [11] μαρτύρων ἐργάσεσθαι βούλεται. πρότερον παραβὰς τῇ προπετείᾳ τὰ γράμματα. νῦν δὲ ἐφ᾽ ἡμῶν τῷ προςτίμῳ, ἰδιώτην ἐμφαίνων τὸν τὴν ἀρχὴν ταύτην παρ᾽ ἡμῶν ἐμπεπιστευμένον, καὶ ὅσα τοιαῦτα. ΕΠιχειρήσεις δὲ καὶ ἐκ τοῦ ἐναντίου. ὅτι εἰ αὐτὸς ἦν ὑβριστὴς, πῶς ἂν εἰςῆλθε τὴν γραφήν; πότερον τὰς χιλίας ἢ τὰς μυρίας ἂν προετίμησε; καὶ ὅλως ἀγωνιστικώτερόν ἐστι τὸ κεφάλαιον· διὸ καὶ πολλῶν εὐπορήσεις ἐπιχειρημάτων μετὰ τὸ προηγούμενον. λέγε δὲ τὴν τοῦ ὁριστικοῦ κατασκευὴν, ἔρχῃ ἐπὶ τὰ ὁρικά· τὸν αὐτὸν τρόπον φύσεως ἔργον ἐργαζόμενος. οὐδὲν γὰρ διαφέ-

---

8 Ald. Codd. ὑπό. scr. ἐπί. 9 Ald. Codd. ἀνεφόρησε. scr. ἐνεφόρησε. 10 Ald. Vind. ἀποτινύειν. Par. ἀποτιννύειν. 11 Ald. Codd. ἐφ᾽ ἡ. praefixo asterisco in Ald. scr. ἐπί.

ρει, κατὰ τὴν ἐργασίαν τὰ κεφάλαια. πρῶτον οὖν θήσεις τὸν συλλογισμὸν διπλοῦν, ἀλλ' οὐδὲν διαφέρει ὑπὸ ἰδιώτου τυπτηθῆναι καὶ ἄρχοντος· ἢ οὕτως· ἀλλ' ἴσον ἐστὶν ἰδιώτην ἄρχοντα τυπτῆσαι, καὶ ἄρχοντα ἄρχοντα.[12] Ἀλλὰ τετύπτηκα, φησὶν, ἄρχων τυγχάνων τὸν ἄρχοντα. Ἡ Λύσις συλλογιστική· ὅτι οὐκ ἔστι ταὐτὸν ἰδιώτης καὶ ἄρχων. καὶ ὁ μὲν τὴν ἰδίαν ἔχει τύχην, ὁ δὲ τὴν κοινὴν τῆς πόλεως, καὶ τὸ ταύτης ἀξίωμα· καὶ ὅτι ἄρχοντα ἐτύπτησας καθ' οὗ καὶ τὰς μυρίας ὀφείλεις, καὶ ὅσα ἐν συλλογισμῷ, δεικνὺς ὅτι οὐκ ἔστι ταὐτό· εἶτα ἐπὶ τὸν ὅρον, ὅτι ταὐτόν ἐστιν· ὁμοίως γὰρ παισθῆναι[13] ἐστὶ καὶ τὴν αὐτὴν ὑπομένει[14] ὕβριν ὁ ἄρχων. καὶ οὐδ' εἰ[15] ἰδιώτης ἦν ὁ τυπτήσας, ἄλλη ἂν[16] ἡ ὕβρις ἐγένετο, ἐπὶ δὲ ἄρχοντος ἄλλη, ἀλλ' ἡ αὐτή ἐστι, καὶ τὸ πραχθὲν ἐστι τὸ αὐτό. εἶτα γνώμη νομοθέτου. καὶ ὁ νόμος εἶπε[17] τὸν ἄρχοντα τυπτήσαντα διδόναι μυρίας, οὐκ εἰπὼν, οὐδὲ περιεργασάμενος, πότερον ἰδιώτης ἐστὶν ἢ ἄρχων. καὶ ἂν μὲν ἰδιώτης, διδότω τὰς μυρίας· ἂν δὲ ἄρχων, διδότω χιλίας· ἀλλ' αὐτὸς ὁ πρὸς τὸν ἄρχοντα τυπτήσας διδότω μυρίας. καί τοι εἶχεν, ὡς σὺ φὴς, διαφορὰν, προσέγραψεν ἂν τοῦτο ὁ νόμος. καὶ ἐπὶ μὲν τῶν ἄλλων ἐτίθει τὴν διαφορὰν, καὶ ἔταττεν ἰδιώτῃ ὑβρισθέντι τοσόνδε πρόστιμον, ἄρχοντι δὲ τοσόνδε· ἐπὶ δὲ τοῦ παρόντος οὐκ ἐτίθει τὴν διαφοράν. ἀλλ' εἰδὼς ὅτι οὐδὲν διαφέρει ὑπὸ ἄρχοντος ὑβρισθῆναι, ἢ ὑπὸ ἰδιώτου τὸν ἄρχοντα, εἶπε τὸν ἄρχοντα τυπτήσαντα διδόναι μυρίας· καὶ ὁ νόμος οὐ πρὸς τὴν γῆν, ἀλλὰ πρὸς τὰς πληγὰς ἀπεῖδεν. εἶτα ἡ πηλικότης, ὅτι δεινὸν ἡ πληγή· καὶ τούτου τι χαλεπώτερον οὐκ ἂν γένοιτο. καὶ ἐρεῖς πάντα τὰ τὴν πηλικότητα

12 Vind. alterum ἄρχοντα om. — v. 8. Ald. τοσαύτης. scr. τὸ ταύτης. 13 Ald. πταισθῆναι. scr. παισθῆναι. 14 Ald. ὑπομένειν. scr. ὑπομένει. 15 εἰ Ald. Codd. om. 16 Ald. Codd. ἦν. 17 Ald. Codd. εἴπη.

κατασκευάζοντα ἐπιχειρήματα. ταῦτα δὲ φανερὰ ἐκ τῶν ὁρικῶν, καὶ τῆς Πορφυρίου τέχνης. εἶτα τὸ πρός τι, ὅτι χαλεπώτερόν ἐστι τὸ ὑπ' ἄρχοντος τυφθῆναι, ἢ ὑπὸ ἰδιώτου. ὁ μὲν γὰρ οὐ τολμᾷ, ἢ τολμήσας εὐθὺς δώσει τὴν δίκην· ὁ δὲ ἄρχων καὶ ἰσοτιμίᾳ θαῤῥῶν, καὶ ἐπιμένει καὶ ἐπαύξει τὸ δεινὸν, καὶ οὐδὲ παραχωρεῖ, οὐδὲ παύεται, ἄχρις ἂν κόρον λαβὼν τοῦ προπηλακίζειν τὸν ἄρχοντα ἀνύσει τὸ σπουδαζόμενον, καὶ ὅσα τοιαῦτα. εἶτα ἀντίθεσις συγγνωμονική. ἐπειδὴ γὰρ πληγαί εἰσι, δῆλον ὅτι πᾶς ὁ πληγὰς ἐπιφέρων ὀργῇ τοῦτο ποιεῖ. Καίτοι τοιαύτην θήσεις ἀντίθεσιν· ἀλλ' ὀργῇ, φησὶ, τοῦτο
454 τετόλμηκας. Ἡ Λύσις μεταληπτική· πρῶτον δὲ κατὰ ἀναίρεσιν θετικῶς· ὅτι ἔδει οὐδ' ὅλως ἀγανακτεῖν· οὐδὲ ἐπὶ τοσοῦτον ἐργάζεσθαι, ἄχρις ἂν πληγῇ διαλύσῃ τὴν ὁρμήν· οὐδὲ ὅλως προσῆκον κατὰ ὁμοφύλου τοιούτῳ πάθει κατέχεσθαι· πολλῷ δὲ πλέον καὶ κατὰ ἀρχόντων. εἶτα τὸ μεταληπτικόν. εἰ δὲ ὅλως ὀργὴ πρὸς ταύτην ἐκίνησε τὴν ἀγανάκτησιν, ἔδει κατηγορεῖν, ἔδει προσιέναι τῷ δήμῳ, ἔδει κατ' ἐμοῦ συγκροτεῖν δικαστήριον, καὶ ὅσα τοιαῦτα. Ὁ Ἐπίλογος καταφορικὸς, ὡς κατατυπτήσαντος, ἔχων καὶ διατύπωσιν τῶν πληγῶν.

## ΕΙΣ ΤΟ ΕΝΑΝΤΙΟΝ Ο ΑΠΟΛΟΓΟΥΜΕΝΟΣ.

Ὁ ἀπολογούμενος, τουτέστιν ὁ ἄρχων, ἐπιεικῆ ἑαυτὸν ἐπιδείξει καὶ πρᾷον, καὶ ἐπὶ μεγίστων, θρασὺν δὲ καὶ δεινὸν τὸν ἕτερον, καὶ τὸ σύμπαν εἰπεῖν αἴτιον τῶν γενομένων πληγῶν, καὶ ὅτι αὐτὸς εἰς τὸ χρήσασθαι ταῖς χερσὶ προηγάγετο καὶ τὰ τοιαῦτα. εἶτα ὅτι ὁ τυπτήσας οὖν κατὰ τὸν νόμον δίδωσι τὰς χιλίας· εἶτ' εὐθὺς ἐπάγει τὸ συλλογιστικόν· εἰ γὰρ ὁ τὸν ἑαυτοῦ κατὰ τύχην κρείττονα τυπτήσας δώσει τὰς μυρίας, τὸν ἰσότιμον ταὐτὸ τοῦτο δράσας δώσει τὰς χιλίας·[1] ταὐτὸν γάρ ἐστι

1 Ald. Codd. δώσει τὰς καταθήσεται.

τὸ πραχθέν. καὶ ὅπερ ἂν ἰδιώτης τυπτήσας ἔδωκε, τοῦτο αὐτὸς ἄρχων ὢν τὸν ἄρχοντα τύπτήσας δίδωμι, ὅπερ ἐστὶν ὅρος. εἶτα συγγνώμη τοῦ νομοθέτου. ὅτι καὶ ὁ νομοθέτης τοῦτο βούλεται· τὴν γὰρ τιμὴν ὁρῶν καὶ τὸ ἀξίωμα ἐκεῖνος τῷ μὲν ἔταξε τὰς χιλίας, εἰς τὸ ἰσότιμον τυπτήσαντι· τῷ δὲ τὰς μυρίας, ὡς τὸν κατὰ πολὺ τῇ τύχῃ κρείττονα. εἰ μὲν γὰρ οὖν κρείττων ἐστὶ τῇ τύχῃ, δίδωμι τὰς μυρίας. εἰ δὲ τὴν αὐτήν μοι ἔχει τιμὴν, περιττὸν πολυπραγμονεῖν· δοῦναι γὰρ κἀμὲ τὰς χιλίας ὁ νόμος προῄρηται· εἶτα τὸ, εἰ οὖν τις διαφορὰ, ἐπεσημήνατο ἂν ὁ νομοθέτης· νῦν δὲ μηδὲν ἐπισημηνάμενος, δῆλον ὅτι τὰς χιλίας ἐκτῖσαι κεκέλευκεν. εἶτα ἡ πηλικότης, ὅτι οὐδὲν δεινὸν οὐδὲ μέγα ἔπαθεν, καὶ ὅλως πράξεις καθαιρετικῶς τὸ κεφάλαιον, φάσκων ὀργὴν εἶναι τὴν αἰτίαν, καὶ ὅσα τοιαῦτα. ΜΕτὰ ταῦτα θήσεις ἀντίθεσιν ἀντιληπτικήν. ἀλλ' ἔδει, φησὶ, τὴν ὀργὴν ἑτέρως παραμυθήσασθαι. ΛΥσεις, ὅτι τὸ πάθος τούτου αἴτιον[2] καὶ ἡ ὀργὴ τὸ πρακτέον, μὴ συγχωροῦσα ἰδεῖν, ἀλλὰ τὴν παρουσίαν ταράττουσα, καὶ τὰ τοιαῦτα· ἐρεῖς δὲ ὅτι, εἰ γὰρ μὴ τούτου αἰτία ἦν ἡ ὀργὴ, διὰ τί οὐκ ἂν ἦλθον εἰς δικαστήριον; διὰ τί οὐκ ἂν ἐγραψάμην; εἰδὼς καὶ ἐμαυτὸν ὅτι τηρήσω ἀζήμιον καὶ τοῦτον μειζόνως τιμωρήσομαι, καὶ ὅσα τοιαῦτα. Ο 'Επίλογος παρακλητικός· μὴ ψηφίσασθαι τὰς μυρίας, καὶ ὅτι ἡ αὐτὴ τιμωρία ἐστὶ τὸ δοῦναι τὰς χιλίας καὶ τὰς μυρίας· ὁμοίως γὰρ ζημιοῦνται ὁ διδοὺς, καὶ ὅσα τοιαῦτα.

## ΟΝΟΜΑΣΤΙ ΜΗ Κωμῳδεῖν ὁ νόμος ἐκέλευσεν.

**Αὐτοπροσώπους[1] τις εἰςάγων τοὺς κωμῳδουμένους ὑπάγεται τῷ νόμῳ.**

Πάλιν κἀνταῦθα ἡ αὐτὴ διαίρεσις· ὥσπερ ἐν ὅρῳ οὐκ ἔστιν ἴσον ὀνομαστὶ κωμῳδῆσαι, ὅπερ ἐστὶ συλλογι-

2 Ald. Codd. αἴτιος. 1 Ald. Codd. αὐτοπροσώπ ου.

σμοῦ, οὐδὲ ταὐτὸν τὸ ὀνομαστὶ λέγειν καὶ πρόσωπα δεικνύναι ἁπλῶς· εἶτα ἡ γνώμη τοῦ νομοθέτου, ὅτι καὶ ὁ νομοθέτης εἶπεν ὀνομαστὶ μὴ κωμῳδεῖν· εἶτα ἡ πηλικότης· τὸ χαλεπώτατον κωμῳδεῖν καὶ δεινόν· εἶτα τὸ πρός τι· ὅτι χαλεπώτερον δεικνύναι πρόσωπα τοῦ ὀνομαστὶ λέγειν τοὺς κωμῳδουμένους· τῷ μὲν γὰρ ὀνόματι τυχὸν[2] ἄν τις καὶ ἀμφιβάλλῃ· τῷ δὲ προσώπῳ[3] οὐδαμῶς, αὐτὸν σαφῶς δεικνύντος τοῦ προσώπου τὸν κωμῳδούμενον καὶ οὐχ ἕτερον. Εἶτα θήσεις ἀντίθεσιν μεταληπτικὴν τὸ, σωφρονίζων αὐτοὺς τότε πεποίηκα. Καὶ λύσεις μεταληπτικῶς, ἑτέρως ἔδει ποιεῖν, κατηγορεῖν, συμβουλεύειν, πλήττειν, ὀνειδίζειν καὶ μὴ παραβαίνειν τὸν νόμον. Ὁ Ἐπίλογος ἀκολούθως καταφορικὸς, ἔχων καὶ διατυπώσεις, ἔχων καὶ ἠθοποιΐας, ἔχων καὶ οἷα οἱ ἑαυτοὺς ὁρῶντες ὑπομένουσι, καὶ τὰ τοιαῦτα.

455 *Νόμου ὄντος τοῦ κατὰ τῶν μοιχῶν· καταλαβοῦσα ἡ γυνὴ ἄνδρα μοιχεύοντα ἀπέκτεινε, καὶ κρίνεται φόνου.*

Νομίσειεν ἄν τις μεταληπτικὸν τυγχάνειν τὸ πρόβλημα, διὰ τὸ ζητεῖσθαι μόνον τὸ τῆς γυναικὸς πρόσωπον· πότερον ταύτῃ δίδωσιν ὁ νόμος ἀναιρεῖν τοὺς μοιχοὺς, ἢ τοῖς ἀνδράσι τῶν γυναικῶν· ἔστιν οὐχ οὕτως ἔχον[4] τὸ ζήτημα· συλλογισμὸς γὰρ ἡ στάσις, διὰ τὸ λέγειν ἐπίσης δεδωκέναι τὴν ἐξουσίαν καὶ ἀνδράσι καὶ γυναιξί· καὶ εἶναι τὴν ζήτησιν περὶ τὸ ῥητὸν, ὅπερ ἐν μεταλήψει οὐ γίγνεται, ὅπερ καὶ πρώην εἴπομεν· ὅτι πᾶσα νομικὴ διαίρεσις μετὰ τὴν ἐκ τοῦ ῥητοῦ πρότασιν τῇ ἐμπιπτούσῃ στάσει διαιρεθήσεται· αὐτὸ τοῦτο καὶ ἐπὶ τοῦ προκειμένου ζητήματος ποιήσομεν. ΕΣτι δὲ ἐν αὐτῷ πρώτη ἀντίθεσις ἡ ἀπὸ τοῦ νόμου. ἀλλ' οὐ σοὶ δέδωκεν ὁ νόμος τοὺς

2 Ald. Vind. τυχών. Par. τυχόν. 3 Ald. Codd. τὸ δὲ πρόσωπον. scr. τῷ δὲ προσώπῳ. 4 Ald. Vind. ἔχων. Par. ἔχον.

τοὺς μοιχοὺς ἀναιρεῖν. Ἡ Λύσις κατὰ τὸ ἴσον γίγνεται, ὅτι ἴσον ἐστὶ τὸ πρᾶξαι τοὺς μοιχοὺς ἀναιρεῖν τοῖς ἀνδράσιν, καὶ τὸ ταῖς γυναιξὶ δεδωκέναι τὴν ἄδειαν· εἰ γὰρ μὴ τοῦτο σαφῶς ὁ νομοθέτης ἐβούλετο, προεῖπεν ἂν, μὴ δεῖν τὰς γυναῖκας τοὺς μοιχοὺς ἀναιρεῖν, ἢ μόνοις τοῖς ἀνδράσι τοῦτο ποιεῖν· μετὰ ταύτην, ὅτι οὐδὲν διαφέρει ὑπὸ γυναικὸς ἢ ὑπὸ ἀνδρὸς τὴν τιμωρίαν γίγνεσθαι· καὶ τὸ μάλιστα ἐμοὶ δέδωκεν ἣν ἐλύπει μοιχεύων, καὶ ὅλως εἰς τὴν τοῦ ῥητοῦ λύσιν πάντα τὰ ἐκ τοῦ ὅρου ὅσα ἐμπίπτει ἕως τῆς πηλικότητος καὶ τοῦ πρός τι. ΜΕτὰ τὴν νομικὴν ζήτησιν καὶ τὴν λύσιν τὴν ὁρικὴν ἐμπίπτει ἀντιθετικὴ στάσις· τὸ ἀντέγκλημα κατ᾽ ἀκολουθίαν τῶν ὁρικῶν, ἣν ἑξῆς ἐργάσεται. Λύσει δὲ αὐτὸς ὁ κατήγορος ἀντίθεσιν πρὸς ἀντέγκλημα τιθεὶς τὴν μεταληπτικήν. ΕΔει κατηγορεῖν ἢ ἀνακοινοῦσθαι τῷ δήμῳ. ΛΥσει ἡ γυνὴ τῇ λύπῃ, τῇ ὀργῇ, τῷ καιρῷ, καὶ ὅτι οὐκ ἂν κατηγοροῦσα πάντως ἂν τιμωρίαν ἔλαβεν· ἄδηλα γὰρ τὰ ἐκ τῶν δικαστηρίων. καὶ ὅτι οὐδὲν ἂν ἕτερον ἐποίησαν οἱ δικασταὶ, κατὰ τοὺς νόμους δικάζοντες, ἢ θανάτῳ ὑπέβαλλον κατὰ τὸν νόμον, καὶ τὰ τοιαῦτα. ΜΕτὰ ταῦτα θήσεις τοὺς ἐπιλόγους, βαρύτητα ἔχοντας, καὶ τὸ συμφέρον ὑπὲρ τῶν γυναικῶν, ἵνα σωφρονῶσιν [5] οἱ ἄνδρες, καὶ μὴ διπλᾶ ἁμαρτάνωσιν, τὰς μὲν ὑβρίζοντες τῇ μοιχείᾳ, τὰς δὲ λυποῦντες οἷς ὑβρίζουσιν.

5 Ald. Codd. σωφρονοῦσιν.

*ΤΕΛΟΣ ΤΩΝ ΤΟΥ ΣΩπάτρου διαιρέσεων ζητημάτων.*

## II.

# ΚΥΡΟΥ

## ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΣΤΑΣΕΩΣ.

---

De Cyri vita et aetate nihil constat. Fabric. Bibl. Gr. T. VI. p. 103. et p. 128. ed. Harl. dubitat, utrum Cyrus Theodorus Prodromus, qui sub initia seculi post Christum natum duodecimi vixit, auctor hujus libelli putandus sit, an levis ille sophista, cujus Philostratus Vit. Sophist. II. p. 605. ed. Olear. mentionem facit parum honorificam: „Ἄγει με ὁ λόγος ἐς ἄνδρα ἐλλογιμώτατον, Δαμιανὸν, „τὸν ἐκ τῆς Ἐφέσου· ὅθεν ἐξηρήσθων Σωτῆροί τε καὶ „Σῶσοι καὶ Νίκανδροι καὶ Φαῖδροι, Κῦροί τε καὶ Φύ„λακες. ἀθύρματα γὰρ τῶν Ἑλλήνων οὗτοι μᾶλλον προσ„ρηθεῖεν ἂν, ἢ σοφισταὶ λόγου ἄξιοι." Priorem sententiam amplectitur Schoellius in hist. litt. Gr. T. III. p. 143. interpr. Germ.; mihi quidem Cyrus sophista, a Philostrato propter levitatem notatus, dignus exilis hujus libelli auctor esse videtur, in eademque opinione scribas veteres, qui Cyrum Sopatro constantem comitem adjungunt, fuisse arbitror. Theodorum Prodromum nudo Cyri nomine nusquam alias notatum inveni.

Cum editione Aldina eosdem, quos ad Sopatri *ζητήματα*, codices, Vindob. 84. Paris. 2976. contuli: sed hic quoque perinde ac in Sopatro codices multis locis depravatis nullam medelam attulerunt, ita ut multa ex conjectura emendanda essent.

# ΚΥΡΟΥ Ald. 456

## ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΣΤΑΣΕΩΣ.

### 1. ΠΕΡΙ ΚΑΤΑΣΟΦΙΣΜΟΥ.

Τὰς τοῦ κατασοφισμοῦ ζητήσεις στοχαστικὰς ὡς ἐπὶ τὸ πλεῖστον [1] εἶναι πάντες ἀπεφήναντο· οὐ γὰρ ζητοῦμεν, φασὶν [2], ἐν αὐταῖς τί ἐστιν τὸ κατασοφίσασθαι, ἵνα γένωνται οἱ ὅροι, ἀλλ᾽ ὁμολογουμένου τούτου, τοῦ [3] ὅτι κατασοφίσασθαί ἐστι τὸ ὅτῳ δὴ τρόπῳ ποιῆσαι τὸ κεκωλυμένον, ἡ ζήτησις πᾶσά ἐστι περὶ τοῦ εἰ ἑκὼν ἢ ἄκων ἐποίησε. Προκείσθω [4] δὲ παραδείγματος ἕνεκεν ἐκεῖνο τὸ ζήτημα· νόμος τὴν ὀρφανὴν μήτε τὸν ἐπίτροπον γαμεῖν, μήτε τὸν τοῦ ἐπιτρόπου παῖδα. ἐπίτροπος τὸν υἱὸν ἀπεκήρυξεν, ἐκεῖνος ἐβιάσατο τὴν κόρην· εἵλετο αὐτοῦ τὸν γάμον ἡ [5] παῖς· ἀνέλαβεν αὐτὸν μετὰ ταῦτα ὁ πατήρ· καὶ κρίνεται κατασοφισμοῦ· ὅτι μὲν γὰρ [οὐ] κεκώλυκεν ὁ νομοθέτης μὴ γαμεῖν τὸν υἱὸν τοῦ ἐπιτρόπου, γέγονεν· ἐκ τῆς τέχνης δῆλόν ἐστι, ζητεῖται δὲ εἰ ταῦτα γνώμῃ τοῦ ἐπιτρόπου γέγονε. καὶ πᾶσα ἡ διαίρεσις ἔσται στοχαστική· καὶ τοῖς τοῦ στοχασμοῦ κεφα-

---

1 Ald. ἐπιτοπλεῖστον constanter. 2 Ald. Codd. ζητοῦμέν φησιν. 3 Ald. Codd. τό. 4 Ald. Par. προςκείσθω. Vind. προκείσθω. 5 Ald. Codd. ὁ. exempl. Par. ad marg. ἡ παῖς.

λαίοοις τεμοῦμεν ζήτημα πλὴν τῆς τῶν ἐλέγχων ἀπαιτήσεως· ἐν γὰρ τοῖς γνωμικοῖς στοχασμοῖς τὸ κεφάλαιον τοῦτο ἐκλείπει· ὡς ἐπὶ τὸ πλεῖστον μὲν οὖν στοχαστικαί εἰσιν, ὡς ἔφαμεν, αἱ τοῦ κατασοφισμοῦ ζητήσεις· ἔσονται δέ ποτε καὶ ἀντιληπτικαὶ, ὡς ἐπ᾽ ἐκείνου τοῦ ζητήματος· ἐξῆν καὶ ἐκ δούλης παιδοποιεῖσθαι, ἔχων τις γνήσιον ἔσχεν καὶ ἐκ δούλης παῖδα· νόμου κελεύοντος, διανέμειν [6] μὲν τὸν πρεσβύτερον, αἱρεῖσθαι δὲ τὸν νεώτερον [7], διένειμεν ὁ γνήσιος ἀντιτιθεὶς τῇ λοιπῇ οὐσίᾳ τὴν μητέρα τοῦ ἀδελφοῦ· ἐκεῖνος εἵλετο τὴν μητέρα καὶ κρίνει τὸν νείμαντα κατασοφισμοῦ· οὐκ ἀρνεῖται ἐνταῦθα ὁ νείμας, ἀλλά φησιν, ὅτι καὶ κατ᾽ ἐξουσίαν διένειμα [8], καὶ δίκαιος ἡ διανομή· μητέρα γὰρ ἀντέθηκα [9] τοῖς κτήμασιν· καὶ ὅλως εὔηθες τὴν ζήτησιν οἴεσθαι εἶναι περὶ τὴν γνώμην τοῦ νείμαντος· πότερον ἑκὼν ἐποίησεν ἢ ἄκων· ὁμολογῶν γὰρ ἐκεῖνος τὸ πεποιηκέναι, τὸ κατ᾽ ἐξουσίαν προβάλλεσθαι· ἔσονται δέ ποτε καὶ συλλογιστικοὶ κατασοφισμοί· οἷον νόμος ἐκώλυεν ὀνομαστὶ μὴ κωμῳδεῖν τὰ πρόσωπα· τὶς αὐτὰ εἰσάγει· καὶ κρίνεται κατασοφισμοῦ· δῆλος μὲν γὰρ κατασοφισμὸς, ὅτι ἑτέρῳ τρόπῳ πεποίηκε τὸ κεκωλυμένον· διαιρεῖται δὲ τοῖς τοῦ συλλογισμοῦ κεφαλαίοις, τοῦ μὲν κρινομένου λέγοντος, μὴ εἶναι ἑαυτὸν ὑπεύθυνον τῷ ῥητῷ· μὴ γὰρ πρὸς ὄνομα κεκωμῳδηκέναι, τοῦ κατηγόρου λέγοντος, ὅτι ἴσον ἐστὶ τῷ κεκωλυμένῳ· ἐγὼ δὲ σὲ οὐ παρανομῶν κρίνω [10], ἀλλ᾽ ὅτι κατεσοφίσω αὐτὸ ποιῶν· τοῦτο δὲ ἄλλος ὅρον εἴρηκεν, οὕτως ὁριζόμενος·

---

6 Ald. Codd. διαμένειν. Correxi in Epist. crit. p. 45. Etiam in Graevii exemplari Aldino, quod Heidelbergae servatur, ad marginem adscriptum est: νέμειν. 7 Ald. Codd. πρεσβύτερον. Sensus postulat νεώτερον. 8 Ald. διένημα. 9 Ald. ἀντέθηκα. 10 Ald. Codd. οὐ παρανομῶν, κρίνων. scripsi κρίνω. ut c. III. fine: οὐ παρανομῶν σε κρίνω.

νόμος πρὸς ὄνομα μὴ κωμῳδεῖν· κωμῳδουμένου[11] τινός, ὁ δῆμος ἀνεβόησεν οἱ[12] δεῖν κωμῳδεῖν· ἔσονταί ποτε καὶ ἀντιστατικοὶ σοφισμοί, ὅταν ἐπὶ συμφέροντί τις κατασεσοφίσθαι λέγῃ· καθόλου τοίνυν ἰστέον ὅτι οἱ κατασοφισμοὶ ὡς ἐπὶ τὸ πλεῖστον στοχαστικοὶ ἔσονται, ἐνίοτε δὲ καὶ ἀντιστατικοὶ καὶ συλλογιστικοί, οὐ μὴν ὅροι.

### 2. ΠΕΡΙ ΔΗΜΟΥ ΑΠΑΤΗΣ.

Αἱ τῆς ἀπάτης ζητήσεις ὡς ἐπὶ τὸ πλεῖστον μὲν καὶ αὗται στοχαστικαὶ ἔσονται ζητούντων εἰ[1] ἑκὼν ἠπάτησεν ἢ ἄκων· οὐ μὴν ἀλλὰ καὶ ὅροι· καὶ πολλάκις εὑρεθήσονται, ὅταν ζητῶμεν, ὅτι ἐστὶ τὸ ἀπατᾷν· δύνανται δὲ καὶ ἀντιστατικαὶ γίνεσθαι, ἂν λέγῃ φεύγων, ἐξηπάτησε μέν, ἀλλ' ἐπὶ συμφέροντι· ὡς οἱ ἰατροὶ καὶ οἱ κυβερνῆται, εὐθυμίας ἕνεκα τῶν ὑποτεταγμένων· πρὸς δὲ καὶ οἱ στρατηγοί· ἔσονται δέ ποτε καὶ ἀντεγκληματικαί, ὅταν ὁ φεύγων ἀντεγκαλῇ τῷ διώκοντι ὡς ἀξίῳ ὄντι
ἀπατηθῆναι· οἷός ἐστι, φησίν, ὁ Θεμιστοκλῆς[2] ὁ ἀπά- 457
της ὑπὸ τῶν Λακεδαιμονίων ἐπὶ τῷ τειχισμῷ κρινόμενος· καθόλου τοίνυν ἰστέον, ὅτι οἱ τῆς ἀπάτης κρινόμενοι ἢ στοχαστικὰς ἢ ὁρικὰς ἢ ἀντεγκληματικὰς ἢ συγγνωμονικὰς τὰς ζητήσεις ποιήσουσι.

### 3. ΠΕΡΙ ΚΑΚΩΣΕΩΣ.

Αἱ τῆς κακώσεως δίκαι ὡς ἐπὶ τὸ πλεῖστον ἀντιληπτικαὶ ἔσονται, ἔχουσαι μὲν τύπῳ παραγραφικῷ τὸ ὁριστικὸν προκείμενον· οἷον ἐπ'[3] ἄλλοις ἡ κάκωσις ἐπὶ τὴν γυναῖκα ὑβρίζειν· ἢ προόδους αὐτῇ κωλύειν, ἢ τὴν προῖκα διαφθείρειν, ἢ ἄλλην ἐπεισάγειν γυναῖκα· ἀντιληπτι-

---

11 Ald. Codd. κωμῳδημένου. 12 Ald. Codd. ἀνεβόησε τοῦ.

1 Ald. Codd. ἤ. scr. εἰ. 2 Thuc. I. 90. sqq. 3 Vind. ἀπ' ἄλλοις.

καὶ δὲ οὖσαι μᾶλλον διὰ τὸ ἔχειν αὐτὸν τὴν ἐξουσίαν προβάλλεσθαι· οἷον ἐπεισάγων τις τοῖς παισὶ μητρυιὰν ἀπεκήρυξεν αὐτοὺς, καὶ κρίνεται ὑπ' αὐτῶν[4] κακώσεως, μετὰ τὰ προειρημένα ἐρεῖ ὅτε καὶ ἐξῆν· ἑξῆς καὶ εἰς τὸν νόμον ἡ ζήτησις· ὅπου γὰρ ἐπιλαμβάνεται νόμου, ἢ ἁπλῶς ἐγγράφου, ῥητὸν καὶ διάνοια ἀκολουθεῖ· ὅτι φόβου ἕνεκα νόμος κεῖται καὶ οὐκ ἀληθείας. εἰ δὲ καὶ πάντως[5] οὐ παρανομῶν σε κρίνω, ἀλλ' ὅτι τὴν γυναῖκα λελύπηκας.

## 4. ΠΕΡΙ ΚΑΚΟΥ ΒΙΟΥ.

Αἱ τοῦ κακοῦ βίου ζητήσεις ἔχουσι μὲν καὶ αὗται προηγούμενον τὸ ὁριστικὸν, ζητούντων ἡμῶν, τίς ὁ κακὸς βίος· εἰσὶ δ', ὅταν μὲν ἐφ' οἷς τις αὐτὸς πεποίηκε κρίνηται[6], ἀντιληπτικαὶ, ὅταν δὲ ἐφ' οἷς πεποίηκε, στοχαστικαί. παραδείγματα ἀμφοτέρων· ἀναιρεῖ τις τοὺς φυγάδας κατιόντας, καὶ τούτῳ χρώμενος κακοῦ βίου κρίνεται· προηγουμένων τῶν παραγραφικῶν, ὅτι οὐκ ἀφ' ἑνὸς δεῖ[7] κρίνεσθαι, ἀλλὰ πολλῶν καὶ τῶν καθ' ἑκάστην ἡλικίαν πεπραγμένων, ἕπεται τῷ ἀντιληπτικῷ, ὅτι ἐξῆν ἀναιρεῖν τοὺς φυγάδας· τοῦ δὲ στοχαστικοῦ παράδειγμα· συνεχῶς τις κηρυττόμενος κακοῦ βίου κρίνεται· τοῦτο γὰρ τοῖς τοῦ στοχασμοῦ κεφαλαίοις διαιρεῖται· γένοιντο δ' ἄν ποτε καὶ συγγνωμονικαί· οἷον ἐρασθέντι τῷ προγόνῳ μητρυιᾶς συνεχώρησεν ὁ πατὴρ καὶ κρίνονται οἱ τρεῖς κακοῦ βίου· ἰστέον οὖν ὅτι καθόλου ἡ ἀντίληψις· καὶ ἔσονται ἢ τινὲς τῶν δικαιολογικῶν ἢ στοχαστικαὶ ἢ συγγνωμονικαί.

---

4 Ald. Codd. αὐτοῖς. 5 Ald. Codd. πάντας. Mox Par. νενίκηκας. ad marg. λελύπηκας. 6 Ald. κρίνεται. scr. κρίνηται. 7 Ald. Vind. δέ. Par. δεῖ.

### 5. ΠΕΡΙ ΚΑΚΟΥ ΕΘΟΥΣ.

Αἱ τοῦ κακοῦ ἔθους ἀντιλήψεις εἰσί· ζητεῖται γὰρ ἐν αὐταῖς θετικῶς, εἰ[8] καλῶς ταῦτα ἔπραξεν, ἢ οὔ· ἄτοπον δέ φησι τὸ προστιθέναι, ὅτι ἐπ' ἄλλοις τὸ κακὸν ἔθος ἤδη προχωρήσει· αὔξεται δὲ ἀπὸ τῆς ἐξουσίας· καὶ ἀντιλήψεις μέν εἰσι τὸ μὴ παρὰ τοῦ μέλλοντος εἶναι ζήτησιν ἁπλῶς, ἀλλὰ κρίσιν τοῦ φανέντος ἤδη· ὅπερ ἐπὶ ταῖς δικαιολογικαῖς ὑπάρχει· πάλιν αὐτῶν τῶν δικαιολογικῶν ταύτῃ διαφέρουσιν· ἀντιλήψεις γίγνονται ὅτι ἐν ἐκείναις μὲν ὁμολογεῖται τὸ ἀδίκημα, ἐν ταύτῃ δὲ ζητεῖται εἰ[9] κακόν ἐστιν ἢ οὔ.

### 6. ΠΕΡΙ ΑΧΑΡΙΣΤΕΙΑΣ.

Αἱ τῆς ἀχαριστείας γραφαὶ ἔχουσι καὶ τὸ πῶς ἀχάριστος· ὅπερ ἐστὶν ὁριστικόν· εἰσὶ δὲ καὶ ἀντιλήψεις καὶ ἀντιστάσεις· ἀντιλήψεις μέν, οἷον ἀποκηρύκτων ἐξῆλθεν ἡ μήτηρ· ἐκεῖνος μισθοφορεῖ καὶ κρίνεται ὑπὸ τῆς μητρὸς ἀχαριστείας· ἄλλοι δέ φασι, συνεμπίπτειν μὲν τῇ ἀντιλήψει τὰς τῆς ἀχαριστείας γραφάς, μὴ χρῆναι δεῖν αὐτάς, ἄλλως τε γὰρ μᾶλλόν φησιν ὁ κρινόμενος, ἐν οἷς ἐξῆν αὐτὸν μὴ διαλῦσαι τὴν χάριν· ἄμεινον οὖν ἐν ταῖς τοιαύταις γραφαῖς ἐπὶ τὰς ἄλλας τὰς δικαιολογικὰς καταφεύγειν ἀντιστάσεις, ἀντεγκλήματα, συγγνώμας· ἄλλος δέ τίς φησιν, ὁριστικὴν μὲν εἶναι τὴν ἀχαριστείαν· ἂν γὰρ ὁρίσηται ὁ ἕτερος ὅτι ἀχαριστίας ἐστὶ τὸ δυνάμενόν τινα μὴ ἐκτῖσαι χάριν, οὐδὲν ἔχειν εἰπεῖν τὸν ἕτερον, ἀντιληπτικὴν δὲ οὐχὶ τὴν ἐξουσίαν ἀντιθέτως ἀλλὰ λέγοντος, ὅτι οὐ δικαίαν με χάριν ἀπαιτεῖ· καὶ τῆς ζητήσεως οὔσης περὶ τὸ δίκαιον.

---

8 Ald. Codd. ἢ. 9 εἰ Ald. Vind. om. Inserui ex meo.

458 ## 7. ΠΕΡΙ ΠΑΡΑΝΟΙΑΣ.

*Αἱ τῆς παρανοίας γραφαὶ ἀντιλήψεις εἰσὶν, ἔχουσαι καὶ αὗται τύπῳ παραγραφικῷ τὸ ὁριστικόν· παράδειγμα δὲ νόμος, καὶ ἐπὶ μητρὶ μοιχὸν καταλαβόντα ἀναιρεῖν· καταλαβὼν ὁ παῖς ἐπὶ τῇ μητρὶ ἀπέκτεινεν ἀμφοτέρους· ἐγράψατο αὐτὸν ὁ πατὴρ φόνου· οὐχ εἷλε, καὶ κρίνεται ὑπ᾽ αὐτοῦ παρανοίας. ἐρεῖ γὰρ ὅτι ἐξῆν μοι γράφεσθαι· εἶτα ἐπὶ τέλει θήσει τὸ ἀντιστατικὸν, ὅτι καὶ ὑπὲρ σοῦ· ἄλλος τις σφοδρότερον κατηγορήσει [1] καὶ πάλιν, ἐπικειμένου τοῦ ζητήματος· τρεῖς τις εἶχε παῖδας, ὁ πρεσβύτερος ἑταίρας ἐρῶν ἀπήγξατο· ὁ δεύτερος τῆς αὐτῆς ἐρᾷ· οὐκ ἀποκηρύσσει αὐτὸν ὁ πατὴρ καὶ κρίνεται ὑπὸ τοῦ τρίτου παρανοίας· ἐρεῖ γὰρ ὅτι ἐξῆν μοι καὶ ἀποκηρύσσειν καὶ μή.*

## 8. ΠΕΡΙ ΑΓΡΑΦΟΥ ΑΔΙΚΗΜΑΤΟΣ.

*Αἱ τοῦ ἀγράφου ἀδικήματος ζητήσεις ἀντιληπτικαί εἰσιν, ἔχουσαι τύπῳ παραγραφικῷ τὸ ὁριστικόν· ἐπιπλέκεται δὲ αὐταῖς καὶ ἀντιστατικόν· οἷον μανέντι τῷ πένητι καὶ ἀποκτείναντι τοὺς παῖδας ἔδωκεν ὁ πλούσιος σωφροσύνης φάρμακον, καὶ κρίνεται αὐτὸν ἀγράφου ἀδικήματος [2]· ἐνταῦθα γὰρ μετὰ τὸ εἰπεῖν τὸν κατήγορον, ὅτι ἄγραφόν ἐστι τὸ ἀδίκημα, τὸ ἐν μὲν τῷ νόμῳ μὴ γεγραμμένον, τοῖς δὲ ἔργοις γιγνόμενον, ἐρεῖ ὁ φεύγων, ὅτι ἐξῆν μοι σῶσαί τινα, εἶτα ἐπιπλέξει καὶ τὸ ἀντιστατικὸν, ὅτι καὶ ὑπὲρ τοῦ δήμου ἐποίησα· ὁ γὰρ τοὺς παῖδας φονεύσας οὐκ ἂν οὐδὲ τῶν ἔξω ἐφείσατο.*

---

1 Par. κατηγορήσει. Ald. Vind. κατηγορήσῃ. 2 Par. ἀγράφου. Ald. συγγράφου.

## 9. ΠΕΡΙ ΑΔΙΚΟΥ ΑΠΟΠΟΜΠΗΣ.

*Αἱ τῆς ἀδίκου ἀποπομπῆς γραφαὶ ἢ ἀδίκου ἐπιτροπαὶ ἢ ἀδίκου ἀπολείψεως [3] ταράξουσι μὲν τοῖς ὀνόμασιν· εὑρεθήσεται, φησὶν [4], ἐν ταῖς δικαιολογικαῖς πλὴν τῆς ἀντιλήψεως· πλὴν γὰρ ἐξουσίαν ὁ νόμος ἀναιρεῖ· τὰ πολλὰ δὲ ἀντεγκληματικὰ ἔσονται· δεῖ δὲ, φησὶν, ἐν αὐταῖς ζητεῖν [5], μή τι παραγραφικὸν ἐμπίπτοι [6], ὥσπερ ἐν ταῖς τοῦ κακοῦ βίου γραφαῖς· ὅτι μηδεὶς ὀφείλει [7] ἐφ᾽ ἑνὶ δι᾽ εὐθυνῶν [8] εἶναι τοῦ βίου παντὸς, ἀλλὰ καὶ ἐπὶ πολλοῖς, καὶ ὅλως τῷ βίῳ.*

## 10. ΠΕΡΙ ΑΙΤΗΣΕΩΣ ΔΩΡΕΑΣ.

*Αἱ τῶν δωρεῶν αἰτήσεις, ἐὰν περὶ τοῦ τρόπου τῆς δωρεᾶς ζήτησιν ἔχωσι, πραγματικῆς εἰσι στάσεως· ἐὰν δὲ περὶ τοῦ δεῖν ὅλως τιμηθῆναι, ὁριστικῆς [9] ἔσται, φησὶ, καὶ κατὰ ῥητὸν καὶ διάνοιαν· παράδειγμα τούτων πραγματικῆς μὲν, ἑταίρα τύραννον ἀποκτείνασα αἰτήσει γέρας ἀριστεῖ γαμηθῆναι· περὶ γὰρ τοῦ τρόπου τῆς δωρεᾶς καὶ ἡ ζήτησις· ὁριστικῆς δὲ, ἀριστεὺς ᾔτησεν ἀλλοτρίαν γυναῖκα, ἔλαβεν, ἀπῆγξεν ἑαυτὴν ἡ γυνή· ἄλλην αἰτεῖ δωρεάν· περὶ γὰρ τοῦ εἰ ὅλως δεῖ λαβεῖν ἡ ζήτησις· ῥητοῦ δὲ καὶ διανοίας· δορυφόρος ἀποκτείνει τύραννον· ὁ μὲν γὰρ τῷ ῥητῷ χρῆται, ὁ δὲ τῇ διανοίᾳ, λέγων, ἐπὶ τοῖς ἀνευθύνοις τὴν δωρεὰν αἰτεῖσθαι· ἔσται δέ ποτε καὶ συνεζευγμένη ἐκ πραγματικῆς, ἢ ὁριστικῆς, ἢ νομικῆς· οἷον τὸν τρεῖς κλέπτας ἐλέγξαντα δωρεὰν*

---

3 Ald. Vind. Par. ἀπέλειψε. in Ald. praefixus asteriscus. scripsi ἀπολείψεως. 4 Ald. ευρεθήσεταί φησι. 5 Ald. ζειτεῖν. 6 Par. ἐμπίπτοι. Ald. Vind. ἐμπίπτει. 7 ὀφείλει Ald. Codd. om. 8 Ald. Vind. διευθύνων. Par. διεύθυνον. scripsi ὀφείλει ἐφ᾽ ἑνὶ δι᾽ εὐθυνῶν εἶναι. 9 Ald. Codd. ὁριστικοῖς.

λαμβάνειν· δύο τις ἐλέγξας ἤλεγξε [10] τρίτον ἑαυτὸν, καὶ αἰτεῖ εἰς τὸ γέρας σωθῆναι· πρώτη γὰρ ἡ πραγματικὴ λεγόντων ἡμῶν, εἰ καὶ ἔξεστί σοι γέρας λαβεῖν· ἀλλ' οὐ τοῦτο ὅπερ ἡ πραγματικὴ, νῦν δὲ οὐκ ἔξεστί σοι· οὐ γὰρ ἄλλον ἤλεγξας, ἀλλὰ σεαυτὸν, καὶ οὐδ' ἤλεγξας [11], ἀλλ' ὡμολόγησας· [12] τοῦτο ῥητὸν καὶ διάνοια καὶ ὅρος· ἐὰν δὲ ἐναλλὰξ εἴποις, οὐκ ἔξεστί σοι προςλαβεῖν. εἰ δὲ καὶ ἔξεστιν, οὐ τοῦτο ἐν τῷ οὐκ ἔξεστιν ἀνασκευάσεις τὸ ἤδη προκατεσκευασμένον.

### 11. ΠΕΡΙ ΠΡΟΣΑΓΓΕΛΙΩΝ.

Αἱ προςαγγελίαι, ἐὰν μὲν οἰκέτην τις προςάγῃ, ἀντιληπτικαὶ [1] ἔσονται, ὡς ὁ ἀττικίζων [2] οἰκέτης, καὶ προςαγόμενος ἦν, ἤ τις τῷ δικαιολογικῷ, ἐὰν δὲ αὐτόν τις προςαγγέλῃ, πραγματικῆς ἔσονται στάσεως.

### 12. ΠΕΡΙ ΤΙΜΗΣΕΩΝ ΚΑΙ ΑΝΘΥΠΟΤΙΜΗΣΕΩΝ.

459 Αἱ τιμήσεις καὶ ἀνθυποτιμήσεις πραγματικαί εἰσι· δῆλον γὰρ ὅτι προκατενεχθείσης ἑτέρας ψήφου ἡ ζήτησις, πότερον ταύτης ἐστὶ τῆς τιμωρίας, ἢ ἑτέρας ἄξιος.

### 13. ΠΕΡΙ ΑΠΟΚΗΡΥΞΕΩΝ.

Αἱ ἀποκηρύξεις ποτὲ μὲν συγγνωμονικαὶ ἔσονται ὡς ἐπὶ τοῦ ἐρῶντος καὶ ἀποκηρυσσομένου [3], ποτὲ δὲ ἀντιληπτικαὶ, ὡς ἐπὶ τοῦ συνεχῶς ἀποδημοῦντος καὶ ἀποκηρυσσομένου, ποτὲ δὲ ἀντιστατικαὶ, ὡς ἐπὶ τοῦ φυγάδος ὄντος τοῦ πατρὸς, ἐπὶ τοῖς ὁρίοις φαινομένου μετὰ ξίφους, καὶ μετὰ τὴν κάθοδον ἀποκηρυσσομένου, καὶ ὅλως ὑπόκεινται, φησὶ, ταῖς δικαιολογικαῖς· ἔσονται δὲ πραγματικαί· οἷον ἀπεκήρυξέ τις

10 Ald. ἔλεγξε. 11 ἀλλὰ σεαυτὸν, κ. οὐδ' ἤλεγξας Ald. Vind. om., recepi ex Par. 12 Ald. ὁμολόγησας.

1 Ald. Codd. ἀντιληπτικά. 2 Par. ἀττικί οἰκέτης. 3
σσ
Par. ἀποκηρυττομένου.

τὸν παῖδα μανέντα, ἀνέλαβε σωφρονήσαντα, πάλιν ἀπεκήρυξεν. ἐνταῦθα γὰρ μὴ εἶναι κατηγορίαν, οὐδ' εἰ ἠδίκησε ζητεῖσθαι, ἀλλὰ πραγματικῶς, εἰ τὸν ἅπαξ ἀναληφθέντα οὐκ ἔτι δεῖ ἀνακηρύττεσθαι· ἐὰν ἄλλο μὴ ᾖ καινὸν ἔγκλημα, ἢ οὐκ ἀποκηρύττει, ἀλλ' ἀποδίδωσι τὴν προτέραν ἀποκήρυξιν· καὶ τὸ μὲν ἀδικεῖν τότε ἐκρίθη· ἀκόλουθον δὲ σώζειν τὰ κεκριμένα, ἢ ἔλυσεν αὐτὰ τοῦ κελεῦσαι· ἐνταῦθα γὰρ οὐκ ἔστιν ὡς ἐπ' ἀδικήματι κατηγορία· οὐδὲ τοῦ εἰ ἀδικεῖ ζήτησις, ἀλλ' ἐπὶ τοῖς οὕτω πεπραγμένοις τι ποιητέον ἐστίν.

## 14. ΠΕΡΙ ΔΟΚΙΜΑΣΙΑΣ.

Αἱ δοκιμασίαι, ἐὰν μὲν ἐκ ῥητοῦ ὦσι, πραγματικαί εἰσι, καὶ διαιροῦνται τοῖς τοῦ ἐγκωμίου κεφαλαίοις· οἷον μετὰ τὰ κατὰ Κύζικον Ἀλκιβιάδης δᾳδουχεῖν δοκιμάζεται· ἐὰν δὲ μετὰ ῥητοῦ, ὁριστικαί· οἷον, νόμος τὸν ὁλόκληρον ἱερᾶσθαι·[4] οὐ γελᾷ τις καὶ δοκιμάζεται.

## 15. ΠΕΡΙ ΒΟΥΛΗΣ.

Αἱ τοῦ βουλεύεσθαι ζητήσεις οὐκ ἀεὶ πραγματικαί εἰσιν, ἀλλ' ἔσονταί ποτε καὶ ἄλλης στάσεως· οἷον ἐν λιμῷ καὶ πολιορκίᾳ ἐψηφίσαντο τοὺς ἀχρήστους ἀποκτεῖναι. ἠρίστευσέ τις τῶν χειρῶν ἀφῃρημένος, καὶ βουλεύονται· ἀπὸ γὰρ τοῦ ῥητοῦ ἡ ζήτησίς ἐστι, πότερον τοὺς γέροντας καὶ τὰς γυναῖκας μόνας ἀνῃρῆσθαι[5] δεῖ, ἢ καὶ τοὺς ἄνδρας, ἂν ὦσιν ἄχρηστοι· εἶτα τὸ ὁριστικόν· εἰ μηδὲ[6] ἄχρηστος οὗτος.

## 16. ΠΕΡΙ ΤΩΝ ΑΜΦΙΣΒΗΤΗΣΕΩΝ.

Αἱ ἀμφισβητήσεις, ἐὰν μὲν περὶ τοῦ τῆς ἐπιτηδειό-

4 Ald. Vind. γεράσθαι. Par. per corr. ἱερᾶσθαι. 5 Ald. Vind. ἀνῃρεῖσθαι. Par. ἀνῃρῆσθαι. 6 Par. εἰ μηδέ. Ald. Vind. εἰμὶ δέ.

τητος, εἴ τις[7] μᾶλλον ἄξιος, ἢ ὅλως τὰς ζητήσεις περὶ μέλλοντος ἔχουσι, πραγματικαί εἰσιν, ὡς ἐπὶ τούτου· ἔδοξε βασιλεύεσθαι τὴν Ἑλλάδα· Ἀρχίδαμος[8] καὶ Περικλῆς ἀμφισβητοῦσι, καὶ διαιρεθήσονται τοῖς τῶν προσώπων τόποις· ὅταν δὲ περὶ τοῦ τί ἐστιν ἀμφισβητῶσι, καὶ περὶ παρεληλυθότος ἐστὶ χρόνου ἡ ζήτησις, τότε ὁριστικαὶ ἔσονται· οἷον τύραννος ἐρῶν γυναικὸς σχηματίσας δορυφόρον καὶ καταλιπὼν ἐπὶ τῆς ἀκροπόλεως κατῆλθεν αὐτὸς πρὸς τὴν γυναῖκα· κατὰ τὸν αὐτὸν χρόνον καὶ ὁ τῆς γυναικὸς ἀνὴρ εὑρὼν ἐκεῖνον[9] ἐπὶ τῆς οἰκίας κτείνει, καὶ ἕτερος ἐλθὼν ἐπὶ τῆς ἀκροπόλεως ἀπέκτεινε τὸν δορυφόρον ὡς τύραννον, καὶ περὶ τοῦ γέρως ἀμφισβητοῦσιν·[10] ἐνταῦθα γὰρ περὶ τοῦ τίς ὁ τὸν τύραννον ἀποκτείνας οὐ τίς ἐπιτηδειότερος ζητοῦσι· καὶ τῶν μὲν ἑκατέρων, πῇ μὲν πέπρακται, τῷ[11] δὲ λείπει· τοῖς δὲ ὁλόκληρά ἐστι τὰ πεπραγμένα.

## 17. ΜΕΘΟΔΟΣ ΕΠΙ ΤΑΣ ΕΥΡΕΣΕΙΣ ΤΩΝ ΣΤΑΣΕΩΝ.

### a. Στοχασμός.

Ἐὰν ὁ κρινόμενος πάντη ἀρνῆται[1], καὶ ἡ ζήτησις ᾖ περὶ τοῦ εἰ[2] γέγονε τὸ πρᾶγμα ἢ ἔσται, καὶ μὴ συμφωνῇ τὸ σημεῖον τῷ ἐγκαλουμένῳ, ἢ τὸ κρινόμενον ἀφανές ἐστι, στοχασμὸς ἔσται.

### b. Ὅρος.

Ἐὰν δὲ τὰ μὲν ὁμολογῇ ὁ κατήγορος, τὰ δὲ ἀρνῆται, καὶ ἡ ζήτησις ᾖ[3] περὶ τοῦ, εἰ τοῦτό ἐστιν, ἢ ἐκεῖνο, καὶ τὰ μὲν πεπραγμένα ᾖ, τὰ δὲ λείποντα, ἡ ζήτησις ἔσται ὁρική.

---

7 Ald. Codd. ἤτις. 8 Ald. Codd. ἀμφίδαμος. 9 Par. ἐκεῖνος. manu seriori ν supra lineam. 10 Ald. ἀμφιςβητοῦσι. 11 In Par. prima manu τὸ, corr. τὶ, supra lineam τῷ.

1 Ald. Codd. ἀρνεῖται. 2 Ald. Codd. ἤ. 3 Ald. Codd. εἰ.

### c. Ἀντίληψις.

Ἐὰν μὲν τὸ πεπραγμένον ᾖ εἰρημένον αὐτὸ καθ' ἑαυτὸ ἀδίκημα, ἢ ἔθος, ἢ τέχνην ἀναφέρηται· ἀπὸ δὲ τῆς περιστά- 460
σεως ἐλέγχηται καὶ ἄλλο ἀπ' ἄλλου κρίνηται, οὐχ ὥσπερ ἐν στοχασμῷ σημεῖον[4] ἡμῶν, ἢ τὸ λεχθὲν, τοῦ ἐγκαλουμένου ποιουμένων, ἀλλὰ τὸ μὲν πραχθὲν, ἢ τὸ λεχθὲν ἐν αὐτῷ[5] μεμφομένων, ὄνομα δὲ αὐτῷ ἕτερον τιθεμένων, ἀντιληπτικὴ γίνεται ἡ ζήτησις.

### d. Μετάστασις.

Ἐὰν ὁμολογῇ μὲν ὁ φεύγων τὸ ἀδίκημα, μεθιστῇ δὲ εἰς ἕτερον πρᾶγμα ἢ πρόσωπον τὸ κεκωλυκὸς δυνάμενον εὐθύνας δοῦναι, μεταστατικὴν ποιεῖ τὴν στάσιν.

### e. Ἀντίθεσις.

Ἐὰν ὁμολογῆται μὲν τὸ ἀδίκημα, καὶ εὐεργέτημά τι ἀποδεικνύῃ[6], ἀντιστατικὴν ποιεῖ τὴν στάσιν.

### f. Συγγνώμη.

Ἐὰν ἀδίκημα μὲν ᾖ γεγονὸς ὁμολογούμενον, λέγῃ δὲ ὁ φεύγων ἄκων αὐτὸ[7] πεποιηκέναι, ἢ μεταφέρῃ εἰς πρόσωπον, μὴ δυνάμενον δὲ εὐθύνας δοῦναι τῆς αἰτίας, συγγνωμονικὴν ποιεῖ τὴν στάσιν.

### g. Πραγματική.

Ἐὰν περὶ μέλλοντος ἡ ζήτησις ᾖ, ἡ δοκιμασία ἄνευ ῥητοῦ, ἡ ἀξίωσις ὡρισμένη, ἢ νόμου εἰσφορὰ, ἢ προσαγγελία, ἑαυτόν τινος προσαγγείλαντος, ἢ ὅλως σκέψις μελ-

4 Ald. Vind. σημείων. Par. σημεῖων. 5 Ald. Codd. ἐν αὐτό. 6 Ald. Vind. ἀποδεικνύει. Par. ἀποδεικνύῃ. 7 Ald. Vind. αὐτῷ. Par. αὐτό.

λόντων πραγμάτων οὐχ ὡς ἐν στοχασμῷ περὶ τοῦ εἰ ἔστιν, ἀλλὰ περὶ τοῦ, ποῖά τινα ἔστι, πραγματικὴν ποιήσει τὴν στάσιν.

### h. Ῥητὸν καὶ διάνοια.

Ἐὰν εἷς ὁ νόμος, ἢ ψήφισμα, ἢ διαθήκη ἢ ἄλλο ἐν ῥητοῖς κείμενον, καὶ ὁ μὲν κατήγορος τῷ ῥητῷ χρῷτο, ὁ δὲ φεύγων ταῖς διανοίαις, ῥητὸν καὶ διάνοια ἔσται ἡ στάσις.

### i. Συλλογισμός.

Ἐὰν τῷ κεκωλυμένῳ ὑπὸ νόμου καὶ τῷ ἐγγράφῳ τὸ ἄγραφον καὶ μὴ κεκωλυμένον ὁ κατήγορος ἔξωθεν ἀποδεικνύῃ[8] ὅμοιον, συλλογιστικὴ ἔσται ἡ στάσις.

### l. Ἀντινομία.

Ἐὰν δὲ δύο ὦσιν νόμοι, ἢ δύο ψηφίσματα, ἢ ὅλως δύο ῥητὰ, ἢ ἓν εἰς δύο τμηθῇ, καὶ τῷ μὲν ὁ ἕτερος χρῷτο, τῷ[9] δὲ ὁ ἕτερος, μὴ φύσει ὄντων ἐναντίων τῶν ῥητῶν, ἀλλ' ἐκ τῆς περιστάσεως μαχομένων, ἀντινομία ἔσται ἡ στάσις.

### m. Ἀμφιβολία.

Ἐὰν ᾖ[10] ῥητὸν, καὶ ὁ μὲν οὕτως αὐτὸ ἐκδέχηται, ὁ δὲ οὕτως, ἀμφιβολία ἔσται ἡ στάσις.

### n. Μετάληψις ἔγγραφος.

Ἐὰν ἡ ζήτησις περὶ τοῦ πότερον δεῖ εἰσελθεῖν τὴν δίκην ἢ οὐ, καὶ περὶ τοῦ πότερον ἐν τούτῳ τῷ δικαστη-

---

8 Ald. Vind. ἀποδεικνύει. Par. ἀποδεικνύῃ. 9 Ald. Codd. τό. 10 ᾖ Ald. Vind. om., est in Par.

ρίῳ, ἢ ἐν ἐκείνῳ, καὶ περὶ τοῦ πότερον ὑπ' αὐτοῦ, ἢ ὑπ' ἄλλων, μετάληψις ἔγγραφος ἔσται.

### ο. Ἄγραφος μετάληψις.

Ἐὰν ὁ κατήγορος συγχωρῇ μὲν τὸ πεπραγμένον, λαμβάνῃ δὲ ἢ τόπον ἢ χρόνον, ἢ αἰτίαν, μετάληψις ἔσται ἄγραφος.

Εἰσὶ δὲ καὶ τοῦ φεύγοντος μεταλήψεις· καὶ γνωστέον δὲ αὐτὰς ἐκ τοῦ τὸν μὲν κατήγορον τὸ πρᾶγμα αἰτιᾶσθαι, τὸν δὲ φεύγοντα μεταλαμβάνειν ἢ τόπον ἢ τρόπον ἢ πρόσωπον ἢ χρόνον ἢ αἰτίαν.

Τέλος Κύρου περὶ διαφορᾶς στάσεως.

## III.

# ΑΝΩΝΥΜΟΥ

## ΠΡΟΒΛΗΜΑΤΑ ΡΗΤΟΡΙΚΑ ΕΙΣ ΣΤΑΣΕΙΣ.

Problemata haec primum edidit Huswedelius sub titulo: „*προβλήματα ῥητορικὰ εἰς στάσεις.* Quaestiones et Controversiae rhetoricae ad status declarandos. Johannes Huswedelius ex veteri MS. edidit ac latine vertit Hamburgi 1612. 8.“ Falso Schoellius in historia litt. Gr. T. III. p. 143. interpr. Germ. librum forma duodena impressum esse refert, habet enim in 47 paginis litteras A—C. plenas: id quod leve per se adnotandum censui propter raritatem libelli, quem in principibus quibusdam Germaniae et Italiae bibliothecis frustra quaesitum denique Parisiis in Regia inveni. Libelli hujus memoriam renovare eo magis officium meum esse duxi, cum Huswedelius tantam de *ἑρμαίου* sui, ex Frid. Lindenbrogii codice eruti, pretio conceperit opinionem, ut eandem laudem sibi deberi censeat, qua efferuntur ii, „qui Senecae, Quinctiliani, Hermogenis, aliorum ad eloquentiae studium ac declamandi exercitium conducibiles libros vel a tenebris ac situ produxerunt, vel productos illustrarunt.“

Problemata haec Cyro subjunxi, quoniam a Fabricio l. l. huic auctori, quamquam valde dubitanter, adtribuuntur. Qua

Qua vero auctoritate nisus Schoellius l. l. in codice, nescio quo, eundem Cyrum hujus et antecedentis libelli auctorem nominari asserat, mihi quidem non satis liquet, cum Huswedelius, cujus editionem solam noverat Schoellius, problematum horum ne verbo quidem mentionem faciat. Equidem quotquot inspexi codices, in nullo utrumque libellum simul inveni. Libellus *περὶ διαφορᾶς στάσεως*, ut Sopatri *ζητήματα*, ad quorum calcem constanter adjectus est, perpaucis codicibus continetur: problemata rhetorica constanter in codicibus Hermogenis inveniuntur. Itaque quum in nullo ex tot codicibus auctoris nomen praefixum invenerim, et in his rebus propter argumenti similitudinem ex tractatione et oratione justa de communi auctore conclusio fieri non possit, quaestionem de auctore in ambiguo relinquendam censeo.

Descripsi haec problemata ex codice Mon. 327. Fol. 163—165., in quo LXIII. problemata esse dicit Hardtius; sunt vero LXVIII. uno tantum, nr. 52. omisso: cum hoc contuli editionem Huswedelii, Codicem Ven. Class. VIII. 18. Paris. 2918. et passim Taurin. LXXVII. c. III. 20.

# ΑΝΩΝΥΜΟΥ

## ΠΡΟΒΛΗΜΑΤΑ ΡΗΤΟΡΙΚΑ ΕΙΣ ΣΤΑΣΕΙΣ.

**1.** Νόμος ἐκέλευε[1] τὴν ὀρφανὴν μήτε τὸν[2] ἐπίτροπον αὐτῆς μήτε τὸν ἐπιτρόπου παῖδα εἰς γάμον ἄγειν· ἀποκηρυχθεὶς ἐπιτρόπου παῖς ἐβιάσατο τὴν ἐπιτροπευομένην, καὶ πάλιν ὁ πατὴρ ἀνέλαβε[3] τὸν υἱόν. καὶ κρίνεται ὡς κατασοφισάμενος τὸν νόμον.

**2.** Νόμος ἐκέλευε τὸν ἀριστεύσαντα ἐν πολέμῳ λαβεῖν, ὅπερ ἂν αἰτήσηται·[4] ἀριστεύσας τις ᾔτησε γυναῖκα πολίτου· ἀντῄτησεν ὁ ἀνὴρ, ἄλλας πέντε ἡμέρας κατασχεῖν αὐτήν· κατέλαβεν[5] ἐν ταύταις ταῖς πέντε ἡμέραις μοιχὸν τὸν ἀριστέα μετὰ τῆς γυναικὸς αὐτοῦ, καὶ[6] ἀνελὼν αὐτὸν κατὰ τὸν νόμον κρίνεται φόνου.

**3.** Νόμος ἐκέλευε τὸν ἄπαιδα μὴ[7] στρατηγεῖν· στρατηγός τις, ἔχων τρεῖς παῖδας μετ' αὐτοῦ στρατευομένους, ἀπώλεσεν, ἀναιρεθέντας ὑπὸ τῶν πολεμίων ἐν τῇ συμβολῇ, καὶ κωλύεται ὡς ἄπαις, στρατηγεῖν.[8]

**4.** Δύο ἀδελφοὶ ἐξῆλθον λαθραίως κατὰ τυράννου ὅπως ἀνέλωσιν αὐτόν· καὶ φωραθέντες ἐκρατήθησαν. καί τις φίλος τοῦ τυράννου ῥήτωρ παρὼν πείθει τὸν τύραννον, ἵνα μονομαχήσωσι κατ' ἀλλήλων ὁπλισθέντες

---

1 Mon. ἐκέλευεν. 2 τὸν Ven. om. 3 Ven. ἐπανέλαβε. 4 Ven. βούληται. 5 Ven. καὶ κατέλαβεν. 6 καὶ Mon. om., est in impr. Ven. Taur. Par. 7 Ven. μὴ om. 8 Ven. στρατεύειν.

οἱ ἀδελφοί· οἱ δὲ ἐξελθόντες[9] ἐπὶ μονομαχίᾳ[10] ἐπέδραμον ἐξαίφνης, καὶ ἀπέκτειναν τὸν τύραννον, καὶ αἰτοῦσι παρὰ τῆς πόλεως δωρεὰν, ἵνα ἀποθάνῃ ὁ ῥήτωρ· ὁ δὲ ἀντιλέγει.

5. Τύραννος εἰπὼν παρὰ τοῦ ἰατροῦ αὐτοῦ φάρμακον εἰληφέναι ἤνεγκεν ἕτερον ἰατρὸν, ἵνα δῷ ἐκείνῳ ἀντιφάρμακον, καὶ λαβὼν τὸ φάρμακον ἀπέθανε, καὶ οἱ ἰατροὶ περὶ τῆς δωρεᾶς ἀμφισβητοῦσι.

6. Δύο τις ἔχων παῖδας τὸν ἕτερον ἀπεκήρυξεν· εἰργάζετο ὁ ἀποκήρυκτος ἔν τινι χωρίῳ· ὁ πατὴρ ἀπελθὼν καὶ ἰδὼν αὐτὸν ἐδάκρυσε· καὶ ἐπανελθὼν ἀπὸ τοῦ χωρίου ὁ πατὴρ εὕρηται πεφονευμένος ἐν τῇ ὁδῷ. καὶ ἀντεγκαλοῦσιν ἀλλήλοις ὅ τε ἀποκήρυκτος καὶ ὁ ἐν τῇ οἰκίᾳ.

7. Μνηστευομένου τινὸς κόρην, ἡ μήτηρ ἔφη τῆς κόρης, ὅτι πρὸ τοῦ γάμου ἡ παῖς τελευτήσει, ἢ ἐκείνῳ συνοικήσει· καὶ εὑρέθη ἡ παῖς ἐπὶ σημείοις φαρμάκων ἀποθανοῦσα· καὶ κρίνεται φόνου ἡ μήτηρ.[11]

8. Εἶχέ τις ἰατρὸς μητρυιάν· τοῦ δὲ παιδὸς αὐτῆς ἀσθενοῦντος[12] ᾔτησε παρὰ τοῦ προγόνου βοήθημα, καὶ ἔλαβε· μετὰ δὲ[13] δύο ἡμέρας ἀπέστρεψε τὸ βοήθημα, εἰποῦσα τῷ προγόνῳ, θανάσιμόν ἐστι. λαβὼν δὲ ὁ πρόγονος αὐτῆς ἔμπροσθεν, ἔπιεν αὐτὸ, καὶ παραυτίκα ἀπέθανε, καὶ κρίνεται ἡ μητρυιὰ φαρμακείας.

9. Ἐξῆλθέ τις, ἵνα ἀποκτείνῃ τὸν τύραννον· ἐκεῖνον[14] μὴ εὑρὼν ἀνεῖλε τὰ τέκνα αὐτοῦ· εἶτα ὕστερον ὁ τύραννος ἐλθὼν καὶ εὑρὼν τοὺς παῖδας ἑαυτοῦ τεθνηκότας, ἀνεῖλεν ἑαυτόν· ὁ δὲ ἀποκτείνας αὐτὰ αἰτεῖ παρὰ τῆς πόλεως δωρεάν.

---

9 Mon. ἐπεξελθόντες. impr. Ven. Par. ἐξελθόντες. 10 Mon. Taur. μονομαχίᾳ impr. Ven. Par. μονομαχίαν. 11 ἡ μήτηρ abest a Mon. Ven. Par., est in impr. 12 Mon. ἀποθανόντος. Ven. Par. impr. ἀσθενοῦντος. 13 δὲ Ven. om. 14 Mon. ἐκείνων.

**10.** Ἐχθρόν τις ἔχων ἀπέκτεινε λάθρα καὶ ἔκρυψε. μετὰ δύο ἡμέρας ἀνεῖλεν ὁ αὐτὸς τύραννον, καὶ αἰτεῖ παρὰ τῆς πόλεως τὴν ἀναίρεσιν τοῦ πεφονευμένου. δίδωσιν ἡ πόλις· εὕρηται ὁ πεφονευμένος ὑπὸ τῆς γυναικὸς καὶ τῶν παίδων, ἀποκρυπτόμενος ὑπὸ τῶν θεραπόντων τοῦ προπεφονευκότος [15] αὐτόν τε [16] καὶ τὸν τύραννον κατ' αὐτὴν τὴν ἡμέραν, καὶ φεύγει ὁ ἀνελὼν αὐτὸν φόνου.

**11.** Ἀπέστειλεν εἰς πόλιν πολεμουμένην ὁ βασιλεὺς δύο στρατηγοὺς, βοηθείας ἕνεκα· τὸν μὲν ἕνα φυλάττειν τὰ [17] τείχη διαταξάμενος, τὸν δὲ ἕτερον ἔξω πολεμεῖν· ἡττήθη πολεμῶν ὁ ἔξω· καὶ κατέφυγε πρὸς τὴν πόλιν· ὁ ἔσω στρατηγὸς οὐκ ἤνοιξεν, ἀλλ' εἶπε, πολέμησον· βιασθεὶς [18] ὁ ἔξω στρατηγὸς ἐπολέμησε πάλιν καὶ ἐνίκησε· καὶ [19] ἀμφισβητοῦσι περὶ τῆς νίκης οἱ δύο.

**12.** Νόμος ἐκέλευε, τὸν μὴ ὄντα ὁλόκληρον μὴ ἰατρεύειν· ἓξ τις ἔχων δακτύλους κωλύεται ἰατρεύειν.

**13.** Νόμος ἐκέλευε, τὸν ἐξόριστον αὐτοβούλως ὑποστρέφοντα εἰς τὴν ἰδίαν πατρίδα θνήσκειν· ἐξόριστός τις αὐτοβούλως ἐπανελθὼν μυστήρια μεγάλα ὑπὲρ τῆς πόλεως ἔλεγε λέξειν. ὁ δὲ στρατηγὸς λαβὼν αὐτὸν ἀνεῖλε. καὶ κρίνεται ὡς τὴν πόλιν ἀδικήσας.

**14.** Τελευτῶν τις κατέλιπε τὴν ἑαυτοῦ γυναῖκα ἔγκυον, εἰπών· εἰ μὲν εἴη τὸ τεχθησόμενον ἐξ αὐτῆς ἄῤῥεν, τὸν ὑπόντα αὐτῷ ὑπηρέτην δουλεῦσαι τῷ τεχθέντι τριετίαν· εἰ δὲ θῆλυ, τὸν ἅπαντα χρόνον τῆς ζωῆς αὐτοῦ· μετὰ τὴν τελευτὴν τοῦ ἀνδρὸς ἔτεκεν ἡ γυνὴ ἅμα [20] ἄῤῥεν τε καὶ θῆλυ· καὶ ἡ μὲν λέγει δοῦλον ἑαυτῆς [21] εἶναι

---

15 Mon. πεφονευκότος. impr. Ven. Par. προπεφονευκότος. 16 τε impr. om. 17 Mon. φυλάττοντα τείχη. 18 βιασθεὶς ὁ ἔξω στρατηγὸς abest a Ven. 19 καὶ impr. om. 20 ἅμα abest a Mon. et Ven., est in impr. et Par. 21 Mon. αὐτῆς. impr. Ven. Par. ἑαυτῆς.

εἰς τὸ διηνεκὲς, ὁ δὲ λέγει, τριετίαν δουλεῦσαι, καὶ ἀπολυθῆναι τὸν δοῦλον.

15. Νόμος ἐκέλευε τὸν τύραννον ἀναιρεῖν· ἄλλος ἐκέλευε, τὸν ἐν ἱερῷ καταφυγόντα [22] μὴ ἀποθνήσκειν· τύραννον ἐν ἱερῷ τις καταλαβὼν φεύγοντα ἀπέκτεινε, καὶ κρίνεται ὡς ἀσεβής.

16. Πολεμοῦντες Ἀθηναῖοι καὶ Πελοποννήσιοι πρὸς ἀλλήλους, ἔπεμψαν πρέσβεις πρὸς Ξέρξην ἑκάτεροι περὶ συμμαχίας οἰκείας· ὁ δὲ ὑπέσχετο δώσειν τῷ προσκυνήσοντι. Ἀθηναῖοι προςκυνήσαντες ἔλαβον, τῶν Πελοποννησίων μήτε προςκυνησάντων μήτε λαβόντων, ὡς ἐνίκησαν, ὕστερον κρίνονται ὡς παρανομήσαντες.

17. Πλούσιος εἰς πένητος οἶκον εἰσελθὼν ἠρίστα· ἡ θυγάτηρ τοῦ πένητος ὡραία οὖσα ὑπηρέτει· ἠρώτησεν ὁ πλούσιος περὶ αὐτῆς, εἰ δούλη ἐστὶν, ἢ ἐλευθέρα· ὁ πατὴρ αἰδεσθεὶς εἶπεν, ὅτι δούλη· ἐβιάσατο ὁ πλούσιος τὴν παῖδα. νόμου κελεύοντος τὸν μὲν ἐλευθέραν βιασάμενον ἀποθνήσκειν, τὸν δὲ δούλην ἑκατὸν διδόναι τάλαντα, ὁ μὲν πλούσιος δίδωσι τὰ ἑκατὸν τάλαντα, [23] ὁ δὲ πατὴρ τῆς κόρης θάνατον αἰτεῖ.

18. Ἐκρίνετό τις ἐπὶ τῷ ἀδελφῷ [24] φόνου δύο ἐφεξῆς ἡμέρας, καὶ [25] ἔξαρνος ἦν· τῇ τρίτῃ ἡμέρᾳ εἰσήγαγε τὸν ἑαυτοῦ πατέρα λέγοντα, ὅτι ἐγὼ αὐτῷ [26] ἐπέτρεψα, ἵνα φονεύσῃ [27] τὸν ἀδελφὸν αὐτοῦ. καὶ κρίνεται ὁ κρινόμενος [28] ὡς μὴ προομολογήσας φόνου.

19. Ἀριστεὺς ᾔτησεν εἰς τὴν δωρεὰν ἰατροῦ γυναῖκα, καὶ ἔλαβε· [29] νοσούσης μετὰ ταῦτα τῆς γυναικὸς, ἐκήρυξεν ὁ ἀριστεὺς, τῷ ἰασαμένῳ [30] αὐτὴν δοῦναι, ὅπερ

---

22 Ven. καταφεύγοντα. 23 Ven. τάλαντα. impr. Mon. Par. νομίσματα. 24 impr. ἐπὶ τὴν ἀδελφήν. 25 καὶ Mon. om. 26 Mon. αὐτὸν. 27 Mon. φονεύῃ. 28 impr. ὡς μὴ προομ. ὁ κρινόμενος. 29 καὶ ἔλαβε Mon. om. 30 impr. Mon. Ven. Par. τὸν ἰασάμενον. Par. ad marg. τῷ ἰασομένῳ.

ἂν αἰτήσηται·[31] εἰσελθὼν ὁ πρῶτος αὐτῆς ἀνὴρ, μετὰ τὸ εἰσελθεῖν ἄλλους πρότερον καὶ μηδὲν ὠφελῆσαι, ἰάσατο αὐτὴν, καὶ αἰτεῖ αὐτὴν εἰς μισθόν· ὁ δὲ ἀριστεὺς ἀντιλέγει.

**20.** Τὸν μοιχὸν χρήματα διδόναι, ἢ παραυτίκα ἀποθνήσκειν· εὑρών τις μοιχὸν ἐπὶ τῇ γυναικὶ αὐτοῦ ἀπέλυσε συνθέμενος δοῦναι χρήματα· εἶτα ὕστερον μὴ διδόντα ἀπέκτεινε, καὶ φόνου φεύγει.[32]

**21.** Δὶς περὶ τῶν αὐτῶν μὴ εἶναι δίκας.[33] ἐτύπτησέ τίς τινα· ὁ δὲ εἰσήγαγεν αὐτὸν εἰς τὸ κριτήριον, καὶ κρινομένων αὐτῶν πάλιν αὐτὸν ἐτύπτησεν· εἶτα ἐνίκησε τὴν δίκην ὁ τύψας· ὁ δὲ τυφθεὶς ἀξιοῖ κρίνεσθαι αὐτὸν διὰ τὴν δευτέραν ὕβριν· ὁ δὲ ἀντιλέγει.

**22.** Τύραννος τοῦ πατρὸς αὐτοῦ[34] τελευτήσαντος, ἐκήρυξε δωρεὰν δώσειν τοῖς μάλιστα τιμήσειν αὐτὸν ἐθέλουσι· δύο πόλεων ἡ μὲν ἐτίμησεν, ἡ δὲ ὡς θεὸν ἐτίμησε· καὶ ἀμφισβητοῦσι περὶ τῆς δωρεᾶς.

**23.** Πολλῶν ὄντων ἀποκηρύκτων πολλαὶ λῃστεῖαι ἐγίνοντο·[35] καὶ γράφει τις, μηκέτι ἀποκηρύσσειν. καὶ πάλιν τοὺς γονεῖς οἱ παῖδες ἀτιμάζουσιν.

**24.** Ἀνὴρ μοιχευθεῖσαν[36] τὴν γυναῖκα κατὰ τὸν νόμον ἤγαγε πωλῆσαι· οὐδενὸς δὲ ὠνουμένου αὐτὴν, χρῆται αὐτῇ,[37] ὡς κακούργῳ ἀνδραπόδῳ· οἱ δὲ τῆς γυναικὸς συγγενεῖς ἀντιλέγουσιν.

**25.** Τὴν ἐπὶ θανάτῳ καταδικασθεῖσαν, ἔγκυον οὖσαν, μὴ ἀναιρεῖν, ἕως ἂν[38] τέκῃ· κύειν δοκοῦσαν γυναῖκα ὁ στρατηγὸς ἐφύλαττε· μετὰ χρόνον μαθὼν, ὅτι οὐκ

---

31 impr. αἰτήσητε. 32 Mon. Par. φόνου φεύγει. impr. Ven. φεύγει φόνου. 33 impr. δίκην. 34 Ven. αὐτῷ. 35 Ven. γίνονται. 36 impr. μοιχευθῆσαν. 37 Ven. αὐτήν. 38 ἂν Ven. impr. Par. om. In Par. ad marg. adscriptum: σόλοικον.

ἦν ἔγκυος τότε, ἀλλὰ νῦν ἐστιν, ἀπέκτεινε· καὶ φόνου φεύγει.

26. Ἐτάχθη τις, ἵνα ἐξέλθῃ[39] εἰς πόλεμον· ὁ δὲ ἐρῶν κόρης[40] ἔμεινεν οἴκοι· ἀπελθούσης τῆς πρώτης τάξεως, ἠρίστευσεν ὕστερον μετὰ τῶν γερόντων ἐξελθών,[41] καὶ κρίνεται λειποστρατείας.

27. Νόμος ἐκέλευε νύκτωρ ὅπλα μὴ φορεῖν· δέκα νέοι ἧκον ἐπὶ τὴν τοῦ στρατηγοῦ οἰκίαν ἑσπέρας τυραννίδα μηνύοντες, καὶ ἀξιοῦντες ὅπλα παρ' αὐτοῦ λαβεῖν· κατὰ[42] τὸν νόμον ὁ στρατηγὸς οὐ δέδωκεν·[43] ἐγένετο ἡ τυραννίς· ὑπεξῆλθον οἱ νέοι καὶ καθεῖλον τὸν τύραννον· καὶ μετὰ τὴν καθαίρεσιν αὐτοῦ ἐπανελθόντες κρίνουσι τὸν στρατηγὸν συνειδότος.

28. Ῥήτωρ συγγραψάμενος ἐγκώμιον θανάτου, καὶ ἀναγνοὺς αὐτὸ ἐν τῷ δήμῳ ἔπεισε πολλοὺς ἀνελεῖν ἑαυτούς· καὶ[44] κρίνεται δημοσίων ἀδικημάτων.

29. Ἀριστεῖ τὴν χεῖρα ἀφῃρημένῳ ἔδωκεν ὁ δῆμος χειραγωγόν· καταλαβὼν ὁ ἀριστεὺς μοιχὸν ἐπέταξε τῷ ὁδηγῷ,[45] πατάξαι τὸν μοιχόν· πεισθεὶς ἐκεῖνος ἀπέκτεινε· καὶ κρίνεται φόνου[46] ὁ χειραγωγός.

30. Ζωγράφος τὰς ἐν Ἅιδου καταδίκας γράψας ἀνέθηκεν ἐν τῇ ὁδῷ, ἐν ᾗ ὁ τύραννος ὥδευεν· ὁ δὲ τύραννος ἐντυχὼν ἑαυτὸν ἀνεῖλε, καὶ ὁ ζωγράφος ὡς τυραννοκτόνος τὴν δωρεὰν αἰτεῖ· ἡ δὲ πόλις ἀντιλέγει.

31. Στρατηγὸς ἐπὶ πόλεμον ἐξιὼν ἐκήρυξεν, ἁπάντων τῶν ληφθησομένων πολεμίων τὰς δεξιὰς ἐκκόπτειν χεῖρας· λαβόντες οἱ πολέμιοι τὰ αὐτὰ πεποιήκασι· καὶ κρίνεται ὁ στρατηγὸς ὑπὸ τοῦ δήμου.

---

39 Mon. ἔλθῃ Ven. impr. Par. ἐξέλθῃ. 40 impr. κόρην. 41 Mon. ἐλθών. impr. ἐξελθῶν. Par. Ven. ἐξελθών. 42 Ven. καὶ κατά. 43 Ven. οὐκ ἔδωκεν. 44 καὶ impr. om. 45 Ven. δήμῳ. 46 impr. ὁ χειραγωγὸς φόνου.

**32.** *Ῥήτορι πάντα νικῶντι ἐψηφίσατο ἡ πόλις σιωπᾶν· ὁ δὲ παιδεύειν ἤρξατο τῇ αὐτοῦ τέχνῃ πολλοὺς, καὶ κρίνεται ὡς τὸ τῆς πόλεως ψήφισμα παραβαίνων.*

**33.** *Νόμος ἐκέλευε τὸν τρισαριστέα μὴ στρατεύεσθαι· τρισαριστέως γυναῖκα ἥρπασαν οἱ πολέμιοι· ψηφισαμένης ἐξιέναι τῆς πόλεως, καὶ αὐτοῦ συστρατεύειν μετ' αὐτῶν βουλομένου, κωλύεται.*

**34.** *Ἔχων τις κληρονόμον ἐτελεύτα· καί φησιν, οἱ δοῦλοί μου ἐλευθερούσθωσαν· τινὲς ἀπὸ δρασμοῦ ἀνελθόντες ἐλεύθεροι εἶναι ἀξιοῦσιν, ὁ δὲ κληρονόμος ἀντιλέγει.*

**35.** *Ἔκρινέ τις στρατηγὸν προδοσίας· καὶ οὐκ ἔπεισεν ἐν πόλει πολεμουμένῃ· μετὰ ταῦτα ἀποκτείνας αὐτὸν πρὸ τῶν πυλῶν ἔθηκεν· οἱ πολέμιοι ἀνεχώρησαν, καὶ κρίνεται ἐκεῖνος προδοσίας*[47] *ἅμα καὶ φόνου.*

**36.** *Χρησμὸς ἐδόθη, ὅτι νικήσουσιν οἱ Ἀθηναῖοι τὸν πολέμιον. ὁ δὲ στρατηγὸς ἐξήγγειλε τῷ λαῷ, καὶ συνέβη ἀκοῦσαι τοὺς πολεμίους καὶ ἀναχωρῆσαι· ὁ δὲ στρατηγὸς κρίνεται ὡς προδότης.*

**37.** *Τυφλὸς ὁδηγούμενος ὑπὸ τῆς ἑαυτοῦ παιδὸς, ἁρπασθείσης τῆς παιδὸς καὶ βιαζομένης ὑπό τινος, κατὰ κρημνοῦ ἐνεχθεὶς, ἀπέθανε. νόμου κελεύοντος τὸν μὲν βιασάμενον χρυσὸν πολὺν διδόναι, τὸν δὲ αἴτιον γενόμενον θανάτου ἀποθνήσκειν, ὁ μὲν τὸ χρυσίον λέγει διδόναι· οἱ δὲ τοῦ τυφλοῦ φίλοι λέγουσιν ἵνα ἀναιρεθῇ.*

**38.** *Νόμος ἐκέλευε τὴν μεμοιχευμένην*[48] *πωλεῖσθαι· μεμοιχευμένην*[49] *τις τὴν ἑαυτοῦ μητέρα ὠνήσατο καὶ ἠλευθέρωσε, καὶ ἀποκηρύσσεται ὑπὸ τοῦ πατρός.*

**39.** *Παρθένου ἁλούσης ὑπὸ λῃστῶν, ὁ πατὴρ αὐτῆς ἐκήρυξε δώσειν αὐτὴν εἰς γάμον τῷ λυθρωσομένῳ*[50]

47 Ven. *ἅμα προδοσίας κ. φ.* 48 Ven. *μοιχευομένην* bis. 49 impr. *μεμοιχευμένος.* 50 Mon. *λυτρωσομένῳ.* impr. Ven. Par. *λυτρωσαμένῳ.*

*αὐτὴν ἐκ τῶν λῃστῶν· ἐξελθών τις καὶ λυτρωσάμενος αὐτὴν ἐβιάσατο, καὶ κρίνει αὐτὸν ὁ πατὴρ τῆς κόρης.*[51]

**40.** *Νόμος ἐκέλευε τὸν λιπόντα τὴν τάξιν ἐν πολέμῳ ὑπὸ τοῦ στρατηγοῦ ἀναιρεῖσθαι, καὶ ἄλλος νόμος τὸν καταλαβόντα μοιχὸν ἐπὶ τῇ γυναικὶ αὐτοῦ ἀποκτεῖναι. στρατηγός τις ἐκλιπόντα τὴν τάξιν τὸν ἴδιον πατέρα ἀνεῖλεν· ἕτερος πάλιν μοιχὸν εὑρὼν ἐπὶ τῇ γυναικὶ αὐτοῦ τὸν ἴδιον πατέρα ἀνεῖλε. λοιμὸς κατέσχε τὴν πόλιν. ἦλθε δὲ*[52] *χρησμὸς, ὅτι παύσεται ὁ λοιμὸς, ἐὰν ὁ ἀδίκως φονεύσας τὸν ἑαυτοῦ πατέρα ἀποθάνῃ, καὶ ἀμφιβαλλουσιν ὅ τε στρατηγὸς καὶ ὁ ἄλλος, τίς ἄρα ἀδίκως ἐφόνευσεν.*

**41.** *Ῥήτωρ ἔπεισε τὴν πόλιν, ἐκδιωχθῆναι τὰς ἑταίρας· μοιχειῶν πολλῶν γινομένων ψηφίζεται πάλιν, ἀνακομισθῆναι αὐτὰς, καὶ κρίνεται ὡς τὴν πόλιν ἀδικήσας.*

**42.** *Φιλόσοφος στασιάζοντα τὸν δῆμον ἔπαυσε, καὶ αἰτεῖ εἰς τὴν δωρεὰν, τοὺς ῥήτορας σιωπᾶν·*[54] *οἱ δὲ ἀντιλέγουσιν.*

**43.** *Νόμου κελεύοντος, τὸν νέον*[55] *νόμον εἴσω τριάκοντα ἡμερῶν ἀκυροῦσθαι, εἰ δὲ μὴ, βέβαιον εἶναι,*[56] *πλούσιος ἔχων ἐχθρὸν πένητα καὶ ἐξερχόμενον εἰς πρεσβείαν τῆς πόλεως ἔγραψε νόμον, ἵνα ὁ μὴ*[57] *εὐπορῶν πέντε τάλαντα ἀνέρχηται εἰς κριτήριον. ἐπανελθὼν ὁ πένης μετὰ τὰς τριάκοντα ἡμέρας, ἀφ' οὗ ἐτέθη ὁ νόμος, κωλύει τὸν ὑπὸ τοῦ πλουσίου τεθέντα νόμον· ὁ δὲ ἀντιλέγει.*

**44.** *Ὁ καταναλώσας τὴν πατρῴαν οὐσίαν ἄτιμος*

---

51 impr. *ὁ τῆς κόρης πατήρ.* 52 *δὲ* Mon. om. 53 Ven. Par. *μοιχειῶν.* Impr. *μοιχῶν.* Mon. *τῶν μοιχῶν.* 54 impr. Ven. Par. *σιγᾶν.* 55 impr. Ven. Par. *ἔσω τρ. ἡμ. τὸν νέον νόμον ἀκυροῦσθαι.* 56 *εἶναι βέβαιον* impr. Ven. Par. 57 impr. *ὁ μὴ εὐπορῶν.* Par. *μὴ ὁ εὐπορῶν.* Mon. et Ven. *μὴ* om.

ἔστω· ἐδαπάνησέ τις εἰς τὰ τῶν φίλων τιμήματα τὴν πατρῴαν οὐσίαν, καὶ ὑπάγεται τῷ νόμῳ.

**45.** *Δύο τις ἔχων παῖδας, σώφρονα καὶ ἄσωτον, εἰς τρία διένειμε τὴν οὐσίαν, καὶ τὰ μὲν δύο τοῖς παισὶν ἔδωκε, τὸ δὲ τρίτον συγκατέσκαψεν·*[58] *ὁ παῖς ὁ ἄσωτος καταφαγὼν τὴν ἑαυτοῦ οὐσίαν ἀνέῳξε τὸν τάφον τοῦ πατρὸς, καὶ ὑφεῖλε τὸ χρυσίον. ἐγράψατο αὐτὸν ὁ ἕτερος τυμβωρύχον καὶ οὐχ εἷλε, καὶ ἀξιοῖ ὡς πατρῷα διανέμεσθαι.*

**46.** *Ἐν λιμῷ καὶ πολιορκίᾳ ἔγραψέ τις τὴν ἄχρηστον ἡλικίαν ἀποκτεῖναι· εὕρηται αὐτὸς μὴ ἔχων γένος, καὶ κρίνεται δημοσίων ἀδικημάτων.*

**47.** *Ποθῶν τις κόρην ἔδωκεν αὐτῇ φίλτρον καὶ ἔπιε· μαθὼν τοῦτο ὁ πατὴρ τῆς κόρης ἀπέκλεισεν αὐτήν· ἡ δὲ αὑτην*[59] *ἀνεῖλε· καὶ κρίνουσιν ἀλλήλους ὁ ἐραστὴς καὶ ὁ πατὴρ αἰτίας θανάτου.*

**48.** *Μνηστευομένῳ μάγῳ θυγατέρα τινὸς οὐ δίδωσιν ὁ πατήρ· ἠράσθη εἰδώλου*[60] *ἡ παῖς, καὶ κρίνει φαρμακείας τὸν μάγον ὁ πατήρ.*

**49.** *Δύο πένητες ἐγράψαντο πλούσιον· ὁ εἷς αὐτῶν εὕρηται νεκρὸς ἀσκύλευτος, ὁ λοιπὸς ἐσιώπησε τὴν γραφὴν, καὶ κρίνεται ὑπὸ τοῦ πλουσίου δημοσίων ἀδικημάτων.*

**50.** *Ἀστρατεία*[61] *ἐδόθη τοῖς ἐν Μαραθῶνι πολεμήσασιν· ἀγγέλλεται ὁ Ξέρξης ἐπιὼν, καὶ αὐτοὶ ἀξιοῦσι στρατεύεσθαι. ἡ δὲ πόλις ἀντιλέγει.*

**51.** *Γεωργὸς ἀριστεύσας ᾐτήσατο εἰς*[62] *δωρεὰν τὰς ἱερὰς βοῦς· οἱ δὲ ἱερεῖς αὐτῷ ἀσεβείας ἔγκλημα ἐπιφέρουσιν.*

---

58 impr. Ven. Par. *συγκατέθαψεν*. Mon. *συγκατέσκαψεν*.
59 Ven. *ἑαυτήν*. 60 Mon. *εἴδωλον*. 61 Taur. *ἀστρατία*.
62 impr. Par. Ven. *εἰς τὴν δωρεάν*.

52. Ῥήτωρ[63] ἐπὶ τῷ πάντα νικᾶν ἐκελεύσθη σιωπᾷν διὰ ψηφίσματος. Ἐκδίδωσι τοῖς κρινομένοις λόγους,[64] καὶ εὐθύνεται ὡς παραβαίνων τὸν νόμον.

53. Νόμος ἦν ὁ κωλύων, στρατηγὸν μὴ ἀνοίγειν νύκτωρ τὰς πύλας· αἰχμάλωτοι ῥήξαντες τὰ δεσμὰ νυκτὸς[65] ἦλθον εἰς τὴν πόλιν, ἀξιοῦντες εἰσελθεῖν· ὁ δὲ στρατηγὸς εἴασεν αὐτοὺς ἔξω, μὴ ἀνοίξας. Προςπεσόντες οἱ πολέμιοι κατέκοψαν αὐτοὺς, καὶ κρίνεται ὁ στρατηγὸς δημοσίων ἀδικημάτων.

54. Τὸν ἐλάττονα ταλάντου οὐσίαν ἔχοντα μὴ λέγειν ἐν δικαστηρίῳ. ἄσωτος τὴν οὐσίαν καταναλώσας τάλαντον ἑαυτῷ[66] ὑπελείπετο, καὶ κωλύεται λέγειν.

55. Ἀποκήρυκτος ἐφωράθη[67] τρίβων φάρμακον, καὶ ἐρωτηθεὶς ἔφη, ἐφ' ἑαυτῷ τρίβειν· ἀναγκαζόμενος ἐξ αὐτοῦ πιεῖν οὐκ ἤθελε, καὶ κρίνεται ἐπιβουλῆς τοῦ πατρός.

56. Πηρῷ ἔχρησεν ὁ θεὸς, ἂν φονεύσῃ τινὰ, ἀναβλέψαι. Παραυτίκα ἐξαίφνης ἀνέβλεψε, καὶ κρίνεται φόνου.

57. Νόμος ἐκέλευε, τὸν τύψαντα αὐτοῦ τὸν πατέρα λιθοβολεῖσθαι ὑπὸ τοῦ δήμου ἀκρίτως· γέρων τις τυπτόμενος ὑπὸ τοῦ νεανίσκου ἀνεβόησε, διὰ τί τὸν πατέρα σου τύπτεις· οἱ παρεστῶτες ἀκούσαντες ἐλιθοβόλησαν τὸν παῖδα· εὑρέθη ὕστερον μὴ ὢν πατὴρ τοῦ νεανίσκου ὁ γέρων, καὶ κρίνεται αἰτίας θανάτου.

58. Νόμος ἐκέλευε τὸν μοιχὸν καταλαμβανόμενον τυφλοῦσθαι ἀκρίτως· μοιχὸν τυφλὸν εὑρὼν τῆς μοιχευομένης ὁ ἀνὴρ τοὺς ὀδόντας αὐτοῦ ἐξέβαλε, καὶ κρίνεται.

59. Νόμος ἐκέλευεν, ἕως ἂν συνίστηται ὁ πόλεμος,

---

63 nr. 52. Mon. non habet, sine dubio propter similitudinem cum nr. 32. Est in impr. Ven. Taur. Par. 64 Ven. λόγος καὶ κρίνεται. 65 Ven. νύκτωρ. 66 Mon. αὐτῷ. impr. Par. ἑαυτῷ. Ven. καταν. ἑαυτῷ τάλαντον ἑαυτῷ ὑπελίπετο. 67 Mon. ἐφωρήθη.

*μηδένα ἔχειν ἐξουσίαν, τύπτειν τὸν δοῦλον, εἰ δὲ μή, ἵνα ἐλευθεροῦται ὁ δοῦλος. ἔτυψέ τις ἐν καιρῷ πολέμου μεθυσθέντα τὸν ἴδιον δοῦλον καὶ εἰπόντα, αὔριον φεύξομαι εἰς τοὺς πολεμίους, ἡ πόλις κελεύει αὐτὸν ἐλευθερωθῆναι· ὁ δὲ δεσπότης ἀντιλέγει.*

**60.** *Πλούσιος ἀριστεύσας ᾔτησε δωρεάν, ἵνα, ὅστις ἁμαρτήσας εἰς τὸν αὐτοῦ ἀνδριάντα καταφύγῃ, ἀπολύηται*[68] *τοῦ ἐγκλήματος,*[69] *καὶ ἔλαβεν· ἀριστεύσας ὁ αὐτὸς πάλιν ᾔτησεν εἰς ἀναίρεσιν ἐχθρὸν πένητα. ὁ δὲ πένης ἀκούσας κατέφυγεν ἐπὶ*[70] *τὸν ἀνδριάντα· καὶ ὁ πλούσιος βιάζεται ἀποσπᾶσαι αὐτόν· καὶ*[71] *ἡ πόλις ἀντιλέγει.*

**61.** *Ἐν μακρᾷ πολιορκίᾳ συμβουλεύων ὁ στρατηγὸς, ἵνα ἐξέλθωσι καὶ πολεμήσωσιν, οὐκ ἔπειθε· λαθὼν καθεῖλε μέρος τι τοῦ τείχους· καὶ ἐξελθόντες ἐνίκησαν, καὶ κρίνεται ὁ στρατηγὸς ὡς προδότης.*

**62.** *Πλούσιος εἰσελθὼν εἰς οἰκίαν πένητος εὗρεν ὑπὸ τῆς κλίνης τοῦ πένητος τὸ ἑαυτοῦ ἱμάτιον· καὶ*[72] *ὡς κλέπτην πρὸς αὐτὸν δικάζεται· ὁ δὲ πένης ὡς μοιχὸν τὸν πλούσιον κατέχει.*

**63.** *Καταλιπών τις δύο υἱοὺς τὸν μὲν φιλόσοφον, τὸν δὲ ῥήτορα, ἔγραψεν ἐν ταῖς διαθήκαις, τῷ βελτίονι καὶ σοφωτέρῳ καταλείπω τὴν οὐσίαν μου, καὶ δικάζονται.*

**64.** *Καταλαβών τις δειλὸς ἀριστέα ἐπὶ τῇ γυναικὶ αὐτοῦ μοιχεύοντα, καὶ μὴ δυνάμενος αὐτὸν ἀνελεῖν ἐνέπρησε τὴν οἰκίαν καὶ συνέκαυσε*[73] *καὶ ἄλλας οἰκίας· καὶ κρίνεται ὡς τὴν πόλιν ἀδικήσας.*

**65.** *Νόμος ἐκέλευεν, ὅστις εἴποι*[74] *καλὴν βουλὴν, καὶ δέξεται αὐτὴν ἡ πόλις, ἵνα λαμβάνῃ δῶρον· ὑπὸ πο-*

---

68 Mon. Par. ἀπολύεται. impr. Ven. ἀπολύηται. 69 τοῦ ἐγκλήματος Ven. om. 70 Ven. εἰς. 71 Ven. Impr. Par. ἡ δὲ πόλις. 72 καὶ Ven. om. 73 καὶ συνέκαυσε κ. α. οἰκίας Ven. om. 74 impr. εἴπῃ.

λέμου καὶ λιμοῦ[75] καταπονουμένης πόλεως, συνεβούλευσέ τις ἀποκτεῖναι τὴν ἄχρηστον ἡλικίαν· καὶ ὑπηκούσθη·[76] καὶ αἰτεῖ τὴν δωρεὰν, τοὺς[77] παῖδας σωθῆναι· ἡ δὲ πόλις ἀντιλέγει.

**66.** Τύραννος μοιχεύων γυναῖκα τινὸς ἀνηρέθη ὑπ' αὐτῆς· νόμου κελεύοντος τὸν μὲν ἀνελόντα τύραννον τιμᾶσθαι δημοσίᾳ,[78] τὴν δὲ μοιχευθεῖσαν[79] ἀποθνήσκειν, ὁ μὲν ἀνὴρ αὐτῆς λέγει, ἀναιρεθῆναι[80] αὐτὴν, ἡ δὲ πόλις λέγει αὐτὴν τιμηθῆναι.

**67.** Δέκα τινὲς συνεβουλεύσαντο,[81] ἵνα ἀποκτείνωσι τύραννον· ὁ εἷς ἐξ αὐτῶν ἐμήνυσε, καὶ οἱ μὲν ἐννέα ἐσταυρώθησαν,[82] ὁ δὲ λοιπὸς γέγονε φίλος τοῦ τυράννου· καὶ μετὰ τοῦτο ἀνεῖλε τὸν τύραννον· καὶ αἰτεῖ τὴν δωρεάν· οἱ δὲ παῖδες τῶν θανόντων ἀντιλέγουσιν.

**68.** Τύραννος ἐπ' ἀμνηστίᾳ[83] καταλιπὼν τὴν τυραννίδα καὶ συνεχῶς εἰς τὴν ἀκρόπολιν ἀφορῶν καὶ δακρύων κρίνεται τυραννίδος ἐπιθέσεως.

**69.** Φιλόσοφος[84] μοιχὸν εὑρὼν ἐπὶ τῇ γυναικὶ συνῴκισεν[85] αὐτῷ τὴν γυναῖκα, καὶ κρίνεται παρανομίας.[86]

---

75 Ven. λοιμοῦ. 76 impr. ὑπεκούσθη. 77 impr. τάς. 78 Ven. Impr. Par. δημοσίως. 79 Ven. μοιχευομένην. impr. μοιχευθῆσαν. 80 impr. Par. αὐτὴν ἀναιρεθῆναι. 81 Ven. συνεβούλευσαν ἀποκτεῖναι. 82 impr. Par. ἀνεσταυρώθησαν. 83 Ven. Taur. Par. ἀμνηστείᾳ. 84 Ultimum hoc problema loco penultimo ponunt impr. 85 Ven. συνῴκησεν. 86 Impressa finiunt: Δόξα σοι, ὁ θεὸς, δόξα σοι, κύριε, δόξα σοι. Taur. δόξα σοι ὁ θέος.

---

# ΑΛΕΞΑΝΔΡΟΥ

## ΠΕΡΙ ΣΧΗΜΑΤΩΝ.

---

Alexandrum post Aldum edidit Laur. Norrmannus sub titulo:

ΑΛΕΞΑΝΔΡΟΥ

ΠΕΡΊ ΤΩΝ ΤΗΣ ΔΙΑΝΟΙΑΣ ΣΧΗΜΑΤΩΝ ΚΑΙ ΠΕΡΙ ΤΩΝ ΤΗΣ ΛΕΞΕΩΣ ΣΧΗΜΑΤΩΝ.

α. β.

ΦΟΙΒΑΜΜΩΝΟΣ

ΣΧΟΛΙΑ ΠΕΡΙ ΣΧΗΜΑΤΩΝ ΡΗΤΟΡΙΚΩΝ.

α. β.

ΜΙΝΟΥΚΙΑΝΟΥ

ΠΕΡΙ ΕΠΙΧΕΙΡΗΜΑΤΩΝ.

interprete Laurentio Norrmanno, qui et rhetores ipsos, quâ ex ingenio, qua investigatis auctorum testimoniis, locis innumeris meliores ornatioresque facere conatus est. Upsalae CIↃIↃCXC. Usus sum hoc libello rarissimo, quem inveni in bibliotheca regia Parisiensi ita, ut omnes Norrmanni conjecturas et annotationes in commentarium meum reciperem. Codices adhibui Vindobon. LX. chartac. sec. 15. Codex est bene scriptus, sed tantum abest, ut ad emendandum li-

brum aliquid conferat, ut omnes vel pravissimas lectiones, quae in Aldina deprehenduntur, et vitia typographica exhibeat. Non multo largiorem messem praebuit Par. 1. (1741.) quo ex tertia parte collato, taeduit continuare ingratum laborem. Par. 3. (1656.) cujus primum caput speciminis caussa contuli, consentit cum Aldina. Notatu dignus Par. 2. (2087.) sec. 14. bombycinus. 4., qui Alexandri librum ordine et argumento schematum a nostro prorsus differentem, modo contractum, modo exemplis ex scriptoribus sacris petitis auctum exhibet. Incipit Fol. 247. b.

„Τὰ τῆς διανοίας σχήματα.

Προδιόρθωσις, ἐπιδιόρθωσις, ἀμφιδιόρθωσις, προκατάληψις, ὑπεξαίρεσις, αἰτιολογία, συναθροισμὸς, ἐπιμονὴ, λεπτολογία, ἠθοποιΐα, προσωποποιΐα, ἐπιτροχασμὸς, ἀποσιώπησις, παράλειψις, ἀποστροφὴ, διαπόρησις, διασυρμὸς, ἐπανάληψις, ἐπαναφορά.“

„Τὰ τῆς λέξεως σχήματα.

Ταυτολογία, παλιλλογία, ἀνάπλασις, ἀντιστροφὴ, συμπλοκὴ, ἐπάνοδος, κλῖμαξ, προδιασάφησις, πλεονασμὸς, ἔλλειψις, ἀλλοίωσις, πολύπτωτον, μεταβολὴ, ζεῦγμα, παρονομασία, ὁμοιοτέλευτον, πάρισον, ὁμοιόπτωτον, ἀσύνδετον, ἀντίθετον, σύγχρησις, ἀντεναντίωσις, προσυπάντησις, ὑπαλλαγὴ, περίφρασις, ὑπερβατὸν, παρεμβολή.“

„Ἀλεξάνδρου περὶ τῶν τῆς διανοίας καὶ τῆς λέξεως σχημάτων.

Hujus codicis recensionem diversam enotavi integram. Codice Par. 1741. scholia contineri dicit Harlesius ad Fabric. Bibl. T. VI. p. 103. Sed accuratius inspectis iis, quae ad marginem adjecta sunt, non scholia ad Alexandrum, sed

breviorem de schematibus tractatum esse inveni, qui ita cum Zonaeo consentit, ut varia ejus lectio ad illum referri posset. Ex codice Angelico F. 6. 17. chart. sec. 15. forma quarta pauca specimina sumsi. Nonnullas emendationes ex varietate lectionis ad marginem exemplaris Parîsini et Monacensis adjecta recepi.

---

# Testimonia de Alexandro.

## I.

Fabric. Bibl. Gr. T. VI. p. 103. ed. Harl.

Alexander hic est Numenius, sive Numenii, rhetoris (Adriano imperatore clari) filius, sophista, Julio Rufiniano in limine libri de figuris sententiarum, Suidae et scholiastis Graecis Hermogenis laudatus. Librum utrumque Alexandri de figuris sententiae et dictionis latine vertit Natalis Comes, cujus interpretatio lucem vidit Venet. 1557. 8. Illam vidisse se negat Laurentius Norrmannus, qui cum nova versione sua et castigationibus vulgavit graece et latine Upsaliae 1690. 8. addito Phoebammone atque Minuciano.

## II.

## Norrmanni Prolegomena.

Perpauca sunt, quae de Alexandro rhetore ex veterum monumentis adhuc didicimus: unde nonnisi pauca et levicula quaedam sunt, quae hoc tempore de illo a nobis in medium proferri possunt. Jam primum haud paucos hujus nominis philosophos, historicos, sophistas passim commemorari videas. At non aeque promptum obviumque fuerit definire, quinam omnino sit, de quo in praesens sermo est. Ut quod mihi maxime probatur, sine circuitione et anfractu aperiam, haud alium esse putarim, quam qui Numenii filius, *ὁ Νουμηνίου· σοφιστής·* nullo praeterea chara-

characterismo rerum temporumque adjecto a Suida appellatur, quo me inprimis Julii Rufiniani, antiqui rhetoris Latini, verba, exordio libri de figuris sententiarum posita, impellunt. Hactenus inquit Aquila Romanus ex Alexandro Numenio: exinde ab eo praeterita, ab aliis quidem prodita, subtexuimus. Heic enim Alexander Numenius idem utique est, quod Alexander Numenii F. perinde ut *Ἡρώδης ὁ Ἀττικοῦ* est Herodes Atticus: ut *Ἀπολλώνιος ὁ Μόλωνος*, Apollonius Molon: quanquam, ut Eruditi ad Julium Caesarem Suetonii contendunt, est fortasse et alius rhetor, civis prioris ac aequalis, *Ἀπολλώνιος ὁ Μόλων* sive item *ὁ μαλακὸς* cognominatus, cujus mentio apud Strabonem in XIV. et apud Phoebammonem nostrum p. 98. [Ald. p. 588. med.] nisi si et ille *Ἀπολλώνιον τὸν Μόλωνα καὶ τὸν Μόλωνος* temere confudit. Rursus *Ἀπίων ὁ Πλειστονίκου· ὁ ἐπικληθεὶς Μόχθος*, Suidae, idem est, qui Gellio V, XIV. in Mss. Apion Plistonices, pro eo, quod vulgo excusum est, Apion Polyhistor. quemadmodum pluribus docet Salmasius, notis ad statuam Regillae, Herodis Attici uxoris p. 89. 90. et denuo paucis adtingit praefatione Achillis Tatii. Ceterum ita, ut prodit Rufinianus, rem ipsam comparatam esse, haud difficiliter agnoscet quisquis Aquilam cum Alexandro nostro studiosius commiserit, cujus ille vestigiis, quidquid dissimulat, tum in ordine ac recensu schematum, praesertim sententiae, tum tractatione ipsa plerumque insistit, sic tamen, ut suis auspiciis, suo arbitrio, ubique rem gerat, non alieni operis interpretationem condat. Ideoque et multo maximam exemplorum partem de latinis scriptoribus sumsit, et in ceteris, ubi Nostrum pressius sequitur, illud notissimum Senecae praeceptum fere tenet, ut etiamsi adparuerit, unde sumtum sit, aliud tamen esse, quam unde sumtum est, adpareat. Non sustineo tamen dissimulare, virum rei librariae extra controversiam peritissimum, Conradum Gesnerum, in bibliotheca sua universali, illiusque epi-

tomes continuatores, Alexandro Aphrodisiensi, summo philosophiae Peripateticae instauratori ac vindici hoc adscribere opusculum, tum ab Aldo excusum, tum manuscriptum in imperatoria bibliotheca Viennensi, cui etiam in tres Aristotelis *τέχνης ῥητορικῆς* libros, autore non nominato, Lutetiae A. 1539. fol. per Conr. Neobarium editos commentarios Graecos, idem Gesnerus, in Partitionibus rhetoricis, titulo II. haud scio quam probabili [1] conjectura, tribuit. Verum enimvero cur hosce de figuris sententiae atque elocutionis libellos ad eundem Alexandrum Eruditi referant, neque caussam ullam proferunt, neque ego aliam facile esse crediderim, quam inclytum philosophi nomen, atque tot operibus scriptisque partam diffusae eruditionis gloriam, nisi si forte Viennensis ille codex quidquam ad hanc caussam momenti adferat, de quo rectius sententiam dicent, quibus illum lustrandi facultas erit, aut qui decantatos eximiosque Lambecii de Vindobonensi bibliotheca commentarios, nobis nondum visos consulere poterunt· interea in ea nos sententia, quam antea adtulimus, libenter adquiescemus. Jam igitur postquam hoc opus genuino auctori, Alexandro sophistae, vindicavimus, illique parentem suum reddidimus, certius inde liquidiusque de aetate illius ferri potest judicium, aevo videlicet Antoninorum floruisse. Siquidem parens ipsius Numenius rhetor, teste Suida *παραμυθητικὸν Ἀδριανῷ εἰς Ἀντίνοον* scripsit, cui quum hypotheses item *περὶ τῶν τῆς λέξεως σχημάτων* idem Suidas tribuit, aut simillimum et maxime genuinum, aut hoc ipsum fortasse filii scriptum intelligit, quod ex unico exemplari Aldino ex-

1 In addendis dicit: „Sic modestius, quam apertius, quid mihi videretur, subindicabam· poteram ingenue vanum et improbabilem dicere· nam commentariorum illorum consarcinator et aetate multo recentior Alexandro Aphrodisiensi est, quod tot hodiernae linguae vestigia produnt, et judicio atque eruditione impar.“

pressum, pro nostraque virili parte diligenter emendatum expolitumque, et nova insuper versione Latina illustratum (vetus enim illa Natalis de Comitibus, quanquam anxie quaesita, adhuc invisa nobis) denuo in apertam lucem proferimus. Atque et alia quaedam Alexandri rhetoris aut sophistae exstare feruntur, ut *βίβλος τὰς τῶν ἱερῶν βοτανῶν περιέχουσα κράσεις*, liber olim bibliothecae Joh. Sambuci, hodie fortasse Caesareae Viennensis, ut epistolae item, ab Aldo, ut ferunt, editae, sed quae nullo in utroque epistolarum Aldinarum volumine comparent. Viderint, quibus meliorum instructiorumque bibliothecarum copia est.

## III.

### Rhet. Graeci Vol. VII. p. 53.

*Ἰστέον, ὅτι τὸ προοίμιον κατὰ μὲν τοὺς Ἀπολλοδωρείους τὴν πρώτην τάξιν τοῦ λόγου ἐπέχει, — — — Ἀλέξανδρος δὲ ὁ τοῦ Νουμηνίου καὶ κατ᾽ ἀρχήν φησι τοῦτο καὶ μετὰ τὴν διήγησιν καὶ μετὰ τὰς πίστεις τάττεσθαι.*

## IV.

### ibid. p. 763. v. 13.

*Διαφέρει δὲ συλλογισμὸς διαλεκτικὸς καὶ τὸ ἐνθύμημα, ὡς Ἀλέξανδρός φησι, ταύτῃ, ὅτι ἐν μὲν τῷ διαλεκτικῷ συλλογισμῷ πάντα τὰ λήμματα θέντες κατὰ τὴν ἰδίαν τάξιν ἐπιφέρομεν τὸ συμπέρασμα, ἐν δὲ τῷ ἐνθυμήματι οὐ πάντα τὰ λήμματα τῆς ἐπιφορᾶς εἰπεῖν ἀναγκαῖον, ἀλλ᾽ ἢ τὰ λήμματα παραλείπομεν ἢ τὴν ἐπιφορὰν, οὔτε τάξει χρώμεθα, ὥστε πρότερον μὲν εἶναι τὰ λήμματα, ἐπὶ πᾶσι δὲ τὴν ἐπιφοράν.*

### ibid. v. 20.

*Ἀλέξανδρος δέ φησιν, ὅτι τὸ ἐπιχείρημα τελεώτερον εἶναι δοκεῖ τοῦ ἐνθυμήματος, οὐ γὰρ μόνον, φησὶ, βούλε-*

*ται τά τε λήμματα καὶ τὴν ἐπιφορὰν ἔχειν, ἀλλὰ καὶ τὴν πρότασιν, ἧς καὶ ἡ πίστις γίνεται.*

## V.

### ibid. p. 765. v. 11.

*Γνώμη δέ ἐστιν, ὥς φησιν Ἀλέξανδρος, καθολικὴ ἀπόφασις περὶ τῶν πραγμάτων οὕτως ἐχόντων, καὶ οὕτως ἔχειν ὀφειλόντων. — — Διαφέρει δὲ γνώμης ἐνθύμημα, ὡς Ἀλέξανδρός φησι· τῆς μὲν ἀναποδείκτου προδήλως διαφέρει, τῷ ἐκείνην μὲν ψιλὴν εἶναι ἀπόφασιν, τὸ δὲ ὥσπερ συλλογισμόν τινα.*

## VI.

### Rhet. Gr. T. V. p. 407.

*Ἔνιοι μὲν οὖν τῶν περὶ ταῦτα δεινῶν, ὡς Ἀλέξανδρός φησιν, οὐδεμίαν διαφορὰν οἴονται τούτων εἶναι, ἄλλοι δὲ ἀπὸ τῶν ἐξ αὐτῶν προδήλως δεικνύουσιν, ὅτι οὐκ ἔστι ταῦτα, ἀλλ' ἕτερα· τῶν γὰρ ἀκολουθούντων τισίν, ὡς Ἀλέξανδρός φησιν, ἃ μὲν ἐν τοῖς καθόλου καὶ ἀεὶ ἀκολουθεῖ, ὡς ἔχει ταῦτα, εἰ καπνός ἐστιν ἐνταῦθα, πῦρ ἐστιν ἐνταῦθα· ἃ δὲ ὡς ἐπίπαν μὲν οὐκ ἀκολουθεῖ, ἐπὶ πλέον δὲ* etc.

## VII.

### Rhet. Gr. T. IV. p. 35.

*Καὶ Θεοφράστῳ δὲ γέγραπται τέχνη ῥητορικὴ περὶ ἐνθυμημάτων, καὶ Ἀλεξάνδρῳ τῷ τοῦ Νουμηνίου καὶ Λολλιανῷ περὶ ἀφορμῶν ῥητορικῶν.*

# ΑΛΕΞΑΝΔΡΟΥ Ald. 574

## ΠΕΡΙ ΤΩΝ ΤΗΣ ΔΙΑΝΟΙΑΣ[1] ΚΑΙ ΤΗΣ ΛΕΞΕΩΣ ΣΧΗΜΑΤΩΝ.

### Liber I.

α΄.

Ἔστι μὲν οὐχ ἡ τυχοῦσα δυσκολία[2] περὶ τῶν τοῦ[3] λόγου σχημάτων εἰπεῖν[4], καὶ γὰρ αὐτὰ τῷ πλήθει δυςπόριστά[5] ἐστι, τῶν μὲν καὶ ἄπειρα φασκόντων εἶναι τὰ σχήματα, τῶν δὲ οὐκ ἄπειρα μὲν, πολλὰ δὲ καὶ ἀπερίληπτα[6], καὶ πρὸς τούτῳ[7] γε οὐ ῥᾴδιον διακρῖναι τὸ σχῆμα

ἐνταῦθα γὰρ τό τε ἀρσενικὸν ἄρθρον καὶ τὸ θηλυκὸν ἴσον ὡς πρὸς τὸ πρᾶγμα δύναται. τὸ δ' ἰσοδυναμοῦν οὕτως, ὡς εἴ τις λέγοι· ἐπέδωκα[10] τῇ πόλει χρήματα, παρέσχον συμμάχους, ἐχαρισάμην ὅπλα, καὶ ὡς „ὅταν τοὺς κοινωνοὺς[11] αὐτοῦ τῶν δωροδοκημάτων παρακαλῇ,[12] ὑπολαμβάνετε[13] καθορᾶν ἐπὶ τοῦ βήματος ἀντιπαρατεταγμένους, Σόλωνα μὲν τὸν καλλίστοις νόμοις κοσμήσαντα τὴν δημοκρατίαν,[14] Ἀριστείδην δὲ τὸν τοὺς φόρους τάξαντα[15] τοῖς Ἕλλησιν, ἐπερωτῶντα·[16] ἦ οὐκ αἰσχύνεσθε, εἰ οἱ πατέρες ὑμῶν[17] Ἄρθμιον[18] τὸν Ζελείτην,“[19] καὶ τὰ ἑξῆς.

ιε'.

---

8 Il. β. 671. Ald. Νηρεὺς αὖ σὺ μήδηθεν ἄγεν, Νηρεύς. Vind. et Par. 1. Νηρεὺς αὖ σὺ μηθὲν ἄγεν, Νηρεύς. Norrm. post ἄγεν posuit: τρεῖς νῆας εἴσας, uncis inclusum. 9 Ald. Vind. Par. 1. παντάναλκις. Soph. Electr. 303. 10 Ald. Vind. Norrm. ἀπέδωκα. Par. 1. Marg. Norrm. ἐπέδωκα. 11 ὅταν τοὺς κοινωνοὺς Ald. Par. 1. Vind. om., Norrm. τοὺς κοινωνοὺς recepit uncis inclusum: ad marg. notat: ὅταν ed. — Aeschin. in Ctesiph. sub fin. Marg. ex. Par. supplet. καὶ ὥς, ὅταν ἐπὶ τελευτῆς ἤδη τοῦ λόγου τοὺς συνηγόρους καλῇ, καὶ τοὺς κοινωνοὺς αὐτῷ τῆς δωροδοκίας παρακαλῇ, ὑπολαμβάνετε. 12 Ald. Par. 1. παρεκάλει. Vind. παρακάλει. Norrm. παρακαλῇ. 13 Ald. Par. 1. Vind. ὑπολάμβανε. correxit Norrm. et ex. Par. 14 Par. 1. δημοκρατείαν. 15 Ald. Par. 1. Vind. τάξαντα. τὸν τοῖς Ἑ. ἐπερ. Norrm. et ex. Par. τὸν delent. 16 Ald. Par. 1. ἐπερωρῶντα. Vind. Norrm. ἐπερωτῶντα. marg. ex. Par. καὶ ἐπερωτᾶν. 17 Par. 1. ἡμῶν. 18 Edd. et Codd. Ἀρίθμιον. 19 Ald. Ζελήτην. Par. 1. Vind. Ζελίτην. Norrm. Ζελείτην. Deinceps Par. 1. ulterius comparare operae pretium non duxi.

## ιέ. ΠΕΡΙ ΗΘΟΠΟΙΙΑΣ.

Ἠθοποιΐα δέ [1] ἐστιν, ὅταν ὑπάρχοντα πρόσωπα τιθέντες λόγους τινὰς αὐτοῖς [2] περιτιθῶμεν πρὸς τὸ πιστοτέρους αὐτοὺς δόξαι εἶναι, ἢ εἰ αὐτοὶ ἐλέγομεν αὐτούς, ὡς Αἰσχίνης ἐπὶ τοῦ Δημοσθένους· [3] „μηδενὶ δὴ τρόπῳ καθ' ὑμῶν αὐτῶν γέλωτα τῷ σοφιστῇ καὶ διατριβὴν παράσχητε, [4] ἀλλ' ὑπολαμβάνετε αὐτὸν εἰςεληλυθότα οἴκαδε ὁρᾶν σεμνυνόμενον ἐν τῇ τῶν μειρακίων διατριβῇ, διεξιόντα ὡς εὖ τὸ πρᾶγμα [5] ὑφείλετο τῶν δικαστῶν," „ἀπαγαγὼν γὰρ αὐτοὺς ἀπὸ τῶν περὶ Τίμαρχον αἰτιῶν ἐπέστησε φέρων ἐπὶ τὸν κατήγορον καὶ Φωκεῖς. καί·" ὃν ἐχρῆν [6] παρελθόντα εἰς τὴν ἐκκλησίαν εἰπεῖν· ἄνδρες Ἀθηναῖοι, τὸν μὲν στέφανον δέχομαι"· καὶ τὰ ἑξῆς.

---

1 δὲ Par. 2. om. 2 Ald. Vind. Norrm. αὐτοί. Par. 2. et marg. Norrm. αὐτοῖς. tum Par. 2. περιθῶμεν, omissis sqq. πρὸς τὸ πιστοτέρους — — ἐλέγομεν αὐτούς. 3 κατὰ Τιμάρχου p. 307. Bekk. Par. 2. ἐπὶ Δημοσθ. φησί· ὑπολάβετε αὐτὸν, ὦ ἄνδρες, εἰςεληλυθότα ὁρᾶν οἴκαδε σεμνυνόμενον καὶ διεξιόντα, ὡς εὖ τὸ πρᾶγμα ὑφειλόμην τῶν δικαστῶν· ἀπαγαγὼν γὰρ αὐτῆς τῶν περὶ Τίμαρχον αἰτίων, ἐπέστησα φέρων ἐπὶ τὸν κατήγορον καὶ Φίλιππον καὶ Φωκέας. καὶ ὁ θεολόγος, δοκῶ μοι κἀκείνης ἀκούειν τῆς φωνῆς, πλάτυνον τὰ σχοινίσματά σου· ἐγὼ παρέδωκά σε, καὶ ἐγὼ βοηθήσω σοί· ἐν θυμῷ μικρῷ ἐπάταξά σε, καὶ ἐν ἐλέῳ αἰωνίῳ δοξάσω σε, καὶ τὰ ἑξῆς. 4 Ald. Vind. παράσχηται et ὑπολαμβάνεται. correxit Norrm. et ex. Par. 5 Post τὸ πρᾶγμα Ald. Vind. pergunt: καὶ παρελθόντα εἰς τὴν ἐκκλησίαν τὸν μὲν στέφανον δεξάμενον καὶ τὰ ἑξῆς. καὶ ἀπὸ τῶν περὶ Τίμαρχον αἰτιῶν ἀπέστησε φέρων ἐπὶ τὸν κατήγορον καὶ Φωκεῖς. Tacite mutavit ordinem Norrm. quem secutus sum. 6 ὃν ἐχρῆν et paullo post εἰπεῖν· ἄνδρες Ἀθην. Edd. Codd. om., uncis inclusit Norrm. — Aeschin. in Ctesiph. p. 455. Bekk.

## ιϛʹ. ΠΕΡΙ ΑΠΟΣΙΩΠΗΣΕΩΣ.

Ἀποσιώπησίς ἐστι λόγος ἐπιτείνων [1] τὸ παρασιωπώμενον, ἢ [2] παραλείπων τὸ γινωσκόμενον, ἢ σιωπῶν τὸ αἰσχρόν· [3] ἐπιτείνει μὲν οὖν τὸ παρασιωπώμενον, ὡς Δημοσθένης· „ᾧ μήτηρ μὲν ὑπῆρχε πολίτης, [4] πατὴρ δὲ οὐκ ἐρῶ πόθεν." οὐδὲν γὰρ πλεῖον τῶν ἀναγκαίων αὐτὸν ἐξετάσασθαι· παραλείπει δὲ τὸ γινωσκόμενον οὕτως. καὶ πάλιν· „τοσαῦτα, ὦ Ἀθηναῖοι [5], ὅσα ὀκνήσαιμ' ἂν εἰπεῖν·" παντὶ γὰρ δῆλον, ὅτι τὸ πρῶτον μὲν ἀηδές τι παραλείπει. εἶτα εἰδικώτερον, ὅτι ἀτιμίαν εἰπεῖν βούλεται, [6] ἤ τι τοιοῦτον. σιωπᾷ [7] δὲ τὸ αἰσχρὸν Εὐριπίδης.

"Η [8] πόσιν ἀπείρῳ περιβάλλουσ' ὑφάσματι
Ἔκτεινεν, ὧν δ' ἕκατι παρθένον λέγειν
Οὐ καλόν.

## ιζʹ. ΠΕΡΙ ΕΠΙΤΡΟΧΑΣΜΟΥ.

Ἐπιτροχασμός ἐστι προσκείμενον [1] σχῆμα τῷ τε συν-

---

1 ἐπιτείνων τὸ παρασιωπ. ἢ Par. 2. om. 2 Par. 2. καί. 3 Par. 2. pergit: οἷον, περιττὸν λέγειν, ἅπαντες ἴσασι, καὶ τὸ Εὐριπίδειον, ὡς ἔκτεινε Κλυτημνήστρα τὸν Ἀγαμέμνονα· ὃν δ' ἑκάτη [sic] παρθένῳ λέγειν οὐ καλόν· καὶ ὁ θεολόγος [Or. εἰς τὰ ἅγ. φῶτα p. 625. D.]. οἶδεν Ἐλευσὶς ταῦτα, καὶ οἱ τῶν σιωπωμένων καὶ σιωπῆς ὄντως ἀξίων ἐπόπται· καὶ πάλιν· καὶ τὸ δύσφημον σιωπησμένον. [sic]. 4 Marg. Norrm. f. πολῖτις. contra Aristocr. 759. F. 5 Norrm. ὦ ἄνδρες Ἀθηναῖοι, ὅσα ὀκν. ἂν πρὸς ὑμᾶς εἰπεῖν. Ald. Vind. ὅσα om. — pro cor. p. 260. 6 Ald. Vind. βούληται. Norrm. et ex. Par. βούλεται. 7 Ald. Vind. σιωπῷν. Norrm. σιωπᾷ. 8 Ald. Vind. ἢ et περιβάλλουσα. Norrm. περιβάλλουσ'. mox Vind. ἔκτινεν. — Orest. 25.

1 Par. 2. σχῆμα προςκείμενον. Ald. Vind. προκείμενον. ex. Par. et marg. Norrm. προςκείμ.

αθροισμῷ καὶ τῇ ἐπιμονῇ· διαφέρει δὲ ἐκείνων, ὅτι τὰ πολὺ διεστηκότα συνάγει καὶ [2] ἀξιοπιστίας ἕνεκα λέγε- 580 ται· ὡς ἔχει τὸ Δημοσθενικὸν, „ἀλλ᾽ ἐφ᾽ Ἑλλήσποντον [3] οἴχεται· πρότερον ἧκεν ἐπ᾽ Ἀμβρακίην, Ἦλιν ἔχει τηλικαύτην πόλιν ἐν Πελοποννήσῳ, [4] Μεγάροις ἐπεβούλευσε [5] πρώην.“ [6]

## ιή. ΠΕΡΙ ΕΙΡΩΝΕΙΑΣ.

Εἰρωνεία δέ [1] ἐστι λόγος προςποιούμενος [2] τὸ ἐναντίον [3] λέγειν, ὡς ἐπὶ τῆς Μηδείας [4] Εὐριπίδης.

Τοιγάρ με πολλαῖς μακαρίαν Ἑλληνίδων
Ἔθηκας ἀντὶ [5] τῶνδε· θαυμαστὸν δέ σε
Ἔχω πόσιν καὶ σεμνὸν, [6] ὦ τάλαιν᾽ ἐγὼ,

καὶ τὰ ἑξῆς. καὶ ὡς ὁ Δημοσθένης [7]· „δῆλον γὰρ, ὅτι σὺ μὲν ἀλγεῖς ἐπὶ τοῖς τῶν Θηβαίων ἀτυχήμασιν, [8] κτήματα ἔχων ἐν τῇ Βοιωτίᾳ· ἐγὼ δὲ χαίρω καὶ [9] εὐθὺς ἐξητούμην ὑπὸ τοῦ ταῦτα πεποιηκότος.“ Εἴδη δὲ τῆς εἰ-

---

2 καὶ ἀξιοπιστίας ἕνεκα λέγεται. Par. 2. om. 3 Par. 2. ἐλίσποντον et mox ὕλιν pro ἦλιν. — Phil. III. p. 118. 4 Vind. Par. 2. Πελοπονήσῳ. 5 Ald. ἐπεβούλευσεν tum Par. 2. addit: καὶ ὁ θεολόγος· ὑποπέσοιντο σύνοδοι παρὰ τοῦ νέου μητροπολίτου· πρόσοδοι διηρπάζοντο, πρεςβύτεροι τῶν ἐκκλησιῶν, οἱ μὲν ἂν ἐπείθοντο, οἱ δὲ ὑπηλλάττοντο.

1 Par. 2. δὲ om. 2 Ald. Norrm. Vind. προσωποποιούμενος. marg. Norrm. scr. προςποιούμ. ita Par. 2. 3 Par. 2. τὸ ἐναντίον, οὗ λέγει, ὡς τὸ Δημοσθενικόν· τοῖς τῶν Θηβαίων ἀτυχήμασι τὰ ἐκείνων νεμόμενος, ἐγὼ δὲ χαίρω, ὃς εὐθὺς ἐζητούμην ὑπὸ τοῦ ταῦτα πεποιηκότος. καὶ ὁ θεολόγος· ἠπάτα δέ με καὶ ὁ Κάρμηλος Ἡλίου, τὸ τοῦ πυρὸς ἅρμα δεξάμενος, καὶ ἡ μηλωτὴ Ἑλισσαίου πλείω δυνηθεῖσα καὶ τὰ ἑξῆς. 4 v. 509. Pors. 5 Ald. Vind. ἀντὶ δὲ τωνδε. Norrm. δὲ om. 6 Marg. Norrm. πιστὸν Ed. 7 pro cor. p. 239. 8 Vind. ἀτυχήμασι. 9 Marg. Norrm. ὃς Ed.

ρωνείας τέτταρα· ἀστεϊσμὸς,[10] μυκτηρισμὸς, σαρκασμὸς, χλευασμός.

## ιθ΄. ΠΕΡΙ ΠΑΡΑΛΕΙΨΕΩΣ.

Παράλειψις[1] δέ ἐστιν, ὅταν δοκοῦντές τι παραλιπεῖν μηδὲν ἧττον λέγωμεν αὐτὸ, ὡς Δημοσθένης· „ἀλλὰ τί ἐχρῆν με[2] ποιεῖν, ἤδη γὰρ σὲ ἐρωτῶ, πάντα ταῦτα ἀφεὶς, Ἀμφίπολιν, Πύδναν, Ποτίδαιαν, οὐδενὸς τούτων μέμνημαι· Σέῤῥιον[3] δὲ καὶ Δορίσκον καὶ τὴν Πεπαρήθου[4] πόρθησιν οὐδ' εἰ γέγονεν οἶδα.“[5] καὶ πάλιν·[6] „ὅσα μὲν οὖν τοὺς χορευτὰς ἐναντιούμενος ἡμῖν ἀφεθῆναι τῆς στρατείας ἠνώχλησε,[7] καὶ προβαλόμενος[8] καὶ χειροτονῶν αὐτὸν[9] εἰς Διονύσια ἐπιμελητὴν, ἐάσω,“ καὶ πάλιν· „τὴν μὲν ἀσέλγειαν καὶ τὴν ὕβριν Μειδίου[10] καὶ τὰ λοιπὰ ἄπειρα ὄντα κακὰ ἐάσω.“ καὶ οὔτε τόδε λέγω, οὔτε τόδε, οὐδ' ὡς ἠδίκησεν[11] τὴν πόλιν οὗτος· καὶ πάλιν· οὔτε γὰρ τοὺς Ἑρμᾶς, οὓς ἐλωβήσατο, λέξω·

---

10 Ald. Vind. ἀστιασμός. Norrm. ἀστειασμός. ad marg. ἀστεϊσμός.

1 Par. 2. Παρ. γίνεται, ὅταν τι προςποιούμενοι παραλιμπάνειν μηδὲν ἧττον λέγομεν αὐτὸ, ὡς τὸ Δημοσθενικὸν, πάντα τἄλλ' ἀφείς. 2 Edd. Codd. μέν. pro cor. p. 248. 3 Ald. Vind. Σέρινοι. mox Par. 2. Δωρίσκον. 4 Ald. Vind. παρήθου. 5 Par. 2. pergit: καὶ ὁ θεολόγος· τὸν γὰρ Πρωτέα [Or. adv. Julian. p. 74. C.] τὸν τοῦ μύθου παρίημι, τὸν Αἰγύπτιον σοφιστήν· καὶ πάλιν· ἵνα γὰρ ἐάσω τὰ κατὰ τῶν ἁγίων οἴκων προςτάγματα δημοσίᾳ τε προτιθέμενα καὶ ἰδίᾳ πληρούμενα καὶ τὰ ἑξῆς. 6 in Mid. p. 519. 7 Ald. Vind. ἐνώχλησε. Norrm. ἠνώχλησεν. 8 Norrm. προβαλλόμενος. 9 Ald. Vind. αὐτόν. 10 Ald. Vind. Μηδείου. Haec verba ipso exordio orationis κατὰ Μειδίου, sed sine sequentibus, posita leguntur. quae item in Phil. IV. ab initio occurrunt. Norrm. 11 Vind. Norrm. ἠδίκησε.

οὔθ' ὡς ηὐτομόλησεν εἰς Σικελίαν, ἀλλ' ἔστω τούτων ἀμνηστεία μυρίων ὄντων.

## κ'. ΠΕΡΙ ΑΠΟΣΤΡΟΦΗΣ.

Ἀποστροφὴ [1] δ' ἐστὶν, ὅταν πρόσωπον ἕτερον ἀνθ' ἑτέρου αἰτιώμεθα, ἤτοι πραΰνειν, ἢ ἐποτρύνειν ἐθέλοντες, ὡς ὁ ποιητής·

Ἀτρείδη νῦν δή σε ἄναξ ἐθέλουσιν Ἀχαιοὶ
Πᾶσιν ἐλέγχιστον [2] θέμεναι μερόπεσσι [3] βροτοῖσιν.
Οὐδέ τι ἐκτελέουσιν ὑπόσχεσιν, ἥνπερ ὑπέσταν·

ἐπεὶ γὰρ ἀπότομον ἦν λέγειν, ὦ Ἀχαιοὶ, ἄδικοί ἐστε, πρὸς τὸν βασιλέα οὐκ ἐθέλοντες ἐκτελεῖν αὐτῷ τὰς ὑποσχέσεις, μετεσχημάτισε τὸν λόγον πρὸς αὐτὸν τὸν Ἀγαμέμνονα· γίνεται δὲ ἡ ἀποστροφὴ καὶ ὅταν ἄλλων μνημονεύοντες, ὡς δυναμένων ταὐτὰ [4] ποιῆσαι, τούτοις περὶ ὧν ἂν ποιησώμεθα τὸν λόγον μὴ πεποιηκότων δὲ, εἶτα δι' αὐτῶν [5] καὶ καθαπτόμεθα τῶν ἀντιδίκων· ὡς Δημοσθένης τὰ ὑπὸ Μειδίου [6] γεγονότα βουλόμενος διαβάλλειν διαβάλλει [7] τὰ περὶ Ἰφικράτην· „καίτοι φασὶν Ἰφικράτην ποτὲ ἐκεῖνον Διοκλεῖ τῷ Πιτθεῖ τὰ μάλιστα

---

1 Par. 2. ἀποστροφή ἐστιν, ὅταν ἀφ' ἑτέρου πρὸς ἕτερον πρόσωπον ἀποστρέψωμεν τὸν λόγον, οἷον ὑμεῖς, ὦ ἄνδρες, τοιαῦτα διανοεῖσθε. [Cod. —σθαι.] οὐδὲ πῶς ἐτόλμησας ἐπιχειρῆσαι περινενοημένοις πράγμασι· καὶ ὁ θεολόγος· ὡς δὲ εἶχεν αὐτῷ κατὰ νοῦν τὰ πλησίον, οὕτως ἤδη πειρᾶται καὶ τῶν ἑξῆς· εὐηθέστατε καὶ ἀσεβέστατε καὶ ἀπαιδευτότατε, σὺ κατὰ τοσούτου κλήρου, καθέδρα τιμία, καὶ τιμίων ἀνδρῶν ἵδρυμα καὶ ἀνάπαυμα· ἐπὶ δέ σε τίς ἀνέβη δημηγόρος Ἕλλην. 2 Vind. πᾶσιν ἀλλ' αἴσχιστον. Il. β, 284. 3 Ald. Vind. μερόπεσι. 4 Ald. Vind. Norrm. ταῦτα. marg. Norrm. l. ταὐτά. 5 Ald. Vind. Norrm. ἑαυτῶν. marg. Norrm. immo αὐτῶν. 6 Ald. Vind. Μηδείου. p. 534. 7 marg. Norrm. παραβάλλει.

ἐλθεῖν εἰς ἔχθραν, καὶ ἔτι πρὸς τούτῳ[8] συμβῆναι, Τισίαν[9] τὸν ἀδελφὸν τὸν Ἰφικράτους ἀντιχορηγῆσαι[10] τῷ Διοκλεῖ· ἀλλ' ὅμως πολλοὺς ἔχων Ἰφικράτης" καὶ τὰ ἑξῆς, „οὐκ ἐβάδιζεν[11] ἐπὶ τὰς τῶν χρυσοχόων οἰκίας νύκτωρ, οὐδὲ κατεῤῥήγνυ[12] τὰ κατεσκευασμένα ἱμάτια ἐς τὴν ἑορτὴν" καὶ τὰ ἑξῆς.

### κά. ΠΕΡΙ ΔΙΑΠΟΡΗΣΕΩΣ.

Διαπόρησις δ'[1] ἐστὶν, ὅταν περὶ ἑνὸς πράγματος δύο[2] ἢ καὶ πλείονας ἐννοίας ἔχωμεν, ἢ καὶ προςποιώμεθα[3] μὴ οὔσας ἔχειν, εἴγε[4] ἀποροῦμεν καὶ μὴ ἐφιστῶμεν[5] ἐπ' αὐταῖς, ὡς ἔχει τὸ τοιοῦτον·[6] „εἴτε τινὸς εἰπόντος, εἴτε αὐτὸς συνιεὶς, οὐκ ἔχω εἰπεῖν,[7] ὅτι δὲ σωτηρία μόνη γίνοιτο ἂν αὐτῷ ἡ ἡμετέρα· εἴτε χρὴ φιλανθρωπίαν αὐτὴν λέγειν, εἴθ' ὅ τι δή ποτε[8] ἄλλο· [οὐκ[9] ἔχει.]

8 Ald. Vind. πρὸς τοῦτο. Norrm. ex. Par. πρὸς τούτῳ. vide, quae ad p. 422. notavimus. 9 Ald. Vind. τις ἄν. corr. Norrm. et ex. Par. 10 Ald. Vind. ἀντιχωρηγῆσαι. mox Ald. ἔχων Ἰφιαράτης. 11 Ald. Vind. ἐβάδιζον. Norrm. ex. Par. ἐβάδιζεν. 12 Ald. Vind. κατ' ἐῤῥήγνυ. ex. Par. corr. — ῥήγνυε.

1 δ' Par. 2. om. 2 Par. 2. διττὰς ἢ καὶ πλ. ἔχομεν ἐννοίας, ἀγνοοῦντες, ὁπότερα τούτων ἀληθῆ, οἷον εἴτε τινὸς εἰπόντος. 3 Ald. Vind. προςποιούμεθα. corr. ex. Par. et Norrm. 4 Ex. Par. ἤγε ἀπορῶμεν. 5 Marg. Norrm. f. ἐπιστῶμεν. 6 Dem. contra Aristocr. 750. c. 7 οὐκ ἔχω εἰπεῖν. Par. 2. om. tum: ὅτι μόνη σωτηρία γένοιτ' ἄν. 8 Par. 2. addit: καὶ ὁ θεολόγος, οὐκ οἶδα, εἴτε τάξει τῆς στάσεως μεριζομένη τὸν φωτισμὸν, εἴτε τοῖς μέτροις τοῦ φωτισμοῦ τὴν τάξιν λαμβάνουσα· καὶ πάλιν· εἴτε νοερὰ πνεύματα, εἴτε πῦρ, οἷον ἄϋλον καὶ ἀσώματον, εἴτε τινὰ φύσιν ἄλλην, ὅτι ἐγγυτάτω τῶν εἰρημένων ταύτας ὑποληπτέον. 9 Marg. Norrm. „obrepsit ex superiore οὐκ ἔχω εἰπεῖν."

## κβʹ. ΠΕΡΙ ΕΡΩΤΗΜΑΤΟΣ.[1]

Ἐρώτημά[2] ἐστι, πρὸς ὃ ἀνάγκη ἀποκρίνασθαι κατ'[3] ἀπόφασιν ἢ κατάφασιν οὕτω, ναὶ ἢ οὔ· οἷον ἐξῆλθες ἐπὶ τὴν μάχην, ἢ οὔ; καὶ ὡς Δημοσθένης.[4] „πότερον ταῦτα ποιῶν ἔλυε τὴν εἰρήνην, ἢ οὔ;" ἀνάγκη γὰρ καὶ 581
πρὸς τοῦτο ἢ ναὶ ἢ οὒ ἀποκρίνασθαι.

## κγʹ. ΠΕΡΙ ΠΥΣΜΑΤΟΣ.

Πύσμα δέ ἐστι, πρὸς ὃ διεξοδικῶς ἀπαντῆσαι[1] δεῖ καὶ διὰ πλειόνων, ὡς ἔχει τὸ τοιοῦτον·[2] „ἐμὲ δέ, ὦ τριταγωνιστά, τὸ τίνος φρόνημα λαβόντα τούτοις συμβουλεύειν ἔδει;" ἐνταῦθα γὰρ οὐκ ἔστιν ἀποκρίνασθαι ναὶ ἢ οὔ. ἀλλὰ διὰ πλειόνων ἀνάγκη ἀπαντᾷν[3] τῷ τοιοῦτον[4] ἐροῦντι.

---

1 ad κβʹ. et κγʹ. His gemina tradunt Phoebammo p. 102. Ammonius, sive Herennius Philo. E. XXXIV. Theo sophista p. 69. Norrm. 2 Par. 2. ἐρώτημά ἐστιν, οὗ σύντομος ἡ ἀπόκρισις, διὰ τοῦ ναὶ ἢ οὒ προχωροῦσα, ὥς τὸ Δημοσθενικόν· πότερον ταῦτα ποιοῦσα ἔλυε τὴν εἰρήνην ἢ οὔ; καὶ ὁ θεολόγος· οὐ δέχῃ μετάνοιαν, οὐ δίδως ὀδυρμοῖς χώραν; 3 Edd. Vind. δεῖ. Marg. Norrm. f. κατ'. 4 pro cor. p. 248.

1 Ald. Vind. ἀπαιτῆσαι. Norrm. ἀπαντῆσαι. Par. 2. Πύσμα ἐστὶν, οὗτινος μακρὰ ἡ ἀπόκρισις, ὥς τὸ Δημοσθενικόν· ἐμὲ δὲ, ὦ τριταγωνιστά — ἔδει· καὶ ὁ θεολόγος· ἐπὶ ποίας πηγὰς ἰτέον, καὶ τίνας φευκτέον· ἐπὶ τῶν τοιούτων γὰρ οὐκ ἔστιν ἀποκρίνεσθαι ναὶ ἢ οὒ, ἀλλὰ διεξοδικῶς ἐν πλείοσι λόγοις. 2 pro cor. p. 297. 3 Ald. Vind. ἀπατᾶν. Liban. Progymn. p. 886. v. 15. οὐ χρήμασι τοῦ δικάζοντος διαφθαρέντος, ἀλλὰ τέχνῃ τοῦ λέγοντος ἀπαντήσαντος. Reisk. f. ἀπατήσαντος. idem conj. Jac. Leopardus. Cfr. de hac permutatione Jacobs ad Achill. Tat. p. 885. Lectt. Stob. p. 75. infr. 4 Ald. Norrm. Vind. τοιούτῳ. Marg. Norrm. f. τοιοῦτον. ex. Par. τοιοῦτο ἐρωτῶντι.

## κδ΄. ΠΕΡΙ ΔΙΑΤΥΠΩΣΕΩΣ.

Διατύπωσις[1] δ' ἄρ' ἐστὶν, ὅταν ἅμα προσώπων καὶ πραγμάτων παρασυναγωγὴν ποιησάμενοι μὴ τοὺς λόγους μόνον, ἀλλὰ καὶ τὰ ἐναργήματα καὶ τὰ πάθη καὶ τὰ εἴδη διατυπώμεθα,[2] ὡς ὁ Αἰσχίνης· „γίνεσθέ[3] μοι μικρὸν χρόνον τὴν διάνοιαν, μὴ ἐν τῷ δικαστηρίῳ, ἀλλ' ἐν τῷ θεάτρῳ. καὶ νομίσατε ὁρᾷν προσιόντα τὸν κήρυκα, καὶ τὴν ἐκ τοῦ ψηφίσματος ἀνάῤῥησιν[4] μέλλουσαν γίνεσθαι,“ καὶ τὰ ἑξῆς. καὶ ὥς φησι Δημοσθένης·[5] „ὅτε γὰρ εἰς Δελφοὺς[6] ἐπορευόμεθα, ἦν ὁρᾷν ταῦτα πάντα, οἰκίας κατεσκαμμένας,[7] τείχη περιῃρημένα,[8] γύναια καὶ παιδάρια ὀλίγα καὶ[9] ἄθλια καὶ πρεσβύτας οἰκτρούς.“[10]

---

1 Par. 2. *Διατύπωσίς ἐστιν, ὅταν ὑπ' ὄψιν ἄγεσθαι δοκῶσι τὰ πράγματα, ὡς τὸ τοῦ Αἰσχίνου.* [in Ctesiph. p. 433. Bekk.] 2 Par. 2. *διατυπώμεθα.* Edd. Vind. *διατιθώμεθα.* 3 Ald. *γίνεσθαι.* Vind. *γενέσθαι.* Norrm. ex. Par. *γίνεσθε.* Par. 2. *γενέσθαι μικρὸν τὴν διάνοιαν ἐν τῷ θεάτρῳ, καὶ νομ. ὁρᾷν τὸν Δημοσθένην προσιόντα ἐπὶ τὸ κήρυγμα, καὶ τὰ ἑξῆς· καὶ τὸ Δημοσθενικόν· ὅτε γάρ.* 4 Sequitur in Ald. Vind. *εἰς Δελφούς,* quod uncis inclusit Norrmannus, ad marg. e loco sequente irrepsisse notans. 5 *περὶ παραπρεσβ.* p. 361. 6 Post *Δελφοὺς* in Ald. Vind. est *Θήβας.* quod delet Norrm. et ex. Par. Post *ὅτε γὰρ* ex. Par. inserit *νῦν.* Norrm. *ὅτε γὰρ νῦν ἐπορευόμεθα εἰς Δελφούς, ἦν ὁρᾷν ἡμῖν.* Par. 2. *ὅτε γὰρ εἰς Θήβας ἐπορευόμεθα, ἦν ἰδεῖν οἰκίας μὲν κατεστραμμένας, τείχη δὲ περιεῤῥηγμένα, γύναια δὲ καί.* 7 Vind. *κατεσκευασμένας.* 8 Ald. Vind. *περιεῤῥιμμένα.* Norrm. *περιῃρημένα.* 9 *καὶ* recepi ex Par. 2. abest ab edd. et Vind. 10 Ald. Vind. Norrm. *οἰκουρούς.* Marg. Norrm. Ed. *οἰκτρούς.* ita Par. 2. qui addit: *καὶ ὁ θεολόγος· καὶ γὰρ ἦν ὄντως κἀκεῖνα θρήνων καὶ ὀδυρμῶν ἄξια, πᾶς δ' οὐ τῶν μεγίστων, τείχη κατεσκαμμένα, πόλις ἠδ φισμένη,* [sic] *ἁγίασμα καθῃρημένον καὶ τὰ ἑξῆς, καὶ πάλιν, ὁ μὲν προὐκαθέζετο λαμπρῶς, τὰ δὲ περὶ αὐτὸν, ὅσων καὶ ὀδυρ-*

## κέ. ΠΕΡΙ ΑΝΤΕΙΣΑΓΩΓΗΣ.

Ἀντεισαγωγὴ [1] γίνεται, ὅταν ἕτερον ἀνθ' ἑτέρου ἀντιτιθῶμιν, [2] ἀντὶ ἀγαθοῦ κακὸν, ἢ ἀντὶ κακοῦ ἀγαθὸν· οἷον „οἰκτρὸν [3] πατρὶ καὶ μητρὶ, παίδων στερηθῆναι καὶ ἐρήμοις εἶναι τῶν ἀναγκαιοτάτων γηροτρόφων· [4] σεμνὸν δὲ αὐτοῖς τιμὴν καὶ μνήμην τέκνων [5] καταλειπομένην [6] ἐφορᾷν·" καὶ πάλιν, ἡδὺ τὸ ζῆν, ἀλλὰ τόγε ὑπὲρ πατρίδος ἀποθανεῖν δόξαν αἰώνιον παρασκευάζει.

## κς'. ΠΕΡΙ ΔΙΑΣΥΡΜΟΥ.

Διασυρμὸς δ' ἐστὶν, [1] ἐπειδὰν [2] λέγωμεν ἀξιοπίστως διασύροντες, ὡς Ὑπερίδης [3] ἐπὶ Δημοσθένους· καὶ συκοφαντεῖς τὴν βουλὴν, προκλήσεις προτιθεὶς καὶ ἐρωτῶν

---

μῶν ἄξια· προέκειτο χρυσὸς, προὔκειτο λίβανος· ἐγγύθεν τὸ πῦρ, οἱ κελευσταὶ πλησίον καὶ τὰ ἑξῆς.

1 Par. 2. Ἀντ. ἐστὶν, ὅταν ἀνθ' ἑτέρου πράγματος ἕτερον ἀντεισάγωμεν τιμιώτερον, συμβουλεύοντες ἢ παραμυθούμενοι· οἷον· οἰκτρὸν στερηθῆναι παίδων· ἡδὺ δὲ τὸ ἀκούειν κατορθώματα τέκνων, ὑπὲρ πατρίδος ἀποθανόντων. καὶ πάλιν· ἡδὺ τὸ ζῆν, ἀλλὰ τὸ γενναίως ἀποθανεῖν ἔνδοξον· καὶ ὁ θεολόγος· ἀλλὰ λυπεῖ σε τὰ τῆς διαζεύξεως, ἀλλ' εὖ φαινέτω τὰ τῆς ἐλπίδος· καὶ πάλιν· οὐκ ἄρξει Κησάριος, ἀλλ' οὐδ' ἀρχθήσεται πρὸς ἄλλων· εἰσὶ δὲ καὶ ταῦτα, χθὲς ἦσθα θεατρικὸς, σήμερον φάνηθι θεωρητικός· καὶ πάλιν· ἀναλάβωμεν ὕμνους ἀντὶ τυμπάνων. 2 Vind. ἀντιθῶμεν. 3 Marg. Norrm. Ed. χαλεπόν. Dem. Epitaphii fine. 4 Ald. γηρατρόφων. ex. Par. γηρωτρ. Vind. Norrm. γηροτρ. 5 Marg. Norrm.: Ed. aliter. 6 Ald. Norrm. καταλειπομένων. Vind. καταλιπομένων. marg. Norrm. ex. Par. καταλειπομένην.

1 Διασ. δὲ γίνεται, ὅταν τι διαβάλλωμεν ἀξιοπίστως, ὡς τὸ τοῦ Αἰσχίνου· [in Ctesiph. p. 438. Bekk.]. 2 Ald. ἔπειδ' ἄν. Vind. ἐπειδάν τι λ. 3 Vind. Ὑπερείδης. idem mox: προκλήσεις ἐκτιθεὶς κ. ε. τ. προκλήσεσι.

ἐν ταῖς προκλήσεσιν,“ „πόθεν ἔλαβες τὸ χρυσίον, καὶ τίς ἦν σοι ὁ δοὺς, καὶ πῶς“; „τελευταῖον δ' ἴσως ἐρωτήσεις καὶ εἰ ἐχρήσω τῷ χρυσίῳ ὥσπερ τραπεζιτικὸν[4] λόγον παρὰ τῆς βουλῆς ἀπαιτῶν·“ καὶ ὁ αὐτὸς ἐπὶ τῆς Φρύνης· „τίς[5] γάρ ἐστιν αἰτία αὕτη, εἰ Ταντάλῳ ὑπὲρ τῆς κεφαλῆς λίθος κρέμαται.“ καὶ ὡς Αἰσχίνης· „οὐ μέμνησθε αὐτοῦ τὰ ἀπίθανα καὶ μιαρὰ ῥήματα, ἃ πῶς[6] ποτε ὑμεῖς, ὦ σιδήριοι, ἐκαρτερεῖτε[7] ἀκροώμενοι, ὅτε ἔφη παρελθὼν,“ „ἀμπελουργοῦσί τινες τὴν πόλιν,“ καὶ τὰ ἑξῆς. καὶ ὡς Δημοσθένης πρὸς αὐτὰ ταῦτα.[8] „πάνυ γὰρ κατὰ τοῦτο χείρω γέγονε τὰ τῶν Ἑλλήνων[9] πράγματα, εἰ τουτὶ τὸ ῥῆμα, ἀλλὰ μὴ τουτὶ διεξῆλθον[10] ἐγὼ, ἢ δευρὶ τὴν χεῖρα ἀλλὰ μὴ δευρὶ μετήγαγον.“[11]

## κζ. ΠΕΡΙ ΜΕΤΑΣΤΑΣΕΩΣ.[1]

Μετάστασις[2] δ' ἐστὶν, ὅταν ἀφ' ἑαυτῶν[3] μεθιστῶ-

4 Ald. Vind. *τραπεζητικὸν λέγων*. Norrm. *τραπεζιτ*. id. ad marg. et ex. Par. *λόγον*. 5 Marg. Norrm. f. *τί·* quod suadet etiam Porson. ad Eurip. Or. 5. Cfr. Osann. Obs. ad Alc. in Mus. Rhen. Philol. I. p. 63. 6 Ald. Vind. *ῥήματα πώποτε ὑμεῖς ὡς σιδήριοι*. correxit. Norrm. et Par. 2. 7 Par. 2. *ἀκροώμενοι ἐκαρτερεῖτε· καὶ τὸ τοῦ Δημοσθένους πρὸς ταῦτα*. 8 pro cor. p. 305. marg. Norrm. „Verba variant.“ 9 *τῶν Ἑλλήνων* Par. 2. om. 10 Par. 2. *διελεγχθείην κἀγὼ, ἢ δευρί*. Vind. *ἡ δευρί*. Norrm. *εἰ δευρί*. Ald. *ἢ* om. Cfr. Reisk. ad Dem. p. 305. 11. Par. 2. addit: *καὶ ὁ θεολόγος, ἢ καὶ τῆς ἐσθῆτός μου τὸ τρίχινον αἰτιάσῃ, καὶ τοῦ προσώπου τὴν θέσιν οὐκ ἀφυῶς ἔχουσαν· καὶ πάλιν· τάχα δ' ἂν ὀνειδίσῃς καὶ τὸν σταυρὸν καὶ τὸν θάνατον.*

1 Non injucundum *μεταστάσεως* exemplum Aeschines et Demosthenes praebent, dum amicitiam et sodalitatem Philocratis invicem alter alteri objectant. *περὶ στεφ. ζ. η.* Norrm. 2 Par. 2. *Μετ. ἐστὶν, ὅταν ἀφ' ἑαυτῶν εἰς ἕτερον μεθ. τὴν αἰτ. ὡς τὸ Δημοσθενικόν.* 3 Ald. Norrm.

*μεν τὴν αἰτίαν ἐφ᾽ ἕτερον ἔξω τοῦ πράγματος ὄντα, ὡς Δημοσθένης· „τοῦ γὰρ Φωκικοῦ συστάντος πολέμου, οὐ*[4] *δι᾽ ἐμέ·*[5] *οὐ γὰρ ἔγωγε τότε ἐπολιτευόμην,“ ἢ ἐπὶ τοὺς ἀκούοντας. „ἐγὼ γὰρ τοῦ μὲν εἰπεῖν κύριος ἤμην, ὑμεῖς δὲ τοῦ ψηφίσασθαι τὰ ῥηθέντα.“ ἢ τὸν ἀντίδικον εἰς αἰτίαν καθιστῶμεν, ἐξ ὧν αὐτὸς ἡμῖν ἐγκαλεῖ, ὡς πάλιν Δημοσθένης·*[6] *„εἶτα*[7] *τί εἰπών σέ τις ὀρθῶς προςείποι; ἔστιν*[8] *ὅπου σὺ παρὼν τηλικαύτην πρᾶξιν καὶ συμμαχίαν, ἡλίκην*[9] *διεξῄεις, ὁρῶν ἀφαιρούμενόν με τῆς πόλεως ἠγανάκτησας;“ καὶ τὰ ἑξῆς.*

---

# L I B E R II.

## *ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΤΩΝ ΤΗΣ ΛΕΞΕΩΣ ΣΧΗΜΑΤΩΝ.*[1]

### *α΄.*

*Τὰ μὲν τῆς διανοίας σχήματα*[2] *προείρηται κατὰ λό-*

---

Vind. *ἀπ᾽ αὐτῶν.* marg. Norrm. „scr. *ἀφ᾽ ἑαυτῶν.*“ ut in Par. 2. Reisk. ad Dem. p. 230. v. 27. ad *αὐτῶν* subaudire jubet *ἡμῶν.* 4 *οὐ* Ald. Vind. om., absorptum credo praecedenti syllaba *μου.* — pro cor. p. 230. 5 Par. 2. pergit: *καὶ πάλιν· ἐγὼ μὲν γὰρ τοῦ εἰπεῖν κύρ. ἤ. ὑμ. δὲ τοῦ τὰ ῥηθέντα ψηφίσασθαι. καὶ ὁ θεολόγος· καὶ εἴτις ἐκείνων ἀφεὶς τὰς αἰτίας ἐκεῖνον τοῦτον μέμφοιτο, λίαν ἐστὶν ἀνόμων· ἔμοιγε λογιστὴ τῶν τότε συμβεβηκότων· οὐ γὰρ τοῦ ἀμήσαντος ὁ στάχυς, ἀλλὰ τοῦ σπείραντος, οὐδὲ τοῦ κατασβέσαι μὴ δυνηθέντος ὁ ἐμπρησμὸς, ἀλλὰ τοῦ ἀνάψαντος.* 6 pro cor. p. 232. 7 Vind. *εἶτω.* 8 Ald. Vind. *ὅστις.* 9 Norrm. *νῦν διεξ.* ut Dem.

1 Ut ordine naturae schemata sententiae pracedunt, ita doctrinae etiam tractationisque ordine priora esse vult Noster. Quod et Quinitiliano IX. 1. et Aquilae Romano, Prooemio visum. Contra Phoebammo p. 102. (alios omittimus) a figuris elocutionis ordiendum duxit. Sed recte judicat Vossius V.

*γον ἡμῖν· παντὸς γὰρ λόγου προάγει ἡ τοῦ διανοήματος εὕρεσις· ἕπεται δὲ λέξις τῷ διανοήματι, δι᾽ αὐτῆς ποιοῦσα φανερὸν αὐτό·[3] νῦν δὲ περὶ τῶν τῆς λέξεως σχημάτων ποιησόμεθα[4] τὸν λόγον· ἐπεὶ δ᾽[5], ὡς ἂν εἴποι τις, τὰ πρῶτα καὶ ἀνωτάτω σχήματα τῆς λέξεώς ἐστι περίοδος καὶ κῶλον καὶ κομμα· διὰ τούτων γὰρ πᾶσα λέξις πλέκεται καὶ συντίθεται· τί ποτ᾽[6] ἐστὶν ἕκαστον τούτων προεροῦμεν.[7] Περίοδος μὲν οὖν ἐστι λόγος ἄνευ[8] περιγραφῶν καὶ κώλων, συνθέσει αὐτοτελῆ διάνοιαν ἐκφέρων, ὡς ἔχει τὸ τοιοῦτον· ἀνὴρ γὰρ ἰδιώτης ἐν πόλει δημοκρατουμένῃ νόμῳ καὶ ψήφῳ βασιλεύει· περίοδος[9] δὲ ἀπὸ τοῦ περιοδευομένως[10] οἷον κύκλῳ τὴν διάνοιαν ἐκπλέκειν· κῶλον δ᾽ ἐστὶ περιόδου μέρος· ὃ λέγεται μὲν καθ᾽ αὑτό· ἀντικείμενον δὲ πληροῖ περίοδον. αὐτὸ μὲν οὖν καθ᾽ αὑτὸ κῶλον τὸ τοιοῦτόν ἐστιν· ἀνὴρ γὰρ ἰδιώτης. κατὰ δὲ τὸ ἀντικείμενον οὕτω γίνεται σύνθεσις κώλων·[11] ἄτοπον δ᾽ ἐστὶ, σὲ μὲν ἐν τοῖς ἀλλο-*

p. 265. parum referre, utram rationem ineamus. Norrm. 2. Par. 2. *προείρηται σχήματα· νῦν δὲ ποιησόμεθα τὸν λόγον περὶ τῶν σχημάτων τῆς λέξεως· τὰ πρῶτα δὲ καὶ ἀνώτατα σχήματα διανοιαν ἐκφέρων· ὥς τὸ, ἀνὴρ γὰρ ἰδιώτης.* [Aeschin. in Ctesiph. p. 462. Bekk.]. 3 Ald. Norrm. Vind. *αὐτόν.* marg. Norrm. *αὐτό.* 4 Vind. *ποιησώμεθα.* 5 Ald. Norrm. Vind. *ἐπειδ᾽ ἂν.* marg. Norrm. *ἂν* tollendum videtur. ex. Par. delet. 6 Vind. *τί ποτε.* 7 Ald. Vind. *προαιροῦμεν.* Ex. Par. et Norrm. *προεροῦμεν.* 8 Marg. Norrm. f. *τῇ τῶν.* marg. ex. Par. *οὐκ ἄνευ.* 9 Par. 2. *εἴρηται δὲ περίοδος, ὅτι περιοδεύουσα, οἷον ἐν κύκλῳ διὰ τῶν κώλων ἡ διάνοια ἐκφέρεται· κῶλον δέ ἐστι περιόδου μέρους* [sic] *ὥς τό· ἀνὴρ γὰρ ἰδιώτης· ἡ γὰρ ῥηθεῖσα περίοδος ἐκ τριῶν συνετέθη κώλων· κόμμα δέ ἐστι κώλου ἔλαττον, ὥς τὸ γνῶθι σαυτὸν, μέτρον ἄριστον, καὶ τὰ τοιαῦτα· τῶν δὲ περιόδων αἱ μέν εἰσι δίκωλοι, ὥς τὸ· πολλάκις ἐθ.* 10 Vind. *περιωδευμένως.* 11 Ald. Norrm. Vind. *κῶλον.* marg. Norrm. et ex. Par. *κώλων.*

τρίοις, ἐμὲ δὲ ἐν τοῖς ἰδίοις ἀπορεῖσθαι· κατὰ δὲ τὸ παρακείμενον οὕτω· καλὸν γὰρ καὶ τοὺς φίλους εὖ ποιεῖν καὶ τοὺς πολίτας διαπαντός· κόμμα δ' ἐστὶ τὸ περιόδου καὶ κώλου ἔλαττον. λαμβάνεται δὲ καὶ κόμμα καθ' αὑτὸ [12], καθάπερ ἔχει τὰ τοιαῦτα· γνῶθι σαυτόν· μέτρον ἄριστον· ἕπου θεῷ· λαμβάνεται δὲ καὶ πρὸς ἕτερον· οἷον „ὅρκον αἰτεῖς [13], νόμον αἰτεῖς, δημοκρατίαν αἰτεῖς·“ τῶν δὲ περιόδων αἱ μέν εἰσι δίκωλοι, ὡς ἔχει ἡ τοιαύτη· „πολλάκις ἐθαύμασα τῶν τὰς πανηγύρεις συναγαγόντων [14] καὶ τοὺς γυμνικοὺς ἀγῶνας καταστησάντων.“ αἱ δὲ τρίκωλοι· ὥςπερ [15] ἣν προείπομεν· [16] „ἀνὴρ γὰρ ἰδιώτης“. δεύτερον δὲ „ἐν πόλει δημοκρατουμένῃ·“ τρίτον δὲ „νόμῳ καὶ ψήφῳ βασιλεύειν·“ γίνεται δὲ καὶ τετράκωλος, ὡς παρὰ Ἰσοκράτει· „τίς [17] γὰρ οὐκ ἂν ἡδέως μετάσχοι στρατείας, τῆς ὑπ' Ἀθηναίων τε καὶ Λακεδαιμονίων στρατηγουμένης, ὑπὲρ δὲ τῆς τῶν συμμάχων [18] ἐλευθερίας ἀθροιζομένης, ὑπὸ δὲ τῆς Ἑλλάδος ἁπάσης ἐκπεμπομένης·“ [19] νοεῖται δ' [20] ἡ περίοδος τετράκωλος χωρὶς τῆς πρώτης προθέσεως· τίς γὰρ οὐκ ἂν ἡδέως μετάσχοι στρατείας· συντίθενται δὲ καὶ ἐκ πλειόνων κώλων περίοδοι, ἀλλ' ἐκβαίνουσι τὴν συμμετρίαν καὶ οὐκ ἔτι περιόδων, ἀλλὰ διεξοδικῶν λόγων ἔχουσι τάξιν· εἰσὶ δὲ τῶν περιόδων αἱ μὲν αὐτοτελεῖς, ὥςτε [21] καθ'

---

12 Ald. Norrm. Vind. κἀνταῦθα τό. marg. Norrm. I. καθ' αὑτό. 13 Marg. Norrm. αἰτεῖ Ed. Aeschin. in Ctesiph. p. 450. Bekk. 14 Par. 2. ἀγόντων. Isocr. Paneg. initio. 15 Par. 2. ὡς ἡ προῤῥηθεῖσα· αἱ δὲ τετράκωλοι, ὡς τὸ Ἰσοκρατικόν· τίς γάρ. 16 Marg. ex. Par. inserit πρῶτον μέν. 17 Ald. Vind. τί. In extrema pagina Panegyrici. 18 Vind. τῆς ἐλευθερίας. Sed τῆς punctum. 19 Par. 2. pergit: αἱ δὲ ἐκ πλειόνων περίοδοι κώλων διεξοδικῶν λόγων ἔχουσι τάξεις. Finit cap. α. Norrm. addit uncis inclusum: ἐπὶ δὲ τὴν τῶν βαρβάρων τιμωρίαν πορευομένης. Eadem sunt in marg. ex. Par. 20 Norrm. δέ. 21 Ald. ὡς τὸ κεθ' αὑτάς. corrigit Vind. marg. Norrm.

αὐτὰς σημαίνειν διάνοιαν, αἱ δὲ συνεζευγμέναι, ὥςτε καθ' ἑτέρων ἐκφέρειν τὸ διανόημα πλῆρες· αὐτοτελεῖς μὲν οὖν εἰσιν αἱ ἄνευ συνδέσμου ἐκφερόμεναι, οἷα ἐστὶν αὕτη· „εἰ[22] γὰρ ὁ κῆρυξ κατὰ τοὺς νόμους φωνὴν ἀφίησι, ταύτην κοινὴν τῆς πατρίδας δίκαιον ἡγεῖσθαι·" συνεζευγμέναι δὲ αἱ μετὰ τῶν συνδέσμων συγκείμεναι, ὡς ἔχει αὕτη· „χρὴ[23] γὰρ τὸ αὐτὸ φθέγγεσθαι τὸν ῥήτορα καὶ τὸν νόμον· ὅταν δὲ ἑτέραν μὲν φωνὴν ἀφίῃ ὁ νόμος, ἑτέραν δὲ ὁ ῥήτωρ, τῷ τοῦ νόμου δικαίῳ χρὴ διδόναι τὴν ψῆφον, μὴ τῇ[24] τοῦ λέγοντος ἀναισχυντίᾳ.

## β'. ΠΕΡΙ ΑΝΑΔΙΠΛΩΣΕΩΣ[1] Η ΠΑΛΙΛΛΟΓΙΑΣ Η ΕΠΑΝΑΛΗΨΕΩΣ.

Τοῦτο[2] τὸ σχῆμα ὁ μὲν Καρκῖνος[3] παλιλλογίαν

---

et ex. Par. 22 Norrm. ἦν. Dem. pro cor. p. 283. ἦν. 23 Aeschin. in Ctesiph. p. 384. 24 Ald. Vind. τὴν τ. λ. ἀναισχυντίαν. corr. Norrm. et ex. Par. Ortus accusativus ex ι adscripto. ita cap. ι. Ald. Vind. οὐ περὶ ᾧ ἐδιδάσκομεν, ἑκάστοτε τὴν μάθησιν ἐποιεῖσθε. lege ὧν. cfr. Epist. crit. p. 29.

1 Ald. Vind. ἀναδιπλόσεως ἢ παλλιλογίας [h. l. et paullo post.] 2 Par. 2. Παλλιλογία [sic] ἐστὶ φράσις ἢ λέξις τοῦ μὲν προηγουμένου κώλου (Cod. κῶλα) κατάληξις οὖσα, τοῦ δὲ ἑπομένου ἀρχὴ, ὡς τὸ Ὁμήρειον· [Il. υ, 371.]

Τοῦ δ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν,
Εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ.

καὶ ὁ θεολόγος [Or. εἰς τὰ ἅγ. φῶτα init.]· καὶ πάλιν μυστήριον, μυστήριον [abest alterum μυστήριον a codice] δὲ οὐκ ἀπατηλὸν, οὐδὲ ἄκοσμον. Ἀνάπλασίς ἐστι λέξεως, διὸ περὶ τοῦ αὐτοῦ προφορὰ ἐπάλληλος· οἷον μιαρὸν θηρίον ὁ συκοφάντης· καὶ Ὅμηρος· [Il. ε, 31.]

Ἆρες, Ἄρες βροτολοιγὲ, μιαιφόνε·

γίνεται δὲ καὶ μεταξὺ ἐμβεβλημένης λέξεως, ὡς τὸ, ἦν ποτε ἦν· καὶ ὁ θεολόγος, οὐκ ἔστι ταῦτα οὐκ ἔστι· καὶ πάλιν· πάσχα κυρίου πάσχα. 3 Mallem Καρκίνος, nam corripi video hoc nomen

καλεῖ, ἔνιοι δὲ ἀναδίπλωσιν, οἱ δὲ ἐπανάληψιν· φαίνεται[4] δὲ ὅτε μὲν ῥῆμα, ἐπαλλήλως ἐντιθέντων ἡμῶν, ὡς ἔχει τὸ τοιοῦτον·[5] „μιαρὸν μιαρὸν θηρίον, ὦ ἄνδρες Ἀθηναῖοι·“ καὶ πάλιν ὡς Ξενοφῶν[6] „ὠγκωμένῳ ἐπὶ γένει, πεφυσημένῳ δ᾽ ἐπὶ πλούτῳ, διατεθρυμμένῳ δὲ ὑπὸ πολλῶν ἀνθρώπων.“

## γ΄. ΠΕΡΙ ΕΠΑΝΑΦΟΡΑΣ.[1] 583

Γίνεται δὲ ἡ ἐπαναφορὰ ποτὲ μὲν ἐπὶ τῶν ἡγουμένων κώλων, ὡς ἔχει τὰ προειρημένα· ποτὲ δὲ ἐπὶ τῶν ἑξῆς ὡς ἔχει τὸ Δημοσθενικὸν[2], „ἐδίδασκες γράμματα, ἐγὼ δὲ ἐφοίτων· ἐτέλεις, ἐγὼ δ᾽ ἐτελούμην·“ πεποίηκε δὲ Δημοσθένης καὶ διπλῆν ἀναφορὰν, ἐπί τε τῶν προηγουμένων κώλων τὸ αὐτὸ μόριον λαμβάνων, καὶ ἐπὶ τῶν ἑπομένων ἐν τούτοις·[3] „μέχρι τούτου φίλος ὠνομάζετο Λασθένης Φιλίππου, ἕως προὔδωκεν Ὄλυνθον· μέχρι τούτου Εὔδικος καὶ Σιμὸς ὁ Λαρισσαῖος[4], ἕως τὴν Θετταλίαν ὑπὸ Φιλίππῳ ἐποίησαν·“ τῶν μὲν γὰρ πρώτων

---

καὶ κύριον καὶ προσηγορικὸν, quod et Etymologus monuit: quid autem Carcino, poëtae tragico, cum Schematum rhetoricorum adpellationibus? itaque ille me autore, sive si cum Tiberio ita voles suasore, comiter dimissus locum concedat Καικιλίῳ, Caecilio, rhetori celebratissimo, natione Siculo, religione, ut volunt, Judaeo, cujus et Phoebammo noster meminit. p. 95. Norrm. Idem Caecilii nomen Tiberio κς. pro κακεῖνος vindicat Boissonadius. De Caecilio vide Kruegerum Quaest. de vita Thuc. p. 34. 4 Marg. Norrm. γίνεται δὲ τοῦτο, ἐν μέν. 5 Dem. in Aristogit. p. 788. 6 Memorab. I, 2, 25. 7 Pro πολλῶν ἀνθρώπων scripsit forte Xenophon πονηρῶν. Norrm.

1 Abest hoc schema a Par. 2. sed consentiunt cum nostris, quae Par. 2. ad Lib. I. ιδ. habet. 2 pro cor. p. 315. 3 pro cor. p. 241. 4 Ald. Vind. ὁ Λαρησαῖος. Norrm. οἱ Λαρισσαῖοι.

κώλων τὸ μέχρι ἄρχει[5] μόριον· τῶν δὲ δευτέρων τὸ ἕως.

## δʹ. ΠΕΡΙ ΑΝΤΙΣΤΡΟΦΗΣ.

Ἀντιστροφὴ δ'[1] ἐστὶν τὸ ἐναντίον τῆς ἐπαναφορᾶς·[2] ὡς γὰρ ἐκείνη ἀπὸ τῶν αὐτῶν ἄρχεται, οὕτως αὕτη εἰς τὸ[3] αὐτὸ λήγει· διὸ καὶ ταύτην ἔχει τὴν προσηγορίαν, στρέφουσα τὴν ἐπαναφοράν· παράδειγμα δὲ τοῦ σχήματος· „λέγεταί[4] τι τῶν ὑμῖν συμφερόντων, ἄφωνος Αἰσχίνης· ἀντέκρουσέ τι καὶ γέγονεν, οἷον οὐκ ἔδει, πάρεστιν Αἰσχίνης," καὶ τὸ αὐτὸ[5] Αἰσχίνου· „ὅστις δ' ἐν τῷ συλλόγῳ τὴν ψῆφον αἰτεῖ, ὅρκον αἰτεῖ, νόμον αἰτεῖ, δημοκρατίαν αἰτεῖ.[6]

## εʹ. ΠΕΡΙ ΣΥΜΠΛΟΚΗΣ Η ΣΥΝΘΕΣΕΩΣ.

Τοῦτο[1] τὸ σχῆμα μικρόν ἐστιν ἐκ τῆς ἀναφορᾶς καὶ

5 Edd. Vind. ἀρκεῖ. Marg. Norrm. l. ἄρχει.

1 δ' Par. 2. om. 2 Par. 2. pergit: διὸ καὶ πρὸς αὐτὴν ἐναντιουμένη τὴν ὀνομασίαν εἴληχε ταύτην· ὡς γὰρ ἐκείνη ἀπὸ τοῦ αὐτοῦ ἄρχεται, οὕτω αὕτη εἰς τὸ αὐτὸ λήγει· ὡς τὸ Δημοσθενικόν· λέγεταί τι· pro cor. p. 294. 3 τὸ Ald. Vind. om., correxit Norrm. et ex. Par. 4 Marg. Norrm. Edd. πράττεται. 5 Marg. Norrm. αὐτοῦ. Par. 2. αὐτὸ om. tum ὅστις δὲ ψῆφον αἰτεῖ. omissis ἐν τῷ συλλ. τήν. Marg. Norrm. Ed. πρώτῳ λόγῳ. — in Ctesiph. p. 450. Bekk. 6 Par. 2. addit: καὶ ὁ θεολόγος· θελῆσαι δεῖ [Cod. δὴ] μόνον· ὁρμῆσαι δεῖ μόνον· καὶ πάλιν· οὐ γὰρ ὁ ἐν λόγοις σοφὸς, οὗτος ἐμοὶ σοφός· καὶ αὖθις· κόπασον κύριε, ἄνες κύριε, ἱλάσθητι κύριε.

1 Par. 2. Συμπλοκή ἐστι σύνθεσις ἔκ τε τῆς ἐπαναφορᾶς καὶ τῆς ἀντιστροφῆς, ὡς τὸ τοῦ Αἰσχίνου· ἐπὶ σαυτὸν καλεῖς· ὡς γὰρ αἱ ἀρχαὶ ἀπὸ τοῦ αὐτοῦ, οὕτως καὶ αἱ καταλήξεις εἰς τὸ αὐτό· καὶ ὁ θεολόγος, ὧν ὡραῖοι μὲν οἱ πόδες, εὐαγγελιζομένων εἰρήνην καὶ ἀγαθὰ, μεθ' ὧν ἐληλύθατε, ὡραῖοι δὲ τὰ πρὸς ἡμᾶς, οἷς εἰς και-

καὶ τῆς ἀντιστροφῆς· διὸ καὶ οὕτω κέκληται, καὶ γὰρ ἐν ἀρχῇ τῶν κώλων καὶ ἐπὶ τελευτῆς τὴν αὐτὴν ἔχει λέξιν, ὡς Αἰσχίνης·[2] „ἐπὶ σαυτὸν καλεῖς, ἐπὶ τοὺς νόμους καλεῖς, ἐπὶ τὴν δημοκρατίαν καλεῖς."

### ς'. ΠΕΡΙ ΣΥΝΩΝΥΜΙΑΣ.[1]

Συνωνυμία δέ ἐστιν, ὅταν τῷ χαρακτῆρι διαφόροις ὀνόμασι, τῇ δυνάμει δὲ τὸ αὐτὸ δηλοῦσι, χρώμεθα πλείοσιν, ἓν μὲν καὶ τὸ αὐτὸ βουλόμενοι δηλοῦν, ὡς καὶ Δημοσθένης·[2] „καὶ γινώσκεται μὲν ὑπὸ τῶν Περινθίων[3] καὶ Βυζαντίων, οὐκ ἀγνοεῖται δὲ ὑπὸ Θετταλῶν δεσπόζειν, ἀλλ' οὐχ ἡγεῖσθαι τῶν συμμάχων προαιρούμενος· ὑποπτεύεται δὲ ὑπὸ Θηβαίων."

### ζ'. ΠΕΡΙ ΕΠΑΝΟΔΟΥ.

Ἐπάνοδος[1] δέ ἐστιν, ὅταν δύο ὀνόματα διάφορα προ-

---

ρὸν ἐληλύθατε. 2 In Ctes. p. 452. Bekk.

1 Schema hoc Par. 2. primo loco ponit sub titulo ταυτολογίας. „Ταυτ. ἐστὶ λέξεων τὸ αὐτὸ σημαινουσῶν παράλληλος θέσις, οἷον ὀξεῖς εἰσι καὶ παχεῖς, [sic] ἀλλ' οὐ νωθεῖς καὶ βραδεῖς, καὶ Ὅμηρος· πολεμίζειν ἠδὲ [Cod. πολευίη δὲ] μάχεσθαι. [Il. λ. 12.] καὶ τὸ Δημοσθενικόν· καὶ γινώσκεται μὲν ὑπὸ Βυζαντίων, οὐκ ἀγνοεῖται δὲ ὑπὸ Θετταλῶν· ὑποπτεύεται δὲ ὑπὸ Θηβαίων· καὶ τὸ Ξενοφῶντος· ὠγκωμένῳ (Cod. ὠσκομένῳ) μὲν ἐπὶ γένει, πεφυσημένῳ δὲ ἐπὶ πλούτῳ, διατεθρυμμένῳ δὲ ὑπὸ πολλῶν ἀνθρώπων. καὶ ὁ θεολόγος· πάντοθεν ἐμαυτὸν διεξάγων καὶ διευθύνων· καὶ πάλιν· πρὸς οὖν ταῦτα πολλῆς μὲν καὶ παντελοῦς τῆς πίστεως· μείζονος δὲ τῆς παρὰ θεοῦ συνεργείας, οὐκ ὀλίγης δὲ τῆς ἡμετέρας ἀντιτεχνήσεως· ὥστε ἐμαυτὸν πείθω χρείαν. τοῦτο δὲ τὸ σχῆμά τινες ὠνόμασαν καὶ συνωνυμίαν. 2 ad epistolam Philippi p. 153. 3 Ald. Vind. *Περινίων*, omisso sq. *καί*. corr. Norrm. et ex. Par.

1 Par. 2. Ἐπάνοδός ἐστιν, ὅταν δύο τινὰ προθέντες, κεκρυμ-

τιθέντες[2] μήποτε τοῦ νοῦ πέρας ἔχοντος, ἐπανίωμεν[3] ἐπὶ τὰ προκείμενα καὶ τὸ λεῖπον[4] τῷ νῷ προσαποδιδῶμεν, ὡς ὁ Δημοσθένης·[5] „ὁρῶν δὲ ταῦτα ὁ δῆμος ὁ τῶν Ὠρειτῶν[6], ἀντὶ τοῦ τῷ[7] μὲν βοηθεῖν, τοὺς δὲ ἀποτυμπανίσαι[8], τοῖς μὲν οὐκ ὠργίζετο, τὸν δὲ ἐπιτήδειον ἔφη ταῦτα πάσχειν," καὶ ὡς ὁ[9] Φίλιππος· ἐναργίᾳ[10] καὶ δυςθυμίᾳ μὲν ἐπὶ τῶν στρατηγῶν ὁ δῆμος οἷς ἐνέτυχεν· καὶ θελῆσαι προδιδόναι φάσκων δυςθυμίαν νικωμένων κατὰ τὸν πόλεμον τοῖς πόνοις, οὐ ταῖς μάχαις· κέχρηται δὲ Ὅμηρος καὶ τούτῳ τῷ σχήματι, ποιήσας εὐχόμενον τὸν Ἀχιλλέα ὑπὲρ τοῦ Πατρόκλου·

Τῷ[11] δ' ἕτερον μὲν ἔδωκε πατήρ, ἕτερον δ' ἀνένευσε·
Νηῶν[12] μέντοι ἀπώσασθαι, πόλεμόν τε μάχην τε
Δῶκε·[13] σόον δ' ἀνένευσε μάχης ἐξαπονέεσθαι.[14]

---

μένας ἔτι διανοίας ἔχοντα, ἐπανίομεν εἰς αὐτὰ καὶ σαφηνίσωμεν, ὡς τὸ Ὁμηρικόν· τῷ δ' ἕτερον etc. 2 Ald. Norrm. Vind. προςτιθ. marg. Norrm. προτιθ. ut Par. 2. tum pro μήποτε marg. Norrm. ponit μήπω. 3 Ald. Vind. ἐπανιῶμεν. Norrm. ἐπανίωμεν. 4 Marg. ex. Par. τὸ λοιπόν. 5 Philipp. III. p. 126. 6 Ald. Vind. ὁ τῶν ὀρειτῶν, τῶν ὀρειτῶν ὁ δῆμος ἄγων. correxit Norrm. et ex. Par. 7 Ald. Vind. ἀντὶ τούτων. Norrm. Ex. Par. τοῦ τῷ. 8 Ald. Vind. ἀποτυμπανῆσαι, καὶ τοῖς μὲν ὅμως ὠργίζ. correxit Norrm. et ex. Par. 9 ὁ Vind. om. Norrm. in notis: „Testimonia scriptorum hoc capite adducta incredibilem in modum oscitantis dormitantisque librarii negligentia deformaverat: primum nos ac postremum suis ex autoribus rite persanavimus, quod medio positum est loco, aliis restituendum vertendumque linquimus." 10 Marg. Norrm. f. ἀηδίᾳ. 11 Ald. Vind. νῦν. Norrm. Par. 2. τῷ. Il. π. 250. 12 Par. 2. ἐν ῇ. 13 Ald. Vind. Par. 2. μάχην τ' ἔδωκε σῶον. corr. ex. Par. et Norrm. 14 Par. 2. ἐξαπίνεσθαι. tum pergit: καὶ ὁ θεολόγος· διττοῦ δὲ ὄντος λόγου παντὸς, καὶ τοῦ μὲν τὸ οἰκεῖον κατασκευάζοντος, τοῦ δὲ τὸ ἀντίπαλον ἀνατρέποντος· καὶ ἡμεῖς τὸ οἰκεῖον ἐκθέμενοι πρότερον οὕτω τὰ τῶν ἐναντίων ἀνατρέψαι πειρασόμεθα.

## η'. ΠΕΡΙ ΚΛΙΜΑΚΟΣ.

Κλῖμαξ δὲ [1] γίνεται, ὅταν ἐπὶ πλεῖον μηκύνοντες τὸ προκείμενον κεφάλαιον [2] καθ' ἕκαστον κόμμα τὴν αὐτὴν λέξιν τελευτήν τε καὶ ἀρχὴν ποιήσωμεν· ὡς ἔχει τὸ Δημοσθενικόν· „καὶ οὐκ εἶπον μὲν ταῦτα, οὐκ ἔγραψα δέ· [3] οὐδὲ ἔγραψα μὲν, οὐκ ἐπρέσβευσα δέ· οὐκ ἐπρέσβευσα μὲν, οὐκ ἔπεισα δὲ Θηβαίους·" γίνεται δὲ καὶ κατὰ συνωνυμίαν κλῖμαξ· ὡς ἔχει τὸ Ὁμηρικόν·

Ἥφαιστος μὲν δῶκε Διῒ Κρονίωνι ἄνακτι·
Αὐτὰρ ἄρα Ζεὺς δῶκε διακτόρῳ Ἀργειφόντῃ·
Ἑρμείας [5] δὲ ἄναξ δῶκε Πέλοπι πληξίππῳ·
Αὐτὰρ ὁ αὖτε Πέλοψ [6] δῶκ' Ἀτρεῖ ποιμένι λαῶν·

καὶ γὰρ Κρονίων καὶ Ζεὺς συνώνυμά πώς ἐστι, καὶ τὸ 584
Ἀργειφόντης καὶ Ἑρμῆς· εἴληφε δὲ τὸ σχῆμα τὸ ὄνομα ἀπὸ τῆς κλίμακος· καὶ γὰρ ἐν ταύτῃ, ἐφ' ὃν λήγομεν βαθμὸν, ἀπ' ἐκείνου πάλιν ἀρχόμεθα.

## θ'. ΠΕΡΙ ΠΡΟΣΔΙΑΣΑΦΗΣΕΩΣ. [1]

Προςδιασάφησίς ἐστιν, ὅταν ἓν ὄνομα ἐπενεχθῇ πε-

---

1 δὲ Par. 2. om. 2 Par. 2. κεφάλαιον, ἕκαστον κόμμα τελευτὴν λόγου καὶ ἀρχὴν ποιήσωμεν, ὡς τὸ Δημοσθενικὸν, οὐκ εἶπον. — pro cor. p. 288. „De magnifica hac et singularis artificii venustatisque Gradatione adde quae observat Demetrius p. 156. et Hermogenes p. 362." Norrm. 3 Par. 2. pergit: οὐδ' ἐπρέσβευσα μὲν, οὐκ ἔπεισα δὲ Θηβαίους· καὶ ὁ θεολόγος [Or. εἰς τὰ Θεοφ. p. 616. A.], ἵνα τῷ ληπτῷ μὲν ἕλκῃ πρὸς ἑαυτὸ, τῷ δὲ ἀλήπτῳ θαυμάζηται, θαυμαζόμενον δὲ ποθῆται πλέον, ποθούμενον δὲ καθαίρῃ, [Cod. — ει] καθαῖρον δὲ θεοειδεῖς ἀπεργάζηται· καὶ πάλιν· καὶ παρὰ τοῦ πνεύματος ἡμῖν ἡ ἀναγέννησις, παρὰ δὲ τῆς ἀναγεννήσεως ἡ ἀνάπλασις, παρὰ δὲ τῆς ἀναπλάσεως ἡ ἐπίγνωσις· ἀναβαίνει γὰρ ὁ λόγος, ὡς διὰ κλίμακος. 4 Vind. ἔπειτα. 5 Ald. Vind. ἑρμῆς δ' ἄναξ δῶκε Πέλωπι. (Vind. Πέλοπι) Il. β. 102. 6 Ald. Πέλωψ.

1 Ald. Norrm. Vind. προδιασαφ. bis. marg. Norrm. scr.

*πληρωμένῳ λόγῳ, προςδιασαφοῦν πλέον τι, ὡς ἔχει τὸ Ὁμηρικόν·*

*Ἀλλ' οὐκ Ἀτρείδῃ Ἀγαμέμνονι ἥνδανε θυμῷ·*

*τὸ*[2] *γὰρ θυμῷ ἐπηνέχθη πλήρει*[3] *τῷ λόγῳ προςδιασαφοῦν, ὅτι ψυχή ἐστι, περὶ ἣν τὸ τοῦ ἀρέσκειν πάθος γίνεται· καὶ*[4] *εἴ τις ἐν πολλῷ λόγῳ λέγοι ταῦτα*[5] *ἐννοήσας τῇ ψυχῇ.*

## *ι'. ΠΕΡΙ ΠΕΡΙΦΡΑΣΕΩΣ.*

*Ἡ δὲ*[1] *περίφρασις ἴδιόν μοι δοκεῖ σχῆμα εἶναι τῆς ποιήσεως· πολλὰ γὰρ τὰ περιπεφραγμένα παρ' ἐκείνοις, οἷον, βίη Ἡρακληείη*[2] *καὶ μένος Ἀλκινόοιο· οὐ μὴν ἀλλὰ τὸ σχῆμά ἐστι τοῦτο εὑρεῖν καὶ παρὰ Δημοσθένει· „ἀλλ' ἁπλῶς οὕτως ἠτίμωται τῇ ῥύμῃ τῆς ὀργῆς καὶ τῆς ὕβρεως τῆς Μειδίου·"*[3] *γέγονε δὲ ὁ λόγος καὶ ὑψηλότε-*

---

*προςδιασ.* Par. 2. *Προδιασάφησίς ἐστιν, ὅταν πεπληρ. λόγῳ ἐπενεχθῇ τι ὄνομα, πλέον τι διασαφοῦν, ὡς τὸ Ὁμηρ.* Il. *α.* 24. 2 Par. 2. *πλήρει γὰρ τῷ λόγῳ ἐπῆκται τῷ θυμῷ, δηλοῦν, ὅτι περὶ τὴν ψυχὴν ἡ ἀρέσκεια γίνεται· καὶ ὁ θεολόγος· περινοεῖ τῇ διανοίᾳ μεῖζον καὶ ὑψηλότερον.* 3 Ald. Vind. *πλήρῃ.* 4 *καὶ εἴ τις — — ἐννοήσας τῇ ψυχῇ* expuncta sunt in ex. Par. Manca haec sine dubio ac male deartuata, eaque re valde item *δυςείκαστα* sunt: vertimus, ut potuimus. Norrm. 5 Vind. *ταῦτ'.*

1 Par. 2. *Περίφρασίς ἐστιν, ὅταν τὸ διὰ μιᾶς λέξεως ῥηθῆναι δυνάμενον διὰ πλειόνων ἐκφέρηται· οἷον βίη ἡ. κ. μ. Ἀλκ. καὶ ἴς Τηλεμάχοιο, ἀντὶ τοῦ ὁ Ἡρακλῆς καὶ ὁ Ἀλκίνοος καὶ ὁ Τηλέμαχος· καὶ ἴδιον μέν ἐστι τουτὶ τὸ σχῆμα ποιητικῆς· εὑρίσκεται παρὰ Δημοσθένει, ὡς τὸ ἠτίμ.* in Mid. p. 546. 2 Ald. Vind. *Ἡρακλῆϊ.* corr. Norrm. 3 Par. pergit: *ἀντὶ τοῦ ὑπὸ Μειδίου· γέγονε δὲ ὁ λόγος οὗτος ἐκφαντικώτερος, ὡς παρὰ Θουκυδίδῃ· τὴν μάθησιν ἐποιεῖσθε, ἀντὶ τοῦ ἐμανθάνετε, καὶ παρὰ Ξενοφῶντι· ἔννοιά ποθ' ἡμῖν ἐγένετο, ἀντὶ τοῦ ἐνενοήσαμεν· καὶ ὁ θεολόγος· ἃ τοῦ καιροῦ γενόμενα καὶ τῆς τυραννίδος ἡ φιλανθρωπία τοῦ θεοῦ διεσώσατο· ἤρκει γὰρ εἰπεῖν ὁ θεός, καὶ πάλιν· καὶ Θηβαίων ἄ-*

ρος καὶ πλείονα ἔμφασιν ἔχων[4] κατὰ τὴν περίφρασιν, ἢ εἰ οὕτω ῥηθείη· ἠτίμωται ὑπὸ Μειδίου· καὶ ὡς τὰ Ξενοφῶντος[5] ἔχει· „ἔννοιά ποθ᾽ ἡμῖν ἐγένετο,“ ἀντὶ τοῦ ἐνενοήσαμεν, καὶ ὡς τὸ παρὰ Θουκυδίδῃ·[6] „οὐ περὶ ὧν[7] ἐδιδάσκομεν ἑκάστοτε τὴν μάθησιν ἐποιεῖσθε,“ ἀντὶ τοῦ ἐμανθάνετε· πολὺ δὲ τὸ σχῆμα παρὰ τῷ ἀνδρὶ τούτῳ.

### ια΄. ΠΕΡΙ ΠΛΕΟΝΑΣΜΟΥ.

Πλεονασμὸς[1] δέ ἐστιν, ὅταν ᾖ τῷ λόγῳ προσκείμενον[2] μόριον ἐκ τοῦ περιττοῦ κόσμου χάριν ἢ ἐμφάσεως· οὗ ἀφαιρεθέντος οὐδὲν ἡ διάνοια βλάπτεται· ὡς[3] ἔχει τὸ τοιοῦτον· κίνησις γὰρ αὕτη μεγίστη δὴ τοῖς Ἕλλησιν ἐγένετο[4]· ἐνταῦθα γὰρ τὸ δὴ προσκείμενον[5] τῷ λόγῳ παρέσχε κόσμον, ἀφαιρεθὲν δὲ οὐδὲν λυμαίνεται τὴν διάνοιαν· πάλιν· „ἐκεῖνος Καλλίστρατος ἐκρίνετο·“ τὸ γὰρ ἐκεῖνος προσκείμενον ἔμφασίν τινα μεγέθους περὶ τὸν ἄνδρα δηλοῖ.

### ιβ΄ ΠΕΡΙ ΑΣΥΝΔΕΤΟΥ Η ΔΙΑΛΥΣΕΩΣ.

Κατὰ[1] τοῦτο τὸ σχῆμα τοὺς συνδέσμους αἴροντες

---

νοια, τοῦτον τιμῶσα, ἤγουν οἱ Θηβαῖοι. 4 ἔχων Edd. Codd. om. Marg. Norrm. addo ἔχων. 5 Cyropaed. initio. 6 L. 1. initio orationis Corinthiorum. 7 Ald. Vind. περὶ ᾧ.

1 Par. 2. Πλεονασμός ἐστιν, ὅταν λόγῳ προστεθῇ τι μόριον περιττὸν, κόσμου χ. 2 Ald. Vind. προκείμ. Norrm. et ex. Par. προσκείμ. 3 Par. 2. ὡς τὸ Θουκυδίδειον. κίνησις [initio historiae]. 4 Par. 2. περιττὸν γὰρ τὸ δὴ καὶ μόνον κοσμοῦν, καὶ αὖθις ἐκεῖνος Καλλ. ἔκρινε· τὸ γὰρ ἐκεῖνος ἔμφασίν τινα μεγέθους περὶ τὸν Καλλίστρατον ἐποίησεν. ex Dem. περὶ παραπρεσβ. 340. e. 5 Ald. Vind. προκείμ. Norrm. ex. Par. προσκείμ.

1 Par. 2. Ἀσύνδετόν ἐστιν, ὅταν χωρὶς τῶν συναπτόντων συνδέσμων ἐκφέρομεν τὸν λόγον· ὡς τὸ Δημοσθενικὸν, Ἀμφίπολιν, Π.

τοὺς ὀφείλοντας τὰ κῶλα συνάπτειν οὕτω φαμὲν τὸν λόγον, ὡς ἔχει τὰ τοιαῦτα· „εἰ δ' ὁμοίως ἁπάντων τὸ ἀξίωμα, τὴν ἡγεμονίαν[2] παρείλετο·“ καὶ πάλιν· „Ἀμφίπολιν, Πύδναν, Ποτίδαιαν, Ἁλόννησον[3], οὐδενὸς τούτων μέμνημαι.

## ιγʹ. ΠΕΡΙ ΕΛΛΕΙΨΕΩΣ.

Ἔλλειψις δὲ γίνεται, ὅταν[1] ὄνομά τι περιῃρημένον ᾖ, ὀνομαστὶ μὴ κείμενον, ὅτε δέ τι νοεῖται πλέον, ὡς ὁ Δημοσθένης·[2] „εἴ τις ἐπακολουθῶν ἐπὶ τὸ μνῆμα

---

Ποτ. Ἁλόνησον· καὶ ὁ θεολόγος· ὃς φθάνει τοὺς ταχεῖς, σφάλλει [Cod. σφάλει] τοὺς συνετοὺς, περιτρέπει τοὺς ἰσχυροὺς, συστέλλει τοὺς ὑψηλοὺς, ἡμεροῖ θράσος, πιέζει δύναμιν. 2 Norrm. addit: τὴν ἐλευθερίαν. pro cor. p. 246. 3 Ald. Vind. Ἀλλόνησον. Norrm. Ἁλόνησον. — pro cor. p. 248.

1 Ald. Vind. ὅταν ὀνόματα πολλὰ [Vind. πολλὰ om.] περιῃρημένα [sic] χρὴ ὀνομαστὶ μὴ κειμένων. Norrm.: „Nihilo sanior ac integrior (sc. quam finis c. θʹ.) Ellipseos est definitio, quam minima licentia ac mutatione, tolerabili ut opinor modo, sic resarcio: ὅταν ὀνόματα πολλὰ περιῃρημένα χρὴ ὑπακούειν, τῶν ὀνομαστὶ μὴ κειμένων· ὅτι δή τι νοεῖται πλέον.“ Facilior videtur emendatio in ex. Par. supra lineam scripta: ὅταν ᾖ ὀνόμ. πολλὰ περιῃρ. ἢ καὶ ἓν ὄνομά τι μὴ κείμενον. Equidem, cum Vind. πολλὰ omittat, ita legendum censeo: ὅταν ὄνομά τι περιῃρημένον ᾖ, ὀνομαστὶ μὴ κείμενον, ὅτε δέ. Par. 2. Ἔλλειψίς ἐστιν, ὅταν ᾖ περιῃρημένον μέρος λέγει (l. λόγου) συντομίας ἕνεκεν, ἢ δι' ἔμφασιν πάθους, ὡς τὸ, μέλλει δὲ οὐδενὶ, οὐδὲ μέμνηται· λείπει γὰρ τὸ οὐδεὶς, πάθους ὂν ἐμφαντικόν· καὶ Ὅμηρος· κόπτεν δ' ἀμφοτέρῃσι· λείπει γὰρ τὸ χερσί. καὶ ὁ θεολόγος· ἀναστάσεως ἡμέρα· λείπει γὰρ τὸ ἐστί· καὶ πάλιν· τίς οὖν τὸ πνεῦμα; θεός· πάνυ γε· τί οὖν ὁμοούσιον, εἴπερ θεός· λείπει γὰρ τὸ ναί· καὶ πάλιν· καὶ ταῦτα τίνες· λείπει γὰρ τὸ φασίν· καὶ πάλιν· τῆς βίας καὶ τῶν ληρημάτων· λείπει γὰρ τὸ φεῦ. 2 pro cor. p. 308.

διεξίοι· εἰ τὸ καὶ τὸ ἐποίησεν[3], οὐκ ἂν ἀπέθανεν· ἐμβρόντητε, εἶτα νῦν λέγεις;" νοεῖται γὰρ τὸ, φαίη ἄν τις πρὸς αὐτὸν ἢ εἴποι, καὶ πάλιν·[4] „μέλει δ' οὐδενὶ[5] οὐδὲ μέμνηται," καὶ γὰρ ἐνταῦθα ἐλλείπει τὸ οὐδείς· πάθους δὲ ἔμφασιν ἔχει τὸ σχῆμα.

## ιδ'. ΠΕΡΙ ΑΛΛΟΙΩΣΕΩΣ Η ΑΛΛΑΓΗΣ.

Ἡ[1] δὲ ἀλλοίωσις ἢ καὶ ἀλλαγὴ σχῆμά ἐστι ποικίλον, καὶ κατὰ πολλοὺς γενόμενον τρόπους· καὶ γὰρ ἀριθμοὺς ἀλλάσσομεν[2], καὶ ὀνομάτων τὰς πτώσεις, καὶ ἐπὶ τῶν ῥημάτων πάλιν, χρόνους[3], πάθη· ὀνομάτων μὲν οὖν εἴδη[4] καὶ οὕτως ἀλλοιοῦται καὶ μεταβάλλεται· „πᾶσα[5] γὰρ ἡ Ἑλλὰς ἐσιδηροφόρει· ἀντὶ γὰρ τῶν Ἑλλήνων Ἑλλὰς εἴρηται· καὶ πάλιν·[6] „εἰ γὰρ τὸ φιλότιμον ἀλγήσω[7]

3 Norrm. addit: ἄνθρωπος οὑτοσί. 4 Dem. περὶ παραπρ. p. 383. 5 Norrm. inserit, uncis inclusum: τῶν κοινῶν.

1 Par. 2. Ἀλλοίωσις ἤτοι ἐναλλαγὴ κατὰ πολλοὺς γίνεται τρόπους, καὶ γὰρ καὶ περὶ γένη ὀνομάτων καὶ περὶ ἀριθμοὺς, καὶ περὶ πτώσεις, καὶ περὶ ἐνεργείας, καὶ πάθη, καὶ χρόνους· καὶ περὶ μὲν γένη ὀνομάτων, οἷον πᾶσα γὰρ ἡ Ἑλλὰς ἐσιδηροφόρει, ἀντὶ τοῦ οἱ Ἕλληνες, καὶ τίμιον ἡ ἀρετὴ, ἀντὶ τοῦ ὁ ἐνάρετος· περὶ ἀριθμοὺς δὲ, οἷον μέγας ὁ καθελὼν Τροίαν, ἀντὶ τοῦ μεγάλοι οἱ καθελόντες· περὶ δὲ πτώσεις, ὡς τό· μῆνιν ἄειδε θεὰ, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκεν· ἀπὸ γὰρ αἰτιατικῆς μετέπεσεν εἰς εὐθεῖαν· περὶ ἐνέργειαν δὲ καὶ πάθη, ὡς τὸ οὐκ ἐπιμιγνύντες ἀλλήλοις ἀντὶ τοῦ, οὐκ ἐπιμιγνύμενοι, καὶ αὖθις οἱ τὴν μεσόγαιαν κατῳκισμένοι, ἀντὶ τοῦ κατῳκηκότες· περὶ χρόνους δὲ, ὡς τὸ παρέξομαι τοὺς ὁρῶντας μάρτυρας, ἀντὶ τοῦ τοὺς ἑωρακότας, καὶ ὁ θεολόγος, ἐστασίαζεν ἡ Καισαρέων πόλις, καὶ ᾄσατε τῷ κυρίῳ πᾶσα ἡ γῆ, ἀντὶ τοῦ· ἐπὶ τῆς γῆς· καὶ τὰ ἄλλα δὲ εἴδη τῆς ἐναλλαγῆς εὑρήσομεν παρ' αὐτῷ ζητοῦντες. 2 Norrm. ἀλλάσσομεν ὀνομάτων, καὶ τὰς πτώσεις. 3 Marg. Norrm. adde καί. 4 Ald. Norrm. Vind. ἤδη. marg. Norrm. εἴδη. 5 Thucyd. haud procul exordio. 6 Ibid. lib. II. ad calcem Epitaphii. 7 Marg. Norrm. ἀγήρω

μόνον," ἀντὶ τοῦ ὁ φιλότιμος·[8] καὶ ὡς ὁ Δημοσθένης· „ἔπειτα δ' ἡ Πελοπόννησος[9] ἅπασα διεστήκει·" ἀντὶ τοῦ οἱ Πελοποννήσιοι· τούτου δ' ἔχεται τοῦ τρόπου καὶ τὸ 585 τοιοῦτον· γῆν ἀροῦν· ἐγίνετο δὲ καὶ τοιαύτη μεταβολὴ προσώπων, ὅταν ἀφ' ἑτέρου ἐφ' ἕτερον τὸν λόγον μεταφέρωμεν, ὡς ἔχει τὸ τοιοῦτον·[10] „καὶ οὐδεὶς ἡμῶν χολὴν οὐδ' ὀργὴν εὑρεθήσεται ἔχων, ἐφ' οἷς ὁ βδελυρὸς οὗτος καὶ ἀναιδὴς βιάζεται,[11] ὅς, ὦ μιαρώτατε πάντων, ἀποκεκλεισμένης σοι τῆς παῤῥησίας·" πτώσεως δὲ ἀλλαγὴ καὶ μεταβολὴ οὕτω σχηματίζεται παρὰ τοῖς παλαιοῖς· „τοὺς[12] μὲν οὖν ἄλλους, ὅσοι πρὸς τὰ κοινὰ δικαίως προσέρχονται, κἂν δεδωκότες ὦσιν εὐθύνας,[13] τὴν ἀειλογίαν ὁρῶ προτεινομένους·" ἀπὸ γὰρ τῆς αἰτιατικῆς ἐπὶ τὴν εὐθεῖαν ἐτράπη· καὶ τὰ Ὁμηρικὰ, μῆνιν ἄειδε θεὰ[14] οὐλομένην ἣ μυρία, καὶ πάλιν· ἄνδρα μοι ἔννεπε Μοῦσα πολύτροπον, ὃς μάλα πολλά· ἀριθμοὺς δὲ οὕτως ἀλλάσσουσιν, ὡς Θουκυδίδης·[15] „ῥᾷον γὰρ ἐτόλμα τις ἃ πρότερον ἀπεκρύπτετο μὴ καθ' ἡδονὴν ποιεῖν, ἀντίστροφον[16] τὴν μεταβολὴν ὁρῶντες·" καὶ Φίλιππος καὶ τὸ πλῆθος τῶν ἔλαττον[17] ἰδόντες τὴν τροπὴν[18] Λιβύων ἐφείποντο· χρόνων δὲ ἀλλαγὴ τοῦτον γίνεται τὸν τρόπον· „καὶ ὅτι ἀληθῆ ταῦτα λέγομεν τοὺς ὁρῶντας ὑμῖν παρέξομαι μάρτυρας·" ἀντὶ[19] τοῦ τοὺς ἑωρακότας· καὶ ἐνέργειαι δὲ καὶ τὰ πάθη καὶ[20] τὰ ῥήματα ἀλλάσσεται, καὶ

---

Ed. 8 Marg. Norrm. potius ἡ φιλοτιμία. 9 Vind. Πελοπόνησος et Πελοπονήσιοι. — pro cor. p. 231. 10 Dem. in Aristogit. p. 778. 11 Norrm. add. τοὺς νόμους. 12 Dem. περὶ παραπρεσβ. initio. 13 εὐθύνας Ald. Vind. om. addit Norrm. et ex. Par. 14 Norrm. addit Πηληϊάδεω Ἀχιλῆος uncis inclusum. 15 II. 53. 16 Norrm. ἀγαίστροφον. 17 Marg. Norrm. an Ἐλατέων. 18 Vind. τῶν Λιβύων. 19 Vind. ἀντὶ τούτους ἑωρ. Ald. ἑωρακόντας. — Dem. in Neaer. p. 1356. 20 Norrm. ad marg. f. κατά.

τοῦτο πολύ ἐστι παρὰ Θουκυδίδῃ· οἷον, „οὐδ᾽ ἐπιμιγνύντες[21] ἀλλήλοις ἀντὶ τοῦ ἐπιμιγνύμενοι· καὶ πάλιν·[22] „τοὺς τὴν μεσόγειαν μᾶλλον κατῳκημένους," ἀντὶ τοῦ κατῳκηκότας.

## ιε'. ΠΕΡΙ ΠΟΛΥΠΤΩΤΟΥ.

Πολύπτωτόν[1] ἐστιν, ὅταν ἢ τὰς[2] ἀντωνυμίας ἢ[3] τὰ ὀνόματα ταῖς πλείοσι πτώσεσι καὶ πάσαις[4] μεταλαμβάνοντες πλέκωμεν τὸν λόγον, ὡς ἔχει τὸ[5] Ξενοφῶντος· „τίνι μὲν γὰρ φίλοι πλείους[6] ἢ τῷ Περσῶν βασιλεῖ; τίς δὲ κοσμῶν φαίνεται ἀεὶ[7] τοὺς περὶ αὐτὸν μᾶλλον[8], ἢ ὁ βασιλεύς; τίνος δὲ δῶρα γινώσκεται μᾶλλον ἢ τὰ βασιλέως;" καὶ τὸ Δημοσθενικόν· „οὗτοι γὰρ κατέχουσι[9], τούτοις πείθεσθε ὑμεῖς, ὑπὸ τούτων δέος ἐστὶ[10] μὴ παρακρουσθῆτε· καίτοι[11] τίς ἦν ὁ τὴν πόλιν ἐξαπατῶν; οὐχ ὁ μὴ λέγων, ἃ[12] φρονεῖ; τῷ[13] δὲ ὁ κῆρυξ καταρᾶται δικαίως; οὐ τῷ τοιούτῳ."

---

21 Initio operis. 22 I. 120.

1 Par. 2. Πολ. γίνεται, ὅταν ὁ αὐτὸς λόγος πολλῶν πτώσεων ἀντιλάβηται· ὡς τὸ Ξενοφῶντος. 2 Ald. Norrm. Vind. ὅταν ἡγησάντων ἀντ. Marg. Norrm. f. ἡγησαμένης. in ex. Par. ἡγησάντων expunctum est: ad marg. ἢ τὰς substitutum. 3 ἢ marg. Norrm. ante sq. καὶ ponendum censet. 4 Ald. Norrm. Vind. πάσας. Marg. Norrm. et ex. Par. πάσαις. 5 τὸ Ald. Vind. om. habet Norrm. et Par. 2. — Cyrop. VIII. 2, 8. 6 Marg. Norrm. πλουσιώτεροι Ed. 7 Marg. Norrm. στολοῖς Ed. 8 Par. 2. κάλλιον ὡς βασιλέα, τίς δὲ δῶρα. Ald. Vind. ὡς βασιλεύοντα. Norrm. ὡς βασιλεύοντας. ad marg. ἢ βασιλεύς. Ed. 9 Marg. Norrm. Ed. ἡγοῦνται. Par. 2. οὗτοι ἄρχουσι. — παραπρεσβ. p. 436. 10 Par. 2. ἐστὶν μὴ παρ. καὶ ὁ θεολόγος· ἐκείνων δὲ μὲν καὶ γένος καὶ μαθηταί, οὓς στύλος πυρὸς καὶ νεφέλη ὡδήγουν, οἷς θάλασσα διΐστατο, ὧν θῆρες ἡττῶντο καὶ τὰ τοιαῦτα. 11 Dem. pro cor. p. 319. 12 Edd. Vind. ἃ μὴ φρονεῖ. ejeci μή. 13 Ald. Vind. τό. Norrm. τῷ. ex. Par. τίνι.

## ιϛ'. ΠΕΡΙ ΜΕΤΑΒΟΛΗΣ.

Ἐπὶ[1] τούτου τοῦ σχήματος μετάθεσις μορίων ὅλων γίνεται καὶ καθ' ἕκαστον κῶλον ἢ κόμμα[2], ὡς ἔχει τὸ Δημοσθενικόν·[3] „τίς γὰρ συμμαχία σου πράξαντος γέγονε[4] τῇ πόλει; τίς[5] δὲ βοήθεια ἐκ[6] τῆς σῆς εὐνοίας καὶ δόξης; τίς δὲ πρεσβεία; τίς δὲ διακονία, δι' ἣν ἡ πόλις ἐνδοξοτέρα;[7] τί τῶν Ἑλληνικῶν ἢ τί τῶν οἰκείων ἁπλῶς ἐπηνόρθωται διὰ σέ; ποῖαι τριήρεις; ποῖα βέλη; ποῖοι νεώσοικοι;[8] τίς ἐπισκευὴ τειχῶν; ἢ ποῖον ἱππικόν; ἢ τῶν ἁπάντων τί χρήσιμον[9], ἢ τοῖς ἀπόροις πολιτικὴ βοήθεια, ἢ χρημάτων εὐπορία;“

## ιζ'. ΠΕΡΙ ΖΕΥΓΜΑΤΟΣ.

Ἐπὶ[1] τούτου τοῦ σχήματος ποτὲ μὲν καθ' ἕκαστον κῶλον ἐπιλέγομεν τὸ οἰκεῖον ἑκάστῳ, ὡς ἔχει τὸ Ἰσοκρα-

---

1 Par. 2. *Μεταβολή ἐστιν, ὅταν τὸ αὐτὸ νόημα διαφόρως ἐξαγγελθῇ, ὡς το Δημοσθενικόν· βουλόμενος γὰρ εἰπεῖν, εἰς τί τῶν ἁπάντων σὺ γέγονας χρήσιμος, κατεμέρισε τὴν διάνοιαν οὕτως· τίς γὰρ συμμαχία.* 2 Ald. Vind. *κῶμμα.* Norrm. *κόμμα.* 3 Ald. *Δημοσθενικὸν, τίς γὰρ συμμαχεία.* — pro cor. p. 328. 4 Ald. Vind. *γεγονώς.* Norrm. Par. 2. *γέγονε.* 5 Par. 2. *τοῦ δέ.* omisso sq. *καὶ δόξης.* 6 Marg. Norrm. *ἢ κτῆσις εὐν.* Ed. 7 Par. 2. *γέγονε· ποῖαι δὲ τρ.* omissis reliquis. 8 Ald. Vind. *νεὰς οἶκοι.* Par. 2. *ποίοι* [sic] *νεώσοικοι, καὶ τὰ ἑξῆς· καὶ ὁ θεολόγος· τίνος διώκοντος ἢ συναναγκάζοντος· οὐδενὸς, τίνων ἱππέων;* [Cod. *ἱπτέων*] *τίνων κυνῶν; τίνος ὑλακῆς* [Cod. *ὑλαξῆς*] *ἢ κραυγῆς;* [Or. XX. p. 321.] 9 Norrm. inserit uncis inclusum: (*τίς ἢ τοῖς εὐπόροις*) *ἢ τοῖς ἀπ. πολ.* (*καὶ κοινὴ*) *βοήθ. ἢ χρ. εὐπ.* (*παρά σου· οὐδεμία.*)

1 Par. 2. *Ζεῦγμά ἐστιν, ὅταν διάφορα κῶλα μία συνδεῖ λέξις, ἢ μετ' αὐτὰ τεθεῖσα, ἢ πρὸ αὐτῶν, ὡς τὸ Δημοσθενικόν· ἐκ δὲ τοῦ τὰ μὲν Ἑλληνικὰ πιστῶς, τὰ δὲ πρὸς τὸ θεῖον εὐσεβῶς, τὰ δὲ ἐν ἀλλήλοις ἴσως διοικεῖν· καὶ τό· Ἀλέξ. γὰρ ἐνίκησεν ἐπὶ μὲν Γρ.*

τικόν·[2] „πολλάκις ἐθαύμασα τῶν τὰς πανηγύρεις συναγόντων καὶ τοὺς γυμνικοὺς ἀγῶνας καταστησάντων.“ ποτὲ δὲ θέντες τὰ κῶλα· καὶ πάλιν, ὡς ἔχει τὸ τοιοῦτον· Ἀλέξανδρος ἐνίκησε μαχομένους ἐπὶ μὲν Γρανικῷ τοὺς ἑπτὰ σατράπας, ἐν Ἰσσῷ[3] δὲ Δαρεῖον, ἐν Ἀρβήλοις δὲ συναχθέντας ὁμοῦ πάντας[4]. δύνανται[5] δὲ καὶ τὰ συνάγοντα κῶλα καὶ μέσον[6] αὐτῶν τεθῆναί ποτε· πόθεν δ' ἂν ἡ τοιαύτη γένοιτο σύνταξις, δῆλον ὅτι[7] ἐκ τῶν προειρημένων.

### ιη'. ΠΕΡΙ ΟΜΟΙΟΤΕΛΕΥΤΟΥ.

Ὁμοιοτέλευτον[1] δέ ἐστιν, ὅταν εἰς τὸ αὐτὸ μόριον πλεονάκις καταλήγωμεν, ὡς ἔχει τὸ Ἰσοκρατικόν·[2] τῶν

---

2 Initio Panegyr. 3 Ald. ἐν νίσσῳ. Vind. ἐνίσσῳ. Par. 2. ἐν ἰσῷ. Norrm. et ex. Par. ἐν Ἰσσῷ. 4 ὁμοῦ πάντας recepi ex Par. 2. abest a reliquis. tum pergit Par. 2.: ἐκεῖ μὲν γὰρ τὸ διοικεῖν, ἐνταῦθα δὲ τὸ ἐνίκησε ζευγνύουσι τὰ κῶλα καὶ ἀποκλείουσι· καὶ ὁ θεολόγος· τῶν μὲν τὸν λόγον, τῶν δὲ τὴν πρᾶξιν· τῶν δὲ τὸ πρᾷον, τῶν δὲ τὸν ζῆλον, τῶν δὲ τοὺς κινδύνους, τῶν δὲ τὰ πλείω, τῶν δὲ ἅπαντα μιμησάμενος. 5 Ex. Par. ad marg. δύναται δὲ καὶ τὸ συνάγον τὰ κῶλα. 6 Marg. Norrm. an μέσα? 7 Marg. Norrm. f. ἐστί.

1 Par. 2. Ὁμοιοτελ. ἐστιν, ὃ καὶ ὁμοιοκατάληκτον λέγεται, ὅταν διάφορα κῶλα τὴν αὐτὴν συλλαβὴν ἔχωσι κατάληξιν, ὡς τὸ Αἰσχίνου· οὐ τὸ σχῆμα ὀνειδίζω, τὸν δὲ τρόπον ἐξετάζω. καὶ Ὅμηρος· [Od. ζ, 45.]

Οὔτ' ἀνέμοισι τινάσσεται, οὔτε ποτ' ὄμβρῳ
Δεύεται, οὔτε χιὼν ἐπικίδναται, ἀλλὰ μάλ' αἴθρη
Πέπταται ἀνέφελος.

καὶ ὁ θεολόγος· Χριστὸς ἐξ οὐρανῶν, ἀπαντήσατε, Χριστὸς ἐπὶ γῆς ὑψώθητε. 2 Exemplum Isocraticum infra capite XXVI. ad πάρισον refertur: expenditur idem et Demetrio p. 19. posito τῷ pro τοῦ· et πολυκίνδυνον pro φιλοκίνδυνον. Norrm.

μὲν ἐπίπονον[3] καὶ φιλοκίνδυνον τὸν βίον ἐποίησε, τοῖς δὲ περιμάχητον τὴν φύσιν κατέστησε· καὶ τὸ Αἰσχίνου·[4] „καὶ οὐ τὸ δυστύχημα ὀνειδίζω, τὸν δὲ τρόπον ἐξετάζω.“

586 ## ιθ΄. ΠΕΡΙ ΟΜΟΙΟΠΤΩΤΟΥ.

Ὁμοιόπτωτον[1] δέ ἐστιν, ὅταν ἡ αὐτὴ πτῶσις[2] ἐφ' ἓν ὄνομα πολλάκις ἀναφέρηται, ὡς ἔχει τὸ κατὰ Δημοσθένους[3] Αἰσχίνου· „ὦ πρὸς μὲν τὰ μεγάλα τῶν ἔργων ἁπάντων[4] ἀνθρώπων ἀχρηστότατε, πρὸς δὲ τὴν ἐν λό-

3 Edd. Vind. ἐπίμορον. Marg. Norrm. „τοῦ μὲν ἐπίπονον. Ed.“ Encomio Helenae p. 234. Bekk. Ex. Par. post τοῖς δὲ inserit: περίβλεπτον καί. 4 In Ctesiph. p. 406. Bekk.

ΗΘΟΠΟΙΙΑ δέ ἐστιν ὅταν φεύγοντες τὸ προςκρουστικὸν τῶν ἐπιτιμήσεων [1] ὡς ὑφ' ἑτέρων προσώπων γινομένας εἰσάγωμεν, ὁποῖόν ἐστι τὸ παρὰ τῷ [2] Δημοσθένει· „φέρε γὰρ, πρὸς Διὸς, εἰ λόγον ὑμᾶς ἀπαιτήσειαν οἱ Ἕλληνες ὧν νυνὶ παρήκατε καιρῶν διὰ ῥᾳθυμίαν.“ Καὶ πάλιν· [3] „εἶτ', ὦ πάντων τῶν ἀνθρώπων φαυλότατατοι.“ Πικρῶς γὰρ καθικνεῖται τῶν Ἀθηναίων διὰ τοῦ προσώπου τῶν Ἑλλήνων. Κἀκεῖνα δὲ ἠθοποιΐας τὰ ἠθικὰ σχήματα, [4] „τόδε ἔδει εἰπεῖν καὶ τόδε ἔδει ποιῆσαι·“ ὅπερ πεποίηκεν Αἰσχίνης ἐπὶ τῷ Δημοσθένει εἰπών· [5] „ὃν ἐχρῆν, [6] εἰ καὶ μανεὶς ὁ δῆμος ἢ τῶν καθεστηκότων ἐπιλελησμένος, ἐπὶ τοιαύτης ἀκαιρίας ἐβούλετο στεφανοῦν αὐτὸν, παρελθόντα εἰς τὴν ἐκκλησίαν εἰπεῖν· Ἄνδρες Ἀθηναῖοι, τὸν μὲν στέφανον δέχομαι, τὸν δὲ καιρὸν ἀποδοκιμάζω, ἐν ᾧ τὸ κήρυγμα γίνεται.“ Τοῦτο γὰρ τὸ νόημα ἐνὸν [7] ἀπὸ τοῦ ἰδίου προσώπου εἰπεῖν,

---

1 Gal. παρακρουστικόν. [imo προςκρ. W.] Vat. προςκρ., ἐπιτιμήσεις — εἰσάγομεν. — Cf. Aquil. Roman. s. 4.; Quintil. IX. 2. 58. 2 Gal. Med. non τῷ. — Qui sequitur locus est ex orat. de Cherson. p. 98, 15. — Gal. ἂν ὑμᾶς. — Vat. καιρόν. 3 Καὶ πάλιν — ad φαυλότατοι non habet Vaticanus. — Exemplum exstat ibidem p. 98, 22. R. τῶν ante ἀνθρ. Med. om. 4 Gal. Med. πικρῶς γ. κ. τ. Ἀ. διὰ ποίας αἰτίας, διὰ τὰ ὑποθετικὰ σχήματα. Meliora praebuit Vatic. Scripsi bis ἔδει e cod. Vat. pro edito δεῖ. 5 Vat. non εἰπών. 6 Aeschines adversus Ctesiph. p. 605, 10. R. — G. ὅτι pro ὃν — καὶ τῶν καθεστ. — ἐπιπλήσμων: voluit scribere ἐπιλήσμων ut habet Med. — Vat. ἔχω pro ἐν ᾧ. — Hujus loci ultima verba adduxit Alexand. Rhet. I. 15. in Ethopoeiae exemplum. 7 Gal. Med. ἐμόν. Vat. αἶνον. Galeus ἐνὸν vere conjecerat, quod et Capperonnerius scribere volebat. Saepe notatum est quam frequenter αι

*περιέθηκε τῷ ἀντιδίκῳ. Καὶ Ὀδυσσεὺς παρ' Ὁμήρῳ βουλόμενος τοῖς Ἀχαιοῖς εἰπεῖν ὅτι οὐ φυλάττουσι τὰς ὑποσχέσεις ἃς ὑπέσχοντο τῷ Ἀγαμέμνονι, πρὸς αὐτὸν*[8] *ἀποστρέφει τὸν λόγον·*

*Ἀτρείδη,*[9] *νῦν δή σε, ἄναξ, ἐθέλουσιν Ἀχαιοὶ*
*Πᾶσιν ἐλέγχιστον θέμεναι μερόπεσσι βροτοῖσιν·*
*Οὐδέ τοι ἐκτελέουσιν ὑπόσχεσιν ἥνπερ ὑπέσταν,*
*Ἴλιον ἐκπέρσαντ' εὐτείχεον ἀπονέεσθαι.*

*Τοῦτο γὰρ ποιήσας προσέκρουσε μὲν οὐδαμῶς*[10] *τοῖς*

---

et ε permutentur, et nuper a Letronnio, viro juvene a quo egregia speranda sunt, in Animadversionibus ad Dicuilum. Vide Porson. ad Odyss. *Γ.* 278. Haec observatio Plutarcho proderit de Aud. poet. p. 90. Krebs. *καθάπερ ἐν νόθῳ φωτὶ καὶ κεκραμένοις μύθοις ἀληθείας.* Wyttenbachius, quam opportune obtulerunt codices lectionem, *κεκραμένης* recepit. Jam locus erit omnino restitutus, deleto *καὶ*, nato e prava iteratione initialis syllabae vocis *κεκραμένης*: „in adulterina luce veritatis temperatae fabulis.“ Hic perfecti reduplicatio, *κε*, peperit ex se conjunctionem *καί*: alibi syllaba *κε* prorsus evanuit, mutata male in conjunctionem, verbi causa, *καὶ χαρισμένως*, pro *κεχαρισμένως.* Vide notam ad Marinum p. 98. De participio *ἐνὸν* et similibus aliis absolute positis scripserunt Salmasius ad Tertull. de Pall. p. 46., Larcherus ad Herod. III. 91. not. 171. et diligentissimus Fischerus ad Well. T. 3. p. 379. quorum non meminerat egregius Manuelis Palaeologi interpres, cum *ἐνῶν* pro *ἐνὸν* conjiceret reponendum in hac auctoris sui sententia T. 8. Notitiarum Manuscriptorum p. 362.: *πῶς οὐκ ἀτοπώτατον πάντων, μὴ τὸ πᾶν ἰσχύειν λέγειν περᾶναι τὸν ἀριστοτέχνην θεὸν, ἀλλὰ καὶ ἀκέστην ἐπιζητεῖν ὃς εἰδοποιήσει* (et hoc non sollicitandum) *τὴν ὕλην; ὥσπερ οὐκ ἐνὸν καὶ τόδε πρὸς τοῖς ἄλλοις τελέσαι μόνῳ βουλήματι.* 8 Vat. *πρὸς τὸν Ἀγαμέμνονα* Gal. supra *φυλάσσουσι.* 9 Il. B. 284. Vat. non *πᾶσιν* — Gal. *τοι γ' ἐκτελ.* — Vat. Med. et Gal. *ἐκπέρσαντες.* Eosdem versus adfert Alex. Rhetor. I. 20. non Ethopoeiae, sed Apostrophes exemplum. 10 Gal. non *οὐδαμῶς.* — Gal. *δ' ὑπο-*

Ἀχαιοῖς, ἐλεεινὸν δὲ ἀποφαίνει τὸν ὑπ᾽ αὐτῶν ἐγκαταλειφθέντα, καὶ διὰ τῶν πρὸς τοῦτον λόγων ἐκείνοις ἐπέπληξεν.

## ιβ΄.

### ΠΕΡΙ ΠΡΟΣΩΠΟΥ ΥΠΟΒΟΛΗΣ.[1]

ΠΡΟΣΩΠΟΥ δὲ[2] ὑποβολή ἐστιν ὅταν θέλων τι εἰπεῖν[3] πρὸς τὸ ἀνεκτότερον ἄλλῳ προσώπῳ τὸν λόγον περιθῇ, οἷον ἐν τοῖς Φιλιππικοῖς, „ὡς δ᾽ ἐγώ[4] ποτε τῶν ἐν αὐτῇ τῇ χώρᾳ γεγενημένων τινὸς ἤκουον, ἀνδρὸς οὐδαμῶς οἵου τε ψεύδεσθαι, οὐδένων εἰσὶ βελτίους.“ Πιστοῦται γὰρ ὡς παρ᾽ εἰδότος ἀκούσας τὰ λεγόμενα.[5]

---

φαίνει. — Vat. τὸν ἐγκαταλ. ὑπ᾽ αὐτ. — Gal. τοῦτο, quod Capperonn. in τοῦτον mutabat. Vat. ἐκείνους ἔπληξεν. Marinus p. 14. meae editionis, ἐν ταυτῷ γάρ, ὡς εἰπεῖν, ἐπέπληττε: ubi Codices duo habent ἔπληττε. In hoc Marini loco pro ταυτῷ editur τούτῳ, quod vitium est typographicum, omnino corrigendum. Monebo obiter in eodem libro p. 94. vocem ἁγνὴ post Καί μιν deesse versui τοῦ Πολυζώη, et mox in loco Corayano pro τυφλώσει legendum esse τυφλώνει, quod verbum est recentioris linguae.

1 Med. προβολῆς et προβολή. Vat. ἐμβολή. Galeus restituendum putabat ὑποβολή, quod habuimus supra s. 2. et statim habebimus, paucis abhinc versibus, in quo loco Vat. iterum ἐμβολὴν exhibet; sed supra s. 2. ὑποβολὴ non ἐμβολὴ praebuit. In hac lectionis προβολὴ mutandae necessitate ὑποβολὴ sumsi, adductus praeterea loco Phoebammonis [I. c. 5. p. 114.] a Galeo adlati: ἑτεροπρόσωπόν ἐστιν ὑποβολὴ προσώπου λέγοντος ἃ σπουδάζοντες εἰπεῖν ὀκνοῦμεν δι᾽ ἑαυτῶν ἐπιπλῆξαι. 2 δὲ Gal. Med. om. 3 Gal. Med. θέλων τις εἰπεῖν τι. praetuli Vat. lectionem. Cf. not. ad ss. 6. 14. 4 Olynth. II. p. 23, 4. R. — Med. Gal. δὲ ἐγώ — Vat. dedit ποτε — V. non αὐτῇ — Med. Gal. οὐχ οἷου τε ψ. Et hic desinunt. Vat. οὐδὲν ὤν. 5 Gal. Med. πιστότερον δὲ γίνεται ὥσπερ εἰδότι τὰ λεγ. Vat. se-

Μίγνυσι δὲ πολλαχοῦ [6] τήν τε ἠθοποιΐαν καὶ τὴν τοῦ προσώπου ὑποβολὴν, ὅταν ἑτέρῳ προσώπῳ περιβάλῃ [7] λόγον. Βουλόμενος γὰρ ἐπιτιμῆσαι τοῖς Ἀθηναίοις [8] ὡς εἰς ῥᾳθυμίαν ἐκκλίνασιν, οὐκ ἀφ᾽ ἑαυτοῦ εἶπεν, [9] ἀλλὰ τοῖς Ἕλλησι περιέθηκε τὸν λόγον· „ἐὰν οὖν [10] οἱ Ἕλληνες πέμπωσι πρὸς ὑμᾶς καὶ λέγωσι, πέμπετε, ὦ Ἀθηναῖοι, πρὸς ἡμᾶς ἑκάστοτε πρέσβεις λέγοντας ὡς ἐπιβουλεύει Φίλιππος ἡμῖν καὶ πᾶσι τοῖς Ἕλλησι,“ καὶ τὰ ἑξῆς. Καὶ πάλιν ἐν τῷ πρὸς Λεπτίνην· [11] „ἂν δὲ δὴ πέμψας ὡς ἡμᾶς Λείκων ἐρωτᾷ, τί ἔχοντες ἐγκαλέσαι καὶ τί μεμφόμενοι τὴν ἀτέλειαν αὐτὸν ἀφῄρησθε, τί, πρὸς θεῶν, ἐροῦμεν ἡμεῖς;“ Ἐν γὰρ τούτῳ τῷ λόγῳ λίαν ἰσχυρότερον τὸν τρόπον [12] ἐκ τοῦ προσώπου τῶν λεγόντων πεποίηκεν.

## ιγ΄.

## ΠΕΡΙ ΠΥΣΜΑΤΙΚΟΥ.

ΤΟ ΠΥΣΜΑΤΙΚΟΝ σχῆμα ἔργα μὲν ἔχει τέσσαρα, προσοχὴν, σαφήνειαν, ἐνάργειαν, [1] ἔλεγχον. Προσο-

qui debebam. 6 Gal. Med. πανταχοῦ. Vat. mox ἐμβολήν. 7 Vat. περιέθηκε, male post ὅταν, et natum ex proximis. 8 Gal. Med. παρεπιτιμῆσαι τοῖς ἀναγκαίοις. Mox omittit ἐκκλίνασιν. 9 Vat. non εἶπεν. 10 De Chersonn. p. 98, 17. R. cum insigni varietate. — Med. γοῦν. Gal. Med. πέμψωσι. — Cod. ἐπιβουλῇ. 11 Vat. non ἐν τῷ. Locus exstat s. 30. Wolf.; p. 468, 20. R. Gal. Med. non δή. Vat. πέμψας ὁ Λ. ἡμᾶς ἐρ, Gal. Med. ἀφαιρεῖσθε, et hic desinunt. Vat. ἀφῃρεῖσθε. 12 Vat. τὸν λόγον ἰσχυρότερον.

1 Vat. Τὸ Π. δὲ σχήματα μέν. Vat. Med. ἐνεργείαν. Trypho, a Galeo citatus, nuperae editionis quam Blomfieldo debemus p. 52.: ἐνέργειά ἐστι φράσις ὑπ᾽ ὄψιν ἄγουσα τὸ νοούμενον· sed ἐνάργεια melius cum hac definitione quadrare videtur. Saepissime, ut notum est omnibus qui nostras literas tractant, hae

χὴ μὲν οὖν ἐστιν, οἷον·[2] „διὰ τί;“ Καὶ πάλιν· „τίνος οὕνεκα ταῦτα λέγω;“ Ἐπιστρέφει γὰρ τοὺς ἀκούοντας ἡ τοιαύτη ἐρώτησις. Σαφήνεια δὲ οὕτως, ὡς[3] ἐν τῷ κατὰ Ἀριστοκράτους· „ὁ μὲν τὸν νόμον τιθεὶς, οὕτως· ὁ δὲ τὸ ψήφισμα γράφων, πῶς;“ Καὶ πάλιν. „ποῦ τοῦτο δηλοῖ; ἔν τε τῷ προτέρῳ νόμῳ καὶ ἐν τούτῳ.“ Καὶ πάλιν· „ἀλλὰ πῶς; ὡς ἐν τῷ ἄξονι εἴρηται, φησί.“ Ἤιδει γὰρ τὴν τῶν νόμων ἐξέτασιν φύσει δυσπαρακολούθητον οὖσαν. Σαφήνεια δὲ τὸ δοῦναι τὸ σχῆμα δυνάμενον.[4] Ἐνάργεια[5] δέ ἐστι τὸ τοιοῦτον· „πῶς ἂν[6]

---

voces permutantur. Conferantur Toupius Em. t. 3. p. 90. Schweighaeuserus ad Polyb. T. 5. p. 117. Corayus ad Isocr. Panath. c. 94. Rhoer ad Porphyr. de Abst. l. 5. Apud Dionys. Hal. de Lys. c. 7. *ἐνάργεια* nunc legitur pro *ἐνέργεια*, ad quem locum vide omnino Sylburg. et Matthaeium. Cf. not. ad Rufum, s. 29. — Ceterum de interrogatione vide Quintilian. IX. 2. 6. 2 Vat. non *οἷον*. Gal. Med. non *πάλιν*. Med. *τίνος οὖν οὕνεκα*. — Verba *διὰ τί* sunt ex Orat. de Corona p. 302, 27. R. vel aliunde petita; nam haec formula non rara est apud Demosthenem. *Τίνος — λέγω* e Philipp. I. p. 40, 24. Cf. Hermog. de Form. l. 4. p. 272. 3 Gal. Med. non *ὡς*. — Sequens locus exstat p. 629, 4. R. Locus secundus, *ποῦ τοῦτο* — legitur ibid. p. 630. 2. Vat. Med. non *ποῦ* — Gal. *ἐν τῷ πρ. ν. καὶ τούτῳ*. Tertius locus, *ἀλλὰ* — ibid. exstat. p. 630, 12. Gal. Med. non *ὡς*. 4 „Haec esse corrupta credo.“ Gale. Capperonnerius satis apte proponit: *οὖσαν, σαφήνειαν δὲ δοῦναι τοῦτο τὸ σχῆμα δυνάμενον*. Facilior erit emendatio absque *τοῦτο*, quo textus carere non incommode potest; et non semel *τὸ σχῆμα* dicit Tiberius, ubi *τοῦτο τὸ σχῆμα* exspectes. — *Σαφήνεια* „vox rarior,“ ait Blomfieldus in Gloss. ad Septem-Thebanam; et H. Stephanus, in Thesauro, testatur non esse frequentem in prosa. Rhetoribus placuit: vide Aristotelem Poet. c. 37.; Theonem Progymn. p. 31. 32. Edit. Camer.; Aphthonium Progymn. p. 4. Commel.; Ari-

ὠμότερος συκοφάντης γένοιτο;" Καὶ πάλιν· „καὶ τίς ἂν γένοιτο ἀναιδείας ὑπερβολή;" Ἔλεγχος δέ ἐστι τὸ τοιοῦτον, ὅταν λέγῃ τί πράττειν ἔδει [7] καὶ ποιεῖν τὴν πόλιν· καὶ πάλιν, [8] τῆς ποίας μερίδος γενέσθαι τὴν πόλιν ἐβούλετ' ἄν· καὶ τρίτον [9] εἰς τὸ αὐτό· „τί τὴν [10] πόλιν, Αἰσχίνη, προσήκει ποιεῖν, ἀρχὴν καὶ τυραννίδα τῶν Ἑλλήνων ὁρῶσαν αὐτῷ κατασκευαζόμενον Φίλιππον;" καὶ τέταρτον· „ἤδη [11] γάρ σε ἐρωτῶ, πάντα τὰ ἄλλα ἀφείς." Καὶ πάλιν· „πότερον [12] πάντα ταῦτα ποιῶν ἠδίκει καὶ παρεσπόνδει καὶ διέλυε τὴν εἰρήνην, ἢ οὔ; Καὶ πότερον φανῆναί τινα τῶν Ἑλλήνων τὸν ταῦτα κωλύσοντα ποιεῖν αὐτὸν ἐχρῆν, ἢ μή;" Οὐδὲ

---

stidem T. 2. p. 475.: Rufum s. 19. 17.; Demetrium s. 202.; Hermogenem de Form. II. 11. p. 489.; Matth. Camariotam p. 10. 24. 26.; Apsinem; alios. Lycinus Lexiphani suadet (s. 23.) ut χάρισι καὶ σαφηνείᾳ litet. 5 Vatic. Med. ἐνέργεια. 6 De Corona p. 298, 27. R. Gal. Med. γένοιτο καὶ τίς ἄν. 7 Respicitur locus ex Orat. de Coron. p. 245, 27. R. 8 Cf. ibid. p. 246, 10. — Gal. Med. non πάλιν. 9 Galeus adposuit stellulam ante τρίτον, et ante καὶ τέταρτον, et ait hunc locum valde perturbatum esse. Non aio. τρίτον recte sequitur πάλιν, et post τρίτον apte ponitur τέταρτον. Quid clarius? 10 De Coron. p. 246, 27. Gal. Med. non τί. Gal. Med. τὴν π. Αἰσχ. ποιεῖν καὶ τυρ. καὶ ἀρχ. τῶν Ἑ. nilque amplius addit. 11 De Coron. p. 248, 2. — Vat. non τά. 12 De Coron. p. 248, 19. Vat. non πάλιν. Gal. non πάντα. Gal. ἔλυε. Vat. non ταῦτα. Gal. καταλύσαντα. Editor monuerat κωλύσοντα esse legendum. Gal. non αὐτόν. Lectio Galeana ἔλυε pro διέλυε nonnullos mihi in memoriam revocat scriptorum locos pari defectu vitiatos. Polemo p. 7. πελέκει δὲ μεγάλῳ τις αὐτὴν, ὥσπερ δρῦν ἢ πεύκην, ἔκοπτεν. Cod. Parisin. 3017. ἐξέκοπτεν. Libanius T. 4. p. 654. εἰ ὁ πατὴρ τὴν νόσον φύγοι. Cod. idem, διαφύγοι, quod praestare videtur. Theophylactus Simoc. Phys. Quaest. p. 4. ὥσπερ ἐν Σκυθικῷ λαβυρίνθῳ τινὶ τῷ δυσεκβάτῳ τῆς θεωρίας

γὰρ ἀνενεγκεῖν τῷ ἀντιδίκῳ [13] συνεχώρησεν, ἀλλὰ τῷ συνεχεῖ τῆς ἐρωτήσεως τὸ ἄπορον τῆς ἀποκρίσεως [14] ἐξελέγχει.

## ιδ'.

### ΠΕΡΙ ΕΜΦΑΣΕΩΣ.

ΕΜΦΑΣΙΣ δέ [1] ἐστιν ὅταν μὴ αὐτό τις λέγῃ τὸ πρᾶγμα, ἀλλὰ δι' ἑτέρων ἐμφαίνῃ, οἷον· „τί τὸ [2] κωλύον αὐτὸν ἔσται βαδίζειν ὅποι βούλεται;" Ἐμφαίνει γὰρ ὅτι κωλύειν αὐτὸν οὐδενὸς βουλομένου τῆς Ἀττικῆς ἐπιβῆναι δυνήσεται. Καὶ πάλιν Ἀπολλόδωρος· „ἐγὼ [3] γὰρ ὁμομήτριον ἀδελφὸν ἐμαυτοῦ Πασικλέα νομίζω, ὁμοπάτριον δὲ οὐκ οἶδα." Οὔτε γὰρ ἀνειμένην βλασφημίαν ἔχει τὸ εἰρημένον, καὶ ἀκριβῶς τῇ ἐμφάσει [4] πρεσβυτέρα μοιχεία δέδεικται.

## ιε'.

### ΠΕΡΙ ΑΝΤΙΚΕΙΜΕΝΟΥ.

ΑΠΟ ΤΟΥ ΑΝΤΙΚΕΙΜΕΝΟΥ ἐστὶν [1] ὅταν μὴ περὶ τοῦ προκειμένου τι εἴπῃ, ἀλλὰ τὸ ἀντικείμενον ἐφ'

---

ἀποκλείσας. Cod. 993. ἐναποκλείσας. Epist. 6. τῆς φύσεως σοφίαν τεθαύμακα, κακίστῃ ψυχῇ σώματος εὐπρέπειαν μὴ πιστεύσασαν. Cod. 3047. μὴ καταπιστεύσασαν. 13 Vat. ἀδίκῳ. Cf. infra s. 47. 14 Gal. Med. τὸ ἄπειρον τῆς ἀπειθήσεως. — De hac figura cf. Aquil. Rom. ss. 11. 12.

1 Gal. Med. non δέ. — Mox vix credo τις esse sincerum. Jam vidimus saepius verba sine nomine posita, subaudito nempe Demosthenes. Cf. ad ss. 6. 12. Attamen ss. 24. 27. τις legitur. — Statim Vat. ἐμφαίνεται. 2 Olynth. I. p. 12. 22. R. — Vat. τί. τ. κ. ἐστὶν αὐτὸν ὅπου βούλ. βαδ. 3 Adv. Stephan. I. p. 1126, 27. R. — Vat. ἐμ. ἀδ. Περικλέα. — Gal. Med. ὁμοπ. δ' οὔ. 4 Gal. Med. ἐμφανείᾳ.

1 Gal. Med. Ἀντικείμενόν ἐστιν. — Mox παρὰ pro περὶ, quod

ἑτέρου προσώπου, δι' ἐκείνου τοῦτο σημαίνων· καὶ παρέοικε[2] τῇ ἐμφάσει τοῦτο. Βουλόμενος γὰρ πάλιν εἰπεῖν ἃ ὁ Μειδίας ἔπραττεν ἀπὸ τοῦ ἀντικειμένου αὐτὰ ἐπὶ τὸν Ἰφικράτην εἶπεν· „οὐκ[3] ἐβάδιζεν ἐπὶ τὰς τῶν χρυσοχόων οἰκίας νύκτωρ, οὐδὲ κατεῤῥήγνυε τὰ παρεσκευασμένα ἱμάτια εἰς τὴν ἑορτὴν, οὐδὲ διέφθειρε διδάσκαλον, οὐδὲ χορὸν μανθάνειν ἐκώλυε.“ Ταῦτα γὰρ ἀπὸ[4] τοῦ ἀντικειμένου κατὰ τοῦ Μειδίου λέγει. Καὶ πάλιν· „οὐκ[5] ἐπὶ μὲν τοῖς ἑτέρων ἀγαθοῖς φαιδρὸς ἐγὼ καὶ γεγηθὼς κατὰ τὴν ἀγορὰν περιέρχομαι.“ Τοῦτο γάρ που λέγει ὅτι οὗτοι τοιαῦτα πράττουσι.[6]

## ιϛ'.

### ΠΕΡΙ ΤΟΥ ΠΑΡΑ ΠΡΟΣΔΟΚΙΑΝ.

ΠΑΡΑ ΠΡΟΣΔΟΚΙΑΝ δέ[1] ἐστιν, ὅταν, ἄλλο τοῦ ἀκροατοῦ προςδεχομένου, ἄλλα μετά τινος χάριτος ἐπενέγκῃ, οἷον· „τὰ μέντοι Φιλίππου[2] εὐεργετήματα τοι-

---

et Capperonn. reponebat. Scripsi σημαίνων pro σημαῖνον. habet ita Med. 2 Gal. Med. καὶ γὰρ ἔοικε — mox omittit ἃ et αὐτά. Pro ὁ Μειδίας Capperonn. legebat ὃ Μειδ. 3 Midian. c. XVIII. p. 34. Spald.; p. 534. 29. R. — Vat. παρασκευαζόμενα — Gal. Med. παρασκευασμένα, quod Fisch. correxit. 4 Vat. ἐκ — et mox κατὰ Μειδ. Med. οὐδὲ χορόν· μανθάνει γὰρ ταῦτα ἀπό. 5 De Coron. p. 332, 7. R. — ἐν pro ἐπὶ — ἐγὼ γεγ. — Gal. non καὶ γεγ. 6 Gal. Med. ὅτι ταῦτα πράττ. — Vat. οὗ τοιαῦτα πράττ. quod correxi.

1 Gal. παραπροσδοκία ἐστίν: textum dedi codd. — Gal. titul. περὶ παραπροσδοκίας. Par. π. παρὰ προσδοκίαν. Addidi articulum. [est in Med.] — Mox Gal. Med. ὅταν ἄλλον. Sed Par. et Vat. ἄλλο: Capperonn. quoque ἄλλο. 2 De Halon. p. 85. 15. R. — Vat. non μέντοι. Gal. Med. non αὐτοῖς.

τοιαῦτα ἔσται· οὔτε τὰ ὑμέτερα ὑμῖν αὐτοῖς ἀποδώσει, οὔτε ἐν τῇ οἰκουμένῃ αἱ τιμαὶ ἔσονται.“

ιζ.

ΠΕΡΙ ΑΥΤΟΣΧΕΔΙΟΥ.

ΑΥΤΟΣΧΕΔΙΟΝ δ' ἔστιν [1] ὅταν προσποιῆται ἄρτι νενοηκέναι, οἷον· „ὃ [2] τοίνυν μεταξὺ λέγων ἐνεθυμήθην.“ Καὶ πάλιν· „τουτὶ [3] γάρ αὖ μικροῦ με παρῆλθεν.“

ιη.

ΠΕΡΙ ΑΝΤΙΘΕΤΟΥ. [1]

ΑΝΤΙΘΕΤΟΝ δέ [2] ἐστι τὸ κατὰ διάνοιαν, οὗ καὶ Αἰσχίνης μέμνηται, τὸ τοῖς ἐπιβεβουλευμένοις λέγων.

---

1 Gal. Med. non δ' — mox Gal. προςποιεῖται ἄ. νενικηκέναι: quod correxi ex codd. Capperonnerius conjecerat νενοηκέναι, et Galeus verterat excogitasse. De τῷ αὐτοσχεδίῳ vide Spalding. ad Midian. p. 58. 2 Non inveni locum unde ista sumta sunt. Hunc memoriae meae lapsum redimam indicandis duobus aliis τοῦ αὐτοσχεδίου exemplis Demosthenicis: περὶ παραπρ. p. 414. 2. R. μικροῦ γε ἃ μαλιστά μ' ἔδει πρὸς ὑμᾶς εἰπεῖν παρῆλθον. Adv. Boeot. II. p. 1025. 12. ἀρτίως γὰρ καὶ τοῦτο ἀνεμνήσθην. 3 Midian. p. 550. 25. R.; c. 31. p. 59. Spald. — Gal. Med. τ. γ. ἂν μικροῦ παρελήλυθε. — Cf. Alex. Rh. I. 2. p. 18., Hermog. de Form. II. 7. p. 437.

1 Med. τοῦ ἀντιθέτου. 2 Gal. Med. non δέ. — Vat. τὸ κατ' ἔννοιαν. Infra s. 41. de antitheto elocutionis aget Tiberius. — Gal. μέμνηται. ὅτι τοῖς ἐπιβουλευομένοις γὰρ ὁ Δ. — Vaticani lectionem dedi. Locus est inquinatus. Capperonn. legebat: μέμνηται. βουλόμενος γὰρ ὁ Δ. — διαβάλλειν. — Vat. τὸ Αἰσχ. τὸ περί. Med. Gal. διεβάλλει (quod retinuit Fischerus) ἐξ. ἀντ. προέπιε (Capperonn. proponit προεῖπε) τὸ τοῦ Σ. Non aliter Par. nisi quod διαβάλλει habet. Exhibui lectionem Vaticani. — Codd. et edit. ὁ περὶ, quod mutavi in ὡς e con-

Βουλόμενος γὰρ ὁ Δημοσθένης τοῦ Αἰσχίνου τὸ περὶ τὴν Ὀλυνθίαν συμπόσιον μᾶλλον διαβάλλειν, ἐξ ἀντιθέτου εἶπε τὸ τοῦ Σατύρου, ὡς περὶ τὰς Ὀλυνθίας αἰχμαλώτους φιλάνθρωπος, διὰ τῆς κατὰ τὸν Σάτυρον ἐπιεικείας εἰς τὴν τοῦ Αἰσχίνου παροινίαν μᾶλλον παροξύνων τοὺς δικάζοντας.

## ιθ'.

### ΠΕΡΙ ΤΟΥ ΔΙΑΛΕΚΤΙΚΟΥ.

ΔΙΑΛΕΚΤΙΚΟΝ δέ [1] ἐστιν, ὃ μάλιστα ποιεῖ Δημοσθένης, ὅταν μὴ ἁπλῶς διεξίῃ τὸν λόγον, ἀλλὰ πρὸς πεῦσιν καὶ ἀπόκρισιν συλλογίζηται ἃ βούλεται, ὡς ἐν τῷ κατὰ Ἀνδροτίωνος. Ἠδύνατο μὲν εἰπεῖν· „οὗτος [2] ὑπὲρ ὑμῶν τὰς εἰσπράξεις οὐχ ὑπέστη, ὃς πολλοὺς πολλάκις μεῖζον τὴν πόλιν ἀδικήσαντας οὐκ ἔκρινεν·“ ὁ δὲ τῷ διαλεκτικῷ συνελογίσατο τρόπῳ· „πότερον [3] γάρ οἱ

---

jectura. Capperonn. conjecit ὃς ἦν περὶ, vel, τὸ φιλάνθρωπον. — Vat. περὶ τῆς Ὀλ. αἰχμαλώτου — μᾶλλον παρ. — Res narratur in τῷ περὶ παραπρ. p. 461. R.

1 Gal. non δὲ — mox συλλογιζόμενος. 2 Vat. οὕτως ὑ. ὧν τὰς πράξεις οὐχ ὑπ. ὡς π. π. μείζω. Med. Gal. ἀδικοῦντας. Scribendum forte ὧδε δέ. 3 Androtion. p. 613. R. Locus valde turbatus in Galeana et in codd. [addo lectionem Gal. et Med. πότε γάρ φησιν, οἱ τὰ τῆς πόλεως βλέποντες, οἱ τὰ ἑαυτῶν εἰσενεγκεῖν οὐ ἐδυνάμενοι φαίησαν ἐκείνους, τί ποτ' οὖν ὄντων τῶν πλειόνων εἶλεν, οἷς πολλοὶ — — — ὅτι ἐκείνους μὲν οὖν ἠδίκεις, ἀπὸ δὲ τῶν πραττομένων ὑφηροῦ. W.] Sumsi quod erat melius: sed conferenda omnino editio Demosthenica. Ceterum notanda in Gal. Med. et Par. mira varietas εἶλεν pro ἢ λ' ἐν. Oratoris editiones habent τριάκοντα, integris literis. Possem viginti adponere exempla aeque portentosorum σφαλμάτων, quibus oscitantes librarii quae describebant opera foedaverunt; duobus nunc tantum defungar. Lydus de Mensibus p. 9. ait

τὰ τῆς πόλεως κλέπτοντες ἢ οἱ τὰ ἑαυτῶν εἰσενεγκεῖν μὴ δυνάμενοι . . . . φαίη τις ἂν ἐκείνους. Τί ποτ᾽ οὖν ὄντων ἐτῶν πλειόνων ἢ λ᾽ ἐν οἷς πολλοὶ παρὰ τούτοις ἐπικέκρινται, οὐδενὸς τῶν πώποτε ἐξητάσθης κατήγορος; ὅτι ἐκείνοις μὲν συνηδίκεις, ἀπὸ δὲ τῶν εἰσπραττομένων ὑφῃροῦ.“ Καὶ ἐν τῷ πρὸς Λεπτίνην· „ὀμωμόκατε [4] γνώμῃ δικάσειν τῇ δικαιοτάτῃ. Τὸ τοίνυν τῆς γνώμης εἰς ἅπαντα ἀνενέγκατε τὸν νόμον. Ἆρα ὑμῖν δίκαιον εἶναι δοκεῖ τοὺς εὐεργέτας τιμᾷν τὰ δίκαια; τί δαί; ὁπόσα ἂν λάβῃ τις, δίκαιον ἔχειν; Δίκαιον. Ταῦτα τοίνυν αὐτοί τε ποιεῖτε, ἵνα εὐορκοῖτε. Ἃ γὰρ ἐνῆν ἁπλῶς εἰπεῖν, ταῦτα πυνθανόμενόν τινα καὶ ἀποκρινόμενον ποιῶν [5] μᾶλλον συνήγαγεν.

κ'.

### ΠΕΡΙ ΤΟΠΟΥ ΕΜΒΟΛΗΣ ΕΞ ΟΝΟΜΑΤΟΣ.

ΤΟΠΟΥ δὲ ΕΜΒΟΛΗ ΕΞ ΟΝΟΜΑΤΟΣ ἐστιν, [1]

---

trabeam sic dici ὡσανεὶ τρίβαφος· ἐκ τριῶν γὰρ ἀποτελεῖται χρωμάτων, πορφύρας, κόκκου καὶ τῆς λεγομένης ἰσάτιδος βρόντης, ἥτις ἐστὶν Ἄρεως. Tonitru posuit pro herba. Lego, ἰσάτιδος βοτάνης. Plutarchus de Superstit. s. 16. p. 64. Matth. οὐδὲ δεινὸν ἐν καιρῷ ποδῶν σκιᾶς πρὸς σελήνην ἀπαντησάσης. Sudant interpretes in explicando vel corrigendo ποδῶν, nec proficiunt hilum. Conjeci πώγων σκιᾶς quod verum esse omnino videtur. Locutio est poetica, quam potuit de more Plutarchus a poeta quodam mutuari, Aeschylo forte, vel Pindaro. Πώγων σκιᾶς est conus umbrae. Vide Albertium ad Hesychii Πώγων. 4 Leptin. s. 98. Wolf.; p. 492. 29. R. — Gal. Med. Λεπτίνην νόμῳ· μὴ νενομίκατε — Vat. δικάσαι — γνώμης ἴσα πάντα ἀν. τ. ν. παρ᾽ ὑμῖν δ. δοκεῖν τ. ε. τιμᾶν. δίκαιον δὲ τί ὁπόσα. [Med. τιμᾷν δίκαιον· τί δὲ, mox Gal. δίκαια ἔχειν. Med. δίκαιον W.] Gal. Med. λάβοι. — Gal. ποιῆται, quod Fischerus correxit. Med. ποιεῖται. P. ποιῆτε — Gal. Med. et P. εὐεργετῆτε. 5 Vat. non ποιῶν.

1 Gal. Med. non δέ — Vat. ἐστιν, ἐξ ὀνόμ.. ὅταν. Mox Gal.

ὅταν, ὄνομα ὑποθεὶς, ἐξ αὐτοῦ εἰσάγῃ τὸν τόπον, ὃ [2] πλεῖστον παρ' αὐτῷ καὶ κάλλιστον. Προθεὶς γὰρ τοῦτο· „οὐ δὴ [3] θαυμάζω τοῦτ' ἐγὼ, εἰ μηδὲν ποιοῦντες ἡμεῖς τοῦ πάντα ποιοῦντος ἃ δεῖ περιῆμεν," ἀπὸ τοῦ ῥήματος τόπον ἐποίησεν· „ἀλλ' ἐκεῖνο θαυμάζω, εἰ Λακεδαιμονίοις ποτὲ ὑπὲρ τῶν Ἑλληνικῶν δικαίων ἀντήρατε." Καὶ πάλιν προθείς· [4] „τὸν δὲ τειχισμὸν τοῦτον, ὃν σύ μοι διέσυρες, καὶ τὴν ταφρείαν ἀξίαν μὲν χάριτος καὶ ἐπαίνων κρίνω· πῶς γὰρ οὔ;" εἶτα [5] ἐκ τοῦ κατὰ τὸν τειχισμὸν ὀνόματος ἐπήνεγκεν· „οὐ λίθοις ἐτείχισα τὴν πόλιν, οὐδὲ πλίνθοις ἐγὼ, οὐδ' ἐπὶ τούτοις μέγιστον τῶν ἐμαυτοῦ φρονῶ· ἀλλ' ἐὰν τὸν ἐμὸν τειχισμὸν θέλῃς σκοπεῖν, εὑρήσεις ὅπλα καὶ πόλεις."

## κά.

## ΠΕΡΙ ΤΟΥ ΚΑΘΟΛΟΥ.

ΚΑΘΟΛΟΥ δέ [1] ἐστιν, ὅταν μὴ ἐπὶ τοῦ προκειμένου εἴπῃ τὸ νόημα ὃ βούλεται, ἀλλ' εἰς τὸ καθόλου ἀνενεγ-

---

et Par. ὑποθῆς: Fischerus ὑποθῇς. Vat. ὑποθέσει καὶ, ut videtur. Correxi, ut vides; et sic, ante me, Capperonnerium correxisse demum intelligo. legit ita Med. 2 ὡς πιστὸν παρ' α. κ. κ. Gal. et Med. W. 3 Olynth. II. p. 24, 27. R. — Gal. Med. et Par. προσθεὶς γὰρ, Τοῦτο δὲ θαυμάζω ἐγώ — Vat. ὃ δή. Mox Gal. εἰ καὶ Λακεδαιμ. ὑπέρ. 4 Gal. et Codd. προσθείς. — Med. προθείς. Qui sequitur locus est ex Orat. de Coron. p. 325, 18. R. — Vat. ὃν ἐμοῦ διέσυρες. — Med. ὃν σύ μου. — Gal. πρὸς τὴν ταφ. 5 Med. Gal. εἰ pro εἶτα. Capperonn. conjicit εἶτα, et Gale vertit, deinde. — Mox non τόν — non ἐγώ. — Vat. οὐδὲ τούτοις. — Gal. Med. ἀλλ' ἂν τὸν ἐμόν. — Pro θέλῃς, editiones Demosth. βούλει, male post ἐάν: legendum vel θέλῃς, vel βούλῃ. Post εἰ Psellus de Daemon. vel potius Pselli descriptor posuit βούλῃ: p. 5. εἴ τι βούλῃ scribendum: εἴ τι βούλει. Eodem mendo liberandus Julianus Epist. VIII. p. 377. B. 1 Gal. non δέ.

κῶν· οἷον οὐχ αὐτῷ [2] τοὺς δικαστὰς ᾐτήσατο ἐφεῖναι τάξιν ᾗ βούλεται χρήσασθαι, ἀλλὰ τὸ τοῦ ὅρκου φησὶ καὶ τοῦτο εἶναι [3] δίκαιον, „τὲ τῇ τάξει καὶ ἀπολογίᾳ ὡς βεβούληται τῶν ἀγωνιζομένων ἕκαστος, οὕτως ἐᾶσαι χρῆσθαι.“ Οὐ γὰρ ἴδιον πλεονέκτημα ᾔτησεν, ἀλλ' ἐβεβαίωσε κοινὸν δικαίωμα. [4] Καὶ ἔστιν ἐν τῷ σχήματι τούτῳ πολλάκις τὴν χρείαν τοῦ νοήματος τηροῦντα [5] τὸ προσκροῦον φυλάττεσθαι.

## κβ'

## ΠΕΡΙ ΟΡΚΟΥ.

ΟΡΚΟΣ δ' ἔστιν οὗτος· [1] φαίη δ' ἄν τις καὶ τὸ [2] ὅρκου σχῆμα εἶναι παρ' αὐτῷ. [3] Τὸ γὰρ, „οὐ μὰ τοὺς [4]

---

2 Gal. αὐτό. Med. αὐτῷ. — Vat. mox ἡγήσατο ἐκφῆναι — ἀλλὰ τοῦ — Verba τὸ τῇ τάξει et sequentia sunt ex initio Orationis de Corona. — Vat. ὡς τῶν ἀγωνιζ. ἕκαστον ἐᾶσαι. 3 Codd. Gal. ἐστί. In addendis εἶναι scribendum censet Bois. 4 Οὐ γὰρ — usque ad δικαίωμα non leguntur in Vat. — Gal. Med. καινὸν quod mutavi. Eadem ratione sanandus Onosander 42. s. 8. p. 127. οἱ γὰρ ὀξεῖς καιροὶ καινὴν γνώμην οὐκ ἐῶσι φανερὰν γίγνεσθαι. Legendum, κοινήν. Facilior est etiam, ob sonum similem, literarum η et οι permutatio. Apud Dionysium Halic. A. R. I. 16. p. 44, 9. pro τῆς κατὰ σφᾶς ἕκαστοι ἐπεχείρουν τοῖς ὁμόροις, legerem, τοῖς κ. σφ. . . . nempe τοῖς ὁμόροις τοῖς κατὰ σφᾶς. Apud Nonnum Dionys. VIII. 188. τῆς alio modo corruptum est: Τῆς δέμας ἶσον ἔχουσα. Lego, τῇ δ. Quam saepe σ et ι adscriptum librarii commutarint docet Schaeferus Meletem. p. 112. Proposita in Aristaeneti Epistola, l. 5. conjectura, ἀγνοίᾳ, pro ἀγνοίας, unice vera est. 5 Vat. τηρῆσαι, et reliquis caret.

1 Ὅρκος — οὗτος. Haec non habent Galeana, Par. et Med. 2 Gal. τοῦ: malim, τὸ τοῦ — 3 Cf. not. ad s. 6. 4 Coron. p. 297, 11. R. — Gal. Med. Μαρ. τελευτήσαντας — Gal.

ἐν Μαραθῶνι προκινδυνεύσαντας, καὶ τοὺς ἐν Πλαταιαῖς παραταξαμένους, καὶ τοὺς ἐπ' Ἀρτεμισίῳ ναυμαχήσαντας, καὶ ..." ὅρκος ἐστί. Τινὲς δέ φασι τοῦτο παράδειγμα εἶναι· „οὐ γὰρ ἡμάρτετε φησὶν ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας καὶ σωτηρίας κίνδυνον ἀράμενοι," ὥσπερ οὐδὲ οἱ ἐν Μαραθῶνι προκινδυνεύσαντες· καὶ γάρ ἐστιν ὅμοιον τῷ ὑπὲρ ἁπάντων ἐλευθερίας καὶ σωτηρίας κίνδυνον ἄρασθαι τὸ ἐν Μαραθῶνι προκινδυνεῦσαι. Τὸ μὲν οὖν πρᾶγμα παράδειγμα ἐποίησεν, ἀντὶ δὲ τοῦ εὐθέως [5] εἰπεῖν, ἐσχημάτισεν, πρός τε τὸ λαμπρὸν ἅμα καὶ τὸ ἀξιόπιστον εἰς ὅρκου φαντασίαν μεταβάλλων.

## κγ'.

ΤΟΣΑΥΤΑ [1] μὲν τὰ τῆς διανοίας σχήματα παρὰ Δημοσθένει κατενοήσαμεν, τὰ δὲ τῆς λέξεως ἐκ παραλλήλου καὶ ταῦτα [2] καταμάθωμεν, προειπόντες ᾗ διαφέρουσιν ἀλλήλων. Τούτῳ δὴ μάλιστα φαίη τις ἂν αὐτὰ διενηνοχέναι, [3] τῷ τὰ μὲν τῆς διανοίας σχήματα,

non *καί* ... Vat. *τινὲς δὲ αὐτὸ παρ. ε. φασιν.* — *οὐ γὰρ ἁμαρτητοί.* — Med. *ἡμάρτηται* — — *κίνδ. ἀραμένους.* — Gal. *οὐδ' ἐν Μαραθ.* — Vat. *ἁπ. ἐλευθερίας* — Gal. *ἁπ. σωτηρίας.* Nomen utrumque recepi. Gal. *σωτηρ. προκινδ. τὸ ἐν Μ. κίνδ. ἄρ.* 5 Vat. *εὐθέος*, quod probum est et forte melius. Phoebamm. l. I. p. 98. *τὰ γὰρ πλεῖστα (σχήματα) ἐκ τοῦ εὐθέος καὶ ἁπλοῦ σχηματίζεται.* — Gal. Med. non *πρός τε* — Vat. *καὶ ἀξιόπ.* — Gal. Med. *μεταβαλών.* „Exscripta haec a Tiberio esse ex Aristidis Artis Oratoriae libro primo *περὶ πολιτικοῦ λόγου* s. *ζ.* p. 170. et p. 172. animadvertit ad eum locum Norrmannus." Fischerus. Cf. T. II. p. 440. Jebbianae. Adde Hermog. de Form. II. 3. p. 394.

1 Hic incipit pars altera usquedum inedita. 2 *Καὶ ταῦτα* semel scripsi; librarius, calami lapsu, haec verba iteraverat. 3 Sic non dubius scripsi, pro codicis lectione *διενήνοχε καί.*

κἂν ὑπαλλάξῃ τις αὐτὰ τοῖς ῥήμασιν, ὁμοίως μένειν,[4] τὰ δὲ τῆς λέξεως σχήματα οὐχ οἷόν τε εἶναι φυλάττεσθαι ὑπαλλαττομένης τῆς λέξεως. Ἔστι δὲ ταῦτα· ἀλληγορία, μετάθεσις, ἀναστροφὴ, ἄλλη ἀναστροφὴ,[5] ἐπανάληψις,[6] παρονομασία, κλῖμαξ, ἐπαναφορὰ, ἀντιστροφὴ, ὑπερβατὸν, παρίσωσις,[7] πλεονασμὸς, περίφρασις, συζυγία, ἀπὸ κοινοῦ, μεταβολὴ, ὑποφορὰ, ἀσύνδετον, ἀντίθετον, ἔλλειψις, διατύπωσις, διασυρμὸς, ἐπάνοδος, ἀφαίρεσις, ἀλλοίωσις, καὶ παρεμβολή.[8]

κδʹ.

*ΑΛΛΗΓΟΡΙΑ* μὲν οὖν ἐστὶν ὅταν τῶν κυρίων τι ἑρμηνεύῃ τις[1] ἐν μεταφοραῖς τὸ κύριον σημαίνειν δυναμέναις· πλεῖστον δὲ καὶ ἐναργέστατον παρ᾽ αὐτῷ τὸ σχῆμα ἐπὶ τοῦ Μειδίου· „τὸ γὰρ[2] ἐπ᾽ ἐξουσίαις καὶ πλούτῳ εἶναι πονηρὸν, τεῖχός ἐστι πρὸς τὸ μηδὲν ἐξ ἐπιδρομῆς παθεῖν· ἐπεὶ περιαιρεθείς γε οὗτος τὰ ὄντα

---

4 Cod. μένει — Alexander Rhet. l. I. p. 6. ubi eadem tradit de hoc discrimine, μένει τὸ αὐτὸ σχῆμα. Vide Aquilam Rom. s. 20. 5 ἄλλη ἀναστροφὴ excidit in editione Boiss., sed addere jubet ex Vat. et Ven. in indice priore. 6 Vat. μετάληψις. sed legendum ἐπανάληψις, coll. c. 26. 7 Vat. ἀπίσωσις, sed legendum παρίσωσις coll. c. 33. 8 Figurarum elocutionis duplex est in codice index, ut supra monui s. 2.: alter hoc ipso loco, sed paulum turbatus, nec integer; alter ad calcem s. 2. integer et sanus: hunc descripsi, illo omisso. Ceterum textus cum indice non apte consentit: indicatae figurae non omnes explicantur, et de nonnullis agitur quae in indice non comparent. — Scripsi παρεμβολὴ, non παραβολὴ, quod exhibet codex. Cf. not. ad s. 48.

1 Cf. not. ad s. 12. et de παρ᾽ αὐτῷ quod sequitur, vide ad s. 6. — De ἀλληγορία Quintil. IX. 2. 46. 2 Midian. s. 28. p. 72. Spald.; p. 559, 24. R. — Forte, οἷον ἐπί. Cf. s. 20.

οὐδενός ἐστιν ἄξιος· νῦν δ' οἶμαι τοῦτο προβέβληται." Πάσας γὰρ ἐνταῦθα αἱρῆσαι[3] τὰς τοῦ τείχους εἰκόνας.

κέ.

ΑΝΑΣΤΡΟΦΗ[1] δέ ἐστι τὸ αὐτὸ καὶ ἐπαναδίπλωσις, ὅταν, ἔνθα πέπαυται τὸ πρῶτον κῶλον, ἐκεῖθεν ἄρχηται τὸ δεύτερον· οἷον· „οὐ γὰρ δὴ[2] Κτησιφῶντα μὲν δύναται διώκειν δι' ἐμὲ, ἐμὲ δὲ, εἴπερ ἐξελέγχειν ἐνόμιζεν, αὐτὸν οὐκ ἂν ἐγράψατο." Καὶ πάλιν· „δῆλον γὰρ[3] ὡς προκεχειρισμένων καὶ ἑτοίμων ὄντων τῶν ἀγαθῶν, ἐμέλλομεν ὑπ' ἐκείνου, τῆς εἰρήνης γινομένης· γινομένης δὲ τῆς εἰρήνης"…. Κάλλος τὸ σχῆμα ἐργάζε-

---

3 *Αἱρῆσαι.* sic cod. Forte *εὑρήσεις.* Verbum *αἱρέω* pariter locum alius occupat apud Theod. Prodromum in Notitiis Manuscriptorum t. 8. p. 87. *νῦν δ' ἀλλ' οὐκ οἶον δ' ὅπως ἡ νόσος αὕτη τῷ ταλαιπώρῳ ἐπεισῄρηκε βίῳ.* Conjicio legendum: *νῦν δ' ἀλλ' οὐκ οἶδ' ὅπως ἡ ν. α. τ. τ. ἐπεισεῤῥύηκε βίῳ.* Wagnerus, qui Alciphroni non multum profuit, eadem formula scripsit III. 62. *οὐκ οἶδ' ὅπως σιγήσομαι,* e conjectura Bergleri. Sed cui bono? cum vulgata, *οὐκ ἔσθ' ὅπως σιγήσομαι,* et graeca sit et ad sensum non inepta. Melius editoris munere functus fuisset si in eadem Epistola egregium locum de Poliagro, marito illo *κωμῳδουμένῳ,* illustrasset comparatione Plutarchi, qui, in De Aud. Poet. p. 52. Krebsianae, veteris Comici de hoc homine verba recitat. Miror locum Alciphronis fugisse Plutarchi interpretem egregium, nec innotuisse Perizonio ad Aelianum, apud quem H. V. v. 8. mentio fit Poliagri.

1 Hermogeni de Form. I. 12. p. 361. *ἐπαναστροφὴ* dicitur; et, quod Noster vocat *ἐπαναδίπλωσιν,* Alexander I. 13. et Aquila s. 32. anadiplosim nominant. Alexandro II. 2. est et alia species anadiploseos. 2 De Corona p. 229, 23. R. Hermogenes l. c. idem exemplum habet. 3 Halones. p. 85, 7. R. Textus ex editione Demosthenis supplendus.

*ται. Ἀναστροφὴ δὲ ἄλλη* [4] *ἐστὶν, ὅταν τὰ ὀνόματα μετὰ τῶν ὀνομάτων αὐτὰ ἀναστρέφηται. „Οὐ γὰρ* [5] *Αἰσχίνης δι' αὐτὴν εἰρήνην κρίνεται, οὐκ· ἀλλ' ἡ εἰρήνη δι' Αἰσχίνην διαβέβληται." Καὶ πάλιν· „ἐν δὲ τῷ προςγράψαι μηδὲ τὸ λοιπὸν ἐξεῖναι."* [6] *Πάντα γὰρ εἰς ταῦτα* [7] *ἀναστρέφεται.*

---

4 Est insuper alia *ἀναστροφῆς* species Phoebammoni l. 4. p. 110. memorata, qua nempe verba sede propria moventur: *ἀναστροφὴ δέ ἐστι λέξεως θέσις ἐν δευτέρᾳ τάξει, μηδενὸς ἀντιπίπτοντος, δέον αὐτὴν προηγεῖσθαι· οἷον· ὁ δεῖνα ἦλθεν ἐμοῦ μέτα.* Hoc anastrophes genus invenire sibi videbatur Pricaeus in illo Apuleianae Apologiae loco p. 14, 21. „Neque enim quidquam aliud in corporum forma diligendum, quam quod admoneat divinos animos ejus pulchritudinis, quam prius veram et sinceram inter Deos videre." Putabat quam prius esse pro priusquam. Equidem puto quam referendum esse ad pulchritudinis et videre esse pro viderunt. Apuleii vicinum locum p. 15, 9. simul attingam: „ideo hoc etiam peto, quod mihi ante crimina superest audias. ut adhuc fecisti, libenter et diligenter." Fatetur Pricaeus se quid hoc loco sit superesse, aut quo sensu dictum, ignorare plane. Caecutit in luce interpres eruditissimus. Superest sic intelligendum, ni ipse fallor: „quod superest dicendum priusquam ad ipsa crimina veniam: nam adhuc circa appendices versor." 5 *π. παραπρ.* p. 372. 13. R. 6 Locus est mutilus, nec ea ipsa, quae dantur, omnino sana. Sententiam integram lege in Leptin. p. 457, 15. R.; s. 2. Wolf. Ibi Ulpianus apte notat *περίοδον* esse *ἀναστρέφουσαν.* [Cod. Tiberii *προγράψαι.* scripsi *προςγράψαι*, secutus Schaeferum ad Leptin. W.]. 7 Forte *εἰς ἑαυτά.* Antiphanes Athenaei II. 7. de ebrietate et amore nulla arte celandis: *Ἀμφότερα μηνύει γὰρ ἀπὸ τῶν βλεμμάτων. Καὶ τῶν λόγων ταῦθ', ὥστε ....* Pro *ταῦθ'*, legerim *αὔθ'*, id est *αὐτά.* Corrigendus in eadem voce Themistius Orat. XXI. p. 243. B.

κϛ'.

ΕΠΑΝΑΛΗΨΙΣ δέ ἐστιν ὅταν τὸ αὐτὸ ὄνομα δὶς ἐν τῷ αὐτῷ καλῇ,[1] ἢ τῇ αὐτῇ περιόδῳ, κατὰ τοῦ αὐτοῦ σημείου τεταγμένου· οἷον· „οὐ μόνον[2] κρίνετε τούτους τήμερον, οὔ.“ Καὶ πάλιν· „καί τοι[3] φιλίαν καὶ ξενίαν αὐτὴν ὀνομάζει, καὶ νῦν εἶπέ που λέγων, ὁ τὴν Ἀλεξάνδρου ξενίαν ὀνειδίζων ἐμοί. Ἐγώ σοι φιλίαν Ἀλεξάνδρου; οὔτε Φιλίππου ξένον, οὔτε Ἀλεξάνδρου φίλον εἴποιμ' ἂν ἐγώ σε.“ Ἐνέργειαν τὸ σχῆμα ἐργάζεται. Τὴν μέντοι ἐπανάληψιν παλιλλογίαν κἀκεῖνος[4] ὀνομά-

---

ἐπεὶ τό γε ἀληθὲς οὐ ταυτὰ ἔχει. Melius codex Valesianus ταύτῃ. Et apud Plutarch. de Aud. Poet. p. 24. Krebs. malim ταυτὰ ποιοῦσι quam ταῦτα π.

1 De Epanalepsi cf. Hermog. Meth. c. 9.; Alex. Rh. I. 13. II. 2.; Rutil. Lup. I. 11. — Scripsi καλῇ pro καλεῖ, et post αὐτῷ credo deesse κώλῳ. Forte legendum, ἐν τῷ αὐτῷ κώλῳ ᾖ, ἢ τῇ . . . 2 Il. παραπρ. p. 413. 16. R. Cod. τούμερον. Potuisset ex hac ipsa oratione illustrius adferre exemplum: οὐ λέγειν εἴσω τὴν χεῖρα ἔχοντα, Αἰσχίνη, δεῖ, οὔ· ἀλλὰ πρεσβεύειν εἴσω τὴν χεῖρα ἔχοντα. [p. 421. 16.]. 3 Coron. p. 242. 17. R. 4 Nullus dubito quin pro κἀκεῖνος legendum sit Καικίλιος, rhetor insignis, quem Noster non semel infra nominabit. Scripserat Caecilius de Figuris, teste Quintiliano, cujus loca adtulit Toupius, de Caecilio omnino videndus ad Longin. s. 1. Alexander Rhet. II. 2. de anadiplosi: τοῦτο τὸ σχῆμα ὁ μὲν Καρκίνος παλιλλογίαν καλεῖ. Norrmannus pro Καρκίνος, reponi volebat Καικίλιος. Vides iterum nomen Caecilii depravatum; nam nullus dubito quin vera sit Norrmanni emendatio, delendumque Carcini nomen in Catalogo Rhetorum Fabriciano. Infra s. 34. κἀκεῖνος pro Καικίλιος iterum occurret. Inter κἀκεῖνος, vel κἀκεῖνος et Καικίλιος non multum interesse discriminis, ostendet ipsa utriusque vocis, majoribus literarum formis scriptae, delineatio: ΚΑΙΚΕΙΝΟΣ ΚΑΙΚΙ-

ζει, οἷον· „μιαρὸν, [5] μιαρὸν τὸ θηρίον καὶ πανηρὸν ὁ συκοφάντης·“ καὶ „ὦ τέκνα, τέκνα·“ [6] καὶ „ὦ γάμοι, γάμοι.“ Καὶ ὁ Δημοσθένης· „ἀλλ' [7] οὐκ ἔστιν, οὐκ ἔστιν ὅπως ἡμάρτετε, τὸν ὑπὲρ τῆς ἐλευθερίας κίνδυνον ἀράμενοι.“ Οἱ μὲν οὖν πολιτικοὶ κατ' ἀρχὰς χρῶνται ταῖς ἀναλήψεσι καὶ τῇ παλιλλογίᾳ, Ὅμηρος δὲ καὶ ἐπὶ τέλει [8] ἐχρήσατο εἰπών·

Τοῦ δ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν,
Εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ.

Ἐπήνεγκε γὰρ τοῦτο.

---

ΔΙΟΣ. Syllabae *ΚΕΙ* et *ΚΙ* eodem sono efferuntur, et notum est *Ν* et *Δ* saepissime commutari: vide Bastii Comm. Palaeogr. Ex hac observatione volo emendare Timarionem p. 196. ἐστὶ γὰρ τῷ ὄντι φοβερὰ τῷ τε μεγέθει καὶ τῷ βάρει καὶ τῷ λαστῷ τῆς σφυρηλατήσεως. In λαστῷ haesit vir egregius. Vox corrupta est. Lege ναστῷ. D. Chrysostomus de Educat. p. 36. Combef. παχείας καὶ ναστάς. 5 Credo Librarium hic nonnulla omisisse, sicque rescribendum esse hunc locum: „μιαρὸν, μιαρὸν τὸ θηρίον τοῦτο,“ καὶ πάλιν· „πονηρὸν, πονηρὸν ὁ συκοφάντης.“ prius exemplum est ex Orat. in Aristogiton. p. 788, 9.; posterius ex Coron. p. 307, 21. R. 6 Eurip. Heraclid. 48. Locus sq. est ex Soph. Oed. T. 1403. Elmsl. Apostolius XXI. 9. ὦ γάμοι, γάμοι, ἐπὶ τῶν δυστυχούντων. Pantinus reponendum arbitratur, ὦ γάμοι ἄγαμοι. Facile quis videt Pantinum errare. 6 Coron. p. 297. 8. R. In codice οὐκ ἔστιν semel tantum scriptum est, errore librarii manifesto, quippe tunc ἐπανάληψις nulla est. Eadem omissio apud Alexandrum, I. 13. in eodem exemplo fuit suppleta a Norrmanno. 8 Scripsi τέλει. Cod. τέλη. Anonymus de Barbarismo p. 194. ὅταν ῥῆμα ἐπὶ τέλει ἐμφαίνηται. — Locus est Il. υ. 371. et adfertur ab Alexandro l. c. Cod. εἰμὶ, quod mutavi. Cf. Heynii notam ad hunc Homeri locum. Hermogenes de Form. I. 12. p. 361. hic ἐπαναστροφὴν esse vult.

κζ.

ΠΑΡΟΝΟΜΑΣΙΑ δ' ἔστιν ὅταν, προειρημένου τοῦ κυρίου, παρονομάσῃ τις αὐτοῦ τὴν μεταφοράν· οἷον· „ἂν δ' ἀναλώσας [1] λάθῃ, συνανάλωσε καὶ τὸ μεμνῆσθαι τῇ τύχῃ τὴν χάριν·“ Καὶ πάλιν· „εἰ μὴ [2] τοὺς τὰ μηχανήματα ἐπιστήσοντας εἰρήνην ἄγειν φήσετε·“ εἶτα ἐπήγαγεν· „εἶτα τὸν τοῦτο τὸ μηχάνημα ἐπὶ τὴν πόλιν ἱστάντα.“ Τοῦτο μὲν οὖν τὸ σχῆμα τῆς ὀνομασίας βαρύτερόν τε καὶ λαμπρότερόν ἐστι· τὸ δ' ἄλλο εἶδος χαριέστερον, ὃ παρὰ γράμμα [3] γίνεται, ὡς ἐκεῖνο τὸ ἐπὶ τοῦ Διοπείθους· „μέλλει [4] πολιορκεῖν, τοὺς Ἑλ-

---

1 Olynth. I. p. 12, 11. R. 2 Philippic. III. p. 115, 7. R. Locus est mutilus, ex editionibus petendus. Scripsi εἰρήνην pro ἔφην, ut saltem aliquis esset sensus. Cf. Hermog. De Form. II. 5. p. 414. qui, de δριμύτητι agens, hoc exemplum adtulit. 3 Cod. παράγραμμα, quod dividendum fuit. Libanius in Declamatione pro Socrate quam edidit Morellius, vir celeberrimus, eodem mendo foedatur p. 204. ζῶσι μὲν ὁ παρὰ τῶν πλησιόνων φθόνος ἀνταγωνίζεται. Lege divisim, πλησίον ὤν, et malim etiam participium abesse, quod hic sapere glossema videtur. Anonymo Plutarchi De Aud. poet. extr. contrario modo subveniam, nempe coarctando divisas voces: ἡ βροτῶν τ' εὐπραξία Τῶν τὰ ἐλάχιστα γίνεται λυπουμένων. Credo poetam scripsisse, Τῶν τἀλάχιστα. Maximus Tyr. XXVI. extr. ὦ πάντων ἀνθρώπων ἀνοητότατε, νεκρὸν ἀνορύττεις· οὐ γὰρ ἂν ἔτλης θίγειν σαρκὸς ἄῤῥενος. Propono: σὺ γὰρ ἀνέτλης. Σὺ et οὐ non semel fuerunt permutata. Vide Morellium ad Libanii Declamationem modo laudatam. p. 219. et Bastium Comm. Palaeogr. p. 734. 4 Chersonn. p. 96, 22. R. — Cod. μέλλει γάρ — Editi non λέγω. Lectio Tiberiana multum habet vis, nec abhorret a stylo Demosthenis. Philipp. III. p. 129, 2. αὐτοὶ πρῶτον ἀμυνόμενοι καὶ παρασκευαζόμενοι τριήρεσι, καὶ χρήμασι, καὶ στρατιώταις λέγω. Et statim: ἐκπέμπωμεν πρέσβεις

ληνας ἐκδίδωσι· μέλει γάρ τινι τούτων τῶν τὴν Ἀσίαν οἰκούντων, Ἑλλήνων λέγω.“ Κἀκεῖνο δὲ παρονομασία τὸ παρὰ τῷ Θουκυδίδῃ· „ἀλλ᾽ ἢ [5] τούτους μεταπέμπειν δέον, ἢ ἄλλην μὴ ἐλάττω στρατιὰν ἐπιπέμπειν·“ καὶ πάλιν· „τί ἄλλο [6] ἐβούλευσαν οὗτοι, καὶ οὐκ ἀπέστησαν;“ καὶ παρὰ Δημοσθένει· „σύλλογοι [7] καὶ λόγοι παντοδαποί·“ καὶ πάλιν· „πρῶτον [8] μὲν Ἀμφίπολιν, πόλιν ὑμετέραν.“ Δοκεῖ δὲ τοῦτο τὸ τῆς παρονομασίας κάλλος ἐργάζεσθαι.

κή.

ΚΛΙΜΑΞ δέ ἐστιν ὅταν, εἰς πολλὰ κῶλα ἑνὸς ἐνθυμήματος διαιρουμένου, ἕκαστον κῶλον ἄρχηται ἀπὸ τοῦ ἐν τῷ προηγουμένῳ κώλῳ τελευταίου. Μετενήνεκται δὲ τὸ ὄνομα ἀπὸ τῶν ἀναβαινόντων τὰς κλίμακας. Ὥσπερ γὰρ ἐκείνοις τὰ τελευταῖα πρῶτα γίνεται κατὰ

---

πανταχοῦ, εἰς Πελοπόννησον, εἰς Ῥόδον, εἰς Χίον, ὡς Βασιλέα λέγω. In Timocrat. p. 701, 24. προσέκρουσ᾽ ἀνθρώπῳ πονηρῷ καὶ φιλαπεχθήμονι καὶ θεοῖς ἐχθρῷ, ᾧ τελευτῶσα ὅλη προσέκρουσεν ἡ πόλις· Ἀνδροτίωνα λέγω. Malim, cum Rufo in Τέχνῃ s. 23, legere Ἀνδροτίωνι λέγω. — [Etiam Schaefer. App. I. p. 509. Tiberii lectionem magni facit. W.]. 5 Thucyd. VII. 15. (idem exemplum apud Alexandrum I. cap. 1. W.) — Cod. ἄλλη μὴ ἐλ. στρατεῖαν. 6 Thucyd. III. 39: ubi: τί ἄλλο οὗτοι ἢ ἐπεβούλευσάν τε καὶ ἐπανέστησαν μᾶλλον ἢ ἀπέστησαν. Librarius qui Tiberium descripsit exemplum truncavit et paronomasiam sustulit quae est in ἐπανέστησαν et ἀπέστησαν. Et alibi παρονομάζειν non dedignatur historicus ille gravissimus. Vide exordium orationis Hermocratis ad Camarinaeos (VI. 76.) ubi lusus est in κατοικίσαι et ἐξοικίσαι, nec non in ἀξυνετωτέρου et κακοξυνετωτέρου. 7 π. παραπρ. p. 378, 24. R. Adfert quoque Alex. Rh. II. 20. ut exemplum paronomasiae. 8 π. παραπρ. p. 383, 23. R.

τὴν τῶν ποδῶν μετάθεσιν, οὕτω καὶ ἐν τῷ σχήματι τούτῳ τὰ τῶν πρώτων κώλων τελευταῖα τῶν ἐπιφερομένων ἀρχὴ γίνεται. Σαφέστερον δ' ἔσται τοῖς παραδείγμασιν· „οὐκ εἶπον [1] μὲν ταῦτα, οὐκ ἔγραψα δέ· οὐδὲ ἔγραψα μέν, οὐκ ἐπρέσβευσα δέ· οὐκ ἐπρέσβευσα μέν, οὐκ ἔπεισα δὲ Θηβαίους·“ καὶ τό. [2]

"Ηφαιστος μὲν δῶκε Διῒ Κρονίωνι ἄνακτι,
Αὐτὰρ ἄρα Ζεὺς δῶκε διακτόρῳ Ἀργειφόντῃ,
Ἑρμείας δὲ ἄναξ δῶκε Πέλοπι πληξίππῳ,
Αὐτὰρ ὁ αὖτε Πέλοψ δῶκ' Ἀτρεΐ ποιμένι λαῶν,
Ἀτρεὺς δὲ θνήσκων ἔλιπε πολύαρνι Θυέστῃ,
Αὐτὰρ ὁ αὖτε Θυέστ' Ἀγαμέμνονι λεῖπε φορῆναι.“

Τινὲς δὲ νομίζουσι τοῦτο τὸ σχῆμα τὸ αὐτὸ εἶναι τῇ ἀναδιπλώσει· ἠγνοήκασι δὲ ὅτι ἡ μὲν ἀναδίπλωσις ἐν δύο κώλοις γίνεται, ἡ δὲ κλῖμαξ ἐν πολλοῖς, καὶ ὅτι πλήθους ἔμφασιν ἐργάζεται.

## κθ'.

ΕΠΑΝΑΦΟΡΑ δέ ἐστιν ὅταν δύο καὶ πλειόνων κώλων κόμματα ἀπὸ τῆς αὐτῆς λέξεως ἄρχηται, οἷον· „ὅταν [1] ἐπὶ κόῤῥης, ὅταν κονδύλοις·“ καὶ πάλιν· „μέχρι [2] τούτου Τιμόλαος, ἕως ἀπώλεσε Θήβας· μέχρι τούτου Εὔδικος καὶ Σιμὸς οἱ Λαρισσαῖοι.“ Ἐνέργειαν τὸ

---

1 De Coron. p. 288, 7. R. — Insigne ascensus exemplum quod certatim adferunt Hermog. de Form. II. 12. p. 362. Alexand. II. 8. Phoebammon II. 5. p. 132., Aquila Rom. 40. qui vertit latine, ut et Quintil. IX. 3, 54. — Cod. τὰ pro ταῦτα et ἢ ἔγραψα. 2 Il. β. 102. — Citatur et ab Alex. et a Quintil. l. c.

1 Midian. p. 537, 29. R.; s. 21. p. 39. Spald. 2 De Coron. p. 241, 26. R. — Addidi ἕως. Cod. λαρικαῖοι — Hoc exemplo utuntur Hermog. de Form. I. 12. p. 359., Alexand. II. 3. Cf. Aquilam 20, 34.

σχῆμα καὶ λαμπρότητα ἐργάζεται. Κἀκεῖνο ἐπαναφορά· „τί οὖν,[3] ὦ ταλαίπωρε, συκοφαντεῖς; τί λόγους πλάττεις; τί σαυτὸν οὐκ ἐλλεβορίζεις ἐπὶ τούτοις;“ Καὶ πάλιν· „τίς οὖν[4] ὁ ταῦτα συγκατασκευάσας αὐτῷ; τίς ὁ τὰς προφάσεις ταύτας δούς;“ Καὶ ὁ Πλάτων ἐν Νόμοις· „ὅταν[5] σοί τι προσπίπτῃ τῶν τοιούτων πρᾶγμα, εἰ μὴ ἐπὶ τὰς ἀποδιαπομπήσεις, ἐπὶ ἀποτροπαίων ἱερὰ θεῶν ἱκέτης ἴθι, ἐπὶ τὰς τῶν λεγομένων ὑμῖν ἀνδρῶν συνουσίας.“ Καὶ παρὰ τῷ Ποιητῇ·[6]

„Ἐν δ' Ἔρις, ἐν δὲ Κυδοιμὸς ὁμίλεον, ἐν δ' ὀλοὸν Κήρ.“

Ἔστι δ' ὅτε διὰ μακροτέρων ἐπαναφέρεται τὸ αὐτὸ μόριον, οἷον· „ἡ γὰρ[7] ἐμὴ πολιτεία, ἧς οὗτος κατηγορεῖ, ἀντὶ μὲν τοῦ Θηβαίους μετὰ Φιλίππου εἰς τὴν Ἀττικὴν συνεμβαλεῖν, ὃ πάντες ᾤοντο, μεθ' ἡμῶν παραταξαμένους κωλύειν ἐκεῖνον ἐποίησεν· ἀντὶ δὲ τοῦ ἐν τῇ Ἀττικῇ γενέσθαι τὸν πόλεμον, ἑπτακόσια στάδια ἐπὶ τοῖς τῶν Βοιωτῶν ὁρίοις γενέσθαι· ἀντὶ δὲ τοῦ τοὺς λῃστὰς ἄγειν ἡμᾶς ἐπὶ τῆς Εὐβοίας, ἐν εἰρήνῃ τὴν Ἀττικὴν ἐκ τῆς θαλάττης εἶναι πάντα τὸν πόλεμον· ἀντὶ δὲ τοῦ τὸν Ἑλλήσποντον φίλον ἔχειν, λαβόντα τὸ Βυζάντιον, τοὺς Βυζαντίους πολεμεῖν μεθ' ἡμῶν πρὸς ἐκείνους ἐποίησε.“ Καὶ τοῦτο δὲ εἶδος ἐπαναφορᾶς· „καὶ μὴν[8] ὅτι πολλὰ μὲν ἀνέδωκε χρήματα Φιλιστείδης, ὥστε ἔχειν Ὠρεὸν, πολλὰ Κλείταρχος, ὥστε ἔχειν Ἐρετρίαν, πολλὰ δὲ Φίλιππος, ὥστε εἶναι ἐφ' ὑμᾶς αὐτῷ.“

3 De Coron. p. 268, 1. R. 4 De Coron. p. 280, 18. R. 5 Plat. Legg. IX. p. 854. B. — Cod. ἴσθι, quod mutavi: sed videndus textus editionum. 6 Il. Σ. 535. 7 De Coron. p. 304, 7. R. — Cod. παραταξαμένου — τούτους λῃστάς — τοῦτον Ἑλλήσπ. — Pro φίλον, Editi Φίλιππον, varietate notanda. Cf. Bast. Comm. Pal. p. 848. 8 De Coron. p. 252, 16. R. Cod. καὶ μὴ — ὡραῖον —.

*Καὶ τοῦτο πάλιν ἐπανοφορά· „ἐδίδασκες [9] γράμματα, ἐγὼ δὲ ἐφοίτων· ἐτέλεις, ἐγὼ δὲ ἐτελούμην· ἐγραμμάτευες, ἐγὼ δὲ ἐκκλησίαζον.“*

λ'.

*ΑΝΤΙΣΤΡΟΦΗ δέ ἐστιν ὅτ' ἀντικείμενον τῇ ἀναφορᾷ, ὅταν εἰς τὴν αὐτὴν λέξιν τὰ κῶλα πάντα ᾖ. [1] „Πράττεταί τι [2] τῶν μὲν ὑμῖν συμφέρειν δοκούντων; ἄφωνος Αἰσχίνης. Ἀντέκρουσέ τι καὶ γέγονεν οἷον οὐκ ἔδει; πάρεστιν Αἰσχίνης. Ὥσπερ τὰ ῥήγματα καὶ τὰ χάσματα...“ Ἐνέργειαν ἅμα καὶ σχῆμα ἐργάζεται. [3]*

λά.

*ΕΠΙΜΟΝΗ δέ ἐστιν ὅταν τις [1] πλείω ῥήματα ὀρθὰ ἀλλήλοις ἐπιβάλλῃ, ὡς ἐν τῷ ὑπὲρ Φορμίωνος πρὸς τὸν Ἀπολ-*

---

9 De Coron. p. 315, 7. R. — Adfert hoc exemplum quoque Alexand. II. 3.

1 Cod. *ὅταν τὶ κείμενον — καλά* — quae correxi. Hermog. de Form. I. 12. p. 360. *ἔτι κάλλους ποιητικὸν τὸ τοιοῦτον σχῆμα, ἡ ἀντιστροφή. Ἔστι δὲ τοῦτο* (Edit. *τοῦ* male.) *ἐναντίον πως τῇ ἐπαναφορᾷ, κατὰ τὸ τέλος ἐχόντων τῶν κώλων τὴν αὐτὴν λέξιν.* Aquila Rom. s. 35. „Antistrophe, conversio. Species hujus figurae contraria est superiori (nempe Epanaphorae), eo quod ibi ab eadem parte orationis saepius incipitur, hic in eandem partem desinitur.“ Praeterea pro *ᾖ*, velim *λήγῃ*, vel *ᾖ λήγοντα*. 2 De Coron. p. 294, 19. R. Cod. *πράττε τι — ἀφ' ὧν ὡς* — Hoc exemplo utitur quoque Hermog. l. c. 3 Forte legendum: *καὶ κάλλος τὸ σχῆμα ἐργ.*

1 Caput de *ἐπιμονῇ* adfertur a schol. Hermogenis. Locum invenies inter Testimonia s. IV. Editio Aldina non habet *τις*, quo pronomine facile carere possumus. Cf. not. ad s. 6. Alias lectionis varietates notavi ad Testimonia,

Ἀπολλόδωρον· „ἄγεις, ἐλαύνεις,[2] διώκεις, συκοφαντεῖς.“ Δήλωσιν τὸ σχῆμα ἔχει. Καὶ τὸ παρ᾽ Αἰσχίνῃ· ψῆφον[3] αἰτεῖ, ὅρκον αἰτεῖ, νόμον αἰτεῖ, δημοκρατείαν αἰτεῖ.“

λβ΄.

Τὸ δ᾽ ΥΠΕΡΒΑΤΟΝ διχῶς γίνεται, κατὰ παρένθεσιν[1] ἢ κατὰ ἀναστροφήν. Καὶ κατὰ ἀναστροφὴν μὲν, οἷον· „τὴν τοῦ διαπράξασθαι ταῦτα, ἃ μηδεὶς πώποτε ἄλλος βασιλεὺς Μακεδόνων, δόξαν ἀντὶ τοῦ ζῆν καλῶς ᾑρημένος.“ Ἔστι γὰρ „τὴν δόξαν τοῦ διαπράξασθαι“ Κατὰ παρένθεσιν δέ· „ἀλλ᾽ ἐπὶ[2] τοῦ Δεκελικοῦ πολέμου (ἓν γὰρ, ὃ πάντες ἐμοῦ μᾶλλον ἐπίστασθε, μὴ ὑπομνησθῶ) πολλῶν καὶ δεινῶν συμβάντων.“ Ἰσχὺν δὲ ἔχει καὶ[3] κάλλος ἐργάζεται τὸ σχῆμα.

λγ΄.

ΠΑΡΙΣΩΣΙΣ δὲ γίνεται μὲν καὶ κατὰ τὴν ἀρχὴν, οἷον· „ὅτε τοίνυν τοῦθ᾽ οὕτως ἔχει, προσήκει[1] προθύ-

---

l. c. 2 Phormion. p. 960, 14. R. 3 Ctesiph. p. 588, 1. R. — Cod. αἶτει.

1 Cod. παράθεσιν. Cf. not. ad Rufum. s. 29. — Hermog. de Form. I. 12. p. 363. καὶ τὸ ὑπερβατὸν δὲ, εἰ μὴ κατὰ παρένθεσιν γένοιτο, ἀλλὰ καθ᾽ ὑπέρθεσιν, κάλλος ποιεῖ. Quod Tiberius κατὰ ἀναστροφὴν dicit, Hermogenes καθ᾽ ὑπέρθεσιν vocat, et idem uterque exemplum adfert, τὴν τοῦ διαπράξασθαι, κ. τ. λ. quod est ex Olynth. II. p. 22, 19. R. 2 Androtion. p. 597, 26. R. 3 Addidi καί.

1 Parisosis est in repetitione syllabae προ, et Hermog. de Form. I. 12. p. 358. duo verba προσήκει προθύμως adfert, ut ostendat quid sint αἱ κατ᾽ ἀρχὰς παρισώσεις. Hoc exemplum, ut et sequens, ἐθέλειν ἀκούειν, reperire est Olynth. I.

μως·“ καὶ κατὰ τὸ τέλος, „ἐθέλειν ἀκούειν·“ κάλλος δὲ τὸ σχῆμα ἐργάζεται, ἐάν τις αὐτῷ ἀνεπαχθῶς χρῆται. Τῶν δὲ παρισώσεων τὸ μέν τι [2] ἐστὶν ὁμοιόπτωτον, τὸ δὲ ὁμοιοτελευταῖον. [3] Καὶ ὁμοιοτελευταῖον μὲν, οἷον τὸ Ἰσοκράτειον, οἷον· „καὶ [4] τοῦ μὲν ἐπίμονον καὶ ἐπικίνδυνον τὸν βίον ἐποίησε, τῆς δὲ περίβλεπτον καὶ περιμάχητον τὴν φύσιν κατέστησεν.“ Ἰσοσύλλαβόν ἐστι καὶ ὅμοιον τῷ τόνῳ καὶ τὸ παρ' Αἰσχίνῃ· „καὶ [5] οὐ τὸ δυστύχημα ὀνειδίζω, τὸν δὲ τρόπον ἐξετάζω.“ Ἐν γὰρ τούτοις μόνοις [6] ὁμοία ἡ τελευτὴ γέγονεν. Ὅταν δὲ εἰς ὄνομα λήγωσιν αἱ περίοδοι ἢ τὰ κῶλα, τὰ δ' ὀνόματα ἔχει τὰς πτώσεις ὁμοίας, τότε ὁμοιόπτωτον λέγεται, οἷον τὸ Ἰσοκράτειον· „ἴσως [7] ὑπὸ μὲν Ἀθηναίων καὶ Λακεδαιμονίων στρατηγουμένης, ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἀθροιζομένης, ἐπὶ δὲ τὴν τῶν βαρβάρων πονηρίαν πορευομένης.“

---

in ipso orationis initio. 2 *Τι* deletum malim, ut et statim alterum *οἷον*. 3 Haec figura, quae saepius *ὁμοιοτέλευτον* vocatur, plurimas in nostris libris lacunas peperit, quod notarunt Zeunius ad Xenoph. Symp. 14. 48. et Bastius non semel ad Gregorium Corinthium. Libanium obiter corrigam, T. IV. p. 140. *πόσα μὲν λέγει περὶ τῆς δεξαμενῆς! πόσα δὲ περὶ τῶν γυναικῶν! τίς ἦλθε; τίς ἄνευ παιδίων; τίς ἅμ' αὐτοῖς παιδίοις;* Codex Parisinus 3017. plenius: *τίς ἦλθε; τίς οὐκ ἦλθε; τίς ἄνευ* — Lacunas nonnullas in nonnullis scriptoribus e *παρισώσει* ortas supplevi ad Marinum, p. 101. 4 Helenae Encom. 9. — Pro *τοῦτο* scripsi *τοῦ*, et *τῆς* pro *τήν*. Scribendum et *ἐπίπονον*. 5 Ctesiph. p. 469. R. — Cod. *οὔτε δυστ.* — Hoc exemplum et quod praecessit adferuntur ab Alexandro II. 18. *περὶ ὁμοιοτελεύτου*. 6 Forte *μόνον*. — Mox scripsi *περίοδοι* pro *πάροδοι* codicis. 7 Panegyr. 50. — Scripsi *ὑπὲρ* pro *ὑπό*.

λδ'.

ΠΛΕΟΝΑΣΜΟΣ δέ ἐστι· „τί δεῖ [1] πράττειν καὶ ποιεῖν τὴν πόλιν;" Ἐνέργειαν τὸ σχῆμα ἔχει ἐν τῷ πυσματικῷ [2] τιθεμένην. Συνωνυμίαν [3] ὀνομάζει τὸ σχῆμα κἀκεῖνος [4] ὅταν κατὰ τοῦ αὐτοῦ πράγματος ἢ κατὰ τοῦ

---

1 Forte respicit Demosthen. Ctesiphont. p. 245, 26. R. δεῖ σκοπεῖν ὑμᾶς τί προσῆκον ἦν ἑλέσθαι πράττειν καὶ ποιεῖν τὴν πόλιν. 2 Num in interrogatione pleonasmi vis elucet omnino? Demosthenes quidem Orat. de Chersonn. p. 99, 8. R· τί ἐροῦμεν; ἢ τί φήσομεν; dixit: sed infinitus est sententiarum numerus cum pleonasmo absque interrogatione; et ipsa quae statim adferuntur exempla interrogatione carent. 3 De Synonymia Cf. Alexandr. Rhet. II. 6. Nunc apud Quintilianum IX. 3. Spaldingius reposuit συνωνυμίαν pro κοινωνίαν, non sine probabilitate quadam. Habet tamen κοινωνίαν quo se tueatur, ipsumque Aquilam quem Spaldingius invocavit. Aquila enim s. 38.: Synonymia, communio nominis. 4 Legendum puto Καικίλιος, ut supra: cf. not. ad s. 26. Mox non dubitavi λέξεις scribere pro μίξεις quod habet codex. Nec placet γεννηθῶσι. Memini loci cujusdam scholiastae Hermogenis, t. II. p. 415. ubi μίξει in mendo cubare videtur. Dicit Hermogenes de Form. II. p. 495. Dinarchum ἐμφαινόμενον ἔχειν πολύ τι τὸ Δημοσθενικὸν, διὰ τὸ τραχὺ καὶ γοργὸν καὶ σφοδρὸν, ὥστ' ἤδη τινὲς καὶ προσπαίζοντες αὐτὸν οὐκ ἀχαρίτως κρίθινον Δημοσθένην εἰρήκασι. Ad quae Scholiastes: κρίθινον τουτέστιν νόθον, οὐ σίτινον· οὐ γὰρ δεόντως χρῆται τῇ μίξει, κατὰ δὲ τὸ παρατυχὸν μᾶλλον· διὸ δὴ καὶ ἐπιπόλαιον μόνον ἔχει τὴν Δημοσθενικὴν ἀρετὴν καὶ οὐκ ἐφικνουμένην τοῦ βάθους. Pro μίξει forte legendum μιμήσει. Haec confusio literarum λ et μ, qua λέξις et μίξις invicem permutantur, et de qua Bastius egit in Comm. Palaeogr. p. 723. me ducit ad emendationem loci Plutarchei De Aud. Poet. p. 30. Krebs. ταῦτα γὰρ ἐκείνοις μέν ἐστιν ὑπεναντία, βελτίω δὲ ὅμως καὶ χρησιμώτερα. Adverbium ὅμως sententiam impedit, et abest ab aliquot li-

προκειμένου δύο λέξεις γενηθῶσι· τοῦτο δὲ πλεονασμὸν ὀνομάζει Ἀψίνης· „τότε δὴ καὶ κατὰ τὸν καιρὸν ἐκεῖνον·“ θάτερον γὰρ τούτων εἰπεῖν ἐξήρκει. Καὶ ὁ Δημοσθένης· „ἐφοβήθης ἂν .... αν οὐδεὶς ἥψατο.“ [5] Καὶ πάλιν ἐν τοῖς Φιλιππικοῖς· „καὶ γινώσκεται [6] μὲν ὑπὸ τῶν Κορινθίων καὶ παρ᾽ Ὀλυνθίοις πρότερον, οὐκ ἀγνοεῖται ὑπὸ Θετταλῶν.“ Κατὰ γὰρ τοῦ αὐτοῦ πράγματος τὰ αὐτὰ σημαινόμενα τέθειται.

λέ.

ΠΕΡΙΦΡΑΣΙΣ δ᾽ ἔστιν ὅταν τῆς ἁπλῆς καὶ εὐθείας γινομένης ἑρμηνείας εὐτελοῦς οὔσης, μεταβαλόντες, κόσμου ἕνεκα ἢ πάθους ἢ μεγαλοπρεπείας, ἄλλοις ὀνόμασι καὶ πλείοσι τῶν κυρίων καὶ ἀναγκαίων τὸ πρᾶγμα ἑρμηνεύσωμεν· οἷόν ἐστι τὸ Δημοσθενικόν· „ἠτίμωται [1] τῇ ῥύμῃ τῆς ὀργῆς τῇ Μειδίου.“ Τὸ γὰρ ἁπλοῦν ἦν „ἠτίμωται ὑπὸ Μειδίου·“ τὸ δὲ „τῇ ῥύμῃ τῆς

---

bris cum editis tum ineditis. Mutatione facillima si legatur ὅλως, nihil jam erit salebrosi. 5 Locum sic scriptum in codice facile restituet, qui fontem invenerit unde fuit a Tiberio haustus: equidem reperire non potui. 6 Ad Philippi Epist. p. 153, 7. R. Locus est, vel memoriae Tiberii lapsu, vel incuria describentis, male adfectus. Cf. Demosthenes ipse. Idem exemplum adfertur ab Alexandro II. 6. ad συνωνυμίας illustrationem. Ceterum possent et alia plurima pleonasmi exempla ex Demosthene adduci. Πλεονάζει Aeschines in Timarch. p. 44. R. ἐπειδὰν ... τοὺς νόμους γνῷ καὶ εἰδῇ. Sed Codex Coislinianus vocibus γνῷ καὶ caret, hocque adpictum habet scholium: εἰδῇ περισπωμένως ἀναγνωστέον ἀντὶ τοῦ ἐὰν γνῷ καὶ μάθῃ. Crediderim Aeschinem scripsisse tantum νόμους εἰδῇ, et e scholio marginali γνῷ καὶ irrepsisse.

1 s. 27. Spald.; p. 546, 29. R. — Quod exemplum adtulit, conferendus de Periphrasi Alexander II. 10.

ὀργῆς καὶ τῆς ὕβρεως" παρείληπται πάθους ἕνεκα καὶ ἀξιώματος. Ταῖς δὲ περιφράσεσι σπανίως χρῶνται οἱ πολιτικοί· πλεονάζει δὲ ἐν αὐταῖς ὁ Θουκυδίδης [2] καὶ ὁ Πλάτων, καὶ οἱ ποιηταί· [3] οἷον παρὰ μὲν Ὁμήρῳ, βίη Ἡρακλείη," ἀντὶ τοῦ „Ἡρακλέος," [4] καὶ, „ἱερὴ ἲς Τηλεμάχοιο," ἀντὶ τοῦ „Τηλέμαχος·" παρὰ δὲ Πλάτωνι, [5] „ὦ παῖ Κλεινίου," ἀντὶ τοῦ „Ἀλκιβιάδη·" παρὰ δὲ Θουκυδίδῃ, „καὶ [6] οἱ μὲν ὕπνον ᾑροῦντο," ἀντὶ τοῦ „ἐκάθευδον·" παρὰ δὲ Ἡροδότῳ, „ἐνέσκηψεν [7] ἡ θεὸς θήλειαν νόσον," ἀντὶ τοῦ „ἐποίησεν ἀνδρογύνους" ἢ κατεαγότας."

## λϛ'.

ΣΥΖΥΓΙΑ δ' ἔστιν ὅταν, δύο προθέσεις ἀντικείμεναι ἀλλήλαις, ἑκατέρᾳ τὸ προσῆκον ἐπενέγκῃ· [1] οἷον· „ὁ δῆμος [2] ὁ τῶν Ὠρειτῶν ἀντὶ τοῦ τούτῳ μὲν βοηθεῖν, τοὺς δ' ἀποτυμπανίσαι, τοῖς μὲν οὐκ ὠργίζετο, τὸν δ' ἐπιτήδειον ταῦτα παθεῖν ἔφασαν." Καὶ πάλιν· τὸ [3] τοίνυν ψήφισμα τουτὶ, τῷ μὲν ἡγουμένῳ τῶν Κερσοβλέπτου πραγμάτων ἀσφάλειαν διδὸν, τοῖς δὲ τῶν ἑτέ-

---

2 Et Alexander l. c., cum Thucydidis verba protulisset, addit: πολὺ δὲ τὸ σχῆμα παρὰ τῷ ἀνδρὶ τούτῳ. 3 Alexand. l. c., ἡ δὲ περίφρασις ἴδιόν μοι δοκεῖ σχῆμα εἶναι τῆς ποιήσεως· πολλὰ γὰρ τὰ περιπεφρασμένα παρ' ἐκείνοις. 4 Forte Ἡρακλῆς, ob sequentia. 5 Cod. Γλαύκωνι. — Verba quae sequuntur sunt ex Alcib. priore, in ipso statim initio. 6 Thucyd. II. 75. ὥστε .. τοὺς δὲ ὕπνον τε καὶ σῖτον αἱρεῖσθαι. Huc forte respexit Tiberius. 7 Herodot. I. 105.

1 Cod. ἑκατέρα, quod mutavi. Ἰῶτα quod hic deerat, abundat in loco Photii Biblioth. s. 166. p. 157, 46. ἐν Ἔρυκι, γενομένῃ πόλει Σικελίας, συλλαμβάνεται. Lego: ἐν Ἔρυκι γενομένη, πόλει Σ. συλ. 2 Philipp. III. p. 126, 16. R. 3 Aristocrat. p. 654, 21. R. — Cod. ψήφ. τούτῳ μέν.

ρων βασιλέων στρατηγοῖς φόβον καὶ δέος μή τινα αἰτίαν σχῶσι παριστὰν, τοὺς μὲν ἀσθενεῖς, τὸν δὲ ἰσχυρὸν καθίστησιν.“ Οὐ γὰρ ἑκάτερον καθ᾽ αὑτὸ, ἀλλὰ δι᾽ ἀμφοτέρων ὅλον κεχώρηκε. Κάλλος δὲ τὸ σχῆμα ἐργάζεται.

λζ.

ΤΟ δὲ ᾿ΑΠΟ ΚΟΙΝΟΥ οὕτως· „καὶ τῷ μὲν [1] Εὐβαίῳ τῷ τὸν Βοιωτὸν ἀποκτείναντι πολλὴν συγγνώμην ἔχω· δοκοῦσι δέ μοι καὶ τῶν δικασάντων τότε πολλοί.“ Ἀπὸ κοινοῦ „συγγνώμην ἔχειν.“ Εὐειδὲς τὸ σχῆμα. [2]

λή.

ΜΕΤΑΒΟΛΗ δ᾽ ἔστιν ὅταν μὴ τὰς πτώσεις μόνον ἀλλὰ καὶ τὰ ῥήματα μεταβάλλῃ· οἷον· „τίς [1] γὰρ συμμαχία, σοῦ πράξαντος, γέγονε τῇ πόλει; ποῖαι τριήρεις; ποῖοι νεώσοικοι; τίς ἐπισκευὴ τειχῶν; ποῖον ἱππικόν;“ Καὶ τοῦτο δὲ ὁμοίως γοργὸν καὶ εὐειδὲς τὸ σχῆμα.

λθ'.

ΥΠΟΦΟΡΑ δέ [1] ἐστιν ὅταν μὴ ἑξῆς προβαίνῃ ὁ

---

1 Midian. p. 538, 9. et 23. R. Edit. Spald. s. 21, 22. Nam locus nunc adlatus e duobus Demosthenicis conflatus est. Textus Demosthenis hominem hunc *Εὐαίωνα* vocat, ut infra s. 40. — Cod. non habebat *πολλοὶ*, quod addidi e Reiskiana, sensu omnino postulante. 2 Cod. habet aut habere videtur: *ἔχε. νεύει δέ.* Hinc feci quod vides: cf. s. seq. extr. et s. 40. — Ceterum de Figura cf. Ernesti Lexic. Techn. in *Κοινός*.

1 De Coron. p. 328, 27. R. — Cod. *ποῖα νεώς. οἷς ἧκον τις ἐπὶ σκευῇ* — idem exemplum adducit Alex. Rhetor. II. c. 16. sed plenius.

1 Cf. Rufum s. 39.

λόγος, ἀλλ' ὑποθείς τι, ἢ ὡς παρὰ τοῦ ἀντιδίκου, ἢ ὡς ἐκ τοῦ πράγματος, ἀποκρίνηται [2] πρὸς αὐτὸν, ὥσπερ δύο ἀντιλεγόμενα πρόσωπα μιμούμενος· οἷον· „ἐγὼ τοίνυν [3] λογίζομαι τίνων ὁ Φίλιππος πρῶτον γέγονε κύριος μετὰ τὴν εἰρήνην; Πυλῶν καὶ τῶν ἐν Φωκεῦσι πραγμάτων. Τί οὖν; Πῶς τούτοις ἐχρήσατο; Ἃ Θηβαίοις συμφέρει, καὶ οὐχ ἃ τῇ πόλει, προείλετο πράττειν. Τί δήποτ' ἄν; Ὅτι πρὸς πλεονεξίαν, οἶμαι, καὶ τὸ πάντα ὑφ' ἑαυτῷ ποιήσασθαι.“ . . Καὶ πάλιν. „Τί [4] ποιήσομεν, ἐὰν ἐπὶ Χεῤῥόνησον; Ἐπικρινοῦμεν Διοπείθην; Νὴ Δία. Καὶ τί τὰ πράγματα ἔσται βελτίω; Ἀλλ' ἐνθένδε βοηθήσωμεν αὐτοῖς; Ἂν δὲ ὑπὸ τῶν πνευμάτων μὴ δυνώμεθα; Ἀλλὰ μὰ Δία οὐχ ἥξει. Καὶ τίς ἐγγυητής ἐστι τούτου;“ Ἔχει δὲ τὸ [5] σχῆμα καὶ κάλλος καὶ ἐνέργειαν. Καὶ ὅταν εἴπῃ. [6] Ἐπέδωκα; Ἐπαινοῦμαι, οὐ, μὰ Δία, οὐκ ὧν, ὧν ἐπέδωκα, ὑπεύθυνος. Ἦρχον; Καὶ δέδωκά γε εὐθύνας ἐκείνων, οὐχ ὡς ἐπέδωκα, νὴ Δία. Ἀλλ' ἀδίκως, φησίν, ἦρξας. Εἶτα παρὼν ὅτε με εἰσήγαγον οἱ λογισταὶ, οὐ κατηγόρεις;“

## μ'.

*ΑΣΥΝΔΕΤΟΝ* [1] δέ ἐστιν, ᾧ πολλαχοῦ χρῆται ὁ

---

2 Cod. ἀποκρίνεται. — Et reponendum πρὸς αὐτὸ, et forte ἀντελεγχόμενα, vel ἀντιλέγοντα. 3 Philippic. II. p. 67, 9. R. — Cod. ὃ λογίζομαι — πρῶτος — προσείλετο — ὑφ' ἑαυτό. 4 Orat. de Chersonn. 94, 3. R. 5 τὸ Cod. om. Addidit Boiss. 6 Cod. εἴπῃς. Scripsi εἴπῃ, nempe Demosthenes. Cf. p. 38. n. 3. et p. 24. n. 2. Qui sequitur locus est ex Orat. de Coron. p. 266. 5. R. — Cod. οἴκουν pro οὐκ ὧν — κατηγορεῖς.

1 De hac figura cf. Alex. Rh. II. 12.; Quintil. IX. 3, 51.; Aquila Roman. s. 41. Jul. Rufinian. de Schem. Lex. s. 18.

Δημοσθένης, κατ᾽ ὄνομα, καὶ κατὰ κῶλον, καὶ ἐν τόπῳ. Κατ᾽ ὄνομα μέν. „Ἀμφίπολιν,[2] Πύδναν, Ποτίδαιαν, Ἁλόνησον·“ ἐξ ὧν πλήθους ἔμφασις γίνεται. Κατὰ κῶλον· „ἴσασιν Εὐαίωνα[3] πολλοὶ, τὸν Λαοδάμαντος ἀδελφόν·“ εἰειδὲς τὸ τοιοῦτο. Κατὰ κόμμα δέ· „ὅταν ἐπὶ κόῤῥης, ὅταν[4] κονδύλοις, ταῦτα κινεῖ, ταῦτα ἐξίστησι.“ Ταῦτα δείνωσιν ἔχει καὶ ἐνέργειαν. Καὶ τοῦτο ἀσυνδέτως· πολλὰ[5] ἂν εἰπεῖν ἔχοιεν Ὀλύνθιοι, ἃ τότε εἰ προείδοντο, οὐκ ἂν ἀπώλοντο· πολλὰ ἂν Ὠρεῖται, πολλὰ Φωκεῖς.“ Καὶ πάλιν, προθεὶς, ἀλλὰ τί[6] τοῦτο ὄφελος τῇ πόλει;“ πάλιν ἐπήγαγεν εἰς τὸ ἀσύνδετον· „ἕως ἂν σώζηται τὸ σκάφος, τότε χρὴ καὶ ναύτην καὶ κυβερνήτην καὶ πάντα ἄνδρα ἐφεξῆς προθύμους εἶναι.“ Λαμπρότητα δὲ καὶ φαντασίαν τοῦτο τὸ σχῆμα παρέχεται, ἄνευ συνδέσμων ἐλευθέρᾳ φωνῇ τοῦ λόγου προϊόντος ταῖς τῶν τόπων ἐμβολαῖς. Τῷ σχήματι κέχρηται, ἢ κατ᾽ ὄνομα εἰς πλῆθος, ἢ κατὰ κῶλον εἰς κάλλος, ἢ κατὰ κόμμα εἰς ἐνέργειαν, ἢ κατὰ τόπους εἰς λαμπρότητα. Κἀκεῖνο ἀσύνδετον· „ὁρῶ δὲ αὐτὸν τὸν[7]

---

2 De Corona p. 248, 3. R. Idem exemplum apud Alex. Rh. l. c. Similis est locus Olynth. I. p. 11. 17. R. ἡνίκα Πύδνα, Ποτίδαια, Μεθώνη, Παγασαὶ, τἄλλα .... ubi haec ἐν τάχει καὶ ἄνευ συνδέσμου scripta esse notat Ulpianus. Cf. De Corona p. 252, 9. 3 Midian. p. 537, 20. R.; s. 21. Spald. 4 Midian. ibid. — Locum adponere longiorem potuisset Tiberius; nam non in his tantum quae descripsit ἀσύνδετος est et solutus. 5 Philippic. III. p. 128, 17. R. 6 Ibid. — Ut in adlatis verbis inveniatur τὸ ἀσύνδετον, forte legendum: χρὴ ναύτην, κυβερνήτην, πάντα ἄνδρα. — Et πάλιν semel tantum erat scribendum. 7 De Corona p. 247, 9. R. — Ceterum nihil in hoc exemplo ἀσυνδέτου video; nam particula δὲ membra ligat. Non abs re erit Anaxandridem Athenaei l. 62. ἀσυνδέτῳ liberare, quod in ejus versus inopportune invexerunt

Φίλιππον, πρὸς ὃν ἡμῖν ὁ ἀγὼν, τὸν ὀφθαλμὸν ἐκκεκομμένον, τὴν δὲ κλεῖν κατεαγότα, τὴν δὲ χεῖρα καὶ τὸ σκέλος πεπηρωμένον.“

μά.

ΤΟ δὲ ΑΝΤΙΘΕΤΟΝ ἄνω μὲν εἴρηται [1] τὸ τῆς διανοίας, τὸ δὲ τῆς λέξεως διχῶς γίνεται· ἢ κατὰ κῶλον, ἢ κατὰ λέξιν. Κατὰ κῶλον μέν· „παρὰ [2] τὰς τῶν χορηγῶν δαπάνας μικρὸν ἡμέρας μέρος ἡ χάρις τοῖς θεωμένοις ἐστὶ, παρὰ δὲ τὰς εἰς τὸν πόλεμον παρασκευῶν ἀφθονίας πάντα τὸν χρόνον ἡ σωτηρία πάσῃ τῇ πόλει.“ Ἀντίκειται γὰρ τοῖς κώλοις ἡ ἑρμηνεία. Τὸ δὲ κατὰ λέξιν· „ἐδίδασκες [3] γὰρ γράμματα, ἐγὼ δ᾽ ἐφοίτων· ἐτέ-

---

librarii: ἐὰν λούσησθε νῦν, Ῥάφανόν τε πολλὴν ἐντράγητε, παύσετε Τὸ βάρος, διασκεδᾶτε τὸ προσὸν νῦν νέφος Ἐπὶ τοῦ μετώπου. Quis non offendet ad παύσετε, διασκεδᾶτε? Lego: Ῥάφανόν τε πολλὴν ἐντράγητ᾽, ἔπαυσέ τε Τὸ βάρος, διασκεδᾷ τε τὸ πρ. — Ἔπαυσε, ῥάφανος nempe. — Vel mutaverim tantum διασκεδᾶτε in διασκεδᾷ τε, nempe ῥάφανος. Quam tollo Anaxandridi figuram, dabo Gorgiae. Sic legitur Gorgias Helen. Encom. p. 95. Reiskianae, p. 129, A. Stephaninae quam Reiskius non novit: αἱ γὰρ ἔνθεοι διὰ λόγων ἡδοναὶ, ἐπαγωγοὶ μὲν ἡδονῆς, ἀπαγωγοὶ δὲ λύπης γίνονται. Codex Vatic. 88. caret voculis μὲν et δὲ, quibus sublatis locus fit ἀσύνδετος. Facile crediderim hanc elegantiam ab hoc Sophista fuisse quaesitam. Gorgiae editionem Stephaninam nec ipse noveram, cum ad Philostr. p. 472. Gorgiam lacunosum supplebam et corruptum emendabam ad Marin. p. 71. Loca illa duo, quae ibi correxi, inemendata quidem sunt in Aldina, et in Reiskiana qua tum utebar, sed sana omnino in Stephanina quae nunc est ad manus.

1 Supra s. 18. 2 Leptin. p. 465, 5. R.; s. 22. p. 31. Wolf. — Cod. ἔτι non ἐστί. 3 De Coron. p. 315, 7. R. —

λεις, ἐγὼ δὲ ἐτελούμην· ἐγραμμάτευες, ἐγὼ δ' ἐθεώρουν· ἐξέπιπτες, ἐγὼ δ' ἐσύριττον.“ Ἐνέργειαν δὲ καὶ κάλλος ἅμα τὸ σχῆμα ἔχει.

## μβ'.

ΕΛΛΕΙΨΙΣ δέ ἐστιν ὅταν ὁ λέγων ἐλλείπῃ λέξιν ἣν παρ' αὐτοῦ [1] ἔδει προσθεῖναι τῷ νοήματι· οἷον· „θέαμα [2] δεινὸν καὶ ἐλεεινόν·“ ἐλλείπει γὰρ τὸ „ἐστί.“ Κἀκεῖνο δὲ ἔλλειψις· „πρῶτον [3] μὲν, ὦ Ἀθηναῖοι, τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις·“ ἐλλείπει γὰρ „ταῖς θεαῖς.“ Καὶ πάλιν· „ὥσπερ [4] ἄν τις ἰατρὸς ἀσθενοῦσι μὲν τοῖς κάμνουσιν εἰσιὼν μὴ λέγοι μηδὲ δεικνύοι δι' ὧν ἀποφεύξονται τὴν νόσον, ἐπειδὰν δὲ τελευτήσειέ τις αὐτῶν καὶ τὰ νομιζόμενα ἐπ' αὐτῷ φέροιτο, ἀκολουθῶν ἐπὶ τὸ μνῆμα διεξίοι, εἰ τὸ καὶ τὸ ἐποίησεν ἄνθρωπος, οὐκ ἂν ἀπέθανεν. Ἐμβρόντητε, εἶτα νῦν λέγεις;“ Καὶ πάλιν· „εἶπον [5] τοίνυν ὡς μὲν ὑπαρχόντων Θηβαίων

---

Et hoc adfert exemplum ἀντιθέσεως Alex. Rh. II. 21. Cf. Aquil. Roman. s. 22.; Rutil. Lup. II. 16.; Jul. Rufinian. de Schem. Lex. s. 11. — Theodorus Prodromus in Notitiis Manuscriptorum T. 8. Part. 2. p. 86. hinc videtur colorem sumsisse: διδασκάλων προσεφοίτησα τοῖς ἀρίστοις, γραμματικὴν προὐτελέσθην, ῥητορείαν ἐξεμυήθην.

1 Forte παραυτά: vel παρ' αὐτοῦ ἔδει προστεθῆναι. 2 Π. παραπρ, p. 361, 19. R. 3 Initium Orat. de Corona. 4 De Corona, p. 307, 28. R. 5 De Corona, p. 286, 8. R. — Inde patet φίλων, quod nunc legitur in edito Oratoris textu, esse glossema. Non semel τῷ ὑπάρχειν sic absolute posito utitur Demosthenes. Taylorus errabat, cum in his π. παρ. verbis p. 358. 7. τὸν Φίλιππον ὑπάρχειν αὐτοῖς, inserere vellet φίλον post Φίλιππον. Cf. Wyttenb. ad Sel. Hist. p. 381. Obiter glossemate Hermiam liberabo Irris. Gent. s. 7. τὸ πᾶν ἐστὶν ἀὴρ, καὶ οὗτος πυκνούμενος καὶ συνιστάμενος ὕδωρ καὶ ἀὴρ

Φιλίππῳ λίαν θορυβουμένων·“ ἐλλείπει γὰρ τὸ „φίλων καὶ συμμάχων.“

μγ΄.

Τὴν δὲ ΔΙΑΤΥΠΩΣΙΝ [1] παρῆκεν Ἀψίνης, Καικίλιος δὲ ἔθηκεν ἐν τοῖς τῆς διανοίας σχήμασιν. Ἡ δὲ διατύπωσις ὁτὲ μὲν [2] ὑπομιμνήσκει τῶν γεγενημένων

---

γίνεται. Haec duo verba καὶ ἀὴρ valde torserunt interpretes, quos miror non animadvertisse delenda esse et legendum ὕδωρ γίνεται. Ad καὶ οὗτος glossator adcripserat καὶ ἀήρ, et scholium in textum irrepsit. Simili morbo Paterculus laborare videtur II. 7. — „Factum Opimii, quod inimicitiarum quaesita erat ultio, minor sequuta auctoritas: et visa ultio privato odio magis quam publicae vindictae data.“ Ingrata vocis ultio repetitio merito displicuit doctis interpretibus; sed locum non feliciter tentaverunt. Equidem, nescio an felicius, conjicio ultio post visa esse glossema, delendumque. Glossator metuebat ne quis visa referret ad auctoritas, et adposito ultio, errori cavebat; sed ipsa sedulitas auctori nocuit, et glossema textum invasit.

1 De hac figura, praeter Ernestium in Lex. Technol., cf. Schol. Demosth. T. 2. p. 156. R. qui διατυπώσεως exemplum esse ait, θέαμα δεινὸν κ. τ. λ. in π. παρ. oratione p. 361, 19. Vide Aquil. Rom. s. 13.; Hermog. de Invent. III. 14. p. 180.; Quintilian. IX. 2. 40. 41. ubi fere miror διατύπωσιν et ὑποτύπωσιν legi; etsi non sim nescius has figuras, ob ipsarum similitudinem, facile confundi posse, et διατύπωσιν alios vocare, quod alii vocant ὑποτύπωσιν. Cf. Schol. Pind. Pyth. I. 10. 17.; Ursin. ad Virgil. Ecl. I. 29. 2 Cod. ὅτε μέν. Pro ὁτὲ δέ, quod erat opponendum, Tiberius dedit, variata formula, καὶ πάλιν. Apud Demosthenem Philipp. III. p. 117, 3. καὶ πάλιν, non τοῦτο δέ, ponitur post τοῦτο μέν. — Alex. Rh. I. 24. in Διατυπώσεως definitione: ὅταν . . . τὰ ἐνεργήματα καὶ τὰ πάθη . . . διατιθώμεθα: quod vocem ἐνεργειῶν illustrat.

ἐνεργειῶν καὶ ἑκάστων ἐξαριθμουμένων τῶν μερῶν· „ἀλλὰ μὴν [3] τὸν τῇ πόλει συσταθέντα τότε θόρυβον ἴστε μὲν ἅπαντες, μικρὰ δὲ ἀκούσατέ μου τὰ ἀναγκαιότατα. Ἑσπέρα μὲν γὰρ ἤδη," καὶ τὰ ἑξῆς. Καὶ πάλιν ἡ διατύπωσις ἐπὶ τὴν θέαν ἄγει τῶν οὐχ ἑωραμένων, ὡς παρ' Αἰσχίνῃ [4] πολλὰ ἂν εὕροι τις. Τρίτος ὅρος διατυπώσεως, ὅταν τὰ μὴ γεγονότα διατυποίμενοι εἰσάγωμεν καθ' ὑπόθεσιν· οἷον· „τί ἂν ἐγένετο, καὶ τί ἂν ἐπράχθη, ὡς δεινὰ καὶ φοβερά."

μδ'.

Τὸ δὲ ΔΙΑΣΥΡΜΟΥ σχῆμα [1] παρῆκεν Ἀψίνης, Καικίλιος δὲ αὐτὸ ἐνέθηκε. Τοῦτο δέ ἐστι τὰ μεγάλα μικρὰ ποιῆσαι καὶ ἐξευτελίσαι, οἷον· „ἀλλ' ἐν [2] τοῖν δυοῖν ὀβολοῖν ἐθεώρουν ἂν εἰ μὴ τοῦτο ἐγράφη." Καί· „πάνυ γε· οὐ γὰρ [3] παρὰ τοῦτο εὐχερῆ γέγονε τὰ τῶν Ἑλλήνων πράγματα, εἰ τουτὶ τὸ ῥῆμα ἀλλὰ μὴ τοῦτο διελέχθην ἐγώ, ἢ δευρὶ τὴν χεῖρα ἀλλὰ μὴ δευρὶ παρήνεγκα."

μέ.

Τὸ δὲ σχῆμα τῆς [1] ΕΠΑΝΟΔΟΥ ἐστὶ παρὰ τῷ

3 De Corona p. 284, 18. R. 4 Alex. Rh. l. c. adfert ex Aeschinis Ctesiphontea exemplum, *γίνεσθέ μοι μικρὸν χρόνον κ. τ. λ.* p. 540. R.

1 Cf. Alex. Rh. I. 26.; Phoebamm. II. 4. p. 128.; Aquila s. 15.; Jul. Rufinian. de Fig. Sent. s. 5.; Ernesti Lex. Technol. 2 De Corona p. 234, 24. R. 3 De Corona p. 305, 2. R.

1 De Epanodo cf. Alex. Rh. II. 7.; Phoebamm. I. 3. p. 106. In Rutilii I. capite 6. Epanodi exempla vident viri docti. Adde Gregor. Cor. ad Hermog. Meth. c. 9. p. 905. T. 8. Orat. Gr. Reiske; Ernesti Lex. Techn.

Καικιλίῳ. Γίνεται δὲ αὕτη ὅταν ὀνόματα δύο καὶ ῥῆμα προθέντες ἐπανίωμεν ἐπ' αὐτὰ καὶ ἐξηγώμεθα αὐτὰ, ὡς μήπω νοουμένου τοῦ λεχθέντος· οἷον εἴ τις λέγοι, ὅτι Νικίας καὶ Ἀλκιβιάδης ἐπὶ Σικελίας τὴν στρατείαν διέφθειραν, εἶτα ἐπανιὼν ἐπ' αὐτὰ λέγοι, „Ἀλκιβιάδης μὲν εὐτελῆ τὸν πόλεμον καταλιπὼν, Νικίας δὲ ἀργὸν στρατηγήσας." [2] Χρῆται δὲ ἐπανόδῳ καὶ Θουκυδίδης ὁσάκις ἂν εἰς ἀσάφειαν ἐκ τῶν ὑπερβατῶν ἐκπίπτῃ.

## μϛ'.

Καὶ τὸ τῆς ΑΦΑΙΡΕΣΕΩΣ σχῆμα ὁ Καικίλιος εἰσάγει. Λέξεως γὰρ ἀφαίρεσιν τοῦτό φησι καὶ λέγει κεῖσθαι παρὰ τῷ Θουκυδίδῃ· „φθείρατε [1] γὰρ ἄνδρες Ἀθηναῖοι" ἐφθαρμένοι εἰσὶ „ἐτεταχα" ὧ πεποίηνται καὶ εἴρηνται.

## μζ'.

Καὶ τὸ τῆς ΑΛΛΟΙΩΣΕΩΣ σχῆμα εἰσάγει [1] ὁ Καικίλιος, καί φησιν αὐτὴν γίνεσθαι κατ' ὄνομα, καὶ

---

2 Legendum puto *ἀργῶς*, ut est ap. Gregor. qui idem habet exemplum, nonnihil immutatum.

1 Codicis scripturam fideliter exhibui. Videtur Caecilius indicare voluisse locum Thucydidis ex Oratione Mitylenaeorum (III. 13.) sic editum: *νόσῳ τε γὰρ ἐφθάραται Ἀθηναῖοι, καὶ χρημάτων δαπάνῃ· νῆές τε αὐτοῖς, αἱ μὲν περὶ τὴν ὑμετέραν εἰσὶν, αἱ δ' ἐφ' ἡμῖν τετάχαται.* Verba *ἐφθαρμένοι εἰσὶν* erant a Caecilio adposita, ut glossema formae *ἐφθάραται*. Ex ultimis *πεποίηνται καὶ εἴρηνται* patet Caecilium, vel Tiberium, cum formis Jonicis et Atticis in *αται* contulisse formas vulgares; sed librarius locum misere corrupit et truncavit.

1 Cf. Alex. Rh. II. 14. Rutilius Lupus II. 2. de alia alloeosi tractat. Cf. Ernesti Lexic.

*πτώσεις, καὶ ἀριθμοὺς, καὶ πρόσωπα, καὶ χρόνους. Καὶ ὀνόματα μὲν ἀλλοιοῦσιν ἀντὶ τοῦ ἄῤῥενος τὸ θῆλυ ἢ τὸ οὐδέτερον παραλαμβάνοντες, ἢ τῷ ἄῤῥενι ἀντ᾽ ἀμφοῖν χρώμενοι, κατὰ τὸ πληθυντικὸν, οἷον παρὰ μὲν Θουκυδίδῃ, „πᾶσα γὰρ ἡ[2] Ἑλλὰς ἐσιδηροφόρει,“ ἀντὶ „τῶν Ἑλλήνων·“ καὶ· „τὸ φιλότιμον[3] ἀγήρω μόνον,“ ἀντὶ τοῦ „ἡ φιλοτιμία·“ οὐδέτερον γὰρ μετείληφεν ἀντὶ τοῦ θήλεος. Περὶ[4] δὲ τοὺς ἀριθμοὺς ἀλλοίωσις, ὡς παρ᾽ Εὐπόλιδι ἐν Δήμοις.[5]*

*„Ἅπασα γὰρ ποθουμένη κλεινὴ πόλις,“*

*καὶ παρὰ Δημοσθένει, „ὑμεῖς[6] ὦ βουλή.“ Κατὰ δὲ τὰ πρόσωπα[7] ἀλλοιώσεις, ὡς παρ᾽ αὐτῷ· τοῖς γὰρ δικασταῖς διαλεγόμενος μετατίθησιν ἑαυτὸν ἐπὶ τὸν ἀντίδικον, ὡς· „ὦ μιαρώτατε πάντων[8] κεκλεισμένης σοι τῆς παῤῥησίας.“ Καὶ πάλιν ἀπὸ τοῦ ἀντιδίκου[9] μετάγει ἐπὶ τοὺς δικαστὰς, λέγων, οἷον· „τῶν ἀνδρῶν[10]*

---

2 Thucyd. I. 6. Quod exemplum habet et Alex. l. c. 3 Thucyd. II. 44. et hoc apud Alexandrum. 4 Cod. *παρά*. Schaef. Appar. ad Dem. T. I. p. 306. conjicit *περί*. W. 5 Noti sunt Eupolidis Demi: sed an hic versus jam fuerit ab edito autore prolatus ignoro. Locus non est integer: nam nunc ubi est *ἀλλοίωσις*? nisi forte legendum, *ποθούμενοι*. 6 Haec ipsa, quorum sedes me latet, oratoris verba adfert Herodianus π. Σχημ. t. 2. p. 88. Anecdot. Villois. de modo agens quo *ἐν ἀριθμοῖς σχήματα κατόρθωται*: lege *κατορθοῦται*. Gregorius Cor. Dial. Attic. s. 15. hujus figurae exemplum allegat verba Demosthenis, *ὑμεῖς δ᾽ ὁ δῆμος* . . . quae sunt ex Olynth. III. p. 37, 12. R. Ceterum vide quae de numeri mutatione notata sunt ad Gregorium. 7 De mutatione personarum cf. Wolfium ad Leptin. s. 123. p. 365. 8 Aristogit. I. p. 778, 10. R. 9 Cod. *ἀδίκου*, quod mutavi, sensu jubente. Haec verba permutata vidimus s. 13. 10 De Coron. p. 329, 27. R. — Cod. *μεμνῆσθαι*. — In *λέγων, οἷον·*

τῶν ἀγαθῶν μέμνησαι, καὶ καλῶς ποιεῖς· οὐ μέντοι δικαιόν ἐστιν, ὦ Ἀθηναῖοι“ ... Καὶ παρ' Εὐριπίδῃ·[11]

„Φεύγεις ἀποστραφείς με· τὰ δ' Ἀγαμέμνονος
Φροῦδα·“

---

credo alterutrum abundare et esse delendum. 11 Orest. 720. Matth. — Cod. ἄρ' ἦσθ' — Hae syllabae me ducunt ad locum non omnino sanum Theodori Prodromi in Notitiis Manuscriptorum t. 8. part. 2. p. 82. Βροῦτον γὰρ, τὸν Ῥωμαῖον ἐκεῖνον, τῆς μὲν ἄλλης ἀρετῆς καὶ τῆς στρατηγίας παντάπασι τέθηπα· τῶν γε μὲν ἐπιθανατίων ἐκεινωνὶ συλλαβῶν οὐδ' ὁπωστοιοῦν ἀποδέχομαι. Ἅ γάρ φησι, Τλῆμον Ἀρετὴ, λόγος ἄρ' ἦσθα μόνος· ἐγὼ δέ σε Ὡς ἔργον ἐτίμων, σὺ δὲ ἄρ' ἐδούλευες Τύχῃ· ἀγεννῆ ταῦτα λέγων (lege λέγω cum editore doctissimo) καὶ Βρούτου ψυχῆς ἀνάξια. In versibus editor notat metro nocere vocem μόνος, et meram videri interpolationem. At, sublato hoc epitheto, metrum omnino ruit; servato, versus est jambicus, pessimus quidem, sed versus tamen. Offendit etiam editor ad γε μὲν, et pro γε proponit δὲ, sed offendo rursus ad δὲ μέν. Credo legendum γε μήν. De hac formula vide Hoogeveenii Particulas. Apud Demum Dionysii Halic. t. 5. p. 632, I. pro τε μὴν recte nunc legitur γε μὴν, ex emendatione Sylburgiana. Ipse Theodorus p. 88. f. πρός γε μὴν τὰς νόσους: et p. 86. τέως γε μὴν οὐθὲν εἰλήχεσαν κολοβόν. Ad vocem εἰλήχεσαν adpictum sic, dubitationem editoris celeberrimi indicare videtur. Sed in hoc scriptore talis forma ferenda est. Etenim tunc temporis tertia plurali plusquamperfecti Attici persona utebantur, loco perfecti, vel aoristi. Tzetzes initio commentarii in Iliadem habet ἐπικεχειρήκεσαν, πεφροντίκεσαν, πεποιήκεσαν, non alio modo posita. Manuel Palaeologus in eodem Notitiarum Volumine p. 330. καὶ πρός γε μέν. Lego, καὶ πρός γε μήν. Dixit Manuel p. 332. καὶ πρός γε ἔτι δή, quod idem sonat. Vide notas ad Marinum p. 138. 101. Praeterea in primo Theodori loco, pro ὁπωστοιοῦν, legendum omnino ὁπωστιοῦν.

εἶτα μεταστρέφει τὸν λόγον ἐπὶ τὸν ἀποθανόντα·

„— ἄφιλος ἦσθ᾽ ἄρ᾽, ὦ πάτερ, πράττων κακῶς,“

Τοὺς δὲ χρόνους ἀλλοιοῦσιν, ὅταν τοῖς ἐνεστῶσιν ἀντὶ τῶν παρῳχημένων χρῶνται, οἷον παρὰ Δημοσθένει· „καὶ ὅτι[12] ταῦτα ἀληθῆ λέγω, τοὺς ὁρῶντας ὑμῖν μάρτυρας παρέξομαι,“ ἀντὶ τοῦ „τοὺς ἑωρακότας.“ Ὁποῖόν ἐστι καὶ τὸ παρὰ τῷ Εὐριπίδῃ ἐν τῇ Ἀνδρομέδᾳ,[13]

„Ὁρῶ δὲ πρὸς τῆς παρθένου θοινάματα,

ἀντὶ τοῦ „εἶδον.“ Καὶ ὁ Θουκυδίδης· „Οἱ μὲν[14] πολλοὶ τῶν ἐνθάδε εἰρηκότων ἐπαινοῦσι τὸν προστιθέντα τῷ νόμῳ τὸν λόγον τόνδε,“ ἀντὶ τοῦ „ἐπῄνεσαν.“

μη΄.

Καὶ τὴν ΠΑΡΕΜΒΟΛΗΝ[1] εἰσάγει Καικίλιος σχῆ-

μα

---

12 Adv. Neaer. p. 1356. 11. R. — Cod. ὑμῶν. — Et hoc apud Alex. Rhet. l. c. 13 Andromedae fragm. novum, ut videtur — Cod. θὐνάματα. 14 Thucyd. II. 35. — Cod. τὰ προστεθέντα.

1 De hac figura vide Alex. Rh. II. 25. Species est παρενθέσεως. Conferatur Gregor. Cor. ad Hermog. p. 916., et Ernesti Lexic. Technol. Codex habet παραβολήν: sed librarius erravit hic et s. 23. Reposui quod omnino reponendum fuit. Memini inscriptionis Graecae ubi εμ permutatur non cum α ut hic, sed cum ει. Legitur haec inscriptio in Goensii Observat. Miscell. c. 7. Primus autem versus sic est conceptus: Ἄνθρωπος τοῦτ᾽ ἐστί τίς ἔμβλεπε καὶ τὸ μένον σε. Sed reponendum certissime: Ἄνθρωπος τοῦτ᾽ ἐστί· τίς εἶ βλέπε. — In ipsa lapidis delineatione quam exhibet Goensius, *ΕΙ ΒΛΕΠΕ*, non *ΕΜΒΛΕΠΕ*, perspicue legitur; sed Goensius ad quoddam sculpturae ornamentum offendit, et a vera scriptura declinavit. Sententia eadem est ac in illa inscriptione quam descripserunt auctores I t i n e r i s l i t e r a r i i.

μα λέξεως, κέχρηται δὲ παραδείγματι τῷ [2] παρὰ Θουκυδίδῃ· „Οἱ δὲ Κορίνθιοι προσκαθεζόμενοι (ἔστι δὲ ἰσθμὸς τὸ χωρίον) ἐπολιόρκουν τὴν πόλιν.“ Καὶ ὁ Ἡρόδοτος· „Κροῖσος [3] ἦν Λυδὸς μὲν γένος, παῖς δὲ Ἀλυάττεω· τύραννος δὲ ἐθνῶν τῶν ἐντὸς Ἅλυος ποταμοῦ, ὃς ῥέων ἀπὸ μεσημβρίης μεταξὺ Σύρων καὶ Παφλαγόνων ἐξίει πρὸς βορέην ἄνεμον εἰς τὸν Εὔξεινον καλεόμενον πόντον.“ Ἐνταῦθα παρεμβέβληται τὰ τοῦ ποταμοῦ. Καὶ Εὐριπίδης· [4]

„Δαναὸς, ὁ πεντήκοντα θυγατέρων πατὴρ,
Νείλου λιπὼν κάλλιστον ἐκταίης ὕδωρ,
Ὃς ἐκ μελαμβρόταιο πληροῦται ῥοὰς
Αἰθιόπιδος γῆς, ἡνίκ' ἂν τακείη χιὼν,
Τεθριππεύοντος ἡλίου κατ' αἰθέρα,
Ἐλθὼν κατ' Ἄργος ᾤκισ' Ἰνάχου πόλιν·“

οἱ γὰρ τρεῖς περὶ τοῦ ποταμοῦ στίχοι περιττοί.

---

duorum Monachorum D. Benedicti T. 1. p. 301. — HOSPES QUID SIM VIDES — QUID FUERIM NOSTI — FUTURUS IPSE QUID SIS COGITA. — His jam typis descriptis, doceor inscriptionem illam graecam emendate legi inter Paralipomena Anthologiae Jacobsianae T. 13. p. 759.

2 Cod. τό. — Locus est ap. Thucyd. I. 26. Pro *Κορίνθιοι*, ad historiae fidem legendum *Κερκυραῖοι*.

3 Herod. I. 6. — Cod. *ἐξείη* — Hoc exemplum *παρεμβολῆς* adfert Alex. l. c.

4 Euripid. Archel. fragm. 2. — V. 6. Cod. *ᾤκησεν*. Norunt omnes perpetuo confusa esse η et ι, ob soni similitudinem. Plutarchus Thes. c. 19. *ἐπίδοξος ὢν ἅπαντας πάλιν νικήσειν ὁ Ταῦρος ἐφθονεῖτο*. Corayus notat variantem lectionem, *ἐν τῇ πάλῃ νικήσειν*, quod equidem non variantem lectionem, sed glossam crediderim; nam, ni fallor, pro *πάλιν* scribendum *πάλην*. Philostratus Her. p. 56. *ἐνίκα πάλην*, ubi Codex quidam *ἐνίκα πάλιν*, errore simili.

# ΑΙΛΙΟΥ ΗΡΩΔΙΑΝΟΥ

## ΠΕΡΙ ΣΧΗΜΑΤΩΝ.

Herodianum edere voluit Leo Allatius in quinto *Συμμίκτων* libro [vide praefationem Tiberii p. 523.], e codice Marciano 512. primus edidit Villoisonus Anecd. II. p. 86. Venetiis 1781. deinde G. Dindorfius una cum Jo. Alexandrini praeceptis tonicis, Lipsiae 1825. adhibitis codicibus Parisiensibus 2551. [Par. 1.] et 2929. [Par. 2.] quorum collationem Bekkerus Anecdotis suis p. 1449. inseruit, et Havniensi regio 1965, ab O. D. Blochio collato. His subsidiis nos quidem nihil adjecimus, nisi novam codicis Par. 2929. collationem, quae multas lectiones a Bekkero neglectas obtulit: quo factum, ut codicum Parisinorum lectio a nobis non raro aliter, quam a Bekkero et Dindorfio, indicata sit.

# ΗΡΩΔΙΑΝΟΥ

## ΠΕΡΙ

## ΣΧΗΜΑΤΩΝ.[1]

Σχῆμά ἐστιν ἐξάλλαξις[2] φράσεως ἀπὸ τοῦ καταλλήλου ἐπὶ τὸ κρεῖττον μετά τινος ἀναλογίας. διαφέρει δὲ τοῦ σολοικισμοῦ, ὅτι τὸ μέν ἐστι κατόρθωμα, καὶ τὴν ἐξάλλαξιν εὔλογον ἔχει· ὁ δὲ σολοικισμὸς ἁμάρτημα, μηδεμίαν[3] αἰτίαν τῆς ἀκαταλληλίας[4] ποιούμενος. γίνεται δὲ τὸ σχῆμα κατὰ τοσούτους[5] τρόπους καθ' ὅσους καὶ ὁ σολοικισμός. καὶ γὰρ εἴδη διαλλασσόμενα[6] καὶ γένη καὶ πτώσεις καὶ ἀριθμοὶ καὶ ἐγκλίσεις, ἔτι τε[7] πρόσωπα καὶ χρόνοι καὶ διαθέσεις, καὶ πάντα ἁπλῶς ἃ τὴν τοῦ[8] καταλλήλου συνάφειαν ἀπαιτεῖ, παρατραπέντα ποιεῖ τὸ σχῆμα.

1 Par. 1. τοῦ σοφωτάτου ἡρωδιανοῦ περὶ σχημάτων. Par. 2. ἡρ. περὶ σχ. διανοίας καὶ λέξεως. 2 Ven. Hav. ἐνάλλαξις. Par. 1. 2. ἐξάλλαξις. cfr. Boisson. ad Tryphonem Anecd. T. III. p. 284. 3 Ven. καὶ τήν. ceteri μηδεμίαν. 4 Par. 1. 2. καταλληλίας. 5 Par. 1. τρόπους τόσους. Par. 2. τόσους τρόπ. 6 Par. 2. διαλασσόμ. 7 Ven. Par. ἔτι δὲ καί. Hav. ἔτι τε. Par. 2. ἐπεὶ δέ. 8 τοῦ Par. 2. om.

Ἐν μὲν οὖν [9] εἴδεσιν ὀνομάτων ὧδέ πως συνίσταται τὸ [10] σχῆμα·

Ἑβδομάτῃ δ' ἱκόμεσθα Λάμου [11] αἰπὺ πτολίεθρον·

καί,

Μελάντερον ἠΰτε πίσσα. [12]

τὸ μὲν γὰρ [13] πρότερον ὑπερθετικὸν ἀντὶ ἀπολύτου [14] κείμενον κακίαν [15] οὐκ ἐργάζεται, ὅτι γεγένηται ἐν ἀριθμητικῷ [16] ὀνόματι, ἐν ᾧ, τῆς σημασίας μηδεμίαν διαφορὰν λαμβανούσης κατὰ τὴν τῆς φωνῆς ἐνάλλαξιν, [17] ἡ μετάθεσις τῶν εἰδῶν ἀναμάρτητος, ἅμα δὲ [19] σὺν τῷ τὸν ἀριθμὸν ὁρίζειν καὶ τὴν τελευταίαν δεδήλωκεν [20] ἡμέραν. τὸ δὲ δεύτερον συγκριτικὸν ἀντὶ ἀπολύτου κείμενον λεληθυῖαν ἔχει τὴν σύγκρισιν, τὴν [21] ἀναφορὰν ἤτοι [22] πρὸς ἕτερον νέφος ποιούμενον ἢ [23] πρὸς φυσικὴν τοῦ νέφους μελανότητα.

Ἐν δὲ γένεσι θεωρεῖται σχῆμα τόνδε τὸν [24] τρόπον·

Παρθενικαί τε καὶ ἠΐθεοι ἀταλὰ [25] φρονέοντες.

ὁμοίως δὲ [26] ἔχει κἀκεῖνο·

Ἔνθα μὲν ἠΐθεοι καὶ [27] παρθένοι ἀλφεσίβοιαι
Ὠρχεῦντ' [28] ἀλλήλων ἐπὶ καρπῷ χεῖρας ἔχοντες.

---

9 οὖν Ven. Par. 1. om., est in Hav. Par. 2. 10 τὸ Par. 1. 2. Ven. om., est in Hav. 11 Par. 1. λαοῦ. Par. 2. ἵκομαι θαλάμου. — Od. κ. 81. 12 Il. δ. 277. 13 γὰρ Ven. om. 14 Hav. ἀπολυτοῦ. 15 Hav. κακείαν. 16 Ven. ἐν ἀριθμητικῇ ὀνόματα. Par. 1. 2. ἐναριθμοῦται ὀνόματι. Hav. ἐν ἀριθμητικῷ ὀνόματι. 17 Par. 1. 2. ἐξάλλαξιν. 18 Par. 2. ἀναμάρτηται. 19 Ven. καί. 20 Par. 2. δὲ δεδήλωκεν. 21 Ven. Hav. ἢ τήν. Par. 1. 2. καὶ τήν. Dind. conjunctionem om. 22 Par. 1. 2. εἴτε. 23 Par. 1. οὐ. Par. 2. οὐ πρὸς τὴν φύσιν. 24 τὸν Hav. om. Par. 2. τίνα τρόπον. 25 Par. 2. ἄλλα Il. σ. 567. 26 δὲ Ven. om. 27 Par. 2. καὶ αἱ π. ἀλφεσίβοιε. 28 Hav. ὀρχοῦντες. Par. 2. ὠρχεῦντι ἀλλήλοις. Il. σ, 594. 595.

ἰσχυρότερον γὰρ ὂν τὸ ἀρσενικὸν γένος τοῦ θηλυκοῦ ἐπεκράτησε κατὰ [29] τὴν ἐπιφοράν. ὁμοίως δὲ καὶ τὸ θηλυκὸν γένος ἰσχυρότερον ὂν τοῦ οὐδετέρου ἐπεκράτησε κατὰ [30] τὴν ἐπιφοράν· οἷον,

*Αἱ δέ που ἡμέτεραί τ' ἄλοχοι καὶ νήπια τέκνα*
*Εἵαται [31] ἐν μεγάροις ποτιδέγμεναι υἷας Ἀχαιῶν.*

Παρὰ δὲ πτώσεις ἀντιτιθεμένας [32] ἡ τοῦ σχήματος σύστασις ἔχει πρῶτον αἴτημα [33] τὴν τῶν πτώσεων οἰκειότητα τῶν τε πλαγίων πρὸς ἀλλήλας καὶ τῆς ὀρθῆς πρὸς τὴν κλητικήν· εἶτα τὴν τῶν πραγμάτων διάστασιν, ἵνα τὴν προτέραν [34] περιγραφὴν τοῦ λόγου καταλιπὼν, [35] ἀπηρτισμένην μετὰ διαστάσεως, ἐφ' ἑτέραν ἀρχὴν τραπεὶς τῇ τῶν πτώσεων συμπλοκῇ [36] σχηματίσῃ. τὴν μὲν οὖν τῶν πτώσεων συγγένειαν τὰ σχήματα ποιεῖν συμβέβηκεν [37] οὕτως· [38]

*Ἕκτορι δὲ προπάροιθε ποδῶν πέσε·*

εἴρηται γὰρ δοτικὴ ἀντὶ γενικῆς Ἕκτορος. καὶ,

*Νεφεληγερέτα Ζεύς·*

κλητικὴ γὰρ [39] ἀντὶ ὀρθῆς κεῖται τῆς νεφεληγερέτης. τὴν δὲ [40] διάστασιν τῆς φράσεως [41] οὕτως·

---

29 κατὰ Par. 2. om. — tum. Hav. ἀναφοράν. Par. 1. ὑποφοράν. 30 Hav. κά. tum Par. 1. 2. ὑποφοράν. Hav. ἀναφοράν. 31 Par. 2. εἴατο. Ven. εἵατ' ἐνί. Hav. μεγάροισι. Ven. Hav. υἷας Ἀχ. om. 32 Hav. ἀντιτιθεμένας. ceteri ἀντιθεμένας. 33 Ven. αἴτιον. sed dubitat Dind., an recte legerit Villoisonus. 34 Ven. πρώτην. tum Hav. περιγρ. τοῦ λόγου. ceteri τοῦ λ. περ. 35 Par. 2. κατὰ λεπτῶν. tum Hav. ἀπηρτημένην. 36 Hav. Ven. πλοκῇ. 37 Hav. σχ. ποιεῖν συμβέβηκαν. (sic) Par. 1. 2. σχ. συμβαίνειν πεποίηκεν. Ven. σχ. συμβέβηκεν. 38 Par. 1. 2. οἷον. Ven. οὕτω. Hav. οὕτως. tum Par. 2. ἕκτορ. προπάροιθ' ἐκ ποδῶν πεσεν. — Il. ν. 205. 39 γὰρ Hav. Par. 2. om. tum P. 2. ἀντὶ γενική. 40 δὲ Par. 2. om. 41 Ven. ἐκφράσεως. Par. 2. φράσεως οὗτοι δὲ δύο.

Οἱ δὲ δύο σκόπελοι ὁ μὲν [42] οὐρανὸν εὐρὺν ἱκάνει·

ὡς ἀφ᾽ [43] ἑτέρας γὰρ ἀρχῆς ἐπὶ τετελεσμένῳ [44] τῷ προτέρῳ [45] ποιησάμενος [46] τὸν λόγον ἀπὸ ὀρθῆς ἤρξατο, τοιοῦτο δέ τι [47] κἀκεῖνο·

Ἐλθόντες δὴ βαιὸν [48] ἀπὸ σπείους τε καὶ ὕλης, [49]
Πρῶτος ὑπ᾽ ἀρνειοῦ λυόμην. [50]

Καὶ τὸ παρ᾽ Ἱπποκράτει· ἡ γυνὴ τοῦ κηπωροῦ [51] πυρετὸς εἶχεν αὐτήν· διεσπαρμένας γὰρ [52] ἐπιδημίας ὑπομνήματος δίκην γράφων, εἰπὼν [53] τὸ ἡ γυνὴ τοῦ κηπωροῦ, ὡς ἀφ᾽ ἑτέρας ἀρχῆς, ὁ [54] πυρετὸς εἶχεν αὐτὴν, ἐπήνεγκεν. ὅτι γὰρ οὕτως [55] πως ὁ ἰατρὸς εἰς τὸ τοιοῦτον σχῆμα κατῆλθε, δῆλον ἐκ τοῦ μηδέποτε λόγου [56] τελείου ἀπὸ τοῦ δὲ συνδέσμου [57] ἀρχομένου, ἐκεῖνος ἐν τῷ περὶ ἄρθρων ἔφη εἰσβάλλων οὕτως· ὦμον δ᾽ ἔναρθρον, [58] ἕνα τρόπον οἶδα· καὶ γὰρ ἐνταῦθα ὡς ἐν ὑπομνηματισμῷ, πεπονημένων [59] αὐτῷ καὶ ἑτέρων ἔμπροσθεν καὶ εἰς τοῦτο τὸ [60] εἶδος, οὕτως ἤρξατο.

Ἐν δὲ ἀριθμοῖς ἡ τῶν σχημάτων κατόρθωσις, ἤτοι ὁπότ᾽ ἂν [61] λέξει τὸν μὲν τύπον ἑνικὸν ἐχούσῃ, τὴν δὲ

---

42 Par. 2. μὲν πρός. — Od. μ. 73. 43 Hav. ἐφ᾽. 44 Hav. ἐπιτετελεσμένῳ. Ven. ἐπιτετελεσμένον. 45 Par. 2. τρόπῳ. 46 Ven. Hav. ποιησάμενος. 47 τοιοῖτον δέ ἐστι. 48 Par. 2. δ᾽ ἠβαιὸν ἀπὸ πειοῦς. — Od. ι. 462. 49 Par. 1. 2. Ven. αὐλῆς. Hav. ὕλης. 50 Par. 2. ἀρνει᾽ οὐλώμην. 51 Dind. in ed. κηπoροῦ. h. l. et v. 10. in notis scribere jubet κηπουροῦ, non liquet, utrum ex conjectura, an ex Hav. Reliqui κηπωροῦ ut Ven. Parr. 52 Hav. δέ. Hav. Ven. τὰς ἐπιδ. Parr. τὰς om. Post ἐπιδημίας solus Ven. addit ποιούμενος. 53 Par. 2. προεῖπε. 54 Par. 2. τό. 55 Par. 2. οὗτος πῶς οἰκτρός. 56 Parr. λόγον. 57 Par. 2. ἀπὸ τοῦ συνδεῖν. 58 Ven. ὦμου δ᾽ ἐνάρθρου. 59 Ven. πεπονημένῳ cum diversa interpunctione. 60 τὸ Par. 2. om. tum idem οὕτω. 61 Hav. ὁπότ᾽ ἄν. ceteri ὁπόταν. tum Par. 1. λέξεως — ἐχούσης.

σημασίαν πληθυντικὴν, μὴ πρὸς τὸν χαρακτῆρα, πρὸς δὲ τὴν δύναμιν ἁρμοζόμενός τις πληθυντικὸν[62] ἐπενέγκῃ μέρος[63] λόγου, οἷον,

῾Η πληθὺς ἐπὶ νῆας ᾿Αχαιῶν ἀπονέοντο.[64]

καὶ παρὰ Δημοσθένει, ὑμεῖς γὰρ ὦ βουλή·[65] τῇ γὰρ ὑμεῖς ἀντωνυμίᾳ πληθυντικῇ ἑνικὸν[66] ὁ ῥήτωρ ἐπήνεγκεν ὄνομα βουλὴ, διὰ τὸ[67] πολλῶν ἐξ αὐτοῦ νοεῖσθαι σύστημα, περιληπτικοῦ ὑπάρχοντος. ἢ ὁπότ᾽ ἂν ἐπιφέρηται τοῖς οὐδετέροις τῶν γενῶν[68] ἑνικὰ ῥήματα, οἷον γράφει τὰ παιδία, [τὰ δώματα στάξει.[69]] οἷς διαφόρους[70] πληθυντικὰς συντάξεις ἐπάγουσιν οἱ ᾿Αττικοὶ, ὡς Εὔπολις,

καὶ λέγουσί γε[71]
Τὰ μειράκια προϊστάμενα τοῖς ἀνδράσι.

Καὶ ἐν[72] τοῖς ὑπερσυντελικοῖς τῶν ῥημάτων χρόνοις ἑνικὰ πολλάκις εἰς πληθυντικῶν[73] παραλαμβάνεται χώραν διὰ τὴν ἐμφέρειαν τῆς φωνῆς, λέγω δὴ τὸ[74] πεποίητο πολλάκις ἀντὶ τοῦ πεποίηντο παραλαμβάνεται. ἔσθ᾽ ὅτε δὲ[75] πληθυντικοῖς ἀριθμοῖς ἑνικὸν ἐπάγουσιν, ὡς παρὰ τῷ ποιητῇ ὁ Μηριόνης πρὸς ᾿Ιδομενέα φησίν·

---

Par. 2. λέ τὸν μὲν τύπον ἐχούσης ἑνικόν. 62 Par. 2. πληθυντικὴν ἐνέγκει. 63 Hav. μένος. 64 Il. o. 305. 65 Fort. in animo habuit Olynth. III. p. 14. ὑμεῖς δὲ ὁ δῆμος. Similiter pro cor. p. 249. ὅπως ἡ βουλὴ συναχθῶσι. — Cfr. Boiss. ad Tiber. p. 574. nostrae ed. — tum Ven. τῷ γάρ. 66 ἑνικὸν Par. 2. om. 67 Par. 2. διὰ τοῦ τῶν πολλῶν συστήματος νοεῖσθαι ἐξ αὐτοῦ. Bast. ad Greg. Cor. p. 53. lectionem codicis mancam profert. 68 Ven. γένεσιν. ceteri τῶν γενῶν. 69 τὰ δώμ. στάξει Hav. Parr. om. 70 Ven. οἷον διαφόρως. 71 Hav. τε. Par. 2. λέγονταί γε. 72 Hav. ἐν om. 73 Ven. ἀντὶ πληθυντικοῦ καταλαμβάνεται. Hav. εἰς πληθυντικῶν παραλαμβάνεται χώραν. Par. 2. ἑνικοῦ ἀντὶ πληθυντικοῦ παραλαμβ. χώραν. 74 Par. 2. τὸ πεποίηται ὅτι πολλάκις. etiam Ven. ὅτι. 75 Par. 2. καί.

Ἔρχομαι [76] εἴ τι τοι ἔγχος ἐνὶ κλισίῃσι λέλειπται, [77]
Οἰσόμενος· τό [78] νυ γὰρ κατεάξαμεν, ὃ πρὶν ἔχεσκον. [79]

καὶ [80] παρ᾽ Εὐριπίδῃ ἐν Ἴωνι, [81]

Κωλυόμεθα μαθεῖν ἃ βούλομαι.

Παρὰ δὲ ἐγκλίσεις ἄριστον σχῆμα δείκνυται κατὰ τὴν τῶν ἀπαρεμφάτων ἀντὶ προστακτικῶν παράληψιν, οἷον,

Μή τι διατρίβειν τὸν ἐμὸν χόλον, [82] ἀλλ᾽ ἔμ᾽ ἐᾶσαι.

τὸ γὰρ [83] τῆς προστάξεως σκληρὸν μετριώτερον [84] ἐμφαίνεται διὰ τῶν ἀπαρεμφάτων ἀντὶ τῶν προστακτικῶν παραληφθέντων. τίθεται δὲ καὶ ὁριστικὰ [85] ἀνθ᾽ ὑποτακτικῶν πολλάκις, ὁπότ᾽ ἂν τὸ πρᾶγμα περὶ οὗ ὁ λόγος μηδέπω [86] τετελεσμένον, τελεσθῆναι δὲ αὐτὸ πάντως δέῃ. προηγήσεται δὲ μόρια τὰ καὶ τῶν ὑποτακτικῶν προτιθέμενα, ἵνα ἡ μὲν τοῦ μορίου πρόταξις [87] τὸ μηδέπω τούτων τετελεσμένον [88] διὰ τοῦ δισταγμοῦ σημαί-

---

76 Ven. ἔρχομ᾽. Par. 2. ἔρχομαι. tum Ven. εἴπου τι. Par. 2. εἴπου τοι, ut scripsit Dind. Tum Codd. ἐν κλισ. restitui ex Il. ν. 256. 77 Par. 2. λέλειπται. ceteri λέλειπτο. 78 Par. 2. τί. 79 Hav. ἔσχεν. 80 Dind. καὶ γάρ, ex Hav., ut videtur. Parr. Ven. γάρ om. — Post Εὐριπίδῃ Parr. Ven. ponunt κεῖται, quod om. Hav. 81 Hav. ἐν ἰωνικῷ· λυόμεθα. Ven. ἰωνικῶς λυόμεθα. Par. 1. ἐν ἰωνικόν. λυόμεθα. Par. 2. ἐν ἰωνικῷ βουλευόμεθα. Porsonus Tracts p. 207. et Bekkerus ἐν Ἴωνι, κωλυόμεθα. Eurip. Jon. 403. κωλυόμεσθα μὴ μαθεῖν. 82 Dind. ex Hav. λόγον. ceteri χόλον, ut Il. δ. 42. Sqq. ἀλλ᾽ ἔμ᾽ ἐᾶσαι Ven. om., est in Hav. — Par. 1. ἀλλά μ᾽ ἐάυαι. Par. 2. ἀλλά με ἐᾶσαι. 83 Ven. δέ. 84 μετριώτερον — παραληφθέντων Dind. dedit ex Hav. Consentit Par. 2. In Ven. ἀπαρεμφάτων ἀντὶ προςτακτικῶν παραληφθέντων ἐπραΰνθη. 85 Par. ὁριστικόν ἀντὶ ὑποτακτικόν. Hav. ἀνθ᾽ ὑποτακτικῶν om. 86 Par. 2. μηδέποτε. Post τετελεσμ. Bloch. ponit ᾖ. 87 Ven. πρότασις. Hav. πρόσταξις. Parr. πρόταξις. 88 Hav. τούτων τετελεσμένων. Ven. τούτου τετελε-

νῃ,[89] ἡ δὲ τοῦ ὁριστικοῦ σύνταξις τὸ πάντως δεῖν[90] γενέσθαι τὸ λεγόμενον, οἷον,

Ὅπως ἔσται τάδε ἔργα.[91]

ταῦτα ἀμφότερα σχήματα ἡ ἀστειοτάτη τῶν διαλέκτων Ἀτθὶς εἰς αὐτὴν[92] ἀναδίδωσι. τὰ μὲν γὰρ εὐκτικὰ τοῖς[93] ὑποτακτικοῖς διαπλεκόμενα οὐδὲ ξενίζουσαν ποιεῖ τὴν φράσιν, ἐπειδήπερ ἀμφοτέρων[94] ὡς ἐπὶ τὸ πλεῖστον τὰ αὐτὰ προτάσσεται μόρια, ὡς τὸ ἵνα καὶ τὸ[95] ὄφρα καὶ τὸ[96] ὅπως.

Ἡ δὲ[97] τῶν προσώπων μετάβασις ποιεῖ[98] τὴν καλουμένην ἀποστροφήν,[99] οἷον,

Τὸν δ'[1] ἀπαμειβόμενος προσέφης[2] Πατρόκλεις ἱππεῦ·[3]

καί,

Ἔνθα κέ τοι[4] Μενέλαε φάνη βιότοιο τελευτή.

τὸν γὰρ[5] περὶ αὐτοῦ λόγον ἀφεὶς εἰς τὸν πρὸς αὐτὸν ἐτράπη, τουτέστιν ἀπὸ τοῦ[6] τρίτου προσώπου τὴν μετάβασιν ἐπὶ τὸ δεύτερον[7] ἐποιήσατο. τέχνη δὲ αὐτοῦ τὸ[8] μὴ συνεχῶς[9] ὄντος τοῦ περί τινος τὴν ἀναστροφὴν αἰφνιδίαν ποιήσασθαι· διὰ γὰρ ἀκολουθίαν[9*] ἐλέγχεται

---

σμένον. Parr. τετελεσμένον τούτων. 89 Ven. σημάνῃ. 90 Par. 2. δεῖ. Hav. πάντως om. 91 Il. β. 252. 92 Par. 2. ἑαυτήν. tum Hav. Ven. ἀναδέδεικται. [Blochius ἀναδέδεκται] Parr. ἀναδίδωσι. 93 τοῖς Par. 2. om. 94 Par. 2. ἀμφότερα. 95 Par. Ven. τὸ om. 96 τὸ Par. 2. om. 97 δὲ Hav. om. 98 Hav. καλεῖ. 99 Par. 2. ἐπιστροφήν. marg. γρ. ἀποστροφήν. Sq. οἷον Hav. om. 1 Ven. τόνδ'. Il. π. 20. 2 Hav. προσέφη. 3 Par. 2. πατρόκλης ἱππεύς. etiam Hav. ἱππεύς. 4 Ven. δέ τοι. Hav. βία τοῖο. — Il. η. 104. 5 Par. 2. γὰρ om. 6 τοῦ Par. 1. Ven. om., est in Hav. Par. 2. Pro τρίτου Hav. πρώτου. 7 Ven. τοῦ δευτέρου. 8 Par. 2. τοῦ. 9 Hav. συνεχοῦς, omisso sq. τοῦ. Blochius: συνεχῶς ὄντος περί τινος λόγου. tum Hav. αἰφνηδίαν. Ven. αἰφνίδιον. 9* Par. 2. τὴν ἀπολ. Tum Hav. τραχύτερον.

ταχύτερον τὸ λεγόμενον· ἀλλ' ὁπότ' ἂν[10] μεσασθῇ, ἤτοι ἡρωϊκῷ λόγῳ ἢ πράγματος ἑτέρου παραθέσει,[11] κἄπειτα διάστασιν λαβούσης[12] τῆς διηγήσεως, λεληθότως μετάβασις γίνεται.[13] ἐσχημάτισε δὲ καὶ[14] Ἡσίοδος ἐν προσώποις[15] κατ' ἐκεῖνο·

Δεῦτε δή,[16] ἐννέπετε σφέτερον πατέρ' ὑμνείουσαι·

εἴ γε γνήσιον Ἡσιόδου τὸ προοίμιον τίθεμεν.[17] ἀντὶ γὰρ τοῦ[18] ὑ μ έ τ ε ρ ο ν δευτέρου τρίτον ἐπήνεγκε τὸ σ φ έ τ ε ρ ο ν, οὐ πρὸς τὴν ἀκολουθίαν[19] τῶν προσώπων ἀπιδών, ἀλλὰ πρὸς τὴν τῆς λέξεως σημασίαν· σημαίνει γὰρ τὸ σφέτερον[20] ἔσθ' ὅτε καὶ τὸ ἴδιον.

Παρὰ δὲ χρόνους σχηματίζουσι πρῶτον μὲν[21] οἱ τοὺς παρεληλυθότας ἀντὶ ἐνεστώτων παραλαμβάνοντες· ἔπειτα[22] οἱ ἐνεστῶσι[23] χρώμενοι ἀντὶ μελλόντων, οἷον,

Ἐγὼ δέ κ' ἄγω[24] Βρισηΐδα καλλιπάρῃον.

λέγοι[25] γὰρ ἂν οὕτως τὸ βεβαίως ἐσόμενον παραστῆσαι θέλων, ὡς εἴ τις εἴποι,[26] αὔριον διαλέγομαι, οἷον,[27]

---

10 Hav. ὁπότ' ἄν. ceteri ὁπόταν. 11 Par. 2. μεταθέσει καὶ ἔπειτα. 12 Ven. λαβοῦσα διάστασιν. Hav. Par. 2. διάστασιν λαβούσης. 13 Ven. Parr. λέγεται. Hav. γίνεται. 14 καὶ Ven. om., est in Hav. Par. 2. — Hes. Ἔ. κ. Ἡ. v. 2. 15 Hav. προσώποις. ceteri προσώπῳ. tum Par. 1. κἀκεῖνο. Par. 2. κἀκεῖνος. 16 Parr. δι'. tum Par. 2. ἐννέπετε. 17 Parr. τίθεται. 18 Hav. τὸ ὑμέτερον δευτέρου. Par. 2. τοῦ ὑμετέρου δευτέρου προσώπου. Ven. τοῦ ὑμέτερον δυϊκοῦ. Par. 3. τοῦ ὑμέτερον δευτέρου προσώπου. 19 Par. 2. ἀκολούθησιν. sq. ἀπιδὼν Hav. om. 20 τὸ σφέτερον Hav. Ven. om. Dind. adjecit ex Parr. 21 μὲν Hav. om. 22 Par. 2. ἐπεί. 23 Hav. Parr. ἐνεστῶτι. Ven. ἐνεστῶσι. tum Par. 2. μέλλοντος. Ven. τοῦ μέλλοντος. 24 Hav. Ven. καλῶ. Par. 2. κἀγώ. scribe κ' ἄγω, ut Il. α. 184. 25 Ven. λέγει. Hav. Par. 2. λέγοι. Sq. ἂν Ven. om. 26 Par. 2. εἴπῃ. 27 Ven. ὅτι. Parr. οἷον.

πάντως διαλέξομαι· παρὰ [28] δὲ διαθέσεις οἱ τοῖς μέσοις ἀορίστοις καὶ μέλλουσιν ἀντὶ ἐνεργητικῶν [29] τὴν σύνταξιν ἁρμόζοντες, εὐπρεπεστέρας [30] τῆς περικοπῆς γινομένης· ἐπεὶ καὶ ἡ τῶν Ἀττικῶν διάλεκτος χαίρει τούτοις. λαμβάνεται δὲ καὶ ὁλόκληρα παθητικὰ ἀντὶ ἐνεργητικῶν πολλάκις, ὅταν μὴ δύσφημος ᾖ δυστράπελος ἡ [31] ἐναλλαγὴ μέλλῃ [32] γενήσεσθαι πρὸς τὸ τοῦ λέγοντος πρόσωπον· τὸ γοῦν γράφομαι λέγεται πολλάκις ἀντὶ τοῦ [33] γράφω, οἷον, γράφομαι τόνδε παραπρεσβείας· [34] ὅλαι δὲ λέξεις ἀντὶ ἄλλων [35] τιθέμεναι τὴν μὲν σύνταξιν οὐ ξενίζουσιν, ἤτοι δὲ λείπειν [36] τὴν φράσιν ποιοῦσιν ὑπονοεῖν λανθάνουσαι [37] ἢ τὸ διανόημα ἐξαλλάσσουσι. [38] τὸ μὲν οὖν πρότερον οὕτως·

Μήκων δ' [38*] ὡς ἑτέρωσε κάρη βάλεν, ἥτ' [39] ἐνὶ κήπῳ
Καρπῷ βριθομένη νοτίῃσί τε [40] εἰαρινῇσι·

τὴν γὰρ βριθομένη [41] μετοχὴν ἐὰν [42] μεταβάλλωμεν εἰς τὸ βρίθεται ῥῆμα, ὁ λόγος ἀπηρτισμένος [43] ἔσται. τὸ δὲ δεύτερον οὕτως·

Ἔνθ' οἵγ' εἰσέλασαν, [44] πρὶν εἰδότες·

---

Hav. οἷον ὅτε. 28 Ven. περί. Ex Par. 2. equidem περὶ non enotavi, sed Bekkerus. 29 Parr. ἐνεργητικήν. Ven. οἱ τοῖς παθητικοῖς τὴν ἐκ τῶν ἐνεργητικῶν σύνταξιν. 30 Parr. εὐτρεπεστέρας. tum Ven. προκοπῆς. Ven. Par. 2. γενομένης. 31 Ven. ἤ. pro ἐναλλαγὴ Ven. ἐναργής. E Par. 2. hanc lectionem non enotavi, ut Bekkerus. 32 Hav. μέλλοι. Par. 2. μέλλει. Ven. Par. 1. μέλλῃ. 33 Hav. τοῦ om. 34 Par. 2. περὶ πρεσβείας. ἄλλαι δέ. 35 Ven. ὅλων. Hav. Par. ἄλλων. 36 Hav. λείπει. delendum monet Blochius. 37 Par. 2. λανθάνουσιν. 38 Par. 2. ἐξαλλάσσονται. Hav. διάλλουσι. 38* δ' Hav. om. — Il. ϑ. 306. 39 Hav. ἦυτ' ἐνί. 40 Par. 2. τ' εἰαρ. 41 Hav. Par. 2. βριθομένην. pro μετοχὴν Par. 2. συλλαβήν. 42 Hav. Ven. ἐὰν μή. 43 Ven. ἀπηρτημένος. 44 Hav. εἰσέλασυαν. — Od. ν. 113.

σημαίνει γάρ, ὡς καὶ τὸ πρότερον εἰδότων[45] Φαιάκων τὴν χώραν, ὅπερ οὐκ ἀληθὲς, ἀλλὰ δεῖ[46] τὸ πρὶν εἰδότες εἰς τὸ εἰδέναι μεταστῆσαι,[47] ἵνα ᾖ πρὸ τοῦ εἰδέναι.

Περὶ μὲν οὖν τῶν ἐν λέξει[48] σχημάτων ἱκανὰ ταῦτα· τὰ γὰρ παρά τι τῶν εἰρημένων[49] ἐκφωνούμενα ποιητῶν ἢ διαλέκτων ἐστὶν ἰδιώματα, ἤπερ[50] ἐμπειρίας σχηματισμοῦ. ῥητέον δὲ ἑξῆς περὶ τῶν ἐν διανοίᾳ τε καὶ λόγῳ σχημάτων.[51]

## ΠΕΡΙ ΣΧΗΜΑΤΩΝ ΔΙΑΝΟΙΑΣ.[1]

Τὰ περὶ διάνοιαν σχήματα τὰ πρωτοστατοῦντα[2] ἐν ἑαυτοῖς ἔχει τὴν συγγυμνασίαν καὶ τὴν ποιὰν θέσιν[3] αὐτῆς τῆς διανοίας μετὰ τῆς τοῦ λόγου μορφῆς. ἔστι δὲ σχῆμα διανοίας τὸ μὴ κατὰ φύσιν ἐκφέρον[4] τὸν νοῦν μηδὲ ἐπ' εὐθείας, ἀλλ' ἐκτρέπον[5] καὶ ἐξαλλάσσον τὴν τῆς διανοίας φράσιν, ὥσπερ ὅταν ὁ Δημοσθένης λέγῃ·[6] „σὺ δὲ ὁ σεμνὸς καὶ τοὺς ἄλλους διαπτύων·“ μακαρίζειν γὰρ προσποιούμενος ἐκ τῶν ἐναντίων ἄσεμνόν τε[7] καὶ δυστυχέστατον ἐκφαίνειν[8] ἀξιοῖ. καὶ πάλιν ὁπότ' ἂν ὁ

45 Par. 2. εἰδέτων. tum Ven. τῶν φαινομένων. Hav. Par. 2. φαιάκων. [Bekk. ex Par. 1. 2. enotavit τῶν φαιάκων]. 46 Hav. δεῖ. ceteri δή. Sq. τό. Hav. om. 47 Hav. μεστῆναι. 48 Parr. λέξεσι. 49 Par. 2. προειρημένων. tum Hav. ποητῶν. 50 Hav. εἴπερ. Ven. ἤπερ ἐμπειρία. Bloch. οὐ παρ' ἐμπειρίας. Parr. ἤπερ. 51 σχημάτων Hav. om.

1 Titulum recepi ex Par. 2. 2 Hav. Par. 2. τὰ προστατοῦντα. Par. 1. τὸ προστατοῖν. Ven. τὸ πρωτοστατοῦν. Dind. scripsit τὰ πρωτοστατοῦντα. 3 Hav. Ven. μετάθεσιν. 4 Hav. ἐκφέροντες. 5 Ven. ἐκτρέπον. tum Par. 2. ἐξαλλάσσων. 6 Par. 2. λέγει. — pro cor. p. 213. 7 Ven. τι. 8 Ven. Par. 2. ἐμφαίνειν.

Αἰσχίνης λέγῃ ἐν τῷ κατὰ Τιμάρχου·[9] „οὐδὲν γοῦν θαυμαστόν· ἀναβήσεται γὰρ ἀνὴρ καλός τε κἀγαθὸς,[10] καὶ μισοπόνηρος καὶ πιστεύων τῷ ἑαυτοῦ βίῳ, καὶ τὸν Λεωδάμαντα[11] ὅςτις ἐστὶν ἀγνοῶν.“ ταῦτα γὰρ τῇ ἐξαλλαγῇ ἔχει τινὰ δείνωσιν,[12] καὶ ἔστι δυνατώτερος[13] ὁ λόγος τοῦ κατὰ φύσιν· ἀγοραῖος γὰρ ἂν καὶ ἀπρεπὴς ἐγίνετο ἡ λοιδορία, εἰ[14] οὕτως ἔλεγεν· οὐδὲν γοῦν[15] θαυμαστόν· ἀναβήσεται γάρ, ὡς οἶμαι, ἄνθρωπος ἀσελγὴς τὸν βίον καὶ οὕτως αὐτὸς πόρνος[16] καὶ παρὰ Λεωδάμαντι ἡταιρηκὼς καταφανῶς.[17] τὸ δὲ, „καλός τε κἀγαθὸς,[18] καὶ μισοπόνηρος καὶ πιστεύων τῷ ἑαυτοῦ βίῳ, καὶ τὸν Λεωδάμαντα[19] ὅςτις ἐστὶν ἀγνοῶν,“ ἄγει μᾶλλον ἐπὶ τὴν ἔμφασιν τῆς ἀληθείας, ἐκ τῶν ἐναντίων προειδότας παντὸς τοῦ[20] λόγου τὴν ὑπόθεσιν. τούτου[21] γὰρ δεῖ[22] τοῖς εἰρωνευομένοις· ἐπεὶ πρὸς ἀγνοοῦντας[23] κἂν ἀληθὲς[24] ἐγκώμιον δόξειεν ἡ μεταβολή.

---

9 p. 272. Bekk. Hav. Par. 1. οὐδέν γοῦν. Par. 2. οὐδέν γάρ. Ven. οὐδὲ νῦν. 10 Ven. καὶ ἀγαθός. 11 Hav. λαοδάμαντα. Par. 1. λεοδ. Par. 2. λεωδάμαντα ut Aesch. Ven. λαομέδοντα. Tum Hav. Par. 1. ὅς. Par. 2. Ven. ὅστις. 12 Hav. δήλωσιν. Par. 2. δείλωσιν. 13 Par. 2. δυνατώτερος. Sqq. τοῦ κατὰ φύσιν Hav. om. 14 Par. 2. καί. 15 Hav. γοῦν. Parr. οὖν. Ven. om. 16 Par. 2. πόρνος ceteri πονηρός. Tum Par. 1. παρὰ λεωδάμαντος ἡταιρικώς. (sic) Par. 2. παρὰ λαωδάμαντος. Hav. παρὰ λαοδάμαντι. Ven. περὶ λαομέδοντα. 17 Hav. Par. 2. καταφανῶς. Ven. καταφανείς. Par. 1. ἀναφανείς. tum Hav. Ven. Par. 2. ὁ δέ. Par. 1. τὸ δέ. 18 Ven. τε κἀγαθός. Par. 2. τε κἀγαθός τε. 19 Hav. λαοδάμαντα. Ven. λαομέδοντα. Par. 1. λεοδάμαντα. Par. 2. λεωδάμαντα. Tum Hav. ὅστις. ceteri ὅς. 20 τοῦ Hav. om. 21 Par. 2. τοῦτο. 22 Hav. δή. 23 Ven. ἐπεὶ προσαγνοοῦνται. Hav. ἐπεὶ πρὸς ἀγνοοῦντας. Par. 1. 2. ἐπεί τε ἀγνοοῦνται. cfr. Bast. ad Gregor. Cor. p. 838. 24 Ven. ἀληθῶς ἐγκωμιάζειν. Hav. Par. 2. ἀληθὲς ἐγκώμιον. tum

*Εἰσὶ*[25] *δὲ τῶν τῆς διανοίας σχημάτων ὡς ἀνωτάτω*[26] *ὀνομασίαι δύο, ἐπίτασις καὶ ἔκλυσις· τούτων τῇ μὲν ἐπιτάσει ὑποτάσσεται ἡ*[27] *εἰρωνεία, τῇ δὲ ἐκλύσει ἡ καταβολή.*

*Ἔστι δὲ εἰρωνεία λόγος διὰ τῶν ἐναντίων κατ᾽ ἐπίτασιν τὸ ὑποκείμενον πρᾶγμα σημαίνων·*[28] *ὡς παρὰ Εὐριπίδῃ προειποῦσα ἡ Μήδεια ὅσων προϋπῆρξεν εἰς τὸν ἄνδρα εὐεργεσιῶν, ἐπιφέρει παθητικώτατα·*

*Τοιγάρ με πολλαῖς*[29] *μακαρίαν ἀν᾽ Ἑλλάδα*
*Ἔθηκας*[30] *ἀντὶ τῶνδε. θαυμαστὸν δέ σε*
*Ἔχω πόσιν καὶ πιστὸν ἡ τάλαιν᾽*[31] *ἐγώ,*
*Εἰ φεύξομαί γε*[32] *γαῖαν ἐκβεβλημένη*
*Δόμων, ἔρημος σὺν τέκνοις μόνη μόνοις.*[33]

*Ἔκλυσις δέ ἐστι πραγμάτων μεγάλων*[34] *δεινότης διὰ σμικροπρεπείας*[35] *τοῦ λόγου μαραινομένη ἐν ταῖς τῶν ἀκουόντων διανοίαις. ὡς*[36] *ὁπόταν ὁ Αἰσχίνης λέγῃ. „οὐ μέμνησθε αὐτοῦ τὰ μιαρὰ καὶ ἀπίθανα ῥήματα; πῶς ποτε ὑμεῖς, ὦ σιδήρεοι*[37]*, ἐκαρτερεῖτε ἀκροώμενοι, ὁπότε*[38] *ἔφη παρελθών· ἀμπελουργοῦσί τινες*[39] *τὴν πόλιν· τὰ κλήματα*[40] *τοῦ δήμου ὑποβέβληται·*[41] *φορμοῤῥαφούμε-*

---

Ven. Par. 2. *δόξῃ ἐν τῇ μεταβολῇ.* Hav. *δόξειεν ἡ μεταβολή.* 25 Ven. *ἐστί.* 26 Par. 2. *ἀνώταται* sine *ὡς.* 27 *ἡ* Ven. Hav. om. 28 Par. 2. *σημαῖνον, ὡς παρ᾽ Εὐρ. πρ. ἡ μείδια.* [Hav. *Μηδεία*]. Med. 506. 29 Par. 2. *πολλή.* — Sq. *ἀν᾽* Codd. om. Cfr. Alex. p. 451. 30 Ven. *ἔθηκε.* 31 Par. 2. *τάλαινα.* 32 Ven. *οὐ φεύξ. γαῖαν.* Hav. *εἰ φεύξ. γε γαῖαν.* Parr. *ἢ φεύξ. σε γαίας.* Cf. Bast. ad Greg. Cor. p. 760. 33 Parr. *μόνοις μόνη.* 34 *μεγάλων* Par. 2. om. 35 Par. 2. *μικροπρέπειαν.* 36 Hav. *ὡς.* ceteri *οἷον.* — Aesch. p. 77, 24. 37 Hav. *σιδηραῖοι.* tum Parr. *ἐγκαρτερεῖτε.* 38 Hav. *οὔποτε.* 39 Parr. *τισί.* 40 Hav. *κλίματα τοῦ βίου.* Ven. Par. 1. *δήμου.* Par. 2. *δημοῦ.* (sic.) 41 Parr. *ὑποβέβληνται.* tum Par. 1. *φορμοραφούμενα.* Par. 2. *φορμοροφούμενα.* Hav. *φορμοῤῥαφούμεθα.* Ven. *μορμοραφούμενα.* Apud Ae-

θα.“ ταῦτα γὰρ οὐκ ἀναλογεῖ τὰ ῥήματα τῇ τότε ὑποκειμένῃ τῶν πραγμάτων ὑποθέσει.

Τῆς δὲ εἰρωνείας καθέστηκεν[42] εἴδη τὰ λεπτομερέστερα τάδε,[43] σαρκασμὸς, διασυρμὸς, ἐπικερτόμησις,[44] κατάγελως, εἴκασμα, χαριεντισμός. Σαρκασμὸς μὲν οὖν[45] ἐστι λόγος ἠθικὸς μετὰ σεσηρότος[46] τοῦ προσώπου λεγόμενος, οἷον,

Ἦ μὲν[47] δὴ μάλα πολλὰ πονήσατο νόσφιν ἐμεῖο·
Καὶ δὴ[48] τεῖχος ἔδειμε, καὶ ἤλασε τάφρον ἐπ᾽ αὐτῷ
Εὐρεῖαν, μεγάλην, ἐν δὲ σκόλοπας κατέπηξεν.[49]

Διασυρμός[50] ἐστι λόγος εἰρωνικὸς ἐπὶ τῷ[51] διασύρειν τοὺς πέλας λεγόμενος, οἷον, „ἄλλος δ᾽ αὖτέ τις ἀνέστη μαντεύεσθαι.[52]

Ἐπικερτόμησις δέ ἐστι λόγος ἐρεθιστικὸς ἐπὶ τῷ[53] λυπῆσαι τοὺς ἐχθροὺς συντεθειμένος,[54] οἷον,[55]

Ἐνταυθοῖ[56] νῦν ἧσο κύνας τε σύας[57] τ᾽ ἀπερύκων·
Μὴ δὲ σύ γε ξείνων καὶ[58] πτωχῶν κοίρανος εἶναι.

Κατάγελως δέ ἐστιν ὅταν ἐπί τινι πράξει τῶν μὴ δεόντως[59] καταθρασυνομένων[60] καταπαιζώμεθα, οἷον,

---

schinem scriptum: οὐ μέμνησθε — ῥήματα, ἃ πῶς ποθ᾽ ὑμεῖς — ἀκροώμενοι, ὅτ᾽ ἔφη — τὴν πόλιν, ἀνατετμήκασί τινες τὰ κλήματα τοῦ δήμου, ὑποτέτμηται τὰ νεῦρα τῶν πραγμάτων, φορμοῤῥαφούμεθα ἐπὶ τὰ στενά. 42 Hav. καθεστήκασιν. Ven. καθειστήκεισαν. 43 Hav. λεπτομερέστατα δέ. 44 Hav. ἐπικερτώμησις h. l. et infra v. 14. 45 οὖν Par. 2. om. 46 Par. 1. σεμνότητος. 47 Hav. ἡμῖν. — sq. πολλὰ Par. 2. om. — Il. ι. 347. 48 Par. 2. δεῖ. tum Hav. ἔδειμεν. 49 Par. 2. τε πεπήγει. 50 διασυρμὸς — μαντεύεσθαι Ven. Hav. om. 51 Parr. τό. scr. τῷ, monente Dindorfio. 52 Od. υ. 380. αὖτέ τις οὗτος ἀν. μ. 53 Hav. τό. 54 Hav. συντεθειμένος. ceteri συντιθέμενος. 55 οἷον Hav. om. 56 Hav. ἐνταῦθ᾽ οἱ. Od. σ. 105. 57 τε σύας Hav. om. 58 Hav. καὶ om. Ven. κατά. 59 Hav. δὲ ὄντως. Parr. δεόντων. Ven. δεόντως. 60 Hav. κατὰ θρ. καταπαιζόμεθα.

Ὀθρυονεῦ[61] πέρι δή σε βροτῶν αἰνίζομ' ἁπάντων,
Εἰ ἐτεὸν[62] δὴ ταῦτα τελευτήσεις, ὅσ' ὑπέστης
Δαρδανίδῃ Πριάμῳ.[63]

Εἴκασμα[64] δέ ἐστιν ὅταν μετὰ τοῦ παρατιθέναι τὸ ὅμοιον καθαίρωμεν τοὺς πέλας, οἷον,

Ὢ πόποι ὡς ὁ μολοβρὸς ἐπιτροχάδην ἀγορεύει
Γρηῒ καμινοῖ[65] ἶσος.

Χαριεντισμὸς δέ ἐστι λόγος ἠθικὸς μετὰ χάριτος παριστῶν[66] τὴν τοῦ λέγοντος ἐπί τινι διάχυσιν, οἷον,

Ὢ πόποι, ἦ μάλ'[67] ἐλαφρὸς ἀνήρ, ὃς[68] ῥεῖα κυβιστᾷ.

καὶ[69] τὰ μὲν τῆς διανοίας σχήματα τοιαύτην τινὰ τάξιν ἔχοντα παραδεδόσθω[70]· τὰ δὲ τοῦ λόγου, ποικίλα ὄντα τοῖς τε ὀνόμασι καὶ τῇ διακοσμήσει, πειρασώμεθα διὰ συντόμων ἀποδεῖξαι.[71]

Γίνεται δὲ[72] πᾶν σχῆμα λόγου[73] καὶ διανοίας ἐν περιόδῳ. ἥτις ἐστὶ λόγος[74] ἐν εὐπεριγράφῳ συνθέσει κώλων αὐτοτελῆ διάνοιαν ἀποτελῶν·[75] οἷον, ἀνὴρ[76] γὰρ ἰδιώτης ἐν πόλει δημοκρατουμένῃ νόμῳ καὶ ψήφῳ βασιλεύει. περίοδος μὲν οὖν τοῦτο· κῶλα[77] δὲ τῆς περιόδου,

πρῶτον

---

61 Par. 2. ὦ Θρυονεῦ — βρωτῶν, αἰνίζομαι. — Il. ν. 374. 62 Hav. εἰ ἕτερον — τελευτήσῃς. tum Hav. Par. 2. ὡς ὑπέστης. 63 Πριάμῳ Ven. Parr. om. 64 Hav. εἰκασμός. Sic Moschopulus Titzii p. 82. 65 Par. 2. καμηνοῖ ἰδών. Hav. ἴσως. Ven. Par. 1. ἶσος. — Od. σ. 27. 66 Hav. παριστῶν. ceteri παριστάς. Post λέγοντος Parr. Ven. habent σημασίαν, quod delevit Dind. secutus Hav. 67 Par. 2. μάλα. Il. π. 745. 68 Ven. Parr. ὡς. 69 καὶ — σχήματα Hav. om. 70 Hav. παραδίδοσθαι. Sqq. τὰ δὲ — ἀποδεῖξαι Parr. om. 71 Hav. ἐπιδῆλαι. 72 δὲ Par. 2. om. 73 Par. 2. καὶ λόγος καὶ διάνοια. 74 Hav. οἵτινές εἰσι λόγος. Parr. ἥτις ἐστὶ λόγος. Ven. ἥτις ἐστὶν, omisso λόγος. tum Ven. ἀπεριγράφῳ. Parr. ἀπεριγράπτῳ. Hav. εὐπεριγράφῳ. 75 Ven. ἀποτελοῦσα. ceteri ἀποτελῶν. 76 ἀνὴρ γὰρ — πρῶτον μὲν Hav. om. 77 κῶλα δὲ — πρῶτον μὲν Par. 1. om.

πρῶτον μὲν, ἀνὴρ γὰρ ἰδιώτης· δεύτερον δὲ, ἐν πόλει δημοκρατουμένῃ· τρίτον,[78] νόμῳ καὶ ψήφῳ βασιλεύει. γίνονται δὲ δίκωλοι καί τρίκωλοι καὶ τετράκωλοι. δίκωλοι μὲν,[79] οἷον, Ἀθηναῖοι μὲν[80] κατὰ θάλατταν ἠρίστευον, Λακεδαιμόνιοι δὲ ἐν τοῖς πεζικοῖς κινδύνοις ἐπρώτευον. τρίκωλοι δὲ, ὡς ἔθηκέ τις ἐπὶ τῶν Ἀθηνῶν·[81] ἣ πρὸς ἁπάσας ὁρωμένη[82] καὶ κρινομένη τὰς πόλεις πρόσωπον[83] μὲν ἂν φαίνοιτο[84] τῆς Ἑλλάδος διὰ τὸ κάλλος, χεῖρες δὲ[85] διὰ τὴν ἰσχὺν, ψυχὴ[86] δὲ διὰ τὴν φρόνησιν. νοείσθω δὲ ἡ τρίκωλος χωρὶς[87] τῆς προεκθέσεως[88] ἀπὸ τοῦ, πρόσωπον μὲν ἂν φαίνοιτο[89] καὶ τὰ ἑξῆς. τετράκωλος δὲ, ὡς παρ' Ἰσοκράτει· „τίς γὰρ οὐκ ἂν[90] ἡδέως μετάσχοι στρατείας[91] τῆς ὑπὸ Ἀθηναίων[92] μὲν καὶ Λακεδαιμονίων στρατηγουμένης, ὑπὸ[93] δὲ τῆς Ἑλλάδος[94] ἐκπεπονημένης, ὑπὲρ[95] δὲ τῆς τῶν συμμάχων ἐλευθερίας[96] ἀθροιζομένης, ἐπὶ δὲ τὴν τῶν[97] βαρβάρων τιμωρίαν πορευομένης." Νῦν[98] δὲ ὁριστέον τὰ σχήματα.[99]

78 Par. 2. τρίτον δέ. 79 δίκωλοι μὲν Ven. om. Par. 2. καὶ δίκωλοι μέν. [Bekk. hanc lectionem Par. 1. tribuit, et a Par. 2. δίκωλοι μὲν omitti indicat.] 80 μὲν Hav. om. 81 Hav. Ἀθηναίων. 82 Par. 2. ὁρ. τὰς πόλεις καὶ κρινομ. 83 Hav. καὶ πρόσωπ. tum μὲν Parr. om. 84 Hav. ἐμφαίνοιτο. Ven. ἀναφαίνοιτο, unde Dind. scripsit ἂν φαίνοιτο. Parr. 1. 2. ἂν ἀναφαίνοιτο. 85 δὲ Par. 2. om. 86 Par. φρένες. 87 Parr. χώρα. 88 Hav. τῆς προεκθέσ. Ven. τῆς ἐξ προθέσεως. Par. 1. τῆς ἐκ προεκθέσεως. Par. 2. τῆς ἐκ προεκθέσεως ἀπὸ τὸ πρόσωπον· τετράκωλοι δὲ, ὡς παρὰ Ἰσ. 89 Hav. ἀναφαίνοιτο. Ven. ἂν ἀναφαίνοιτο. Dind. scripsit ἂν φαίνοιτο. 90 Hav. γὰρ ἂν κἂν ἡδέως. 91 Hav. μετασχοῖς στρατειᾶς. 92 Ven. Ἀθηνῶν. Hav. Par. 2. Ἀθηναίων. 93 ὑπὸ — ἐκπεπονημένης Hav. om. 94 Par. 2. τὴν Ἑλλάδα. 95 Hav. ὑπό. Sq. τῆς Par. 2. om. 96 Par. 2. ἐλευθερίας ἐλευθέρως. 97 τῶν Hav. om. 98 Ven. Parr. νυνί. Hav. νῦν. 99 Ven. Parr. τὸ σχῆμα.

## ΠΕΡΙ ΤΩΝ ΕΝ ΛΟΓΩι ΣΧΗΜΑΤΩΝ.[1]

Σχῆμά ἐστι λόγου ἢ λέξεως οἰκονομία μετ' εὐκοσμίας ἐκπεφευγυῖα[2] τὴν ἰδιωτικὴν ἁπλότητα τῆς ἀπαγγελίας. ἔστι[3] δὲ τὰ τῷ λόγῳ παρακολουθοῦντα σχήματα τάδε· ἀπὸ κοινοῦ, μερισμὸς, ἀπολελυμένον, παρονομασία,[4] ἀποσιώπησις, διὰ μέσου, διόρθωσις, προδιόρθωσις,[5] ἐπιδιόρθωσις, ἀποστροφὴ, διαβεβαίωσις, ἐρώτησις, ἀντεστραμμένον, ἐπαναφορὰ, πολύπτωτον, ὁμοιόπτωτον,[6] ὁμοιοκατάληκτον, ὁρισμὸς, ἀστεϊσμὸς, ἐπιτροπὴ, ἀντίθεσις, διάλυσις, ἐπίζευξις, κλῖμαξ,[7] σύλληψις, κατ' ἐξοχὴν, Πινδαρικὸν, Ἰβύκειον,[8] Ἀλκμανικὸν, ἐκ παραλλήλου, καταρίθμησις,[9] ἀσύνδετον, ἐξ ἀντιστρόφου.[10] τὰς γὰρ κατασκευὰς τοῦ λόγου οὐ συναριθμητέον τοῖς σχήμασιν, οἷον τήν τε προοικονομίαν καὶ προαναφώνησιν[11] καὶ παραβολὴν καὶ ὁμοίωσιν καὶ ἀνταπόδοσιν[12] καὶ παράδειγμα καὶ εἰκόνα.

Ἀπὸ κοινοῦ μέν ἐστι λόγων συνέχεια ἐν διανοίᾳ κοινωνοῦσα ὡς ἐπὶ τὸ πλεῖστον ἑνὸς ῥήματος εἰς συντέλειαν, οἷον,

— καὶ ἐλίσσετο πάντας Ἀχαιοὺς,[13]
Ἀτρείδα δὲ μάλιστα δύο κοσμήτορε λαῶν.

Μερισμὸς δὲ[14] πράγματος ἑνὸς εἰς πολλὰ[15] διαίρεσις εἰς δήλωσιν τῶν ὑποκειμένων, οἷον,

Ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει,[16]
Τέκνα δέ τ' ἄλλοι ἄγουσι βαθυζώνους τε γυναῖκας.

---

1 Hav. σχημάτων om. Par. 2. περὶ σχημάτων λέξεως. 2 Hav. ἐμπεφυῖα. Ven. Par. 1. ἐκπεφευγυῖα. Par. 2. ἐκπεφευγός. 3 Par. 1. εἰσί. 4 Parr. παρωνομασία. 5 Hav. προςδιόρθωσις. Sqq. ἐπιδιόρθ. — διαβεβαίωσιν Hav. om. 6 Post ὁμοιόπτ. Parr. ponunt ἀλλοίωσις. 7 Codd. κλίμαξ. Dind. κλῖμαξ. 8 Hav. ἰβυκόν. 9 Ven. ἀπαρίθμησις. tum Hav. ἀσύνθετον. 10 Ven. ἀντιστροφῶν. Hav. ἀντιστρόφου. Parr. ἀντιστροφῆς. 11 Parr. προανεκφώνησιν. 12 Par. 2. ἀνταπόδωσιν. 13 Il. α. 15. 14 Par. 2. ἐστί. 15 Par. 2. πολλάς. 16 Hav. ἀμαλ-

τούτῳ δὲ[17] τῷ σχήματι ἐχρήσατο ἡ Κλεοπάτρα, ὥσπερ ἐδυσώπησε[18] καὶ διήγειρε τὸν Μελέαγρον. ἡ γὰρ καθ' ἕκαστον τῶν ὑποκειμένων διήγησις εἰς ὄψιν ἡμῖν τὸν τῆς πόλεως οἶκτον ἤγαγεν.[19]

Ἀπολελυμένον δέ[20] ἐστι λόγος πολλὰς ἀρχὰς ἔχων ἐκ διαιρέσεως καὶ διαλείμματος ἐκφέρων[21] τὴν τῆς φωνῆς ὁρμὴν,[22] καθάπερ ἀνακαιομένου[23] καὶ ἐκλάμποντος τοῦ θυμοῦ τοῦ λέγοντος, οἷον,[24]

*Δύσπαρι, εἶδος ἄριστε, γυναιμανὲς, ἠπεροπευτά.*[25]

Παρονομασία δέ ἐστιν[26] ὅταν ἔκ τινος τῶν ληφθέντων εἰς διάνοιαν[27] ὀνομάτων ἢ ῥημάτων βραχὺ μεταποιήσαντες ἑτέραν κινήσωμεν[28] διάνοιαν, οἷον,

*Τῶν*[29] *μὲν Πρόθοος θοὸς ἡγεμόνευε.*

συνώνυμον γὰρ ὄνομα λαβὼν ἐτήρησε τὴν ἀρχὴν,[30] δυνάμενος εἰπεῖν, Πρόθοος ταχύς.

Ἀποσιώπησις δὲ ὁπότ' ἂν[31] ἀτοπωτέρᾳ τις μέλλων ἐπιφορᾷ χρῆσθαι σιγήσῃ[32] τὸ συμπέρασμα τῆς διανοίας· „ἀλλ'[33] ἐμοὶ μὲν — οὐ βούλομαι δὲ[34] δυσχερὲς οὐδὲν εἰπεῖν ἀρχόμενος[35] τοῦ λόγου."

---

θύνει. Il. ι. 589. 17 Ven. γάρ. Hav. δέ. Par. 2. om. tum Ven. χρησαμένη. Parr. χρωμένη. Hav. ἐχρήσατο. 18 Par. 2. ἐκδυσώπησε καὶ διέσειρε. 19 Par. 2. ἤγαγεν οἶκτον. 20 Ven. δὲ, ὃ. Hav. δέ. omisso ἐστὶ λόγος, quod recepi ex Par. 2. tum Ven. ἔχον. Par. 2. Hav. ἔχων. 21 Par. 2. διαλείματος ἐκφέρων. Hav. Ven. ἐκφέρει. 22 Hav. Par. ὀργήν. 23 Par. 1. ἀναγκαιομένου. Par. 2. ἀναγκαζομένου. tum Ven. ἐλλάμποντος. 24 οἷον Ven. Hav. om. 25 Par. 2. ὑπεροπευτά. Il. γ. 39. 26 ἐστιν Ven. Parr. om. — Sq. ὅταν Hav. om. 27 Par. 2. διανοία. 28 Ven. κινήσομεν. 29 Par. 2. τόν. tum Hav. πρόθως, omisso θοός. 30 Hav. ἀρχήν. ceteri χάριν. 31 Hav. ὁπότ' ἄν. ceteri ὁπόταν. tum Hav. ἀτοπώτερα. 32 Par. 2. σιγήσει. tum Hav. πέρασμα. 33 Par. 2. οἷον ἀλλ'. — pro cor. p. 226. 34 δὲ Hav. om. 35 Ven. ἀρχόμενος. Hav. ἀρχομένου. Par. 1. et correctus Par. 2. ἀρχομένῳ τῷ λόγῳ.

*Διὰ μέσου δέ* [36] *ἐστιν ἕνωσις λόγου τὸ ἀκόλουθον ἀφαιρουμένη* [37] *ἑτέρου τινὸς παραθέσει* [38] *λόγου, οἷον,*

σφῶϊ [39] μὲν — οὐ γάρ ἔοικ' ὀτρυνέμεν — οὔτι κελεύω.

*Διόρθωσις δὲ* [40] *ὅταν τῷ ῥηθέντι δυσαρεστήσαντες ὡς οὐχ ἱκανῶς εἰρημένῳ μεταφράσωμεν, εἶτα ἐπιδιασαφήσωμεν αὐτὸ μᾶλλον, οἷον,* [41] *„ὑμεῖς τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι· τὸ δ' ὑμεῖς ὅταν εἴπω, τὴν πόλιν λέγω.*

*Προδιόρθωσις δὲ ὅταν μέλλωμεν αἰσχρὰ κατὰ τῶν ἀντιδίκων ἢ μεγάλαυχα* [42] *περὶ αὐτῶν ἐρεῖν, εἶτα ἐκμαλάσσωμεν* [43] *τοῖς λόγοις, προκαταλαμβάνοντες τοὺς ἀκροατάς· οἷον,*

Ἐγγὺς [45] ἀνὴρ — οὐ δηθὰ ματεύσομεν [46] — αἴκ' ἐθέλητε
Πείθεσθαι· [47] καὶ μή τι κότῳ ἀγάσησθε ἕκαστος,
Οὕνεκα δὴ γενεῆφι [48] νεώτατός εἰμι μεθ' ὑμῖν,
Πατρὸς δ' [49] ἐξ ἀγαθοῦ καὶ ἐγὼ [50] γένος εὔχομαι εἶναι.

*Ἐπιδιόρθωσις δὲ ὅταν τοῖς δοκοῦσιν ἡμαρτῆσθαι ἐπάγῃ τις ὥσπερ θεράπειαν τὴν μετάνοιαν· οἷον,*

Σοί [51] τ' ἐπιπείθονται [52] καὶ δεδμήμεσθα ἕκαστος.

*ἐπεὶ γὰρ ὡς* [53] *περὶ ἑτέρων εἶπε τὸ* π ε ί θ ο ν τ α ι, *συμπεριέλαβεν ἐν τῷ δευτέρῳ καὶ ἑαυτόν* [54].

*Ἀποστροφὴ δὲ γίνεται ὅταν δέον εἰπεῖν πρὸς* [55]

---

36 δὲ Par. 2. om. Sq. λόγου Hav. om. 37 Parr. ἀφαιρουμένου. 38 Blochius παρενθέσει. — Sq. οἷον Par. 2. om. 39 Hav. σφῶϊν — ἔοικεν. Par. 2. σφῶιν μὲν γὰρ ἔοικεν. — Il. δ. 286. 40 Ven. ἐστί. 41 Ven. οἷον ὡς τοίνυν ὑμεῖς. — pro cor. p. 255. 42 Ven. Parr. μεγάλοι. 43 Ven. ἐκμαλάττωμεν. Par. 2. ἐκμαλάττομεν. 44 Par. 2. τὸν ἀκροατήν. Hav. ἀκροαστάς. 45 Par. 2. ἠδός. Il. ξ. 110. 46 Par. 2. μαντεύσομαι. tum Ven. Par. 2. αἴ κε θέλητε. Hav. αἴ κε θέαν τε. 47 Par. 2. πείσεσθαι καὶ μή τοι. 48 Par. 2. γενεὴν φινεώτατος. 49 Par. 2. δέ. 50 Hav. Par. 2. κἀγώ. tum Hav. εὔχομαι Τυθέος εἶναι. 51 Hav. σύ. 52 Par. 2. ἐπὶ πείθονται καὶ δεδμήμεθα. Il. ε. 878. 53 Par. 2. ὥσπερ ἕτερον εἶπε τὸν π. 54 Par. 2. αὐτόν. Ven. αὐτόν. Hav. ἑαυτόν. 55

ἁμαρτάνοντας, πρὸς μὲν αὐτοὺς[56] ἐκείνους οὐδὲν εἴπωμεν, πρὸς δὲ τὸν[57] τὴν ὅλην ἀποδεχόμενον[58] βλάβην. Ὀδυσσεὺς οὖν βουλόμενος εἰπεῖν τὴν βλάβην τοῖς Ἕλλησιν, ὅτι ἀδικοῦσι παραβαίνοντες τὰς ὑποσχέσεις ἃς ὑπέσχοντο τῷ βασιλεῖ, πρὶν ἑλεῖν τὴν Ἴλιον ἀνακάμπτειν ζητοῦντες οἴκαδε, ἐπεὶ τοῦτο ἑώρα[59] σκληρότερον πρὸς κεκινημένην τὴν ἐκκλησίαν, οὐδὲν μὲν παροξύνων εἶπεν, ἀλλὰ γὰρ ἀπέστρεψε τὸν λόγον πρὸς τὸν βασιλέα.[60]

Ἀτρείδη, νῦν δή σε ἄναξ ἐθέλουσιν Ἀχαιοὶ
Πᾶσιν ἐλέγχιστον θέμεναι μερόπεσσι[61] βροτοῖσιν.

ἐπεὶ[62] γὰρ τὸ ἐκείνους ψεύστας τε καὶ ἀδίκους ἀποφαίνειν κίνδυνον ἐδόκει φέρειν, τὴν μὲν[63] δύναμιν ἐφύλαξε τοῦ νοῦ, ἔδοξε δὲ[64] πολλοῖς ἐλεεινὸν λέγειν τὸν ἐγκαταλειπόμενον,[65] καὶ οὐ πονηροὺς τοὺς ἐγκαταλείποντας[66] τὸν βασιλέα.

Διαβεβαίωσις δέ ἐστι λόγου παῤῥησία μετὰ[67] τοῦ δύνασθαι πράττειν ἀπαρεμποδίστως ταῦτα ἅπερ ἐν τοῖς λόγοις διασημαίνεται, οἷον·

Ἀλλ' οὐ μὰν[68] ὑμῖν γε καὶ ἅρμασι δαιδαλέοισιν
Ἕκτωρ Πριαμίδης ἐποχήσεται· οὐ γὰρ ἐάσω.

Ἐρώτησις δέ[69] ἐστι λόγος ἐν ὑποκρίσει λεγόμενος ἐπὶ

---

Ven. Par. 2. πρὸς τούς. 56 Par. 2. πρὸς αὐτοὺς μὲν οὐδὲν εἴπωμεν, πρὸς τὴν ὅλην ἀναδεχομένη βλ. Ven. αὐτοὺς om. 57 τὸν Hav. om. 58 Ven. ἀναδεχόμενον. 59 Hav. ἑώρακα. tum Codd. προςκεκινημ. Blochius πρὸς κεκιν. 60 Par. 2. βασιλέα Ἀτρείδην· νῦν δεῖ σε. — Il. β. 284. 61 Par. 2. μερόπεσι. 62 Hav. ἐπί. 63 μὲν Par. 2. om. 64 Par. 2. τοῖς pro δέ. tum ἐλεινὸν omisso λέγειν. 65 Ven. ἐγκαταλιμπανόμενον. Par. 2. καταλιμπανόμενον. Hav. ἐγκαταλειπ. 66 Ven. ἐγκαταλιπόντας. Par. 2. ἐγκαταλίποντας. Hav. ἐγκαταλείπ. 67 Ven. μετὰ καὶ τοῦ. Hav. κατὰ τοῦ. Parr. μετὰ τοῦ. 68 Par. 2. μήν. Hav. μᾶν. — δεδαλ. — ἐποιχήσ. Il. ρ. 448. 69 δὲ Hav. om.

τῷ[70] σαφέστερον γνῶναί τι τῶν ἐπιζητουμένων, ὡς παρὰ Ὑπερίδῃ·[71] „δοκεῖς γὰρ αὐτὸν εἰπεῖν;“

Ἀντεστραμμένον[72] δέ ἐστι λόγος ἀντικείμενος τῇ κατὰ φράσιν[73] προφορᾷ τῶν σημαινομένων,[74] οἷον,

Πολλά οἱ ἀμφὶ[75] κάρη σφέλα ἀνδρῶν ἐκ παλαμάων
Πλευραὶ[76] ἀποτρίψουσι δόμον κάτα βαλλομένοιο.

Ἐπαναφορὰ δέ[77] ἐστι πλάσις[78] ἐκ τοῦ διπλασιάζεσθαι ἐπίτασιν[79] δηλοῦσα, οἷον,

Τοῦδ' ἐγὼ ἀντίος εἶμι,[80] καὶ εἰ πυρὶ χεῖρας ἔοικεν,
Εἰ[81] πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ.

καί,

ἅτε[82] παρθένος ἠΐθεός τε,
Παρθένος ἠΐθεός τ' ὀαρίζετον ἀλλήλοιϊν.[83]

καί, „Θῆβαι δέ, Θῆβαι,[84] πόλις ἀστυγείτων, μεθ' ἡμέραν[85] ἐκ μέσης τῆς Ἑλλάδος[86] ἀνήρπασται.“

Πολύπτωτον δὲ ὅτ'[87] ἂν ἤτοι τὰς ὀνομασίας[88] ἢ τὰ ὀνόματα εἰς πάσας τὰς πτώσεις μεταβάλλοντες[89] διατιθώμεθα τὸν λόγον, ὡς παρὰ Κλεοχάρῃ·[90] „Δημο-

---

70 Codd. τό. Bloch. τῷ. 71 Par. 2. παρ' Εὐριπίδῃ. Ven. Par. 1. Εὐριπίδῃ. Hav. Ὑπερίδῃ. 72 Ven. τὠντεστραμμένον. tum Par. 2. δέ ἐστιν. 73 Hav. ῥύσιν. voluit ῥῆσιν. tum Ven. προσφορᾷ. 74 Hav. τῶν σημαινομένων. Parr. σημαινόμενον. Ven. σημαινόμενος. Sq. οἷον Hav. om. 75 Par. 2. ἀμφὶς κάρης φῦλα. Hav. σφελά. Od. ρ. 231. 76 Hav. Par. 2. πλευρὰ ἀ. δόμου καταβαλλ. 77 δὲ Hav. Par. 2. om. 78 Ven. λέξις. 79 Hav. ἐπίτασις. 80 Hav. εἰμί. Il. υ. 372. 81 Hav. καί. Par. 2. εἰ — ἔοικε om. 82 Par. 2. εὔτε παρθένος ἠΐθεός τ' ὀαρίζετ. omissa repetitione. Hav. ἅτε ἰήθεός τε παρθένος ὁρίζετον. Il. χ. 127. 83 Par. 2. ἀλλήλοισι. 84 Par. 2. om. — Aeschin. p. 72, 30. 85 Parr. ἡμέρας. tum Par. 2. μέσου. 86 Codd. πόλεως. tum Ven. ἥρπασται. 87 Hav. ὅτ' ἄν. Par. ὅταν. Ven. om. 88 Par. 2. ἢ τὰς ἀντωνομασίας. 89 Hav. μεταβάλ. διατιθέμεθα. Ven. μεταβάλ. συντιθέμεθα. Parr. μεταλαμβάνοντες διατιθώμεθα. [Par. 2. διατιθέμεθα.] 90 Κλεοχάρῃ Hav. et Parr. apud Bekkerum. Κλεοχάρει Par. 1.

σθένης[91] ὑπέστη Φιλίππῳ·[92] Δημοσθένους πένης μὲν ὁ βίος, μεγάλη δ' ἡ παῤῥησία· Δημοσθένει πολλῶν διδομένων οὐδὲν οὔτε πλῆθος οὔτε κάλλος ἄξιον ἐφάνη προδοσίας· Δημοσθένη[93] Ἀλέξανδρος ἐζήτει·[94] τὸ διὰ τί παρ' αὐτοῖς λογίζεσθε·[95] ἀδίκως τε ἀπέθανες, ὦ Δημόσθενες." ἔστι δὲ τὸ[96] τοιοῦτον σχῆμα καὶ παρά τισι τῶν ποιητῶν, ὡς παρ' Ἀρχιλόχῳ[97] καὶ Ἀνακρέοντι· καὶ[98] παρὰ μὲν οὖν Ἀρχιλόχῳ·

Νῦν δὲ Λεώφιλος[99] μὲν ἄρχει, Λεωφίλου[1] δ' ἐπικρατεῖ,
Λεωφίλῳ δὲ πάντα κεῖται, Λεώφιλε[2] δ' ἄκουε.

παρὰ δὲ Ἀνακρέοντι ἐπὶ τριῶν·[3]

Κλευβούλου μὲν ἔγωγ' ἐρῶ,[4]

---

apud Bastium Comm. pal. 804. Κλεοχάρμῳ Ven. 91 Par. 2. δορός. apud Bastium δηρός. 92 Hav. Φιλίππῳ. ceteri Φίλιππον. 93 Ven. δημοσθένει. Hav. δημοσθένη. Parr. δημοσθένην. 94 Codd. ἐζητεῖτο διὰ τί [Par. 2. διὰ τὸ παρ' αὐτ. λογίζεσθαι.] Bekkerus ἐζήτει· τὸ διὰ τί. 95 Hav. λογίζεσθαι ἀδίκως, ἀδίκως τε ἀπέθανες, unde Dind. adscivit τε, quod abest a ceteris. Par. 2. ἀδίκως τὸ ἀπέθανες. 96 Par. 2. τοῦτο τὸ σχ. 97 Hav. παρὰ Ἀρχιλόχῳ, omissis sqq. καὶ Ἀν. — Ἀρχιλόχῳ. 98 καὶ Parr. om. 99 Hav. νῦν δὲ λεώφ. μέν. Ven. νῦν μὲν λεώφ. Parr. νῦν λεώφ. μέν.

1 Hav. λεωφίλου. ceteri λεώφιλος. Par. 2. δὲ ἐπικ. 2 Hav. Ven. λεώφιλε δὲ ἄκουε. Parr. λεώφιλας δ' ἄκουε. Archilochi fragmentum, LXXIV. apud Gaisf. ita emendavit Porsonus:

Νῦν (δὲ) Λεώφιλος μὲν ἄρχει, Λεώφιλας δ' ἐπικρατεῖ,
Λεωφίλῳ δὲ πάντα κεῖται, Λεωφίλου δ' ἀκούεται.

Sed Dindorfio ex grammatici haec afferentis consilio et optimi libri Hav. scriptura et ex eo, quod dicit παρὰ δὲ Ἀνακρέοντι ἐπὶ τριῶν probabile videtur, Archilochum quatuor deinceps casibus usum esse, ut neque ἐπικρατεῖ neque ἄκουε vel ἀκούεται locum habere possit. 3 ἐπὶ τριῶν Parr. Ven. om. 4 Hav. ἐγὼ γερῶ.

*Κλευβούλῳ δ' ἐπιμαίνομαι,*
*Κλεύβουλον δ' ἰδέειν ποθέω.* [5]

Ὁμοιόπτωτον δέ ἐστι φράσις [6] ἐκ τῶν παραπλησίων καὶ [7] τῶν ὁποίων κλίσεων εἰς ἓν ἐξενηνεγμένη, οἷον ἐπὶ [8] μὲν εὐθείας·

*Λυσόμενός τε θύγατρα, φέρων τ' ἀπερείσι' ἄποινα,* [9]
*Στέμματ' ἔχων ἐν χερσὶν ἑκηβόλου Ἀπόλλωνος.*

ἐπὶ δὲ αἰτιατικῆς·

*Ἄλκανδρόν θ' Ἅλιόν τε Νοήμονά τε Πρύτανίν τε.* [10]

καὶ ἐπὶ τοῦ αὐτοῦ χρόνου,

*Τὴν δὲ διεπράθομέν τε καὶ ἤγομεν ἐνθάδε πάντα.* [12]

---

5 Ven. δὲ διϊδεῖν ἐπιποθῶ. Parr. δὲ διοσκνέω. Hav. διὸς κνέων. correxit Dind. 6 Ven. ἔκφρασις. ceteri φράσις. 7 Hav. Ven. ἤ. Parr. καί. 8 ἐπὶ μὲν — — ἐπὶ δὲ αἰτιατικῆς Hav. om. 9 Il. α. 14. 10 Il. ε. 678. 11 ἐπὶ τ. α. χρόνου Hav. om. 12 Ven. πάντες. Il. α. 367. — Sequitur in Parr. ἀλλοίωσις δέ ἐστι τοῦτο, ὅτε τῇ προκειμένῃ φράσει ἡ ἐπιφερομένη ἔννοια μὴ ὁμοιοπτώτως τοῖς φθάσασιν ἐπενεχθῇ, ἀλλὰ πρὸς τὴν ἐπαγομένην ἔννοιαν μεταληφθῇ. Haec uterque: deinde 2.: οἷον πᾶσα ἡ Ἑλλὰς ἐσιδηροφόρει, ἀντὶ τοῦ οἱ Ἕλληνες. γίνεται δὲ κατὰ πολλοὺς τρόπους· καὶ γὰρ περὶ γένη ὀνομάτων καὶ περὶ ἀριθμοὺς καὶ περὶ πτώσεις καὶ περὶ ἐνεργείας καὶ πάθη καὶ χρόνους καὶ περὶ γένη μὲν ὀνομάτων ὑποθέσθω τὸ προειρημένον παράδειγμα, τὸ πᾶσα ἡ Ἑλλὰς ἐσιδηροφόρει. περὶ δὲ ἀριθμούς, οἷον αἴας (μέγας Zonaeus περὶ σχημάτων τῶν κατὰ βίον, eiusd. cod. f. . .) ὁ καθελὼν τὴν Τροίαν, ἀντὶ τοῦ οἱ καθελόντες. περὶ δὲ πτώσεις· μῆνιν ἄειδε, θεά, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκεν· ἀπὸ αἰτιατικῆς γὰρ εἰς εὐθεῖαν μετέπεσε. περὶ ἐνεργείας καὶ πάθη, οἷον οὐκέτι μιγνύμενοι. περὶ δὲ χρόνους, ὡς τὸ παρέξομαι τοὺς ὁρῶντας μάρτυρας. ἰστέον ὅτι ἀλλοίωσις μὲν λέγεται ἡ ἀπὸ τοῦ κρείττονος ἐπὶ τὸ χεῖρον τροπή, μεταβολὴ δὲ ἡ ἀπὸ τοῦ χείρονος ἐπὶ τὸ κρεῖττον. ἡ ἀπὸ τοῦ μέσου δὲ ἐπὶ τὸ κρεῖττον ἢ ἐπὶ τὸ χεῖρον τροπὴ λέγεται· κάμε τεύχων, ἀντὶ τοῦ καμὼν κατεσκεύασε· λέγεται καὶ τόδε ἀλλοίωσις. P. 1. vero: οἷον ἐν τῷ χάρις ιυ χῳ τῷ ἀγαπήσαντι ἡμᾶς, καὶ ἐποίησεν ἡμᾶς βασίλειον ἱεράτευμα τῷ θεῷ καὶ πατρὶ αὐτοῦ. δοτικῆς γὰρ πτώ-

Ὁμοιοκατάληκτον δέ[13] ἐστι φράσις εἰς μίαν καὶ τὴν ὁμοίαν κατακλειομένη[14] κατάληξιν, οἷον,

Οὔλυμπον δ', ὅθι φασὶ θεῶν ἕδος ἔμμεναι ἐσθλόν.[15]
Οὔτ' ἀνέμοισι τινάσσεται οὔτε ποτ' ὄμβρῳ
Δεύεται, οὔτε χιὼν ἐπικίδναται, ἀλλὰ μάλ' αἴθρη
Πέπταται ἀννέφελος.

Ὁρισμὸς δέ ἐστιν ὅταν προθέντες[16] ὄνομά τι[17] ἢ ῥῆμα, οἷόν ἐστιν, ὁριζώμεθα· „παραπέμπει δὲ[18] ἡμᾶς ἡ ἐλπίς· αὕτη δὲ[19] ἀτυχούντων ἐστὶν ἐφόδιον.“

Ἀστεϊσμὸς δέ ἐστι προσποίησις πιθανὴ τοῦ μὴ λέγειν ἢ μνημονεύειν ἡμᾶς ἃ λέγομεν, ὡς παρὰ Σοφοκλεῖ εἰσῆκται λέγων ὁ Ὀδυσσεὺς τῷ Διομήδῃ·[20]

Ἐγὼ δ' ἐρῶ[21] σοι δεινὸν οὐδέν, οὐθ'[22] ὅπως
Φυγὰς πατρῴας[23] ἐξελήλασαι χθονός,

σεως προληφθείσης ἐν τῷ ἀγαπήσαντι ἡμᾶς ἐλλειπτικῶς καὶ δίχα ἀναφορικοῦ ἄρθρου. ἦν γὰρ τὸ ἐλλιπὲς οὕτως, τῷ ἀγαπήσαντι ἡμᾶς. κἂν μὲν ἡ ἐπιφερομένη ἔννοια ὁμοιοπτώτῳ ἐπαναλήψει ἐπήνεκτο, οὕτω προσαγομένη, ὃς ἐποίησεν ἡμᾶς, οὐδὲν ἡμῖν περὶ τούτου προὔκειτο ζήτημα. ἐνέργειαν δὲ ὑποστήσας διὰ τοῦ ἐποίησε ῥήματος, ἀναγκαίως ἐπ' εὐθεῖαν πτῶσιν ἀποκλίνομεν, τὸν ἐνεργοῦντα ἐπιποθοῦντες μαθεῖν. καὶ πῶς τούτου ἂν ἐτυγχάνομεν; τῆς ὀνομαστικῆς πτώσεως παραλαμβανομένης, διότι τὸ ἐλλιπὲς ἄρθρον ἡ ὀνομαστικὴ εὐθεῖα παρέσχεν οὕτως ἐξακούεσθαι ἀνελλιπῶς, ὃς καὶ ἐποίησεν ἡμᾶς βασίλειον ἱεράτευμα, οἱονεὶ ἀνήγαγεν ἡμᾶς εἰς βασίλειον δόξαν, ἣν δόξαν ἡ ἐχομένη ἔγγραφος λέξις ἱκανὴ παραστῆσαι. αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. ἀμήν. ἀπὸ τῶν τελευταίων ἐπὶ τὸ πρῶτον ἐπάνεισιν οὕτως· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος τῷ ἀγαπήσαντι ἡμᾶς ἐν τῷ ἰδίῳ αἵματι. καὶ Εὐριπίδης· ἵν' ἀνταλλάσσωμεν οἵ με προὔδοσαν. καὶ ταῦτα μὲν ἐν τῷ περὶ ὁριστοῦ. 13 δὲ Hav. om. 14 Ven. κατακλιομένη. 15 Od. ζ. 42. 16 Parr. Hav. προστιθέντες. 17 Hav. ὀνόματι ἢ ῥήματι. 18 Parr. Ven. γάρ. Hav. δέ. 19 Parr. Hav. δέ. Ven. γάρ. Sq. ἐστὶν Hav. om. 20 Parr. Ven. διομήδει. 21 Hav. ἀρῶ. 22 Ven. ἀλλ'. 23 Hav. πατρώϊος. tum Parr. ἐξελήλαται. Ven.

Οὔθ' ὡς ὁ[24] Τυδεὺς ἀνδρὸς αἷμα συγγενὲς
Κτείνας ἐν Ἄργει ξεῖνος ὢν οἰκίζεται,
Οὔθ'[25] ὡς πρὸ Θηβῶν ὠμυβρῶτ' ἐδαίσατο
Τὸν Ἀστάκειον[26] παῖδα διακαρατομῶν.[27]

Ἐπιτροπὴ δὲ ὅταν τοῖς ἀκούουσιν ἐπιτρέψωμεν τὴν τῶν πραγμάτων ἢ ὀνομάτων ἐξουσίαν, ὡς παρὰ τῷ Εὐριπίδῃ παρεισάγεται ἡ Ἀνδρομέδα[28] λέγουσα τῷ Περσεῖ·[29]

Ἄγου[30] δέ μ' ὦ ξεῖν', εἴτε πρόσπολον[31] θέλεις,
Εἴτ' ἄλοχον, εἴτε δμωΐδα.

Ἀντίθεσις δὲ γίνεται κατὰ τρόπους πλείους·[32] εἷς μὲν ὅταν[33] ἀντικείμενα ὀνόματα λαμβάνηται· „τιμωρία γὰρ[34] ἐπιτίμιον κακίας, οὐκ ἀρετῆς.“ καί, „πολέμῳ δὲ ἰσχὺν χορηγεῖ πλοῦτος, οὐ πενία.“ καὶ κατὰ διέξοδον, „προτιμῶσιν[35] αἱ πόλεις τῶν ἀδίκως πλουτούντων τοὺς δικαίως πενομένους, καὶ τῶν παρανόμως νικώντων τοὺς ἐννόμως[36] ἡττωμένους, καὶ τῶν κακῶς ζώντων τοὺς καλῶς ἀποθνήσκοντας.“ ἑτέρα δὲ ἀντίθεσις ὅταν ἀντιστέλληται[37] κατάφασις ἀποφάσει· „σὺ μὲν[38] γὰρ ἔλαβες, Δημάδη,[39] δῶρα παρὰ Φιλίππου, ἐγὼ δὲ οὐκ ἔλαβον· καὶ σὺ μὲν συνέπινες[40] αὐτῷ κατὰ τῆς πόλεως εὐωχουμένῳ,[41] ἐγὼ δὲ οὐ συνέπινον· καὶ σὺ μὲν συνηνέχθης[42]

ἐξελήλασθαι. 24 ὁ Ven. om. — v. sq. Hav. ἐναργεῖ. 25 Hav. οὔθ'. ceteri οὐδ'. tum Ven. ὠμοβρόνως. Hav. ὠμόβροτα. Parr. ὠμοβρῶτα. 26 Ven. Hav. ἀστάκιον. 27 Hav. διακαρατεμῶν. ceteri διὰ κάρα τεμών. 28 Codd. Ἀνδρομάχη. Scribendum esse Ἀνδρομέδα vidit Villoisonus. 29 τῷ Περσεῖ Hav. om. 30 Ven. ἀγοῦ. Parr. ξέν'. 31 Hav. πρὸς ὄλυμπον ἐθέλῃς. 32 Hav. πλείους. ceteri πλείονας. 33 Parr. Ven. ὅταν τά. 34 Ven. τό. 35 Codd. γὰρ τιμῶσιν. Bloch. γὰρ τιμῶσιν. 36 Hav. ἐν νόμῳ. 37 Ven. Parr. ἀντιδιαστέλληται. 38 μὲν Hav. om. 39 Hav. δημάδη. 40 Ven. ἔπινες σὺν αὐτῷ. 41 Hav. εὐωχουμένων. 42 Hav. συνηλέχθης. Ven. συνειλέχθης.

τοῖς ἐκείνου πρέσβεσι συνομνύμενος,[43] ἐγὼ δὲ οὐ συνηνέχθην.[44]

*Διάλυσις* δὲ ὁπόταν τοὺς συνδέσμους αἴροντες ἑκάστου τῶν κώλων[45] ἰδίαν ἀρχὴν ποιώμεθα, οἷον, „νομίσατε ὁρᾶν ἁλισκομένην πόλιν, τειχῶν κατασκαφὰς, ἐμπρήσεις[46] οἰκιῶν, ἀγομένας γυναῖκας, παῖδας ἐπὶ δουλείαν, πρεσβύτας ἄνδρας, πρεσβύτιδας γυναῖκας, ὀψὲ μεταμανθάνοντας τὴν ἐλευθερίαν, κλαίοντας, ἱκετεύοντας ἡμᾶς, ὀργιζομένους οὐ τοῖς τιμωρουμένοις, ἀλλὰ τοῖς τούτων αἰτίοις.“ νῦν γὰρ οὐκ εἶπεν ἁλισκομένην πόλιν, καὶ ἐμπιπραμένας[47] οἰκίας, καὶ κατασκαπτόμενα τείχη,[48] ἀλλὰ χωρὶς τῶν συνδέσμων ἐξέφρασε τὸν λόγον.[49]

*Ἐπίζευξις* δὲ ὅταν τὰ προκείμενα ὀνόματα διαλαμβάνοντες τὴν ἐπιφορὰν ἐκφαντικωτέραν ποιησώμεθα, οἷον, „Θῆβαι δὲ, Θῆβαι, πόλις ἀστυγείτων, μεθ᾽ ἡμέραν ἐκ μέσης[50] τῆς Ἑλλάδος ἀνηρπάσθη.“

*Κλῖμαξ* δὲ ὅταν ἕκαστον τῶν[51] ἐν τοῖς κώλοις ὀνομάτων ἀναλαμβάνοντες διατιθώμεθα[52] τὸν λόγον, ὡς,[53] „οὐκ εἶπον μὲν[54] ταῦτα, οὐκ ἔγραψα δὲ,[55] οὐδ᾽ ἔγραψα μὲν,[56] οὐκ ἐπρέσβευσα δὲ, οὐδ᾽[57] ἐπρέσβευσα μὲν, οὐκ ἔπεισα δὲ Θηβαίους.“ καὶ τὸ παρ᾽ Ὁμήρῳ δέ τινες τούτῳ τῷ σχήματι συναριθμοῦσιν·

43 Ven. *συγγενόμενος.* 44 Hav. *συνηλέχθην.* Ven. Par. 1. *συνειλέχθην.* 45 Hav. *καλῶν.* 46 Hav. *ἐμπρίσεις.* — Aeschines p. 761, 2. 47 Pen. *ἐμπιπρησκομένας.* 48 Hav. Ven. *τὰ τείχη.* 49 *τὸν λόγον* Hav. om. 50 Hav. *μεθημέραν ἐκ μέσου.* — Aeschin. p. 72. 30. 51 Hav. *ἕκαστον ἐν τοῖς ὀνόμασιν ἀναλ.* 52 Hav. *διατεθώμεθα.* 53 Ven. Parr. *καί.* Post *λόγον* Parr. pergunt: *ὥσπερ διά βαθμῶν τινων ἀφ᾽ ἑτέρου εἰς ἕτερον μεταβαίνοντες κόμμα ἢ κῶλον, καὶ διὰ τῆς ταυτολογίας οἱονεὶ ποδὶ δευτέρῳ πατῶντα* [Par. 1. *πάντων*] *καὶ ἀνιόντα, οἷον, οὐκ εἶπον.* [pro cor. p. 288.] 54 Hav. *εἴπομεν.* sq. *ταῦτα* Parr. om. 55 Hav. *ἔγραψεν* sine *δέ.* 56 Ven. *δέ.* Sqq. *οὐκ ἐπρέσβ.* Hav. om. 57 Codd. *οὐκ.* tum Hav. *ἐπρεσβεύσαμεν.*

*Ἥφαιστος μὲν δῶκε Διὶ[58] Κρονίωνι ἄνακτι·*
*Αὐτὰρ ἄρα Ζεὺς δῶκε διακτόρῳ ἀργειφόντῃ·*
*Ἑρμείας δὲ[59] ἄναξ δῶκεν Πέλοπι πληξίππῳ·*
*Αὐτὰρ ὁ αὖτε Πέλοψ δῶκ' Ἀτρεῖ, ποιμένι λαῶν·*
*Ἀτρεὺς[60] δὲ θνήσκων ἔλιπε πολύαρνι Θυέστῃ·*
*Αὐτὰρ ὁ αὖτε Θυέστ' Ἀγαμέμνονι λεῖπε φορῆναι.*

Σύλληψις δὲ ὅταν τὸ τῷ ἑτέρῳ συμβεβηκὸς κἀπὶ θατέρου λαμβάνηται, οἷον,[61]

*Τὼ δὲ[62] δύω σκάζοντε βάτην Ἄρεος θεράποντε,*
*Τυδείδης τε μενεπτόλεμος καὶ δῖος Ὀδυσσεύς.*

πιθανὸν γὰρ ἦν αὐτῶν[63] τὸν ἕτερον σκάζειν, τὸν κατὰ τοῦ ταρσοῦ τετρωμένον. καὶ,

*Βορέης καὶ Ζέφυρος, τώτε θρήκηθεν ἄητον.*[64]

μόνος γὰρ ὁ Βορέας ἀπὸ τῆς Θρᾴκης ἐκπνεῖ.[65] καὶ τὸ παρὰ Πινδάρῳ ἐπί τε τοῦ Πειρίθου καὶ τοῦ Θησέως λεγόμενον· „φὰν[66] δ' ἔμμεναι Ζηνὸς υἱοὶ[67] καὶ κλυτοπώλου Ποσειδάωνος.“[68]

Κατ' ἐξοχὴν δὲ γίνεται ὅταν τῶν ἐν τῷ[69] κοινῷ ῥηθέντων ἰδίᾳ καθ' ὑπεροχὴν μνησθῶμεν τινῶν·

*Ζεὺς δ' ἐπεὶ[70] οὖν Τρῶάς τε καὶ Ἕκτορα νηυσὶ πέλασσεν.*

εἷς γὰρ ἦν τῶν Τρώων καὶ ὁ Ἕκτωρ, ἰδίᾳ δὲ εἴρηται, ὅτι ἄριστος· καὶ,[71]

---

58 *δῶκε Διὶ — — δὲ ἄναξ* Ven. om. — Il. β. 102. 59 Hav. δ'. 60 Hav. hunc et sq. versum om. — In Par. 1. additur: *οἷον ὡς παρὰ τῷ θεολόγῳ Γρηγορίῳ· οὐ γὰρ φόβος ἐντολῶν τήρησις, οὐδὲ ἐντολῶν τήρησις σαρκὸς κάθαρσις, οὐδὲ σαρκος κάθαρσις ἔλλαμψις, οὐδὲ ἔλλαμψις πόνου πλήρωσις τοῖς τὸ μέγιστον ἢ τοῦ μεγίστου ἢ ὑπὲρ τὸ μέγα ἐφιγμένοις· τὸ τοιοῦτο σχῆμα κλῖμαξ καλεῖται.* 61 *οἷον* Hav. Ven. om. 62 Hav. *τώδε — ἄρεως.* — Il. τ. 47. 63 Ven. Parr. *αὐτῶν ἦν.* 64 Il. ι. 5. 65 Ven. *πνέει.* 66 Hav. *φαμέν.* 67 Ven. *υἱός.* Hav. *υἱόν.* Parr. *υἱοί.* pro *καὶ* Par. 2. *ἤ.* 68 Hav. *ποσειδάωνος.* 69 *τῷ* Hav. om. 70 Ven. *ζεὺς δὲ ἔπειτα τρῶας.* Parr. *ζεὺς ἐπεὶ οὖν τρ.* — Il. ν. 1. 71 Parr. *καὶ τό.*

*Οὐ γὰρ ἔτ' Οἰνῆος μεγαλήτορος*[72] *υἱέες ἦσαν,*
*Οὐδ'*[73] *ἄρ' ἔτ' αὐτὸς ἔην, θάνε δὲ ξανθὸς Μελέαγρος.*

ὅπερ οὐ νοήσαντες οἱ νεώτεροι[74] τὸν Μελέαγρον, Ἄρεως ὄντα, κεχωρίσθαι τῶν Οἰνειδῶν[75] ἔδοξαν.

Πινδαρικὸν δὲ τὰ τοῖς πληθυντικοῖς ὀνόμασιν ἑνικὰ ῥήματα[76] ἔχοντα ἐπιφορὰν, οἷον, „ἄνδρες ἐπὶ πόλεως."[77] καὶ, „ἰαχεῖ[78] βαρυφθεγκτᾶν ἀγέλαι λεόντων." καὶ παρ' Ἡσιόδῳ,[79]

*Τῆς δ' ἦν τρεῖς κεφαλαί.*

ἀπὸ δὲ τούτου τοῦ ἔθους[80] καὶ τοῖς οὐδετέροις πληθυντικοῖς ἑνικὰ ῥήματα ἐπιφέρειν[81] ἀεὶ παρεδεξάμεθα· ὅπερ οὐ τηροῦσι παντάπασιν οἱ λυρικοὶ, ἀλλ' οὐδὲ ὁ ποιητής· λέγει γοῦν,

*— — γυῖα λέλυνται·*[82]

καὶ ἐκ παραλλήλου,

*Καὶ δὴ δοῦρα σέσηπε νεῶν*[83] *καὶ σπάρτα λέλυνται.*

Τὸ δὲ Ἰβύκειον[84] καὶ λέξεως καὶ συντάξεώς[85] ἐστι, γίνεται δὲ ἐν τοῖς ὑποτακτικοῖς τρίτοις προσώποις τῶν ῥημάτων κατὰ πρόσθεσιν τῆς σι συλλαβῆς·

*Λαμπρὸν παμφαίνησι λελουμένος ὠκεανοῖο.*[86]

καὶ,

*— — εἴπερ τις ἐπιχθονίων ἀνθρώπων*
*Φησὶν ἐλεύσεσθαι.*[87]

---

72 Ven. *μεγαλήτορες.* Il. *β.* 641. 73 Hav. *οὗτος αὐτὸς ἔκθανε.* 74 Hav. *νεότεροι.* 75 Hav. *οἰνήδων.* 76 Parr. Ven. *ἑνικῶν ῥημάτων.* tum Hav. *ἔχοντας ἐπὶ ἀναφοράν.* 77 Parr. Ven. *ὑπὲρ πόλεων.* 78 Ven. *ἰάχει.* tum Ven. Hav. *βαρύφθεγκτ' ἂν ἀγέλαι.* [Ven. *ἀγέλαν.*] Parr. *βαρύφθεγκτ' ἀναγγεῖλαι.* Fiorillo ad Herodem p. 70. restituit *βαρυφθεγκτᾶν ἀγ.* 79 Theog. 321. 80 Ven. *τὸ ἔθος.* 81 Ven. *ἐπιφέρειν ἑνικὰ ῥ.* Sqq. *ἀεὶ παρεδεξάμεθα* Ven. om. Parr. *ἐπιφέρειν ἀεὶ παρεδεξ. ἑνικὰ,* omisso, ut videtur, *ῥήματα.* 82 Il. *η.* 9. 83 Hav. *νεῶν* om. — Il. *β.* 135. 84 Hav. *ἰβυκόν.* 85 Hav. *τάξεως.* 86 Il. *ε.* 6. 87 Od. *α.* 167.

καλεῖται δὲ Ἰβύκειον,[88] οὐχ ὅτι πρῶτος Ἴβυκὸς αὐτῷ ἐχρήσατο· δέδεικται[89] γὰρ καὶ παρ' Ὁμήρῳ πρότερον· ἀλλ' ἐπεὶ πολὺ καὶ κατακορὲς παρ' αὐτῷ. καὶ γὰρ „γλαυκώπιδα[90] Κασάνδραν, ἐρασιπλόκαμον κόραν Πριάμοιο, φᾶμις[91] ἔχησι βροτῶν.“ καὶ δι' ἑτέρων, „τᾶμος[92] ἄϋπνος κλυτὸς ὄρθρος ἐγείρησιν ἀηδόνας,“[93] ἀντὶ τοῦ ἐγείρῃ.

Ἀλκμανικὸν δὲ τὸ μεσάζον τὴν ἐπαλλήλων ὀνομάτων ἢ ῥημάτων θέσιν πληθυντικοῖς ἢ δυϊκοῖς[94] ὀνόμασιν ἢ ῥήμασι. τέσσαρα δὲ παρὰ τῷ ποιητῇ[95] τοιαῦτα·[96]

Ἦχι ῥοὰς Σιμόεις συμβάλλετον ἠδὲ Σκάμανδρος.[97]

καί,

Ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσι
Κωκυτός τε.[98]

καί,

Εἰ δέ[99] κ' Ἄρης ἄρχωσι μάχης καὶ Φοῖβος Ἀπόλλων.

καί,

Εἰ μὲν δὴ θάρσος μοι Ἄρης τ'[1] ἔδοσαν καὶ Ἀθήνη.

πλεονάζει δὲ τοῦτο[2] τὸ σχῆμα παρ' Ἀλκμᾶνι τῷ λυρικῷ· ὅθεν[3] καὶ Ἀλκμανικὸν ὠνόμασται. εὐθὺς[4] γοῦν ἐν τῇ δευτέρᾳ ᾠδῇ παρείληπται· „Κάστωρ τε[5] κώλων ὠκέων δαμάντορες[6] ἱππόται σοφοὶ[7] καὶ Πολυδεύκης κυδρός.“[8]

---

88 Hav. ἰβυκὸν et ἴβυκός. idem πρῶτος om. 89 Hav. ἔδει. sq. καὶ Parr. Ven. om. 90 Hav. λευκὰ πίθακας ἀνδρανέρασι πλόκαμον κόρην. πριάμου. Ven. γλαυκώπιδα κασσάνδρα πριάμου. Parr. γλαυκώπιδι κασάνδρα ἐρασιπλόκαμον κόραν πριάμοιο. lectionem restituit Dind. 91 Hav. φαμῆς. Par. 2. φάτις. 92 Hav. ταμός. 93 Hav. ἀειδόνας. 94 ἢ δυϊκοῖς Hav. om. 95 Ven. Parr. inserunt εἰσί. 96 Ven. ταῦτα. 97 Il. ε. 774. 98 Od. κ. 513. 99 Hav. ἠδὲ — ὁ ἀπόλλων. — Il. υ. 138.

1 τ' Hav. om. — Od. ξ. 216. 2 Hav. τούτου. 3 Hav. ἔνθεν. 4 Ven. Parr. εὐθύ. 5 Hav. κάστορε. 6 Hav. ὠκέων δαμάντορες. Ven. δαμαντῆρες omisso ὠκέων. Parr. ὠκέα δαμαντῆρες. 7 Parr. ἱππότα σοφώ. 8 Hav. κυδρός. Ven.

Ἐκ παραλλήλου δὲ ὅταν δύο λέξεις ἐπάλληλοι τεθῶσι[9] τὸ αὐτὸ σημαίνουσαι, ὡς,[10] „δηθά τε καὶ δολιχὸν,“ ταὐτὸ[11] σημαίνουσι. γίνεται δὲ ἤτοι ἐκ δύο λέξεων, ὡς ἔχει τὸ προειρημένον, ἐκ κοινοῦ[12] καὶ ξένου, „πυκνοὶ καὶ θαμέες·“ ἢ ἐκ δύο κοινῶν·

*Δεῦτ' ἄγετ' Ἀργείην Ἑλένην καὶ κτήμαθ'[13] ἅμ' αὐτῇ.*

καὶ ὡς[14] παρὰ τῷ Ἡσιόδῳ·[15]

*Νόσφιν ἄτερ πόνου καὶ ὀϊζύος.*

Καταρίθμησις δὲ ὅταν[16] ἐπαλλήλων ὀνομάτων σύνθεσις γίνηται·[17]

*Καρδαμύλην[18] Ἐνόπην τε καὶ Ἱρὴν ποιήεσσαν.*

καὶ παρὰ Δημοσθένει· „πρῶτον Ἐρέτριαν[19] εἶλεν, εἶτα Πύδναν[20] πόλιν, Ποτίδαιαν, Μεθώνην αὖθις.[21]

Ἀσύνδετον[22] δὲ τὸ τὸν μὲν λόγον ἠρτημένον ἔχον τοῦ προτέρου διανοήματος, τὴν δὲ φράσιν κεχωρισμένην·

*Ἴομεν[23] ὡς ἐκέλευες ἀνὰ δρυμὰ φαίδιμ' Ὀδυσσεῦ·*
*Εὕρομεν ἐν βήσσῃσι τετυγμένα δώματα καλά.[24]*

καὶ,

*Ἔρχεσθον κλισίην Πηληϊάδεω Ἀχιλῆος,[25]*
*Χειρὸς ἑλόντ' ἀγέμεν Βρισηΐδα καλλιπάρῃον.*

Ἐξ ἀντιστρόφου[26] δέ ἐστι φράσις ἡ τὰ συνέχοντα τὴν ἑρμηνείαν ἐνηλλαγμένα ἔχουσα· „ταὶ δὲ μεγάλα κτυ-

---

κῦδρος. Parr. κύδεος. — vide Welcker. Alcm. p. 21. 9 Ven. τιθῶσι. 10 ὡς Hav. om. — Il. κ. 52. 11 Ven. Parr. ταὐτόν. 12 Hav. ἐκ κοινῶν· καὶ ξένοι πυκνοί. — Od. μ. 92. 13 Hav. κτῆμ'. Il. γ. 458. 14 καὶ ὡς — ὀϊζύος Hav. Ven. om. 15 Parr. Ἡροδότῳ. Verba sunt Hesiodi Ἔ. κ. Ἡ. 113. νόσφιν ἄτερ τε πόνων κ. ὀ. 16 ὅταν Ven. om. 17 Hav. Ven. γίνεται. Parr. γένηται. 18 Hav. καρδαμάλην — ἴρην. 19 Ven. ἐρετρίαν. tum Ven. ἔλθοι. Hav. ἕλεν. Parr. εἷλεν. — Ol. I. p. 12. 20 Hav. εἶτ' ἄπυναν πόλιν ποτίδειαν μεθ' ὧν ἦν. 21 Ven. αὖτις. 22 Hav. ἀσύνθετον. 23 Ven. ἤομεν. Hav. κέλευες. Od. κ. 251. 24 Hav. καλλά. 25 Il. α. 322. 26 Ven. Parr. ἀντιστροφῆς.

πέουσαι πίπτον."[27] ἀντὶ τοῦ πίπτουσαι ἐκτύπουν. καὶ, κάμε τεύχων·[28] καμὼν γὰρ ἔτευξεν. τοιοῦτο[29] λέγουσιν εἶναι καὶ τὸ, „παρῴχηκε δὲ πλέον νὺξ τῶν δύο μοιράων."[30] νοείσθω[31] δὲ τὸ πλέον[32] τῆς νυκτὸς, ὅ εἰσι δύο μοῖραι.

Ῥητέον δ' ἑξῆς, καὶ περὶ[33] τῶν τοῦ λόγου κατασκευῶν.

Προοικονομία τοίνυν[34] ἐστὶν ἡ τὰ μέλλοντα[35] διατίθεσθαι προπαρασκευάζουσα[36] λέξις. ἐπειδὴ τῷ Σκαμάνδρῳ διωνυμίαν ἤμελλε[37] περιάπτειν ὁ ποιητὴς, ἄλλας προϋπεστήσατο[38] διωνυμίας·

Τὴν ἤτοι ἄνδρες Βατίειαν[39] κικλήσκουσιν,
Ἀθάνατοι δέ τε σῆμα πολυσκάρθμοιο[40] Μυρίνης.

καὶ,

Χαλκίδα κικλήσκουσι θεοὶ, ἄνδρες δὲ[41] κύμινδιν·

ἵνα τῷ μέτρῳ[42] τὸ ξάνθου ὄνομα παραλειφθὲν[43] ἁρμόσῃ.

Προαναφώνησις δὲ ἡ τὰ μέλλοντα αὖθις διὰ πλειόνων ῥηθήσεσθαι προσυνιστῶσα[44] φράσις, οἷον,

ἦ[45] γὰρ ἔμελλε
Οἷ τ' αὐτῷ[46] θάνατόν τε κακὸν καὶ κῆρα λιτέσθαι.

καὶ,

---

27 Il. ψ. 119. 28 Il. β. 101. 29 Ven. Parr. τοιοῦτον δὲ λέγουσιν. 30 Il. κ. 252. 31 Parr. νοεῖται. pro δὲ Ven. Parr. γάρ. 32 Hav. πλέω. 33 Ven. Parr. περὶ τοῦ λόγου τῶν. 34 τοίνυν Ven. Par. om. 35 Hav. μετὰ μέλλοντος. ceteri τὰ μέλλοντα. 36 Ven. παρασκευάζ. Par. 1. προςπαρασκευάζ. 37 Hav. Parr. ἔμελλε. 38 Hav. ἀλλὰ προϋφεστήσατο. 39 Codd. βατίωνα. correxi ex Il. β. 813. 40 Hav. πολυσκαρμοῖο. tum Ven. Parr. μυῤῥίνης. 41 Hav. δέ τε. — Il. ξ. 291. 42 Hav. τὸ μέτρον τὸ ξάνθον. 43 Ven. Parr. παραληφθέν. 44 Hav. προσυνιστᾶσα. sq. οἷον Hav. Ven. om. 45 Parr. καὶ γάρ. — Il. π. 46. 46 οἵ τ' αὐτῷ Hav. om.

καὶ,

Ὄφρα μὲν Ἕκτωρ ζωὸς[47] ἔην καὶ μήνι' Ἀχιλλεὺς,
Καὶ Πριάμοιο ἄνακτος ἀπόρθητος πόλις ἔπλεν,
Τόφρα δὲ[48] καὶ μέγα τεῖχος Ἀχαιῶν ἔμπεδον ἦεν·
Αὐτὰρ ἐπεὶ κατὰ μὲν Τρώων θάνον ὅσσοι[49] ἄριστοι,
Πολλοὶ δ' Ἀργείων οἱ μὲν δάμεν, οἱ δὲ λίποντο,
Πέρθετο δὲ Πριάμοιο πόλις δεκάτῳ ἐνιαυτῷ.

ἡ δὲ προαναφώνησις[50] ἐξ ἡρωϊκοῦ προσώπου γίνεται ὡς πρός τινα μὴ παρόντα·

Ὦ μάκαρ Ἀτρείδη, μοιρηγενὲς,[51] ὀλβιόδαιμον·
Ἦ ῥά νύ τοι πολλοὶ[52] δεδμήατο κοῦροι Ἀχαιῶν.

καὶ,

Ἆ δειλὼ, τί σφῶϊ δόμεν Πηλῆϊ ἄνακτι,[53]
Θνητῷ, ὑμεῖς δ' ἐστὸν ἀγήρω τ' ἀθανάτω τε.

Παραβολὴ δὲ πράγματος ὁμοίου παράθεσις ἢ γινομένου ἢ οἵου τε[54] ὄντος γενέσθαι·

Ὡς δὲ λέων μήλοισιν ἀσημάντοισιν ἐπελθών.[55]

Ὁμοίως δὲ πράγματος ὁμοίου παράθεσις, οἷον,

Ὄρνιθες ὥς.[56]

διαφέρει δὲ[57] τῆς παραβολῆς, ὅτι διὰ συντόμων ὡς ἐπιτοπλεῖστον λέγεται καὶ χωρὶς ἀνταποδόσεως φράζεται.

Ἀνταπόδοσις δὲ φράσις ἀνταποδιδομένη[58] τῇ παραβολῇ καὶ συναπλοῦσα τοῖς πραττομένοις αὐτήν·

Ὡς μὲν Θρήϊκας ἄνδρας ἐπῴχετο Τυδέος υἱός.[59]

Παράδειγμα δὲ πράξεων ἔκθεσις πρὸς ὁμοιότητα τῶν ἐνεστηκυιῶν προτροπῆς χάριν, ἢ ἀποτροπῆς, ἢ δηλώσεως ἁπλῆς·

Μέμνημαι τόδε[60] ἔργον ἐγὼ πάλαι, οὔτι νέον γε·

---

47 Ven. ζωός τ' ἦν. tum Hav. μῆνεν. Il. μ. 10. 48 δὲ Hav. om. 49 Hav. ὅσσοις. 50 Hav. παραφώνησις. 51 Hav. μυριγενές. — Il. γ. 182. 52 πολλοὶ Hav. om. 53 Il. ρ. 443. 54 Hav. ἢ οὔτε ὄντως. 55 Hav. ἀπελθών. — Il. κ. 485. 56 Il. γ. 2. 57 δὲ Hav. om. 58 Ven. Parr. ἐπαγομένη. 59 Il. κ. 487. 60 Hav. τόδ'. — Il. ι. 527.

*Ὡς ἦν, ἐν δ' ὑμῖν ἐρέω πάντεσσι φίλοισι·*
*Κουρῆτές τ' ἐμάχοντο καὶ Αἰτωλοὶ μενεχάρμαι.*

ἀποτροπῆς[61] γὰρ ἕνεκα παρείληπται. προτροπῆς δὲ χάριν, οἷον,

*Ἦ οὐκ[62] ἀΐεις οἷον κλέος ἔλλαβε δῖος Ὀρέστης*
*Πάντας ἐπ' ἀνθρώπους, ἐπεὶ[63] ἔκτανε πατροφονῆα,*
*Αἴγισθον δολόμητιν.*

δηλώσεως δὲ ἁπλῆς,

*Τῷ ἴκελον οἷόν ποτ' ἐνὶ Κνωσσῷ[64] εὐρείῃ*
*Δαίδαλος ἤσκησεν καλλιπλοκάμῳ Ἀριάδνῃ.*

Εἰκὼν δέ ἐστι διαγραφὴ σωμάτων κατὰ μέρος ἤτοι μετὰ παραθέσεως ἢ[65] διὰ ψιλῆς[66] ἀποτυπώσεως· μετὰ μὲν παραθέσεως, οἷον,[67]

*Ὄμματα καὶ κεφαλὴν ἴκελος Διῒ τερπικεραύνῳ,*
*Ἄρεϊ δὲ ζώνην, στέρνον δὲ Ποσειδάωνι.[68]*

διὰ ψιλῆς ἀποτυπώσεως δέ,

*Γυρὸς ἐν[69] ὤμοισιν,[70] μελανόχροος οὐλοκάρηνος.[71]*

---

61 Ven. Parr. *τοῦτο γὰρ ἀποτροπῆς*. 62 Hav. versum hunc omittit. — Od. *α*. 298. 63 *ἐπεὶ* Hav. om. 64 Hav. *κνώσῳ εὑρεῖν — ἐριάδνῃ*. — Il. *δ*. 591. 65 Parr. *ἢ καί*. 66 Hav. *ψυχῆς*. tum Hav. *ὑποτυπώσεως*, sed paullo post v. 16. idem *ἀποτυπώσεως*. 67 *οἷον* Hav. Ven. om. 68 Hav. *ποσειδάονι*. — Il. *β*. 478. 69 Ven. *ἐν*. Hav. *ἐπύ*. Parr. Dind. *ἔην*. — Od. *τ*. 246. 70 Hav. *ὅμοισι μελανόχρ*. ceteri *ὤμοισι μελάγχρ*. Dind. *ὤμοισι μελανόχρ*. 71 Hav. *ὁλοκάρηνος*.

# VIII.

# *ΠΟΛΥΒΙΟΥ ΣΑΡΔΙΑΝΟΥ*

## *ΠΕΡΙ ΣΧΗΜΑΤΙΣΜΟΥ.**

*Μετασχηματισμός ἐστι λέξεως συνήθους κίνησις μέτρου χάριν ἢ κατασκευῆς· ὡς ἐν τῷ κραδίη· ἐμφαίνει γὰρ τὴν τοῦ σπλάγχνου ἰδιότητα, ὅτι κραδαίνεται διηνεκῶς. Συστολή ἐστιν ἔνδεια χρόνου· γίνεται δὲ ἤτοι διὰ χρόνου παρὰ φύσιν συστελλομένου·*

Οὐκ ἐάσουσιν ἐμοὶ δόμεναι βιὸν ἠδὲ [1] φαρέτραν.

*Μετασχηματίζουσι δὲ ἤτοι γένος, οἷον·*

μηνιθμὸν μὲν ἀποῤῥῖψαι, [2]

*ἀντὶ τοῦ μῆνιν· καὶ*

Μήτοι τι θεῶν μήνιμα γένωμαι· [3]

Δείελος ὀψὲ δύων· [4]

*καί,*

Μένον [5] δ᾽ ἐπὶ ἕσπερον ἐλθεῖν.

---

* Ex Iriartii Catalogo Bibl. Matrit. Vol. I. p. 374. 375. — Aetas Polybii incerta est. Vide Schoell. hist. litt. Gr. T. III. p. 180.

1 Ir. ἡ δέ. — Od. φ. 233.

2 Il. π. 282.

3 Ir. μή τι μήνιμα θεῶν. correxi ex Il. χ. 358.

4 Il. φ. 232.

5 Ir. μένων. — Od. δ. 786.

ἀντὶ ἑσπέραν· ἢ ἀριθμόν·

Μειδιόων βλοσυροῖσι προσώπασιν·[6]

ἢ πτῶσιν· „Πατροκλῆος δειλοῖο[7] καὶ Σαρπήδοντος ἑταῖρον·“[8] ἀντὶ τοῦ Σαρπηδόνος· ἢ διαλύουσι μίαν λέξιν εἰς δύο· πόλιν ἄκρην ἀντὶ τοῦ ἀκρόπολιν· καὶ, „Σάμου[9] ὑληέσσης Θρηϊκίης,“ ἀντὶ Σαμοθράκης· ἢ δύο εἰς μίαν λέξιν σχηματίζουσι· τὸν γοῦν καθ᾿ ἕνα ἄνδρα ἀνδρακὰς[10] ἔφη ὁ ποιητὴς, καὶ τὸ κατὰ μόνοι μουνὰξ ὀρχήσασθαι·[11] ἢ τὴν σύνθεσιν τῆς λέξεως ἐναλλάττουσιν ὡς παρὰ Σοφοκλεῖ·[12]

Οἱ γὰρ γύνανδροι καὶ λέγειν ἠσκηκότες,

ἀντὶ τοῦ ἀνδρόγυνοι· γίνεται δὲ μετασχηματισμὸς καὶ ὅτ᾿ ἄν τις τὸ κύριον κατὰ μείωσίν τινα προενέγκηται. Ὅμηρος·

Ἵππους δ᾿ Αὐτομέδων ἠδ᾿ Ἄλκιμος.[13]

ἀντὶ τοῦ Ἀλκιμέδων.

## ΠΕΡΙ ΤΩΝ ΤΗΣ ΚΑΤΑΣΚΕΥΗΣ ΕΙΔΩΝ.

Ὁμοίωσίς ἐστι λόγος, καθ᾿ ὃν ὁμοιοῦμεν ἕτερον ἑτέρῳ. Εἴδη δὲ αὐτῆς τρία· παραβολὴ, παράδειγμα, εἰκών. Παραβολή ἐστι πρᾶγμα πράγματι παραβαλλόμενον κατά τι οἰκεῖον αὐξήσεως ἢ ἐμφάσεως ἢ σαφηνείας ἕνεκα· αὐξήσεως μέν·

Ὡς δ᾿ ὅτ᾿ ἂν ἀστράπτῃ πόσις Ἥρης ἠϋκόμοιο,
Ὣς πυκίν᾿[14] ἐν στήθεσσιν ἀνεστενάχιζ᾿ Ἀγαμέμνων·

ἐμφάσεως δέ·

Ἐν δ᾿ ἔπεσ᾿,[15] ὡς ὅτε κῦμα θοῇ ἐνὶ νηῒ πέσῃσι
Λάβρον.

---

6 Il. η. 212. 7 Il. ψ. 105. 8 Il. μ. 379. 9 Il. ν. 12. 10 Od. ν. 14. 11 Od. θ. 371. 12 cfr. Tryphon. c. ή. 13 Il. τ. 392. 14 Ir. πυκινὸν — ἀνεστενάχιζεν. — Il. κ. 9. 15 Ir. ἔπεσε. — Il. ο. 624.

σαφηνείας δ' ἕνεκα·

— — — ἐπὶ δ' ὄρνυτο δῖος Ὀδυσσεὺς[16]
Ἄγχι μάλ', ὡς ὅτε τίς τε γυναικὸς ἐϋζώνοιο
Στήθεός ἐστι κανών, ὅντ'[17] εὖ μάλα χειρὶ τανύσσῃ
Πήνιον ἐξέλκουσα παρὲκ μίτον.[18]

Εἰσὶ δὲ τῶν παραβολῶν αἱ μὲν ἀνταποδοτικαὶ, αἱ δὲ ἀπόλυτοι· ἀνταποδοτικαὶ μὲν αἱ τοιαῦται·

Ὡς δὲ λέων[19] ἐν βουσὶ θορὼν ἐξ αὐχένα ἄξει
Πόρτιος ἠὲ βοὸς, καὶ ἑξῆς·
Ὣς τοὺς ἀμφοτέρους ἐξ ἵππων Τυδέος υἱὸς
Βῆσε κακῶς ἀέκοντας.

καὶ ἔστιν ἀνταποδιδόμενος τῇ παραβολῇ.

Ἀπόλυτοι δέ εἰσιν αἱ δίχα ἀνταποδόσεως λεγόμεναι, οἷον·

Ὥστε γὰρ ἢ παῖδες νεαροὶ χῆραί τε γυναῖκες
Ἀλλήλοισιν ὀδύρονται οἰκόνδε[20] νέεσθαι.

Παράδειγμα δέ ἐστι λόγος διὰ τῆς ὁμοίων παραθέσεως προτροπὴν ἢ ἀποτροπὴν ἢ ἀπόδειξίν τινων ἔχων·[21] προτροπὴν μὲν

Ἦ οὐκ ἀΐεις οἷον κλέος ἔλλαβε δῖος[22] Ὀρέστης.

καὶ τὰ ἑξῆς· ἀποτροπὴν δὲ,

Οὐδὲ γὰρ οὐδὲ Δρύαντος υἱὸς[23] κρατερὸς Λυκόεργος·

ἀπόδειξιν δὲ τὸ παράδειγμα οὕτως ἔχει·

Σχέτλιοί ἐστε θεοὶ ζηλήμονες[24] ἔξοχον ἄλλων
Οἵ τε θεαῖς ἀγάασθε παρ' ἀνδράσιν εὐνάζεσθαι.

εἶτα·

Ὡς μὲν ὅτ' Ὠρίων'[25] ἕλετο ῥοδοδάκτυλος Ἠώς·

---

16 Il. ψ. 759. 17 Ir. ὅτ' — τανύσῃ. 18 Ir. παρ' ἐμικτόν. 19 Il. ε. 161. 20 Ir. οἴκαδε. Il. β. 289. 21 Ir. ἔχον. 22 Ir. ἔλαβε δεῖος. — Od. α. 298. 23 υἱὸς Ir. om. — Il. ζ. 130. 24 Ir. καὶ δηλήμ. — Od. ε. 118. 25 Ir. Ὠρίωνα.

*Ὡς δ' ὁπότ' Ἰασίωνι[26] ἐϋπλόκαμος Δημήτηρ,*
*Ὡς αὖ νῦν μοι ἀγᾶσθε[27] θεοὶ βροτὸν ἄνδρα παρεῖναι.*

παράκειται τῷ παραδείγματι καὶ ἡ καλουμένη ἐπαγωγή.

Ἐπαγωγὴ δέ ἐστιν, ὅτ' ἄν τι τῶν ὁμοίων προθέντες ἐπάγωμεν,[28] εἰς ὃ συμπείθομεν, οἷον·

*Μή τι τοι δρυτόμος[29] μέγ' ἀμείνων, ἠὲ βίηφι·*
*Μήτι δ' αὖτε κυβερνήτης ἐνὶ οἴνοπι πόντῳ,*
*Νῆα θοὴν ἰθύνει ἐρεχθομένην ἀνέμοισιν·*

εἶτ' ἐπάγει·

*Μήτι δ' ἡνίοχος περιγίνεται ἡνιόχοιο.*

Εἰκών ἐστι λόγος εἴδους εἴδει παρατεθεὶς[30] ὁλοσχερῶς ἢ ἀπὸ μέρους· ὁλεσχερῶς μὲν

*Ἀρτέμιδι ἰκέλη ἠὲ χρυσῇ Ἀφροδίτῃ·*[31]

ἀπὸ μέρους δὲ,

*Ὄμματα καὶ κεφαλὴν ἴκελος Διῒ τερπικεραύνῳ.*
*Ἄρεϊ δὲ ζώνην, στέρνον δὲ Ποσειδάωνι·*[32]

Παράκειται δὲ τῇ εἰκόνι ἐννέα· εἰκονισμοὶ, εἰκονογραφία, ὑποτύπωσις, εἰδωλοποιΐα, εἰκασία, εἰδικὴ ὁμοίωσις, χαρακτήρισμα, τοποθεσία καὶ τοπογραφία. Εἰκονισμός ἐστι σώματος ἰδίως ἀπόδοσις ἐξ ἱστορίας λαμβανόμενος· οἷον

*Γυρὸς ἐν ὤμοισιν,[33] μελανόχροος, οὐλοκάρηνος.*

καὶ τὸ ἐπὶ Θερσίτου·

*Φολκὸς ἔην, χωλὸς δ' ἕτερον πόδα.*

---

26 Ir. Ἰάσονι. — Od. ε. 125. 27 Ir. ἀγάασθε. 28 Ir. ἐπάγομεν. 29 Ir. διδρυτόμος. omisso τοι. — Il. ψ. 315. 30 Ir. παρατιθείς. 31 Od. ρ. 37. 32 Ir. Ποσειδάονι. — Il. β. 478. 33 Ir. ἔην ὤμοισι. — Il. τ. 246. 34 Il. β. 217.

τό δ' αὐτὸ καὶ εἰκονογραφία ἂν εἴη, ὅτ' ἂν κατὰ τὴν ἀπόδοσιν τῆς μορφῆς ὁμοιώσεως ἐφάπτηται.[35]

Ὑποτύπωσις ἐστὶ σώματος ἰδίως ἀπόδοσις πεπλασμένου,

Καὶ γάρ τε λιταί εἰσι Διὸς κοῦραι μεγάλοιο,
Χωλαί τε ῥυσαί[36] τε παραβλῶπές τ' ὀφθαλμώ.

Παράκειται δ' αὐτῇ εἰδωλοποιΐα, ὅτ' ἂν δαίμονάς τινας ἀπὸ πραγμάτων ἀναπλάττωμεν, ὡς τὰς λιτὰς Ὅμηρος.

Εἰκασία ἐστὶ φράσεως ὑπόληψις ἰδιώσεως μορφὴν ἐμφαίνουσα.

Εἰ μέν τίς θεός ἐσσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
Ἀρτέμιδί σε[37] ἔγωγε Διὸς κούρῃ μεγάλοιο
Εἶδός τε μέγεθός τε φυήν τ' ἄγχιστα[38] ἐΐσκω.

Ἡ δὲ εἰδικὴ ὁμοίωσίς ἐστι παράθεσις ὁμοίων χαρακτήρων· οἷον

Κείνου γὰρ[39] τοιοίδε πόδες, τοιαίδε τε χεῖρες,
Ὀφθαλμῶν τε βολαὶ,[40] κεφαλή τ' ἐφύπερθέ τε χαῖται.

Χαρακτηρισμός ἐστιν ὑποτύπωσις ἰδιώματος ψυχῆς, οἷον·

Εὖ δὲ σὺ[41] οἶσθα, γεραιὲ διοτρεφὲς, οἷον ἐκεῖνος
Δεινὸς ἀνήρ· τάχα κεν καὶ ἀναίτιον αἰτιόῳτο.

Τοποθεσία ἐστὶ τόπων ἰδίων ἀπόδοσις ὑφεστώτων, οἷά ἐστι τὰ ἐπὶ τῆς Ἰθάκης,

Φόρκυνος[42] μέν ὅδ' ἐστὶ λιμὴν ἁλίοιο γέροντος
Ἐν δήμῳ Ἰθάκης· δύο δὲ προβλῆτες ἐν αὐτῇ.

καὶ ἑξῆς.

---

35 Ir. ἐφάπτεται. 36 Ir. ῥυσσαὶ — ὀφθαλμῷ. Il. ι. 502. 37 Ir. σ' ἔγ. — Od. ζ. 150. 38 Ir. ἄγχεστα. 39 γὰρ et καὶ Ir. om. — Od. δ. 149. 40 Ir. βόλαι — τε χαῖταί τε. 41 Il. λ. 653. 42 Od. ν. 96.

Τοπογραφία ἐστὶ τόπου ἰδίως ἀπόδοσις πεπλασμένου, ὡς ἔχει ἥ τε Καλυψοῦς νῆσος,

Ὕλη δὲ σπέος ἀμφὶ πεφύκει[43] τηλεθόωσα·

καὶ τὰ ἐπὶ τῆς Λεχείας·

Νῆσος ἔπειτα Λέχεια παρακεκλιμένη[44] τετάνυσται.

Εἶδος δ' ἂν εἴη τῆς ὁμοιώσεως καὶ ἡ καλουμένη διαφορὰ, ἥτις πᾶσι τοῖς ἄλλοις τῆς ὁμοιώσεως εἴδεσιν ἀντέστραπται· οἷον·

Οὔτε θαλάσσης κῦμα τόσον βοάᾳ[45] ποτὶ χέρσον;

καὶ τὰ ἑξῆς.

---

43 Ir. ἀμφιπεφύκει. — Od. ε. 63. 44 Od. ι. 116. 45 Ir. βοάα. — Il. χ. 394.

# IX.

## ΑΝΩΝΥΜΟΥ

## ΠΕΡΙ ΤΩΝ ΤΟΥ ΛΟΓΟΥ ΣΧΗΜΑΤΩΝ. [1]

Πολλοὶ περὶ σχημάτων ποιησάμενοι τῶν ἀρχαίων τῶν τε λόγου καὶ τῆς διανοίας, φιλοπονώτατον τέκνον καὶ εὐλαβέστατε Ἰγνάτιε, ἄλλος ἄλλῃ μεθόδῳ ἐχρήσατο, ὡς ἑκάστῳ ἔδοξεν ἁρμόδιόν τε καὶ ὠφέλιμον· οὐδὲ γὰρ πάντες τὴν αὐτὴν ὁδὸν μετελθεῖν ἠβουλήθησαν, ἀλλ' ὁ μὲν κατέλιπέ τινα τῶν σχημάτων, ὁ δὲ ἐβιάσατο καὶ μὴ ὄντα ἐπεξεργάσασθαι· ἡμεῖς δὲ σὺν θεῷ φάναι μήποτε περιττόν τι μήτε ἐλλεῖπον γεγραφέναι βουλόμενοι τρίτην μέθοδον ἐπενοήσαμεν, καὶ ἴσως τοῖς ἀφθόνως κρίνειν προαιρουμένοις καὶ λίαν ἀκίνδυνον· οὐδὲ γὰρ πολυσχιδῆ [2] καὶ ποικίλην καὶ τῆς εὐλόγου τέχνης ἀμοιροῦσαν ἐπιζητοῦμεν, ἀλλ' ἣν Ἑρμογένης ἔγραψε καὶ σοφοὶ ἠρέσθησαν, καὶ σώφρονες κατὰ τὴν γνῶσιν ἐπέκριναν· εἰ δὲ μετὰ τὴν συμπλήρωσιν τῶν παρ' Ἑρμογένει καὶ ἕτερα

---

1 Descripsi ex Mon. 8, deinde Par. 1983. [Par. 1.] et 2977. [Par. 2.] passim contuli. Quare ubicunque prava codicis Mon. lectio emendata est, nulla codicum Parisinorum facta mentione, ibi emendatio aut ex scriptoribus laudatis petita, aut ex conjectura facta est. 2 Mon. πολυσχεδῆ. Parr. πολυσχιδῆ.

τινὰ βουληθῶμεν προςθεῖναι, ἰδίως ταῦτα συνθέντες συγχύσεως ἀμέτοχον τὴν καθ' ἡμᾶς πραγματείαν τηρήσομεν· ὁ γὰρ Ἑρμογένης τέσσαρσι τόμοις στοιχειώσας [3] τὸ περὶ εὑρέσεως τῷ μὲν πρώτῳ τόμῳ διεξῆλθε περὶ τῶν προοιμίων, ἐν δὲ τῷ δευτέρῳ περὶ προκαταστάσεως, εἶτα πλάτους διηγήσεως καὶ μήκους· καθὼς ἐν ἑτέροις ὑπομνηματίζοντες τὴν πραγματείαν διεξοδικῶς ἀπεφήναμεν· ἐν δὲ τῷ τρίτῳ τόμῳ περὶ κατασκευῆς καὶ λύσεων, εἶτα περὶ κεφαλαίων, ἐπιχειρημάτων τε καὶ εἰδῶν τῶν τῆς μεταλήψεως ἐργασίας τε ἐπιχειρημάτων καὶ ἐνθυμημάτων ἀλλὰ μὴν καὶ περὶ τοῦ ἀπ' ἀρχῆς ἄχρι τέλους καὶ τάξεως καὶ ἐπιχειρημάτων, ὅρου τε καὶ διασκευῆς· ταῦτα τοίνυν ὁ τεχνικὸς ἐν τοῖς τρισὶ τόμοις διελθὼν ἄριστά γε καὶ σοφώτατα, καὶ ὡς οὐκ ἐνεδέχετο ἄλλως πως γενέσθαι τούτων κρείσσω καὶ βελτίονα, ἥκει ἐπὶ τῶν τοῦ λόγου σχημάτων ἕκαστον τῶν προεκτεθέντων ποίῳ σχήματι ἐκφέρεσθαι διδάσκων· ἡμεῖς τοίνυν οὐ σκοπὸν ἐθέμεθα εἰπεῖν, ποίῳ μὲν σχήματι δεῖ ἐκφέρειν τὰ προοίμια, ποίῳ δὲ τὰ διηγήματα, καὶ ἕκαστον τῶν ῥηθέντων ἐν τοῖς τρισὶ τόμοις, ἀλλὰ πόσων σχημάτων τοῦ λόγου μέμνηται, καὶ τῶν τῆς διανοίας πόσων· καὶ τοῖς φιλοπονοῦσιν οὐ χαλεπὸν ἐφαρμόσαι ἕκαστον αὐτῶν τῷ προεκτιθεμένῳ ἐν τοῖς τρισὶ τόμοις.

## ΠΕΡΙ ΣΤΡΟΓΓΥΛΟΥ.

Ἄρξομαι δὲ ἀπὸ στρογγύλου σχήματος, ὅπερ καὶ ὁ τεχνικὸς πρῶτον ἔθηκεν ὡς ἐπιτήδειον τοῖς ἐνθυμήμασιν· πλείονα γὰρ δόξαν δριμύτητος ἀποφέρεται τὸ ἐνθύμημα στρογγύλως ἐκφερόμενον, ἢ εἴ τις αὐτὸ ἐξαπλῶσαι θελήσει· οἷον, „ὥσπερ [4] γὰρ εἴτις ἐκείνων ἑάλω, σὺ τάδε οὐκ ἂν ἔγραψας· οὕτως ἂν σὺ νῦν ἁλῷς, ἄλλος οὐ

3 Mon. στιχειώσας. 4 Dem. in Androt. p. 595.

γράψει·“ διάνοια γάρ ἐστι τὸ ἐνθύμημα ἐκ μάχης λεγομένη, ἐν ἀκολουθίας σχήματι· διὰ τοῦτο δεῖ [5] στρογγύλως ἐκφέρεσθαι, ὡς συλλογισμὸς ῥητορικὸς ὑπάρχων· διαλύσομεν δὲ τὸ στρογγύλον εἰς σαφήνειαν τοῦ στρογγυλίσματος·“ μὴ ἐπιτρέπετε [6] τοῖς τὰ παράνομα γράφουσιν· εἴπερ γὰρ ἐκωλύοντο, οὐκ ἂν ὁ νῦν παρανομήσας τοιαῦτα γράφειν ἐτόλμησεν, ἀλλ' οὐδὲ ἐν ὑστέροις ἄλλος γράψει τούτου [7] δικαίως ἐν τῷ παραυτίκα ἁλόντος.

## ΠΕΡΙ ΑΝΤΙΘΕΤΟΥ ΣΧΗΜΑΤΟΣ.

Ἀντίθετον σχῆμα ἐστὶν τὸ διπλασιάζον πάντα τὸν ὑποκείμενον ὅρον τοῦτον τὸν τρόπον, εἴ τις τοῦ κατὰ φύσιν τὸ ἐναντίον [8] λαμβάνων καταβαίνοι εἰς τὸ ὑποκείμενον, οἷον ἡμέρας οὔσης λέγομεν οὕτως· ἐπειδὴ ἡμέρα ἐστὶ, δεῖ ποιῆσαι τόδε, τοῦτο τὸ ζητούμενον· τὸ δὲ ἀντίθετον αὐτοῦ, εἰ μὴ ἦν ἡμέρα, ἀλλὰ νὺξ, ἴσως ἐχρῆν μὴ ποιεῖν· ἐπεὶ δέ ἐστιν ἡμέρα, καταβαίνει γὰρ εἰς τὸ ἴδιον, ποιῆσαι προσῆκε· παράδειγμα μετ' εὐφραδείας πολέμου ὄντος· εἰ μὲν ἦν ἐν ἡσυχίᾳ τὰ καθεστηκότα, καὶ ἀπραγμοσύνη κατεῖχεν ἡμᾶς, καὶ μήτε ἄτοπον μήτε φοβερὸν ἐφειστήκει παρὰ τῶν πολεμίων μηδὲν, ἀδείας δὲ ἦμεν ἐπειλημμένοι καὶ ἐξουσίας τοῦ πράττειν, ὅσα βουλομένοις ἡμῖν ἐτύγχανεν, ἔδει φυλάττειν τὰ καθεστηκότα καὶ παρακινεῖν μηδὲ ἓν, μηδὲ καινοτομεῖν, ἀλλὰ τοῖς ἀρχαίοις ἐμμένειν ἔθεσί τε καὶ ψηφίσμασι καὶ νόμοις· ἐπειδὴ δὲ πόλεμος κεκίνηται καὶ πλησίον οἱ πολέμιοι, καὶ ἐφέστηκε μὲν τὰ δεινὰ καὶ ταραχὴ τοσαύτη τῶν πραγμάτων, τίνος ἕνεκεν οὐ καινοτομήσομεν αὐτοῦ τοῦ πολέμου ταύτην τὴν φύσιν ἔχοντος ἀφ' ἑαυτοῦ τεχνᾶσθαι τὰ

5 Mon. δή. 6 Mon. ἐπιτρέπεται. 7 Mon. τοῦτο. 8 τὸ ἐναντίον λαμβάνων — — ποιῆσαι τόδε, τοῦτο τὸ Mon. om., restitui ex Parr.

πολλὰ, καὶ τὸν τῶν ἀνθρώπων μεταποιεῖν ἐπὶ κοινότερον βίον. Ἄλλο παράδειγμα Σωπάτρου· εἰ μὲν οὖν ὄνησις ἀγωνιζομένοις ἀκολουθεῖ, καλὸν ἀπολαύειν τῆς τύχης· εἰ δὲ Τρωσίν ἐστιν τὸ νικᾷν ἐκ Διὸς, ἡμῖν δὲ πληροῦν ἀκοντίων τὴν γῆν μόνον, ἀναχωρῆσαι συμφέρον, νεκρὸν λαβοῦσι τὸν Πάτροκλον.

Σχῆμα περιοδικὸν, ὃ συνίσταται ἐκ προτάσεως καὶ ἀποδόσεως. οἷον, „ὃ γάρ [9] οἷς ἂν ἐγὼ ληφθείην ταῦτα πράττων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ, κἂν μήπω βάλλῃ μηδὲ τοξεύῃ·“ καὶ πάλιν· „ὁ μὲν γὰρ [10] Φίλιππος ὅσῳ πλέον ὑπὲρ τὴν ἀξίαν πεποίηκε τὴν ἑαυτοῦ, τοσούτῳ θαυμαστότερος παρὰ πᾶσιν νομίζεται· ὑμεῖς δὲ, ὦ Ἀθηναῖοι, ὅσῳ χεῖρον ἢ προςῆκε κέχρησθε τοῖς πράγμασι, τοσούτῳ πλείονα αἰσχύνην ὠφλήκατε·“ αὕτη δὲ μακρὰ καὶ τετρακωλός ἐστιν ἐκ δύο προτάσεων καὶ δύο ἀποδόσεων.

## ΠΕΡΙ ΚΩΛΙΚΟΥ ΣΧΗΜΑΤΟΣ.

Κῶλον [11] ἐστὶν σχῆμα λόγου τὸ ὑπὲρ τὰς ἑπτὰ καὶ ὀκτὼ καὶ δέκα συλλαβὰς μέχρι τοῦ ἡρωϊκοῦ προχωροῦν, [12] ἀπαρτίζον διάνοιαν· οἷον, „ἀλλ᾽ ὁ τὴν [13] Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικὴν, καθιστὰς ἐν μὲν Ὠρεῷ Φιλιστείδην τύραννον.“

## ΠΕΡΙ ΚΟΜΜΑΤΙΚΟΥ.

Κόμμα δὲ ἐστὶν τὸ ἀπὸ τεττάρων καὶ πέντε συλλαβῶν καὶ μέχρι ἓξ ἀπαρτίζον διάνοιαν. οἷον, „καταλαμβάνων Ὠρεὸν, καὶ κατασκάπτων Πορθμόν·“ καὶ παρὰ τῷ θεολόγῳ· „πάλιν τὸ σκότος λύεται, πάλιν τὸ φῶς

---

9 Phil. III. p. 115. 10 Olynth. II. p. 18. 11 Mon. κῶλα. scripsi κῶλον. 12 Mon. προςχωροῦν. 13 pro cor. p. 248.

ὑφίσταται, πάλιν Αἴγυπτος σκότῳ κολάζεται.“ γίνεται δὲ τὸ κόμμα καὶ μέχρι δύο συλλαβῶν, ἡνίκα ἡ διάνοια ἀπαρτίζεται, οἷον· δεῖ δὲ εἰδέναι ὡς τὸ μέτρον [14] τῶν συλλαβῶν περινενοημένον ὀφείλει εἶναι, ἐπεὶ οὔτε ὁ ὅρος σώζεται τοῦ κώλου, οὔτε τοῦ κόμματος.

## ΠΕΡΙ ΣΧΟΙΝΟΤΕΝΟΥΣ.

Σχοινοτενὲς σχῆμα ἐστὶν τὸ ὑπὲρ τὸ ἡρωϊκὸν μέτρον, ὅπερ χρήσιμον ἐν προοιμίοις καὶ ταῖς τῶν προοιμίων περιβολαῖς, οὗ παράδειγμα ὁ Ἑρμογένης οὐ τέθεικεν· ἡμεῖς δὲ εἰλήφαμεν ἐκ τοῦ Θουκυδίδου, ὅπερ ἐστὶν καὶ μεγαλοπρεπὲς, ὡς ἐκ περιαγωγῆς συντεθειμένον, οἷον, „ὁ γὰρ Ἀχελῷος [15] ποταμὸς, ῥέων ἐκ τοῦ Πίνδου ὄρους διὰ Δολοπίας καὶ Ἀγριάνων καὶ Ἀμφιλόχων ἄνωθεν παρὰ Στράτον πόλιν εἰς θάλασσαν ἔξεισιν παρ᾽ Οἰνιάδας.“

## ΠΕΡΙ ΠΝΕΥΜΑΤΙΚΟΥ ΣΧΗΜΑΤΟΣ.

Πνευματικὰ σχήματα δύο εἰσὶν, ἢ γὰρ ἐννόημα λαβόντες καὶ τοῦτο ἐργαζόμενοι τῇ ἑρμηνείᾳ, πλείοσι κώλοις, ὡς ἔφην, διαρκοῦμεν τὸ ἓν ἐπεκτείνοντες, ὡς τό· ὅτε γὰρ [16] περιϊὼν ὁ Φίλιππος Ἰλλυριοὺς καὶ Τριβαλλοὺς, τινὰς δὲ καὶ τῶν Ἑλλήνων κατεστρέφετο, καὶ δυνάμεις πολλὰς καὶ μεγάλας ἐποιεῖτο ὑφ᾽ ἑαυτὸν, καί τινες τῶν ἐκ τῶν πόλεων ἐπὶ τῆς εἰρήνης ἐξουσίᾳ βαδίζοντες ἐκεῖσε διεφθείροντο, ὧν εἷς οὗτος ἦν, τότε δὴ τότε πάντες, ἐφ᾽ οὓς ταῦτα παρεσκευάζετο ἐκεῖνος, ἐπολεμοῦντο· εἰ δὲ μὴ ᾐσθάνοντο, ἕτερος οὗτος λόγος οὐ πρὸς ἐμέ· ἢ ὅταν πολλὰ πράγματα ἀθρόως ἔχοντες εἰπεῖν καθ᾽ ἕκαστον κῶλον πρᾶγμα ἀπαρτίζωμεν· οἷον, „ἀλλ᾽ ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος, καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικὴν, καὶ καταλαμβάνων Ὠρεὸν, καὶ κατασκάπτων

---

14 Mon. μέτερον. 15 Thuc. II. 102. 16 pro cor. p. 240.

*Πορθμὸν,“ δι᾽ ὅλου τοῦτο πεῦμα συναπαρτίζει τῷ πνεύματι καὶ κῶλον.*

## ΠΕΡΙ ΑΚΜΑΙΟΥ ΣΧΗΜΑΤΟΣ.

*Ἀκμαῖος λόγος ἐστὶν σχῆμα λόγου καὶ διανοίας· καὶ σχῆμα μὲν λόγου μεταβολὴ τῶν κατὰ πνεῦμα σχημάτων, οἷον, „ὅτε [1] γὰρ περιϊὼν ὁ Φίλιππος Ἰλλυριοὺς καὶ Τριβαλλοὺς, τινὰς δὲ καὶ τῶν ἄλλων κατεστρέφετο,“ καὶ τὰ λοιπά. Ἄλλο παράδειγμα Σωπάτρου ἐν ταῖς μεταποιήσεσιν· „ἐκτετραγῴδηται τῶν Ἑλλήνων διὰ τὴν τοῦ Διὸς ἐπικουρίαν ἡ τύχη, καὶ τὰ δρώμενα τῆς ῥοπῆς παρέχει τὴν αἴσθησιν· νεκρὸς κείμενος Πάτροκλος· πολέμιοι την δεξιὰν πρακτικώτεροι· πᾶσα πάντων Ἑλλήνων ἀσθενεστέρα βολή· μαθέτω τοίνυν Ἀχιλλεὺς πρῶτον κείμενον Πάτροκλον· ἀσπασώμεθα μετὰ τὴν μάχην τοὺς Ἕλληνας· ἂν πολεμίας χειρὸς τὸν νεκρὸν ἀναστήσωμεν, καὶ δυνηθῶμεν ὑπὸ τῆς ἀχλύος ἰδεῖν τὸν Ἀχιλλεῖ συντευξόμενον.“ τοῦτο δὲ τὸ παράδειγμα πλέον μετέχει τῆς ἐν νοήμασι σεμνότητος ἢ τῆς ἐν λόγοις.*

## ΠΕΡΙ ΚΑΤΑΦΟΡΑΣ.

*Καταφορὰ δέ ἐστιν ἡ ἐν κατηγορίᾳ στάσις·*

— — Τί δὲ λαὸν [2] ἀνήγαγεν ἐνθάδ᾽ ἀγείρας
Ἀτρείδης; ἦ οὐχ Ἑλένης ἕνεκ᾽ ἠϋκόμοιο;
Ἦ μοῦνοι φιλέουσ᾽ ἀλόχους μερόπων ἀνθρώπων;

## ΠΕΡΙ ΔΙΛΗΜΜΑΤΩΝ.

*Διλήμματόν ἐστιν σχῆμα λόγου δριμύτητος δόξαν ἔχον καὶ ἀλήθειαν· οἷον „παρῆς τοίτοις λεγομένοις καὶ συνευφραίνου, [3] ἢ οὐ παρῆς· εἰ μὲν παρῆς, πῶς κατη-*

---

1 Dem. pro cor. p. 240. 2 Il. ι, 338. 3 Mon. *συνευφραίνουσιν.* — Dem. pro cor. p. 300.

γορεῖς τούτων, οἷς συνευφραίνου· εἰ δὲ οὐ παρῇς, δίκης ἄξιος εἶ τοῖς ἀγαθοῖς τῆς πόλεως μὴ συμπαρών.“

### ΠΕΡΙ ΠΑΡΗΧΗΣΕΩΣ.

Παρήχησίς ἐστιν κάλλος ὁμοίων ὀνομάτων, ἐν διαφόρῳ γνώσει ταὐτὸν ἠχούντων, ὡς τό·

Ἤτοι [4] ὁ καππεδίον τὸ Ἀλήϊον οἶος ἀλᾶτο
Ὃν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἀλεείνων.

καὶ παρὰ Θουκυδίδῃ· [5] „καὶ μὴν τότε Αἴγυπτος ὑπὸ βασιλεῖ ἐγένετο, πλὴν Ἀμυρταίου τοῦ ἐν τοῖς ἕλεσι [6] βασιλέως· τοῦτον δὲ καὶ διὰ μέγεθος τοῦ ἕλους οὐκ ἠδύνατο ἑλεῖν· καὶ ἅμα μαχιμώτατοί εἰσι τῶν Αἰγυπτίων οἱ Ἕλειοι.

### ΠΕΡΙ ΚΥΚΛΟΥ.

Κύκλος γίνεται ὅταν ἀφ᾽ οὗ ἄρξηταί τις ὀνόματος, ἢ ῥήματος, εἰς τὸ αὐτὸ καταλήξῃ πάλιν, μήτε πτῶσιν ἀλλάξας μήτε σχῆμα μήτε χρόνον μήτε ἀριθμὸν μήτε ἄλλο τι· οἷον, „σοί [7] γὰρ ἦν κλέπτης ὁ πατήρ, εἴπερ ἦν ὅμοιός σοι·“ λέγεται δὲ καὶ περιοδικῶς καὶ διηγηματικῶς· ἐκ τοῦ τῆς παραπρεσβείας· „ἦν ἡμῖν πόλεμος πρὸς Φίλιππον, ἦν.“ καὶ πάλιν· „δέδοικα [8] μέν, ὦ Ἀθηναῖοι, δέδοικα·“ καὶ πάλιν, „οὐ γὰρ Αἰσχίνης ὑπὲρ τῆς εἰρήνης κρίνεται, οὔ.“ καὶ πάλιν, „οὐ λέγειν [9] εἴσω τὴν χεῖρα ἔχοντα, Αἰσχίνη, οὔ.“

### ΠΕΡΙ ΕΠΙΦΩΝΗΜΑΤΟΣ.

Ἐπιφώνημά ἐστιν σχῆμα λόγου ἐπὶ τῷ πράγματι λεγόμενον ἐν τέλει τοῦ λόγου, παράδοξόν τι ἐμφαῖνον, ἀλλὰ μὴ πάντη ξένον τῶν προειρημένων· καὶ τὸ μὲν παρ᾽

---

4 Il. ζ, 201. 5 Thuc. I. 110. 6 Mon. Ἕλλησι. 7 Dem. Phil. IV. p. 151. 8 p. 371. 9 p. 420.

Ἑρμογένει Ὁμηρικὸν πλάσμα ἐστίν· οὐ γὰρ οὕτως παρ' Ὁμήρῳ πέπλεκται, ὡς πλαστικώτερον ἐν τῷ ὑπομνήματι τῷ περὶ εὑρέσεως δεδηλώκαμεν· ὅμως οὖν κείσθω παρ' ἡμῶν, διὰ τὸ μὴ ὅμοιον αὐτῷ κατὰ πάντα ῥαδίως εὑρίσκεσθαι· οἷον·

Σὺν δ' Εὖρός [10] τε Νότος τ' ἔπεσε, Ζέφυρός τε δυσαὴς
Καὶ Βορέης αἰθρηγενέτης μέγα κῦμα κυλίνδων·

καὶ

— — — σὺν δὲ νεφέεσσι κάλυψε [11]
Γαῖαν ὁμοῦ καὶ πόντον.

μέχρι τούτου ἡ διατύπωσις. εἶτα τὸ ἐπιφώνημα·

— — — ὀρώρει δ' οὐρανόθεν νύξ.

Ἔστιν καὶ ἄλλο δεύτερον εἶδος ἐπιφωνήματος, ὅταν τις διὰ πολλῶν κώλων πληρώσας τὴν διατύπωσιν ἐν τῷ τέλει θῇ κῶλον ἓν τὴν δύναμιν ἐμφαῖνον· τῆς ὅλης διατυπώσεως, ὡς ἐν ἀρχῇ τοῦ π [12] Ἰλιάδος Ὁμήρου ἐνέφηνεν ἐπὶ τοῦ Αἴαντος ὁ ποιητής· διασκευάσας γὰρ τὰ τῆς τοῦ Αἴαντος βίας ὑπὸ τῶν Τρώων αὐτῷ γεγενημένα λίαν ἐμφανῶς, ὡς θαυμάζεσθαι τὸ χωρίον πλεῖον ζωγραφίας, καὶ δείξας τὰ πεπραγμένα ἐπὶ τέλει τέθεικε τὸ ἐπιφώνημα, ἐν ἑνὶ κώλῳ πάντα παλιλλογήσας· οἷον·

Αἴας δ' οὐκ ἔτ' ἔμιμνε· βιάζετο γὰρ βελέεσσι
Δάμνα μιν Ζηνός τε νόος καὶ Τρῶες ἀγαυοὶ
Βάλλοντες,

ἕως τὸ „οὐδέπη ἀμπνεῦσαι εἶχεν·“ εἶτα τὸ ἐπιφώνημα· „πάντη δὲ κακὸν κακῷ ἐστήρικτο·“ κόσμος γάρ ἐστιν τοῦ λόγου τὸ ἐπιφώνημα ἐοικὸς, ὥς τις τῶν σοφῶν ἔφη, τοῖς τῶν πλουσίων γείσοις καὶ πορφύραις πλατείαις.

ΠΕ-

---

10 Od. ε, 295. 11 Mon. κάλυψαι. 12 Codd. τῶν περί. Respicit ad Il. π, 102.

## ΠΕΡΙ ΤΡΙΤΟΥ ΕΙΔΟΥΣ ΤΩΝ ΕΠΙΦΩΝΗΜΑΤΩΝ.

Τρίτον εἶδος ἐπιφωνήματος, τὰ ἀπὸ τῶν τρόπων ἑλκόμενα λοιπὸν εἰς τὸ πρᾶγμα, τολμηρῶς ἡμῶν βιαζομένων τὰ ἐκ τοῦ ἀλλοτρίου πράγματος εἰς τὸ ἡμέτερον μεταφέρειν, τὸ δὲ ἀσφαλὲς ἐχόντων διὰ τὸ καὶ εἰς τὴν παραβολὴν αὐτὰ προειρηκέναι· οἷον ἐν χειμῶνι καὶ νῦν ἐστὶν τὰ τῆς πόλεως πράγματα καὶ κλύδωνι, καὶ σαλεύεται τὰ καθεστηκότα καὶ δεῖται τοῦ κυβερνήσοντος αὐτά.

## ΠΕΡΙ ΣΕΜΝΟΥ ΛΟΓΟΥ.

Σεμνὸς λόγος ἐστὶν, ὅτι αἰσχρὸς ὢν ὁ λογος ὑπὸ τοῦ ῥήτορος σεμνῶς ἐξαγγέλλεται, ὄνομα ἀντ' ὀνόματος ἀμείβοντος. ὡς Μένανδρος πυθόμενον κόρης τινὸς διεφθαρμένης σεμνῶς ἐξηγήσατο· φησὶ γάρ· Διονυσίων ἦν πομπὴ, ὁ δέ μοι [1] ἠκολούθησε μέχρι τοῦ [2] πρὸς τὴν θύραν· ἔπειτα φοιτῶν καὶ κολακεύων τὴν μητέρα ἔγνω με· [3] ἢ οὐδόλως μέμνηται τοῦ πράγματος· ἀλλὰ τῶν πρὸ αὐτοῦ καὶ τῶν μετ' αὐτὸ, ὡς ἐν τῇ λ' τῆς Ὀδυσσείας·

Λῦσε δὲ παρθενίην ζώνην, ἐν δ' ὕπνον ἔχευεν,
Ἡ δ' ὑποκυσσάμενη [4] Πελίην τέκε καὶ Νηλῆα.

## ΠΕΡΙ ΚΑΚΟΖΗΛΟΥ.

Κακόζηλον σχῆμα ἐστὶν ἐξαγγελλόμενον ἢ κατὰ τὸ ἀδύνατον ἢ ἀνακόλουθον, ἢ κατὰ τὸ αἰσχρὸν, ἢ κατὰ τὸ ἀσεβὲς, ἢ κατὰ τὸ ἄδικον, ἢ κατὰ τὸ φύσει πολέμιον, καθ' οὓς τρόπους ἀνασκευάζονται τὰ διηγήματα· ὡς ἄπιστα, ὡς παρ' Ὁμήρῳ περὶ τοῦ Κύκλωπος.

Ἧκε δ' ἀποῤῥήξας [5] κεφαλὴν ὄρεος μεγάλοιο.

---

1 Mon. με cfr. Hermog. p. 177. 2 Mon. τά. 3 Mon. ἔγνωμεν. 4 Mon. ὑποκυσαμένη — Νηλέα. Od. λ, 245. 5 Mon. ὑποῤῥήξας. — Od. ι, 481.

ὅπερ προεθεράπευσεν, ἵνα μὴ γυμνὸν ὂν ἐλεγχθῇ κακόζηλον.

### ΠΕΡΙ ΣΧΗΜΑΤΙΣΜΟΥ.

Ἐσχηματισμένος λόγος, ὅταν τὸ ἐναντίον οὗ λέγομεν κατασκευάζωμεν, ἢ ὅταν μετὰ τοῦ ἐναντίου καὶ ἄλλο τι περάνῃ ὁ λόγος, ἢ ὅταν τι λέγειν μὴ δυνάμενοι διὰ τὸ κεκωλύσθαι καὶ παῤῥησίαν μὴ ἔχειν ἐπὶ σχήματι ἄλλης ἀξιώσεως ἐμφαίνωμεν κατὰ τὴν σύνθεσιν τοῦ λόγου, καὶ τὸ οὐκ ἐξὸν εἰρῆσθαι, ὡς εἶναί τε νοῆσαι τοῖς ἀκούουσι καὶ μὴ ἐπιλήψιμον εἶναι τῷ λέγοντι· τοῦ μὲν πρώτου καὶ δευτέρου παράδειγμα· ἐκδιδόμενος ὁ Περικλῆς τοῖς Λακεδαιμονίοις παρὰ Ἀθηναίων φησὶ σχηματιζόμενος· οὐ δεῖ ἐχθροῖς ἐπιτάττουσι πείθεσθαι· δεινὸν γὰρ εἶναι τὸ πρᾶγμα καὶ ἠλίθιον, εἴ τις χαριεῖται κελεύουσιν ἐχθροῖς· φίλοις γὰρ ἐπιτάττουσι δεῖ πείθεσθαι καὶ οὐχὶ πολεμίοις· καὶ ὅτι οὐδὲ οἱ πατέρες ἡμῶν ὑπήκουσαν μηδενὶ, μήτε Ξέρξῃ, μήτε Μαρδονίῳ, μήτε ἄλλῳ τινὶ, καὶ ὅτι μηδὲ ἡμεῖς μήτε Λακεδαιμονίοις πολλὰ ἐπιτάττουσι περὶ Ποτιδαιατῶν καὶ περὶ Αἰγινητῶν καὶ Μεγαρέων.

*Ἄλλως.* Ἄλλος μὲν οὖν ἂν εἴπέ τις, μεταπέμπεσθαι κελεύων αὐτὸν Λακεδαιμονίοις, ὡς οὐ χρὴ πολεμίοις ἐπιτάττουσι πείθεσθαι· δεινὸν γὰρ εἶναι τὸ πρᾶγμα καὶ ἠλίθιον· καὶ μήτε τοὺς πατέρας, μήτε ἡμᾶς ποτε τοιοῦτον πεπραχέναι.

*Ἄλλως.* Ἐγὼ μὲν, εἰ μὲν ἄκοντα μέ τις ἠξίου βιαζόμενον ἀπελθεῖν πρὸς Λακεδαιμονίους, εἶπον ἂν, ὡς οὐ δεῖ λόγοις ἐχθρῶν πείθεσθαι· τὸ γὰρ ἐκείνοις λυσιτελὲς ἡμῖν οὐ [6] καθέστηκε σύμφορον· ἐπεὶ δὲ ἐγὼ τὸ δοκοῦν

---

6 οὐ Mon. om.

ὑμῖν προθύμως ὑφίσταμαι, ὑμῖν καταλείπω [7] μὴ κατολιγωρῆσαι τοῦ συμφέροντος.

## ΠΑΡΑΔΕΙΓΜΑ ΤΟΥ ΤΡΙΤΟΥ, ΗΤΟΙ ΤΟΥ ΚΑΤ' ΕΜΦΑΣΙΝ.

Φήμη ἦν [8] ὅτι σύνεστιν ὁ πατὴρ τῇ τοῦ υἱοῦ γυναικί· ἔγκυος ἐγένετο ἡ γυνὴ, ἔχρησεν ὁ θεὸς τὸ γεννηθησόμενον φονέα ἔσεσθαι τοῦ πατρός. οὐ βούλεται ἐκτιθέναι τὸ γεννηθὲν ὁ παῖς, καὶ ὑπὸ τοῦ πατρὸς ἀποκηρύττεται. λέγει τοίνυν ὁ υἱὸς πρὸς τὸν πατέρα· σὺν εἶναι λόγισαι, πάτερ, τὸ παιδίον, οὐκ ἐμόν, ἐκτίθης ὃ ἐγέννησας· ῥίπτεις παιδίον, οὗ γέγονας πατήρ. Τῆς μὲν οὖν ἀποκηρύξεως ταύτης ἔλαττον ἐμοὶ μέλει· λυποῦμαι δὲ ὑπὸ τοῦ πατρὸς, εἰ μετὰ τοσαύτην εὐθηνίαν γένους μόνη συνέσται τῇ θυγατρὶ καὶ συζήσεται· εὐπρεπῆ δὲ τὸν λόγον ἐποίησε τὸ συνέσται διὰ τὸ διττὸν εἶναι τὴν σημασίαν ἐπί τε τῆς συνουσίας καὶ τοῦ ἁπλῶς συνοικεῖν.

## ΠΕΡΙ ΣΥΓΚΡΙΤΙΚΟΥ ΣΧΗΜΑΤΟΣ.

Ὅτι ὁ Ἑρμογένης οὐ δέδωκε μελέτην παραδειγματικήν, διὸ ἡμεῖς ἐκ τοῦ Σωπάτρου παρειλήφαμεν· τοῦ Διὸς βοηθοῦντος τοῖς Τρωσὶ καὶ ἧττον μνηστευομένου τοῖς Ἕλλησιν, οὐκ οἶδα τῶν ὑπαρχόντων κακῶν τυγχάνειν τι χαλεπώτερον· δεινὸν ἀποτυγχάνειν βάλλοντας Ἕλληνας· ἀλλὰ τὸ τραυματίας γενέσθαι χαλεπώτερον· λυπηρὸν ὑπ' ἀριστέως τιτρώσκεσθαι, ἀλλ' ἔτι δεινότερον τὸ καὶ τοὺς ἀσθενεῖς καθ' ἡμῶν ἐντρυφᾷν· ἀνιαρὸν ἐπαίρεσθαι τῇ νίκῃ τοῦ βαρβάρου· καὶ τί δ' ἂν ἡμῖν γένοιτο δυσχερέστερον τοῦ κρηπῖδα τοῖς ἐχθροῖς εἶναι τῶν τροπαίων τὸν κρείττονα. ἀναλαμβάνειν τὸν Πάτροκλον

---

7 Mon. καταλίπω. 8 Mon. ουν.

τῶν συμβάντων [9] ἡμῖν αἱρετώτερον, προτιμότερον [10] τοῦ μάτην πονεῖν τὸ ἐν καιρῷ σῶσαι τὸ στράτευμα.

Ἰστέον ὡς μέλλοντες περὶ Ἑρμογένους ἰδεῶν τὰ σχήματα τοῦ λόγου διεξιέναι κατὰ τάξιν αὐτὰ ἐκθησόμεθα, ὡς ἂν καὶ τὰ σχήματα δοίημεν καὶ τὰς ιζ' ἰδέας καὶ διὰ ποίων σχημάτων ἐξάγονται.

## ΠΕΡΙ ΤΟΥ ΚΑΤ ΟΡΘΟΤΗΤΑ [1] ΣΧΗΜΑΤΟΣ.

Σχῆμά ἐστιν τὸ κατ' ὀρθότητα τὸ δι' εὐθείας προαγόμενον· οἷον, „Θουκυδίδης Ἀθηναῖος συνέγραψε τὸν πόλεμον τῶν Ἀθηναίων καὶ Λακεδαιμονίων ὡς ἐπολέμησαν ἑκάτεροι·“ καὶ, „Κροῖσος [2] ἦν Λυδὸς μὲν γένος, παῖς δὲ Ἀλυάττου,“ καὶ ἑξῆς· καθαρὸν δὲ τῇ ἐπιμονῇ τοῦτο·

Ἄλλοι [3] μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταὶ
Εὗδον παννύχιοι, Δία δ' οὐκ ἔχε νήδυμος ὕπνος.

## ΠΕΡΙ ΤΟΥ ΚΑΤ' ΑΘΡΟΙΣΜΑ ΣΧΗΜΑΤΟΣ ΟΠΕΡ ΜΕΡΙΖΕΤΑΙ ΕΙΣ ΜΕΡΙΣΜΟΝ ΚΑΙ ΑΠΑΡΙΘΜΗΣΙΝ.

Μερισμὸς τοίνυν ἐστὶν ὅταν προταγέντος τοῦ μὲν ἐπάγηται ὁ δὲ, οἷον, „τῶν μὲν ἱερῶν χρημάτων τοὺς θεοὺς, τῶν ὁσίων δὲ τὴν πόλιν [4] ἀποστερεῖ·“ καὶ πάλιν· ὑμᾶς [5] μὲν εἰςπράττων τοὺς τριηράρχους, ἐκείνοις δὲ εἶναι περὶ αὐτῶν εἰς τοὺς ἔχοντας ἀναφοράν· ὡς καὶ Ὅμηρος.

Καὶ τὰ μὲν ἀσκήσας [6] κεραοξόος ἤραρε τέκτων,
Πᾶν δ' εὖ λειήνας χρυσέην ἐπέθηκε [7] κορώνην.
Καὶ τὸ μὲν εὖ κατέθηκε τανυσσάμενος ποτὶ γαίῃ

9 Mon. συμβιασάντων. Parr. συμβάντων. 10 Mon. προτιμώτερον.

1 Mon. ὀρθότητος. 2 Herod. I, 6. 3 Il. β, 1. 4 Mon. τῶν πόνων. scr. τὴν πόλιν ex Dem. in Timocr. p. 703. 5 in Timocr. p. 704. 6 Il. δ, 110. 7 Mon. δ' ἐπέθ.

Ἀγκλίνας· πρόσθεν [8] δὲ σάκεα σχέθον ἐσθλοὶ ἑταῖροι.

## ΠΕΡΙ ΑΠΑΡΙΘΜΗΣΕΩΣ.

Ἀπαρίθμησίς ἐστιν, ὅταν εἰπὼν τὴν ποσότητα ἐπάγῃ τὰ κατὰ μέρος· οἷον.

Δοιαὶ μὲν Μενελάῳ ἀρηγόνες [9] εἰσὶ θεάων·
Ἥρη τ' Ἀργείη καὶ Ἀλαλκομενηῒς Ἀθήνη·

καὶ πάλιν·

Ἤτοι ἐμοὶ τρεῖς μὲν πολὺ φίλταταί εἰσι πόληες·
Ἄργος τε Σπάρτη τε, καὶ εὐρυάγυια Μυκήνη. [10]

## ΠΕΡΙ ΣΧΗΜΑΤΟΣ ΟΤΑΝ ΤΙΣ ΕΑΥΤΟΝ ΕΡΩΤᾼ.

Ἐρωτᾷ τὶς ἑαυτὸν, ἵνα τὸν λόγον εὐκρινῆ ποιήσῃ· „τίνος οὖν ἕνεκα ταῦτα λέγω; ἑνὸς [11] μὲν, ὦ Ἀθηναῖοι, μάλιστα καὶ πρώτου, ἵνα μηδεὶς ἡμῶν, ἐπειδάν τι λέγοντος ἀκούῃ μου, θαυμάζῃ“· καὶ πάλιν· „ἦν τότε ἦν, ὦ Ἀθηναῖοι, ἐν ταῖς τῶν πολλῶν διανοίαις ὃ νῦν οὐκ ἔστιν, ὃ καὶ τοῦ Περσῶν [12] ἐκράτησε πλούτου καὶ ἐλευθέραν ἤγαγε τὴν Ἑλλάδα καὶ οὔτε ναυμαχίας οὔτε πεζῆς ἡττᾶτο· νῦν δ' ἀπόλωλε πάντα καὶ λελύμανται καὶ ἄνω καὶ κάτω πεποίηκε τὰ τῶν Ἑλλήνων πράγματα· τί οὖν ἦν τοῦτο; τῶν παρὰ τῶν ἄρχειν ἀεὶ βουλομένων ἢ καὶ διαφθείρειν τὴν Ἑλλάδα.“

## ΠΕΡΙ ΕΠΑΝΑΛΗΨΕΩΣ ΤΗΣ ΕΠΟΜΕΝΗΣ ΤΗι ΕΡΩΤΗΣΕΙ.

Πρῶτον [13] μὲν οὖν καὶ μάλιστα, οὗπερ ἕνεκα ταῦτα διεξῆλθον, δευτέρου δὲ τίνος; καὶ οὐδὲν ἐλάττονος, ἢ τούτου.

---

8 Mon. πρόσθε. 9 Il. δ, 7. 10 Par. 2. et Mon. Μηκύνη. Il. δ, 51. 11 Mon. ἐμοί. de fals. leg. p. 348. 12 Mon. πρὸς ὅν. — Phil. III. p. 120. 13 de fals. leg. p. 349.

## ΠΕΡΙ ΕΠΙΚΡΙΣΕΩΣ.

'Επίκρισίς ἐστιν τοῦ λέγοντος περὶ τῶν προῤῥηθέντων· „οὗτοι [14] πάντες οἱ νόμοι κεῖνται πολὺν ἤδη χρόνον, ὦ ἄνδρες, καὶ πεῖραν αὑτῶν πολλάκις δεδώκασιν, ὅτι συμφέροντες ἡμῖν εἰσι καὶ οὐδεὶς πώποτε ἀντεῖπε, μὴ οὐ καλῶς ἔχειν αὐτούς· εἰκότως.“ τὸ εἰκότως ἐστὶν ἡ ἐπίκρισις· καὶ ἐκ τοῦ κατὰ Μειδίου· „ἐπειδὰν χρηματίσωσιν οἱ πρόεδροι περὶ ὧν διῴκηκεν, [15] ὁ ἄρχων, χρηματίζειν κελεύει· καὶ περὶ ὧν ἄν τις ἠδικηκὼς ᾖ τι ἐπὶ τὴν ἑορτὴν, ἢ παρανενομηκώς“· εἶτα ἡ ἐπίκρισις, „καλῶς, ὦ θεοὶ, καὶ συμφερόντως ἔχων ὁ νόμος, ὡς τὸ πρᾶγμα αὐτὸ μαρτυρεῖ“.

## ΠΕΡΙ ΤΟΥ ΕΙΣ ΤΗΝ ΕΑΥΤΟΥ ΓΝΩΜΗΝ ΑΝΑΦΕΡΕΙΝ ΤΙ ΤΩΝ ΡΗΘΗΣΟΜΕΝΩΝ.

'Εκ τῆς ἐπιστολῆς Φιλίππου [1] „καὶ λογίζεσθε, ὡς ἄλογόν ἐστιν Ἀθηναίους Θασίους [2] μὲν καὶ Μαρωνείτας ἀναγκάσαι περὶ Στρύμης [3] διακριθῆναι λόγοις, [4] αὐτοὺς δὲ πρὸς ἐμὲ μὴ διαλύσασθαι περὶ ὧν ἀμφισβητοῦσι τὸν τρόπον τοῦτον, ἄλλως τε καὶ [5] γινώσκοντας, ὅτι νικηθέντες μὲν οὐδὲν ἀποβαλεῖτε, κρατήσαντες δὲ λήψεσθε τὰ νῦν ὑφ' ἡμῖν ὄντα. Πάντων δέ μοι δοκεῖ παραλογώτατον εἶναι.“ καὶ παρὰ Θουκυδίδῃ· [6] „Ἀγαμέμνων τέ μοι δοκεῖ τῶν τότε δυνάμει προὔχων.“ καὶ περὶ τῶν πρὸς Ἀλέξανδρον συνθηκῶν· [7] „ἄξιον ἀποδέχεσθαι, ὦ Ἀθηναῖοι, σφόδρα τῶν τοῖς ὅρκοις καὶ ταῖς συνθήκαις διακελευομένων ἐμμένειν, εἴπερ αὐτὸ [8] πεπεισμένοι

---

14 in Timocr. p. 707. 15 Par. 2. et Mon. διῴκημεν.

1 p. 163. 2 Mon. Θασείους. 3 Mon. πρύμνης. Parr. τρύμης. 4 Par. 1. λόγῳ. 5 Mon. ἀλλὰ τοὺς γιν. 6 I. 9. 7 Initio. 8 Mon. αὐτῷ.

ποιοῦσιν· οἶμαι γὰρ οὐδὲν οὕτως τοῖς δημοκρατουμένοις πρέπειν, ὡς περὶ[9] τὸ δίκαιον σπουδάζειν.

### ΠΕΡΙ ΠΡΟΣΤΑΚΤΙΚΟΥ ΣΧΗΜΑΤΟΣ.

„Τῆς Ἀριστογείτονος[10] κρίσεως ἀναμνησθέντες ἐγκαλύψασθε.“ καὶ ὁ Νέστωρ·[11]

Κρῖν' ἄνδρας κατὰ φῦλα, κατὰ φρήτρας, Ἀγάμεμνον.

καὶ ἡ Ἀθήνη·

Ἀλλ' ἴθι νῦν μετὰ λαὸν Ἀχαιῶν, μηδ' ἔτ' ἐρώει·[12]

καὶ ἄλλο·

Δαιμόνι'[13] ἀτρέμας ἧσο καὶ ἄλλων μῦθον ἄκουε.

### ΠΕΡΙ ΤΟΥ ΚΑΤ' ΕΡΩΤΗΣΙΝ ΕΛΕΓΚΤΙΚΟΥ.

„Εἶτα[14] Ὀλύνθιοι μὲν ἴσασι τὸ μέλλον προορᾷν, ὑμεῖς δὲ ὄντες Ἀθηναῖοι ταὐτὸ τοῦτο οὐχὶ φυλάξεσθε.“ ἄλλως· „οὐχ ὁρᾶτε[15] ὡς ἐναργὲς καὶ σαφὲς τούτων παράδειγμα οἱ ταλαίπωροι γεγόνασιν Ὀλύνθιοι·“ καὶ ὁ ποιητής·

Οὕτω δὴ[16] οἶκόνδε φίλην εἰς πατρίδα γαῖαν
Φεύξεσθ' ἐν νήεσσιν ἕως τῆς πατρίδος αἴης.

### ΠΕΡΙ ΤΟΥ ΚΑΤΑ ΑΠΟΣΤΡΟΦΗΝ ΣΧΗΜΑΤΟΣ.

„Ἀλλὰ τί ἐχρῆν, Αἰσχίνη, ποιεῖν τὴν πόλιν, ἀρχὴν καὶ τυραννίδα τῶν Ἑλλήνων ὁρῶσαν ἑαυτῷ κατασκευαζόμενον Φίλιππον; πότερον ἐχρῆν, Αἰσχίνη, αὐτὴν τὸ φρόνημα ἀφεῖσαν καὶ τὴν ἀξίαν τῆς ἑαυτῆς ἐν τῇ Θετταλῶν καὶ Δολόπων τάξει[1] συγκατακτᾶσθαι Φιλίππῳ

---

9 Mon. παρά. 10 Dem. Ep. III. p. 1485. 11 Il. β 362. 12 Il. β. 179. 13 Mon. et Par. 2. δαιμόνιος. — Il. β. 200. 14 in Aristocr. p. 656. 15 de fals. leg. p. 425. 16 Il. β. 158.

1 τάξει Mon. om. Recepi ex Dem. pro cor. p. 246.

τὴν Ἑλλήνων ἀρχὴν καὶ τὰ τῶν προγόνων καλὰ καὶ δίκαια ἀναιρεῖν· καὶ τό·

Ἀτρείδη[2] κύδιστε, φιλοκτεανώτατε πάντων,
Πῶς γάρ τοι δώσουσι γέρας;

καὶ πάλιν·

Ὤ μοι ἀναιδείην ἐπιειμένε, κερδαλεόφρον.
Πῶς τίς τοι πρόφρων ἔπεσιν[3] πείθηται Ἀχαιῶν·
Ἀλλά[4] σοι, ὦ μέγ' ἀναιδές, ἅμ' ἑσπόμεθ', ὄφρα σὺ χαίρῃς·

καὶ πλήρης αὐτοῦ ἡ ῥαψῳδία τοῦ τοιούτου σχήματος.

## ΠΕΡΙ ΤΟΥ ΚΑΤ' ΕΡΩΤΗΣΙΝ ΣΧΗΜΑΤΟΣ.

Πῶς τίς τοι προφρων ἔπεσι πείθηται Ἀχαιῶν;[5]

καὶ πάλιν·

Τίς δὲ σύ[6] ἐσσι φέριστε καταθνητῶν ἀνθρώπων;

καὶ χωρὶς κλητικῆς·

— — τί δέ[7] λαὸν ἤγαγεν ἐνθάδ' ἀγείρας,
Ἢ οὐχ Ἑλένης ἕνεκ' ἠϋκόμοιο;

καὶ ὁ ῥήτωρ ἐκ τῆς ἐπιστολῆς Φιλίππου·[8] „Τί δ' ἂν εἴποις περὶ Δημοσθένους, ὃς τῶν συμπρέσβεων κατηγορεῖ; καὶ κατὰ κόμμα·" ποῦ ἅλες; ποῦ τράπεζαι; ποῦ σπονδαί; Πότεροι οὖν τοὺς ἅλας παρέβαινον καὶ τὰς σπονδὰς, Αἰσχίνη; οἱ προδιδόντες καὶ οἱ παραπρεςβεύοντες καὶ οἱ δωροδοκοῦντες ἢ οἱ κατηγοροῦντες; τοῦτο μετὰ ἀποστροφῆς ἔχει τὴν ἐρώτησιν.

## ΠΕΡΙ ΤΟΥ ΔΕΙΚΤΙΚΟΥ ΣΧΗΜΑΤΟΣ.

„Οὐ μὴν[9] ἀλλ' ἔγωγε οἶμαί μοι προσήκειν ἀμφότερ' ὑμῖν ἀποδεῖξαι καὶ ὅτι ψεύσεται ταῦτα ἐὰν λέγῃ, καὶ τὴν

---

2 Il. α. 122. 3 Mon. Par. 2. ἔπεσσι. — Il. α. 149. 4 Il. α. 157. 5 Il. α. 150. 6 Il. ζ. 123. 7 Par. 1. τί δαί. — Il. ι. 338. 8 de fals. leg. p. 401. 9 Mon. ποῦ λέγω ἀλλ'. Par. 2. οὐ λέγω ἀλλ'. Par. 1. οὐ μὴν ἀλλ'. — de fals. leg. p. 404.

δικαίαν, ἥτις ἐστὶν, ἀπολογίαν φεύξεται· ἡ μὲν τοίνυν δικαία καὶ ἁπλῆ, καὶ ὡς πέπρακται τὰ κατηγορημένα δεῖξαι ἢ ὡς πεπραγμένα τῇ πόλει συμφέρει, τούτων δὲ οὐδέτερον δύναιτ' ἂν οὗτος ποιῆσαι.“ καὶ πάλιν· „χρήματα[10] οὗτοι μὲν ἔχουσιν ὑφ' ὑμῶν, ἐγὼ δὲ οὐκ ἠθέλησα λαβεῖν.“

## Ἄλλο περὶ Αἰσχίνου.

Οὑτοσὶ[11] κατηγορεῖ ταῦτ' ἐμοῦ, ὧν αὐτὸς κοινωνὸς γέγονε, καὶ χρήματα εἰληφέναι φησὶν ἐμὲ, αὐτὸς εἰληφώς.

### Ἄλλως.

Βουλομένου[12] μου τὰ δίκαια, ὥσπερ ἐπρέσβευσα δὶς, οὕτω καὶ λόγον ὑμῖν δοῦναι δὶς, προσελθὼν Αἰσχίνης οὑτοσὶ τοῖς λογισταῖς[13] ἔχων μάρτυρας πολλοὺς ἀπαγορεύει, μὴ καλεῖν[14] ἐμὲ εἰς τὸ δικαστήριον, ὡς δεδωκότα εὐθύνας καὶ οὐκ ὄντα ὑπεύθυνον, καὶ τὸ πρᾶγμα ἦν ὑπεργέλοιον· καὶ ὁ ποιητής·

Οὗτος δ' Αἴας[15] ἐστὶ πελώριος, ἕρκος Ἀχαιῶν.
Ἀλλ'[16] ὅδ' ἀνὴρ ἐθέλει περὶ πάντων ἔμμεναι ἄλλων.

## ΠΕΡΙ ΣΧΗΜΑΤΟΣ ΑΝΑΙΡΕΣΕΩΣ.

Οὐ λίθοις[1] ἐτείχισα τὴν πόλιν οὐδὲ πλίνθοις ἐγὼ, ἀλλὰ τὸν ἐμὸν τειχισμὸν, ἐὰν βούλῃ σκοπεῖν, εὑρήσεις ὅπλα καὶ πόλεις καὶ συμμάχους. Οὐ γὰρ ῥητόρων οὐδὲ λόγων κρίσιν ὑμᾶς τήμερον, εἴπερ φρονεῖτε, προσήκειν ποιεῖν· καὶ ὁ ποιητής·

Οὔ τι[2] μοι αἴτιός ἐσσι, θεοί νύ μοι αἴτιοί εἰσι·

---

10 de fals. leg. p. 405. 11 ibid. p. 406. 12 ibid. p. 406. infr. 13 Mon. λογισμοῖς. 14 Mon. κάλει. 15 Il. γ. 229. 16 Il. α. 287.

1 pro cor. p. 325. 2 Il. γ. 164.

καὶ πάλιν·

Οὔτοι [3] ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα.

## ΠΕΡΙ ΤΗΣ ΑΠΟΣΤΑΣΕΩΣ ΣΧΗΜΑΤΟΣ.

„Αὕτη [4] τῶν περὶ Θήβας ἐγένετο πραγμάτων ἀρχὴ καὶ κατάστασις πρώτη· τοῦτο τὸν πρότερον ἐπιστάντα πόλεμον παρελθεῖν ἐποίησεν, ὥσπερ νέφος." καὶ ἁπλῶς τὰ ἀσυνδέτως εἰσαγόμενα· Ὅμηρος·

Ἔστι [5] πόλις Ἐφύρη μυχῷ Ἄργεος ἱπποβότοιο,
Ἔνθα δὲ Σίσυφος ἔσκεν, ὃ κέρδιστος γένετ' ἀνδρῶν·

Ἄλλως·

Ὠιχόμεθ' [6] εἰς Θήβην ἱερὴν πόλιν Ἠετίωνος·
Τὴν δὲ διεπράθομέν τε καὶ ἤγομεν ἐνθάδε.

## ΠΕΡΙ ΤΟΥ ΚΑΤΑ ΠΡΟΤΙΜΗΣΙΝ ΣΧΗΜΑΤΟΣ.

Ὅπερ καταχρηστικῶς λέγεται κατὰ ἀπαρίθμησιν, οἷον, „ἐγὼ δὲ ὑμῖν, ὦ Ἀθηναῖοι, βούλομαι πρῶτον μὲν, περὶ ὧν Φίλιππος ἐπέσταλκε, περὶ τούτων διεξελθεῖν· ὕστερον δὲ περὶ ὧν οἱ πρέσβεις λέγουσι, καὶ ἡμεῖς λέξομεν." καὶ πάλιν· „κεκρατήκασιν οἱ δι' ἐκείνου τὰς πόλεις ποιούμενοι πᾶσιν, ὅσοις πράγματα πράττεται· πρώτῳ μὲν πάντων καὶ πλείστῳ τῷ [7] τοὺς βουλομένους χρήματα λαμβάνειν ἔχειν τὸν δώσοντα ὑπὲρ αὐτῶν· δευτέρῳ δὲ καὶ οὐδὲν ἐλάττονι τούτου τῷ δύναμιν τὴν καταστρεψαμένην τοὺς ἐναντιουμένους αὐτοῖς, ἐν οἷς ἂν αἰτήσωσι χρόνοις παρεῖναι." καὶ πάλιν ἐν τῷ προοιμίῳ τῷ περὶ τοῦ στεφάνου· „πρῶτον μὲν, ὦ Ἀθηναῖοι, τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, ὅσην εὔνοιαν ἔχων διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοιαύτην ὑπάρξαι μοι παρ' ὑμῖν εἰς τουτονὶ τὸν ἀγῶνα· ἔπειθ' ὅπερ ἐστὶ μάλισθ'

---

3 Il. γ. 65. 4 pro cor. p. 291. 5 Il. ζ. 152. 6 Il. α. 365. 7 τῷ Par. 1. om. Mon. τό.

ὑπὲρ ὑμῶν καὶ τῆς ὑμετέρας εὐσεβείας." πάντων τούτων παράδειγμα·[8] „σκέψασθε παρ' ὑμῖν, ὦ δικασταὶ, καὶ λογίσασθε, τίνων προσήκει τῇ πόλει λόγον παρὰ πρεσβευτοῦ λαβεῖν, πρῶτον μὲν τοίνυν ὧν ἀπήγγειλε, δεύτερον δὲ ὧν ἔπεισε, τρίτον δὲ ὧν προσετάξατε αὐτῷ, μετὰ ταῦτα τῶν χρόνων, ἐφ' ἅπασι δὲ τούτοις εἰ ἀδωροκήτως ἢ μὴ ταῦτα πάντα πέπρακται.

## ΠΕΡΙ ΤΟΥ ΚΑΘ' ΥΠΟΘΕΣΙΝ ΣΧΗΜΑΤΟΣ.

Ὅταν τὸ μὴ ὂν ἀπαλλάττηται· οἷον· „εἰ μὲν γὰρ ἐνταῦθα ἦν ἤδη τὰ πράγματα, Αἰσχίνη, ὥστε μηδ' αἰσθανομένοις τοῖς Θηβαίοις πλέον εἶναι μηδὲν, τί οὐ[1] γέγονε." καὶ πάλιν· „εἰ μὲν τοίνυν[2] πᾶσι ψηφιούμεθα ταῦτα, λήσομεν, ὡς ἔοικε, μισθοφόρων ἔργων ἀνθρώπων ποιοῦντες τὴν ἑκάστου σωτηρίαν τούτων δορυφοροῦντες." καὶ παρ' Ὁμήρῳ·

Εἰ[3] μέν τις τὸν ὄνειρον Ἀχαιῶν ἄλλος ἔνισπεν·

Ἄλλως·

Εἴπερ[5] γάρ κ' ἐθέλοιμεν Ἀχαιοί τε Τρῶές τε.

## ΠΕΡΙ ΠΛΑΓΙΑΣΜΟΥ.

Πολλῶν[6] ὄντων καὶ μεγάλων ἃ τὴν ῥητορικὴν ποιεῖ, ἀλλὰ τοῦτο ταχὺ περιέκοψε τὸν πλαγιασμὸν μεταβολὴν παθὸν τῆς γενικῆς πρὸς εὐθεῖαν. Ἄλλο κυριώτερον ἐν τῷ τῆς παραπρεσβείας·[7] „οὐκοῦν, ὦ Ἀθηναῖοι, μενόντων μὲν οἴκοι καὶ οὐκ ἐξεληλυθότων, ἀπεληλυθότων δὲ τῶν Λακεδαιμονίων καὶ προῃσθημένων τὴν ἀπάτην, οὐδενὸς ἄλλου παρόντος τῶν Ἀμφικτυόνων, πλὴν Θετταλῶν καὶ Θη-

---

8 de fals. leg. p. 342.

1 Mon. οὕτω. — de fals. leg. p. 354. 2 contr. Aristocr. p. 661. 3 Il. β. 80. 4 Mon. ἄλλος. 5 Il. β. 123. 6 Hermogenis initium. 7 p. 356.

βαίων, εὐφημοτάτων ἀνθρώπων, τούτοις παραδοῦναι γέγραφε τὸ ἱερόν."

ΠΕΡΙ ΕΠΙΤΡΕΧΟΝΤΟΣ ΣΧΗΜΑΤΟΣ.

Ἐπιτρέχον σχῆμά ἐστι τὸ τὰ διεστηκότα συνάγειν καὶ συνάπτειν ἕτερα ἑτέροις προειρημένοις· ἐκ τοῦ παραπρεσβείας·[8] „ἐπειδὴ γὰρ δωροδοκεῖν ἤρξαντό τινες καὶ δι' ἀβελτερίαν οἱ πολλοὶ, μᾶλλον δὲ διὰ δυστυχίαν τούτους πιστοτέρους ἡγήσαντο τῶν ὑπὲρ αὐτῶν λεγόντων."

„Ἄλλο ὑποκατιών. „Ἐπειδὴ[9] οὕτως ταῦτα προήγετο καὶ τὸ δωροδοκεῖν ἐκράτησε, χιλίους μὲν ἱππέας κεκτημένοι,[10] πλείους δὲ ὄντες ἢ μύριοι, πάντας δὲ τοὺς περιχώρους ἔχοντες συμμάχους, μυρίοις δὲ ξένοις καὶ τριήρεσιν ἡμῶν βοηθησάντων αὐτοῖς, καὶ ἔτι τῶν πολιτῶν[11] τετρακισχιλίοις, οὐδὲν αὐτοὺς τούτων ἠδυνήθη σῶσαι."

ΠΕΡΙ ΣΧΗΜΑΤΟΣ ΥΠΟΣΤΑΣΕΩΣ.

Ὑπόστασίς ἐστι λόγου αὔξησις καὶ ἑρμηνεία κατὰ τὸ δεύτερον κόμμα ἢ κῶλον· „ἐξήλεγξα[12] τὸν Φίλιππον φανερῶς οὕτως ὥστε τοὺς ἐκείνου συμμάχους αὐτοὺς ἀνισταμένους ὁμολογεῖν." καὶ πάλιν· „οὕτως[13] δὲ ἀθλίως διέκειτο, ὥστε οὐ πρότερον ἐτόλμησεν οὐδεὶς τοιούτου κακοῦ προϊόντος ῥῆξαι φωνὴν πρὶν[14] διασκευασάμενοι πρὸς τὰ τείχη προσήεσαν οἱ πολέμιοι."

## Ἐκ τῆς Φιλίππου ἐπιστολῆς.[15]

„Τέλος εἰς τοῦτο ἦλθεν παρανομίας, ὥστ' Ἀμφίλοχον ὑπὲρ τῶν αἰχμαλώτων ἐλθόντα πρεσβευτὴν συλλαβὼν καὶ τὰς ἐσχάτας ἀνάγκας ἐπιθεὶς ἀπελύτρωσε τα-

8 p. 425. 9 ibid. p. 426. 10 Mon. κεκρατημένους. 11 Mon. πολλῶν. Parr. πολιτῶν. 12 pro cor. p. 272. 13 Phil. III. p. 126. 14 Mon. προδιασκευασ. 15 p. 159.

λάντων ἐννέα.“ Ἄλλο·[16] „Μεγαρέων γοῦν Ἀνθεμόκριτον ἀνελόντων εἰς τοῦτο ἐλήλυθεν ὁ δῆμος, ὥστε μυστηρίων μὲν εἴργειν αὐτούς, ὑπομνήματα δὲ τῆς ἀδικίας ἔστησαν ἀνδριάντα πρὸ τῶν πυλῶν.“

## ΠΕΡΙ ΣΧΗΜΑΤΟΣ ΕΠΙΜΕΡΙΣΜΟΥ.

Ἐπιμεριζόμενόν ἐστι τὸ διὰ τοῦ μὲν καὶ τοῦ δὲ μερίζον τὴν ἔννοιαν, οἷον· „ἃ μὲν οὖν πρὸ τοῦ πολιτεύεσθαι καὶ δημηγορεῖν ἐμὲ προλαβὼν κατέσχε Φίλιππος, ἐάσω· ἃ δὲ ἀφ᾽ ἧς ἡμέρας,“ καὶ ἑξῆς· γίνεται δὲ κατὰ συζυγίαν, ὅταν δὲ δύο κῶλα προηγούμενα δύο κῶλα ἔχωσιν ἑπόμενα, οἷον· „παρὰ μὲν γὰρ τὰς[17] τῶν χορηγῶν δαπάνας μικρὸν ἡμέρας μέρος ἡ χάρις τοῖς θεωμένοις γίνεται, παρὰ δὲ τὰς τῶν εἰς τὸν πόλεμον παρασκευῶν ἀφθονίας πάντα τὸν χρόνον ἡ σωτηρία τῇ πόλει.“

## ΠΕΡΙ ΤΟΥ ΚΑΤΑ ΑΡΣΙΝ ΚΑΙ ΘΕΣΙΝ ΣΧΗΜΑΤΟΣ.

Ὅπερ συνίσταται ἐκ τῆς οὐ καὶ τῆς ἐναντίας αὐτῇ, καὶ μάλιστα τοῦ ἀλλὰ συνδέσμου, εἰ καὶ πλεῖστοι ἕτεροι εὑρίσκονται, οἷον· „οὐχ ὡς ἀποδωσομένου[1] τὰ ὑμέτερα, ἀλλ᾽ ὡς τῶν φυλαξάντων τοὺς ἀλλοτρίους.“ καὶ πάλιν ἕτερον, ὅπερ καὶ πλείστας ἄρσεις ἔχει· „ἡμεῖς[2] οὔτε χρήματα εἰσφέρειν βουλόμεθα, οὔτε αὐτοὶ στρατεύεσθαι τολμῶμεν, οὔτε τῶν κοινῶν ἀπέχεσθαι δυνάμεθα, οὔτε τὰς συντάξεις Διοπείθει δίδομεν, οὔτε ὅσα ἂν αὐτὸς αὑτῷ πορίσηται ἐπαινοῦμεν, ἀλλὰ βασκαίνομεν καὶ σκοποῦμεν πόθεν τί μέλλει ποιεῖν·[3] οὔτε ἐπειδήπερ οὕτως ἔχομεν, τὰ ἡμέτερα αὐτῶν πράττειν ἔχωμεν, ἀλλ᾽ ἐν μὲν τοῖς λό-

---

16 ibidem. 17 τάς Mon. om. — In Lept. p. 465.

1 de fals. leg. p. 344. 2 de Chers. p. 95. 3 In Codd. sequitur: ἄλλο.

γοις τοὺς τῆς πόλεως λέγοντας ἄξια ἐπαινοῦμεν, ἐν δὲ τοῖς ἔργοις τοῖς ἐναντιουμένοις τούτοις συναγωνιζόμεθα.“ οὐ μόνον δεῖ ταῦτα γινώσκειν, οὔτε τοῖς ἔργοις ἐκείνων ἀμύνεσθαι τοῖς τοῦ πολέμου, ἀλλὰ καὶ τῷ λογισμῷ καὶ τῇ διανοίᾳ. καὶ παρ' Ὁμήρῳ·

Οὔτι[4] μοι αἰτίη ἐσσί, θεοί νύ μοι αἴτιοί εἰσιν.

Ἄλλως·

Οὐ γὰρ ἔτι Τρώων καὶ Ἀχαιῶν φύλοπις αἰνή·
Ἀλλ' ἤδη Δαναοί γε[5] καὶ ἀθανάτοισι μάχονται.[6]

Ἄλλο·

Οὔτε[7] βίας Τρώων ὑποδείδισαν, οὔτε ἰωκάς,
Ἀλλ' ἔμενον νεφέλῃσιν.

## ΠΕΡΙ ΤΟΥ ΕΞ ΑΝΑΙΡΕΣΕΩΣ.

Ἐξ ἀναιρέσεώς ἐστι σχῆμα τὸ περὶ οὕς τινας καὶ προφέρον νόημα, οἷον οὐ μόνον τάδε, ἀλλὰ καὶ τάδε· „οὐ γὰρ[8] μόνον εἴτι χρήσιμον ἐσκεμμένος ἥκει τις, τοῦτο ἂν ἀκούσαντες λάβοιτε, ἀλλὰ καὶ τῆς ὑμετέρας τύχης ὑπολαμβάνω.“ καὶ ἐκ τοῦ περὶ τῆς ἀτελείας.[9] „οὐ γὰρ μόνον διὰ τὸ τὸν τόπον τοῦτον σῖτον ἔχειν πλεῖστον τοῦτο γίνεται, ἀλλὰ καὶ διὰ τὸ κύριον ὄντα τὸν Λεύκωνα τοῖς ἄγουσιν αὐτῷ σῖτον Ἀθήναζε ἀτέλειαν δεδωκέναι· καὶ ὑποκατιών·[10] οὐ τοίνυν, ὦ Ἀθηναῖοι, μὴ Λεύκων ἀδικηθῇ, δεῖ σκοπεῖν μόνον, ᾧ φιλοτιμίας ἕνεκα ἡ περὶ τῆς δωρεᾶς σπουδὴ γένοιτ' ἄν, οὐ χρείας, ἀλλὰ καὶ εἴτις ἄλλος εὖ μὲν ἐποίησεν ὑμᾶς εὖ πράττων, εἰς δέον δὲ νῦν γέγονεν αὐτῷ.

## ΠΕΡΙ ΤΟΥ ΚΑΤΑ ΣΥΣΤΡΟΦΗΝ ΣΧΗΜΑΤΟΣ.

Τοῦτο δέ ἐστι τὸ συστρέφειν τὸν λόγον καὶ ἐπεμ-

4 Il. γ. 164. 5 γε Mon. et Par. 1. om. est in Par. 2. — Il. ε. 379. 6 μάχονται Parr. om. 7 Il. ε. 521. 8 Ol. I. init. 9 p. 466. 10 p. 469.

βάλλειν μέσον τι παραλλαγὴν ἔχον προσώπου ἢ πτώσεως. οἷον· „ὁ γὰρ[11] οἷς ἂν ἐγὼ ληφθείην, ταῦτα πράττων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ, κἂν μήπω βάλλῃ μηδὲ τοξεύῃ.“ ἀρξάμενος γὰρ ἀπὸ τοῦ ἄρθρου εὐθείας, καὶ μὴ περαιώσας φθάσας τὸ ὄνομα ἢ τὴν μετοχὴν, οὗ τὸ ἄρθρον, παρενεῖρεν ἄλλην πτῶσιν καὶ ἕτερά τινα, τό τε ἂν καὶ τὸ ἐγὼ ληφθείην, εἶθ' ὑπερέγραψεν[12] εἰς τὴν εὐθεῖαν, τοσαῦτα πράττων καὶ κατασκευαζόμενος· καὶ πάλιν· „τοῦ τ' ἐκεῖνον[13] ὅπερ καὶ ἀληθὲς ὑπάρχει φαῦλον φαίνεσθαι,“ τοῦτο καὶ ὑπερβατὸν λέγεται καὶ παρένθεσις.

### ΠΕΡΙ ΠΑΡΙΣΟΥ ΣΧΗΜΑΤΟΣ.

Ἰστέον ὡς τῆς ἐπιτετηδευμένης καὶ φανερᾶς παρισώσεως εἴδη εἰσὶ δ΄. ἢ γὰρ κατὰ τὴν συλλαβήν ἐστι παρίσωσις, πολλάκις δὲ οὐδὲ τελείας ἢ κατὰ τέλειον μέρος λόγου καὶ τούτων μέρος ἕκαστον, ἢ κατὰ τὴν ἀρχὴν τοῦ λόγου, ἢ κατὰ τὸ τέλος. α΄. καὶ παρίσωσις μὲν γίνεται κατὰ συλλαβήν. ὡς τὸ „προσήκει προθύμως.“[14] ἡ μὲν γὰρ πρώτη λέξις ἔχει τὴν πρός, ἡ δὲ δευτέρα τὴν πρό, καὶ „Παυσανίου δὲ παυσαμένου.“[15] κατὰ δὲ τὸ τέλειον μέρος λόγου ἐπαναφορά·

Εὖ μέν τις δόρυ θηξάσθω, εὖ δ' ἀσπίδα θέσθω·
Εὖ δέ τις ἵπποισιν[16] δεῖπνον δότω ὠκυπόδεσσιν.
Εὖ δέ τις ἅρματος ἀμφὶς ἰδὼν πολέμοιο μεδέσθω,

καὶ, „μέχρι τούτου[17] Λασθένης φίλος ὠνομάζετο Φιλίππου, ἕως προὔδωκεν Ὄλυνθον, μέχρι τούτου Τιμόλαος, ἕως ἀπώλεσε Θήβας.“ καὶ, „προσιὼν[18] μὲν τῇ βουλῇ, προσιὼν δὲ τῷ δήμῳ.“

---

11 Phil. III. p. 115. 12 Mon. ὑπέργραψεν. 13 Mon. τοῦτ' ἐκεῖνο. — Ol. II. p. 19. 14 Ol. I. init. 15 Plat. Symp. p. 185. C. 16 Mon. ἵπποις. — Il. β. 382. 17 pro cor. p. 241. 18 de fals. leg. p. 344.

Ἱδρώσει μέν τ' εὖ τελαμὼν ἀμφὶ στήθεσσιν[19]
Ἀσπίδος ἀμφιβρότης, περὶ δ' ἔγχει χεῖρα παρεῖται·

τοῦτο δὲ ὀνομάζεται κατὰ κῶλον ἐπαναφορά· κατὰ δὲ τὸ τέλος παρίσωσις ὡσαύτως κατὰ μὲν συλλαβήν·

Εὖ[20] μέν τις δόρυ θηξάσθω, εὖ δ' ἀσπίδα θέσθω.

ὁμοιοτέλευτον· „τῇ τε πόλει[21] βοηθεῖν οἴεται δεῖν καὶ δίκην ὑπὲρ αὐτῶν λαβεῖν.“ κατὰ δὲ τέλειον μέρος λόγου, ὅπερ καὶ ἀντιστροφὴ λέγεται οὕτως· „ἂν μὲν[22] γὰρ ὅσα ἄν τις λάβῃ, καὶ σώσῃ, μεγάλην ἔχει τῇ τύχῃ τὴν χάριν, ἂν δὲ ἀναλώσας λάθῃ, συνανάλωσε καὶ τὸ μεμνῆσθαι τῇ τύχῃ τὴν χάριν.“ καὶ πάλιν· „πράττεταί[23] τι τῶν ὑμῖν δοκούντων συμφέρειν, ἄφωνος Αἰσχίνης· ἀντέκρουσέ τι καὶ γέγονεν, οἷον οὐκ ἔδει, πάρεστιν Αἰσχίνης.“ καὶ πάλιν· πρὸς μὲν τὸ[24] τὰ τοῦ πολέμου ταχὺ καὶ κατὰ καιρὸν πράττεσθαι πολλῷ προέχει, πρὸς δὲ τὰς καταλλαγὰς ἃς ἐκεῖνος ποιήσαιτο ἄσμενος πρὸς Ὀλυνθίους ἐναντίως ἔχει· καὶ κατὰ κόμμα· „ταξιάρχους[25] παρ' ὑμῶν, ἱππάρχους παρ' ὑμῶν.“

## ΠΕΡΙ ΠΕΡΙΣΩΣΕΩΣ ΚΑΘ' ΟΛΟΝ ΚΩΛΟΝ.

Τοῦτο δὲ γίνεται, ὅταν ἐξ ἴσων συλλαβῶν κῶλα γίνηται ἐννέα συλλαβῶν· „τὸ[1] λαβεῖν οὖν τὰ διδόμενα“ ἐννέα συλλαβῶν· „ὁμολογῶν ἔννομον εἶναι,“ ἐννέα συλλαβῶν· τὸ χάριν τούτων ἀποδοῦναι, κόμμα,[2] τῶν παρανόμων γραφῇ.[3]

## ΠΕΡΙ ΠΑΡΙΣΩΣΕΩΣ ΕΞ ΕΠΕΜΒΟΛΗΣ.

Ὅπερ ἐπιτηδεύεται ὁ Δημοσθένης διὰ τὸ ἀνύποπτον· γίνεται γὰρ ἐπεμβολή, ὅταν ἐπεμβάλλῃ ἐν τῷ μέσῳ τινὰ ἀμβλύ-

---

19 Mon. στήθεσφιν. — Il. β. 387. 20 Il. β. 382. 21 in Androt. init. 22 Olynth. I. p. 12. 23 pro cor. p. 294. 24 τὸ Mon. om. — Ol. I. p. 10. 25 Phil. I. p. 47.

1 pro cor. p. 267. 2 Mon. κομμάτων. 3 Mon. γίνεται.

*ἀμβλύνοντα τὴν ἐνάργειαν τῆς παρισώσεως, οἷον· „τὸ γὰρ πολλὰ ἀπολωλεκέναι κατὰ τὸν πόλεμον τῆς ἡμετέρας ἀμελείας ἄν τις θείη δικαίως, τὸ δὲ μήτε πάλαι τοῦτο πεπονθέναι πεφηνέναι τέ[4] τινα ἡμῖν συμμαχίαν τούτων ἀντίῤῥοπον, ἂν βουλώμεθα χρῆσθαι.“ εἶτα τὸ ἴσον τῷ ἐξ ἀρχῆς κώλῳ ἀπέδωκε τῷ ἐπαγαγεῖν, „τῆς παρ' ἐκείνων εὐνοίας εὐεργέτημα ἂν ἔγωγε θείην.“*

### *ΠΕΡΙ ΤΗΣ ΚΑΤ' ΕΝΑΛΛΑΓΗΝ ΠΑΡΙΣΩΣΕΩΣ.*

*Ὅπερ ἐπιτηδεύεται καὶ αὐτὸ Δημοσθένης· τοῦτο δὲ γίνεται, ὅταν ἀλλάττηται ὁ τόπος τῆς λέξεως τῆς ποιούσης τὴν παρίσωσιν· „τὸ μὲν τοίνυν[6] ἐν τῇ πρεσβείᾳ πρῶτον κλέμμα μὲν Φιλίππου, δωροδόκημα δὲ τῶν ἀδικούντων τοιοῦτον ἐγένετο.“ τὸ κλέμμα γὰρ καὶ δωροδόκημα ὤφειλεν ἐν τέλει ταγῆναι, εἴγε[7] παρίσωσιν ἐν ἀρχῇ ποιεῖν ἔμελλε· λέγων οὕτως· Φιλίππου μὲν τὸ κλέμμα, τῶν ἀδικούντων δὲ δωροδόκημα, ἀλλὰ θέλων διαλαθεῖν ὡς μὴ ἐπιτηδεύων παρίσωσιν καὶ ἐπετήδευσε καὶ ὑπέκρυψεν ὡς ἀλλάξας τὸν τόπον, ὅπως ζητουμένης ἐκεῖσε τῆς λέξεως καὶ μὴ εὑρισκομένης μὴ δοκεῖν εἶναι παρίσωσιν, καὶ τοῦτό ἐστι δεινότητος οὔσης καὶ μὴ φαινομένης.*

### *ΠΕΡΙ ΑΝΑΣΤΡΟΦΗΣ ΤΟΥ ΣΧΗΜΑΤΟΣ.*

*Ἀναστροφή ἐστιν, ὅταν τὸ τέλος τοῦ κώλου ἀρχὴ τοῦ ἑπομένου κώλου γίνηται, οἷον· „οὐ γάρ[8] δήπου Κτησιφῶντα μὲν δύναιτ' ἂν διώκειν δι' ἐμὲ, ἐμὲ δὲ εἴπερ ἐνόμιζεν αὐτὸν ἐξελέγχειν, οὐκ ἂν ἐγράψατο,“ καὶ τὸ „Σαμία μία,“[9] καὶ „αὐτίκα[10] βοὴ ἦν,“ παρὰ Θουκυδίδῃ.*

4 τι Mon. om. — Ol. I. p. 12. 5 Mon. τό. 6 pro cor. p. 236. 7 Mon. εἴτε. Par.2. εἴγε. 8 pro cor. p. 229. 9 Thuc. III. 16. 10 III. 22.

### ΠΕΡΙ ΚΛΙΜΑΚΩΤΟΥ ΣΧΗΜΑΤΟΣ.

Κλιμακωτόν ἐστι σχῆμα, ὅταν ἡ ἐπαναστροφὴ πολλάκις γένηται τῷ λόγῳ· „οὐκ εἶπον[11] μὲν ταῦτα, οὐκ ἔγραψα δὲ, οὐδὲ ἔγραψα μὲν, οὐκ ἐπρέσβευσα δέ·“ τὸ γὰρ ἔγραψα ἔστι τέλος τοῦ πρώτου κώλου, ἀρχὴ δὲ τοῦ δευτέρου· εἶτα ἐπρέσβευσα μὲν, οὐκ ἔπεισα δέ· ὡραῖον κλιμακωτὸν παρ' Ὁμήρῳ·[12]

— — — τὸ μὲν Ἥφαιστος κάμε τεύχων,
Ἥφαιστος δὲ δῶκε Διῒ Κρονίωνι ἄνακτι·

ἀλλάξας τὴν λέξιν εἶπεν ἑτέραν τὸ αὐτὸ σημαίνουσαν·

Αὐτὰρ ἄρα Ζεὺς δῶκε διάκτορι Ἀργειφόντῃ·

ὁ γὰρ Κρονίων Ζεύς ἐστιν·

Ἑρμείας δὲ ἄναξ δῶκεν Πέλοπι πληξίππῳ·
Αὐτὰρ ὁ αὖτε Πέλοψ δῶκ' Ἀτρέϊ ποιμένι λαῶν·
Ἀτρεὺς δὲ θνήσκων ἔλιπεν πολύαρνι Θυέστῃ·

ὧδε γὰρ τὸ αὖ τέθεικεν ἀντὶ τοῦ·

Ὁ αὖτε Θυέστ' Ἀγαμέμνονι λεῖπε φορῆναι·

λέγεται δὲ τοῦτο ἀντονομασία· ἀντονομασία δὲ λέγεται ὅταν ἑτέρα λέξις ἀνθ' ἑτέρας τεθείη, ἰσοδυναμοῦσα αὐτῇ ὡς τὸ Κρονίων Ζεὺς καὶ Ἀργειφόντης Ἑρμείας καὶ Ἀτρείδης ἀντὶ Ἀγαμέμνονος, καὶ τό·

Ἐξ[14] οὗ δὴ τὰ πρῶτα διαστήτην ἐρίσαντε
Ἀτρείδης τε ἄναξ ἀνδρῶν καὶ δῖος Ἀχιλλεύς.

ἀλλ' ἐπειδὴ δύο Ἀτρεῖδαι ἦσαν, Ἀγαμέμνων καὶ Μενέλαος, προσέθηκεν ἄναξ ἀνδρῶν πρὸς ἀντιδιαστολὴν τοῦ Μενελάου· ὅμοιον τούτῳ καὶ ὁ θεολόγος ἐχρήσατο εἰς τὸν ἐπιτάφιον τοῦ ἁγίου Βασιλείου· κατὰ παραλλαγὴν γὰρ λέξεως πεποίηκε τὸ κλιμακωτὸν, ὡς ἂν μὴ σαφὴς ἢ πρὸς κάλλος ἐπιβουλὴ γένοιτο· μιμούμενος τὸν Δημοσθένην ἐν ταῖς παρισώσεσιν. ἐκεῖνος μὲν γὰρ τοὺς τόπους ἀλλάσσει, ὁ δὲ θεολόγος τὰς λέξεις, ἄλλας ἀντ' ἄλλων

---

11 pro cor. p. 288. 12 Il. β. 101. 13 Mon. Par. 2. ἔλειπε. Par. 1. ἔλιπε. 4 Il. α. 6.

τιθεὶς τὰ αὐτὰ σημαινούσας, ὡς ἂν λάθοι καλλωπίζων· „ἆρ' οὖν προτεθύμηται μὲν οὕτως, ἠγώνισται δὲ τῆς προθυμίας ἔλαττον, ἢ διαγωνίζεται μὲν ἀνδρικῶς.“ ἀσυνδέτως δὲ, ἢ πεπαιδευμένως ἀντὶ τοῦ συνετῶς· ἀλλ' ἐξέφυγε τὸ φανερὸν τῆς ταυτολεξίας· „ἀκινδύνως δὲ, ἢ πάντα μὲν ταῦτα τελείως καὶ ὑπὲρ λόγον, ὑπελείπετο δέ τι τῆς μικροψυχίας ἐν ἑαυτῷ λείψανον.“ κλιμακωτὸν φανερὸν ἐν τῇ πρὸς Κλυδόνιον· „ὃ γὰρ τὴν ἐντολὴν ἐδέξατο τοῦτο, καὶ τὴν ἐντολὴν οὐκ ἐφύλαξεν· ὃ δὲ οὐκ ἐφύλαξε, τοῦτο καὶ τὴν παράβασιν ἐτόλμησεν· ὃ δὲ παρέβη, καὶ σωτηρίας ἐδεῖτο μάλιστα· ὃ δὲ σωτηρίας ἐδεῖτο, τοῦτο καὶ προσελήφθη.“ καὶ ἐν τῷ εἰς τὰ φῶτα λόγῳ· „οὗ δὲ φόβος, ἐντολῶν τήρησις, οὗ δὲ ἐντολῶν τήρησις, σαρκὸς κάθαρσις,“ καὶ ἑξῆς. καὶ πάλιν· „ὅσον ἂν καθαιρώμεθα, φανταζόμενον, καὶ ὅσον ἂν φανταζώμεθα, ἀγαπώμενον, καὶ ὅσον ἂν ἀγαπήσωμεν, αὖθις νοούμενον.“ τοῦ Χρυσοστόμου ἐκ τοῦ εἰς τὰς πράξεις· „μαθόντες γὰρ ἂν αὐτὴν ἀπεστράφησαν, ἀποστραφέντες γὰρ οὐκ ἂν ἤκουσαν, μὴ ἀκούσαντες δὲ ἔμειναν ἐπὶ τῆς πλάνης τῆς προτέρας.“ τοῦ αὐτοῦ· „Ὁρᾷς πῶς πρόεισι τὸ κακὸν, ἡ πικρία τὸν θυμὸν ἔτικτεν, ὁ θυμὸς τὴν ὀργήν· ἡ ὀργὴ τὴν κραυγὴν, ἡ κραυγὴ τὴν βλασφημίαν, ἡ βλασφημία τὰς πληγὰς, αἱ πληγαὶ τὰ τραύματα, τὰ δὲ τραύματα θάνατον.“ Τοῦ αὐτοῦ· „Ἵνα αἰδέσιμοι ὄντες μᾶλλον αὐτοῖς ὦσι περισπούδαστοι, περισπούδαστοι δὲ ὄντες αὐτοὺς ἐφέλκωνται, ἐφελκόμενοι δὲ προσηλῶσι τῇ λατρείᾳ, προσηλοῦντες δὲ τῇ λατρείᾳ εἰς μείζονα ἄγωσιν ἀρετὴν, δι' ἣν πάντα γίνονται.“ Τοῦ ἁγίου Πέτρου·[15] „ἐπιχορηγήσατε ἐπὶ τῇ πίστει ὑμῶν τὴν ἀρετὴν, ἐν δὲ τῇ ἀρετῇ τὴν γνῶσιν, ἐν δὲ τῇ γνώσει τὴν ἐγκράτειαν,“ καὶ τὰ ἑξῆς.

15 2. Petr. I. 5.

## ΠΕΡΙ ΥΠΕΡΒΑΤΟΥ.

Τούτου δὲ εἴδη δύο· τὸ μὲν γάρ ἐστιν καθ᾽ ὑπέρθεσιν, τὸ δὲ κατὰ παρένθεσιν· καὶ τὸ μὲν καθ᾽ ὑπέρθεσίν τ᾽ ἐστὶν, ὅταν λέξις τεθῇ ἐν τέλει ὀφείλουσα πρὸ δύο ἢ τριῶν λέξεων τεθῆναι, οἷον, „ἀλλ᾽ ὁ μὲν δόξης[1] ἐπιθυμεῖ καὶ τοῦτο ἐζήλωκε καὶ προῄρηται πράττων καὶ κινδυνεύων, ἂν συμβῇ τι, παθεῖν, τὴν τοῦ διαπράξασθαι ταῦθ᾽ ἃ μηδεὶς πώποτε ἄλλος βασιλεὺς Μακεδόνων δόξαν ἀντὶ τοῦ ζῆν ἀσφαλῶς ᾑρημένος, ἀντὶ τοῦ δόξαν ᾑρημένος ἀντὶ τοῦ ζῆν ἀσφαλῶς.“ καὶ Ὅμηρος·

Ὁ δ᾽ ἄρ᾽ ἔκθορε[2] φαίδιμος Ἕκτωρ,

ἀντὶ τοῦ ὁ δὲ φαίδιμος Ἕκτωρ ἔκθορε· καὶ ὑποκατιών·

Κέκλετο[3] δὲ Τρώεσσιν ἐλιξάμενος καθ᾽ ὅμιλον
Τεῖχος ὑπερβαίνειν.

καὶ ἐν ζ Θουκυδίδου οἱ ἐκ τοῦ πρώτου τείχους ἁλόντος διαφυγόντες. Τὸ δὲ κατὰ παρένθεσίν ἐστιν, ὅταν ἐν τῷ μέσῳ παρεμβληθῇ κῶλον ἢ κόμμα διακόπτον τὴν ἀρχὴν ἐκ τοῦ τέλους, οἷον· „τὸ δὲ πάντα[4] ὅσα ποτὲ ἔπραξε διεξιόντα ἐφ᾽ ἅπασι τούτοις ἐλέγχειν[5] καὶ βραχέος λόγου συμβαίνει δεῖσθαι, καὶ δυοῖν ἕνεκα ἡγοῦμαι συμφέρειν εἰρῆσθαι, τοῦ τ᾽ ἐκεῖνον, ὅπερ καὶ ἀληθὲς ὑπάρχει·“ ἐχώρισε τὴν ἀρχὴν τοῦ λόγου ἐκ τοῦ τέλους, καὶ ἐποίησε τὸ σχῆμα ὑπερβατὸν κατὰ παρένθεσιν· καὶ τρίτῳ Ὀλυνθιακῶν, „οὐ γάρ ἐστι δίκαιον τὴν μὲν χάριν, ἣ πᾶσαν ἔβλαψε τὴν πόλιν, τῆς τότε ἴσην[6] ὑπάρχειν.“ παρενεβλήθη γὰρ τὸ, „ἣ πᾶσαν ἔβλαψε τὴν πόλιν.“ καὶ πάλιν, „τὴν δὲ ἀπέχθειαν, δι᾽ ἧς ἂν ἅπαντες ἄμεινον πράξαιμεν, τῷ νῦν τὰ βέλτιστα εἰπόντι ζημίαν γενέσθαι.“ ἐνταῦθα παρενέβαλε τὸ, „δι᾽ ἧς ἂν ἅπαντα ἄμεινον πρά-

---

1 Ol. II. p. 22. 2 Il. μ. 462. ἔσθορε. 3 Mon. κέκλιτο. 4 Ol. II. p. 19. 5 Mon. ἐλέγχων. 6 Ol. III. p. 32. τοῖς τότε θεῖσιν.

ξαιμεν." καὶ πάλιν πρώτῳ κατὰ Φιλίππου· „εἰ μὲν περὶ καινοῦ τινος πράγματος προὐτίθετο, ὦ Ἀθηναῖοι, λέγειν, ἐπισχὼν ἂν ἕως οἱ πλεῖστοι τῶν εἰωθότων γνώμην ἀπεφήναντο, εἰ μὲν ἤρεσκέ τί μοι τῶν ὑπὸ τούτων ῥηθέντων, ἡσυχίαν ἂν ἦγον·" ἀντὶ τοῦ·[7] ἐπισχὼν ἂν ἡσυχίαν ἦγον, ἕως οἱ πλεῖστοι τῶν εἰωθότων γνώμην ἀπεφήναντο, εἰ ἤρεσκέ τί μοι τῶν ὑπὸ τούτων ῥηθέντων· ποικίλον δέ ἐστι τοῦτο τὸ ὑπερβατὸν, καὶ τὸ πρὸ τῆς ἐπιφορᾶς τοῦδε πάλιν ἐπενεγκεῖν μὲν καὶ ποιῆσαι διπλοῦν μερισμὸν, ἢ μᾶλλον, ὡς ἔνιοί φασι, μερισμόν τε καὶ ὑπομερισμὸν, καὶ διὰ τοῦτο προτάξαι τὰς κατασκευὰς καὶ ἐπαγαγεῖν τὰς προτάσεις· πρότασις μὲν γάρ ἐστιν ὅτι καὶ νέον τινὰ ὄντα προφέρει τὴν βουλὴν τοῦ συμφέροντος φροντίζοντα. καὶ ἡ κατασκευὴ ἤτοι ἡ αἰτία· ἐπειδὴ μηδὲν τῶν δεόντων οἱ εἰωθότες λέγειν, ἤτοι οἱ πρεσβύτεροι ἀπεφήναντο· καὶ πάλιν, ἴσως δὲ ταῦτα μὲν ὀρθῶς ἡγεῖσθε λέγεσθαι. τὸ δὲ τῶν χρημάτων, πόσα καὶ πόθεν ἔσται, μάλιστα ποθεῖτε ἀκοῦσαι, πόσα καὶ πόθεν ἔσται· καὶ ὁ ποιητής·

Αὐτὰρ ὁ [8] Πείσανδρόν τε καὶ Ἱππόλοχον μενεχάρμην,
Υἱέας Ἀντιμάχοιο δαΐφρονος·

εἶθ' οὕτως·

— — — ὅς ῥα μάλιστα
Χρυσὸν Ἀλεξάνδροιο δεδεγμένος, ἀγλαὰ δῶρα,
Οὐκ εἴασχ' Ἑλένην δόμεναι ξανθῷ Μενελάῳ.

## ΠΕΡΙ ΚΑΙΝΟΠΡΕΠΟΥΣ ΣΧΗΜΑΤΟΣ.[1]

Καινοπρεπές ἐστι τὸ μὴ παρὰ πολλοῖς εὑρισκόμενον, ἀλλὰ παρ' ὀλίγοις τοῖς ἐν τῷ λόγῳ τὸ ἀξιόπιστον λίαν κεκτημένοις, οἷον ὡς παρὰ τῷ ῥήτορι· „οἷον εἰ καὶ μηδὲν ἄλλο," ἀντὶ τοῦ εἰ καὶ μηδὲν ἄλλο· καὶ πάλιν· „Θετ-

7 ἀντὶ τοῦ Mon. om. Recepi ex Parr. 8 Il. λ. 122.

1 Caput hoc edidit Spengel. in συναγ. τεχν. p. 227.

ταλοὶ [2] δὲ οὐδένα πώποτε ὅν τινα οὔ,“ καὶ ὁ Θουκυδίδης· [3] „ἐπειδὴ μέντοι ἀντιπαραπλέοντάς τε ἑώρων αὐτοὺς παρὰ γῆν σφῶν κομιζομένων, καὶ ἐκ Πατρῶν τῆς Ἀχαΐας πρὸς τὴν ἀντιπέρας ἤπειρον διαβαλλόντων ἐπ' Ἀκαρνανίας [4] κατεῖδον τοὺς Ἀθηναίους ἀπὸ τῆς Χαλκίδος καὶ τοῦ Εὐήνου [5] ποταμοῦ προςπλέοντας σφίσι, καὶ οὐκ ἔλαθον νυκτὸς ὑφορμισάμενοι, οὕτω δὴ ἀναγκάζονται ὑφορμεῖν.“ καὶ πάλιν· „βοηθησάντων δὲ ὑμῶν προθύμως πόλιν προσλήψεσθε [6] ναυτικὸν ἔχουσα μέγα.“ „τῇ δὲ ὑστεραίᾳ ἐπὶ μὲν τὴν πόλιν οὐδὲν [7] μᾶλλον ἐπέπλεον καίπερ ἐν πολλῇ ταραχῇ καὶ φόβῳ ὄντας,“ ἀντὶ τοῦ οὖσαν, ἠκολούθησε γὰρ τῇ σημασίᾳ· καὶ ὁ Ἀῤῥιανός· [8] „καὶ ἐπὶ τῷδε ἐπαινῶ τοὺς σοφιστὰς τῶν Ἰνδῶν ὧν λέγουσιν. ἔστιν οὖν καταληφθέντας ὑπ' Ἀλεξάνδρου.“ καὶ Ξενοφῶν· [9] „ἐπεὶ δὲ καὶ ἐνταῦθα ἐχώρουν οἱ Ἕλληνες, λείπουσι δὲ τὸν λόφον οἱ ἱππεῖς, οὐ μὴν ἔτι οἱ ἄλλοι ἄλλοθεν, τότε ὁ λόφος τῶν ἱππέων.“ καὶ ἐν τῇ ή [10] Θουκυδίδου· „καὶ ὀλίγον ἐπράσσετο οὐδὲν,“ καὶ ἐν τῇ ζ΄· [11] „οὐδὲν ὀλίγον ἐς οὐδὲν κακοπαθήσαντες.“ καὶ πάλιν· „ὀλίγον [12] οὐδὲν ἐς οὐδὲν ἐπενόουν.“

## ΠΕΡΙ ΣΧΗΜΑΤΟΣ ΠΟΛΥΠΤΩΤΟΥ.

Πολύπτωτον δὲ τὸ τοῦ αὐτοῦ ὀνόματος ἢ τῆς αὐτῆς ἀντωνυμίας κατὰ κῶλον ἄλλην πτῶσιν ἢ ἄλλο γένος ἐκφέρεσθαι, οἷον· „αὕτη τῶν [13] περὶ Θήβας ἐγένετο πραγμάτων ἀρχὴ καὶ κατάστασις πρώτη.“ εἶτα· [14] „τοῦτο

---

2 contr. Aristocr. p. 657. 3 II. 83. 4 Par. 2. *ἐπὶ Καρνανίας*. 5 Mon. Par. 2. *Εὐκυνοῦ*. scr. *Εὐήνου* ex Thuc. 6 Mon. *πάλιν προςλήψεσθαι*. — Thuc. III. 13. 7 Mon. *οὐδέ*. Par. 2. *οὐδέν*. — Thuc. III. 79. 8 Mon. *Ἀρειανός*. Par. 2. *Ἀῤῥιανός*. Exped. Alex. VII. 1. 9 Anab. I. 10, 9. 10 Thuc. VIII. 15. 11 Mon. *β*. Par. 2. *ζ*. VII. 87. 12 VII. 59. 13 pro cor. p. 291. 14 Mon. *εἶτα οὐδέ*.

τὸ ψήφισμα τὸν τότε ἐπιστάντα τῇ πόλει κίνδυνον παρελθεῖν ἐποίησε, ὥσπερ νέφος.“ καὶ πάλιν· „οὗτοι[15] γὰρ ἡγοῦνται.“ εἶτα δοτικὴ, „τούτοις πείθεσθε.“ εἶτα γενική· „ὑπὸ τούτων δέος ἐστὶ μὴ παρακρουσθῆτε.“

## ΠΕΡΙ ΣΧΗΜΑΤΟΣ ΤΟΥ ΚΑΘ' ΥΠΟΣΤΡΟΦΗΝ.

Ὅπερ ἐν τῷ μέσῳ δεχόμενον ἐπεμβολὴν ἔρχεται πάλιν ἐπὶ τὴν ἀφήγησιν, ὅπερ Οὐλπιανὸς ἐπιδρομὴν καλεῖ· οἷον· „ἔστι τοίνυν[16] οὗτος ὁ πρῶτος Ἀθηναίων αἰσθόμενος Φίλιππον, ὡς τότε δημηγορῶν ἔφη, ἐπιβουλεύοντα τοῖς Ἕλλησιν.“ εἰπὼν γὰρ, „ἔστι τοίνυν οὗτος ὁ πρῶτος Ἀθηναίων αἰσθόμενος Φίλιππον,“ ἐπενέβαλε τὸ, „ὡς τότε δημηγορῶν ἔφη.“ καὶ πάλιν ἐπὶ τὴν κατάλληλον ἀφήγησιν τοῦ λόγου ὑπέστρεψεν εἰς τὸν ἐπιβουλεύοντα τοῖς Ἕλλησι· τοῦτο δὲ τὸ σχῆμα καὶ κατ' ἐπιπλοκὴν λέγεται· καὶ πάλιν ἐν τῇ ἀρχῇ τοῦ περὶ τοῦ στεφάνου·[17] „τοῦ γὰρ Φωκικοῦ συστάντος πολέμου, οὐ δι' ἐμὲ, οὐ γὰρ ἔγωγε ἐπολιτευόμην πω πότε, πρῶτον μὲν ὑμεῖς οὕτω διέκεισθε, ὥστε Φωκέας μὲν ἐβούλεσθε,“ καὶ ἑξῆς.

## ΠΕΡΙ ΤΜΗΤΙΚΟΥ ΣΧΗΜΑΤΟΣ.

Τμητικὸν δέ ἐστι τὸ τέμνον τὸν λόγον καὶ μεταβαῖνον ἀπὸ προσώπου εἰς πρόσωπον, ἢ ἀπὸ πράγματος εἰς πρᾶγμα· δεῖ δὲ εἰδέναι, ὅτι πολλάκις ἐστὶ τμητικὸς, ποτὲ δὲ καὶ ἔστι καὶ φαίνεται· τοῦ τοίνυν σχήματος τούτου εἴδη εἰσὶ ταῦτα, πρῶτον τὸ ἀσύνδετον κομματικὸν, οἷον· „προσῆλθε τῇ βουλῇ, προβούλευμα ἔγραψε·“[18] δεύτερον τὸ κατ' ὄνομα τεμνόμενον, Ἀμφίπολιν, Ποτίδαιαν,[19] Μεθώνην, Παγασάς.“ τρίτον καὶ αἱ δι' ἐλαχίστου ἐξαλλαγαὶ, οἷον τό· „Ἀμφίπολιν λαβεῖν,[20] μετὰ ταῦτα Πύ-

15 de fals. leg. p. 436. 16 de fals. leg. p. 344. 17 p. 230. 18 c. Timocr. p. 703. ἐγράφη. 19 Ol. I. p. 11. 20 Ol. I. p. 12.

δναν, πάλιν Ποτίδαιαν, Μεθώνην αὖθις, εἶτα Θεσσαλίας ἐπέβη.“ τέταρτον· τέμνουσι καὶ οἱ δι᾽ ἐλαχίστου μερισμοὶ τὴν ἀνταπόδοσιν ἔχοντες, οἷον, „ἑσπέρα μὲν γὰρ ἦν, ἧκε δ᾽ ἀγγέλλων[21] τις ὡς τοὺς πρυτάνεις ὡς Ἐλάτεια κατείληπται.“ πέμπτον· τὸ κατ᾽ ἐπαναφορὰν κομματικόν· „ταξιάρχους[22] παρ᾽ ὑμῶν, ἱππάρχους παρ᾽ ὑμῶν.“ ἕκτον· αἱ ταχεῖαι καὶ δι᾽ ἐλαχίστου συμπλοκαί· „καὶ σπουδαῖα[23] νομίζω καὶ ἀναγκαῖα τῇ πόλει, ὦ Ἀθηναῖοι, περὶ ὧν βουλεύεσθε,[24] ἐφ᾽ ἃ παρελήλυθα.“ καὶ ταῦτα μὲν τὰ παραδείγματα τυγχάνουσιν τοῦ φαινομένου τέμνειν καὶ μὴ τέμνοντος, καὶ τοῦ τέμνοντος καὶ φαινομένου· τοῦ δὲ τέμνοντος καὶ μὴ δοκοῦντος τέμνειν τὸ ἐκ πλαγίων σχῆμα τὸ κατὰ συστροφήν, ὡς τὸ, „πολλῶν, ὦ Ἀθηναῖοι, λόγων γινομένων καθ᾽ ἑκάστην ἐκκλησίαν,“ τοῦτο ἐκ πλαγιασμοῦ. τὸ δὲ κατὰ συστροφήν, „ὁ γὰρ Μεσσήνην[25] ἀφιέναι Λακεδαιμονίους κελεύων πῶς ἂν Ὀρχομενὸν καὶ Κορώνειαν τότε Θηβαίοις παραδοὺς τῷ[26] δίκαια νομίζειν ταῦτα εἶναι πεποιηκέναι σκήψαιτο; πολλὰ γὰρ ἐν ἀμφοτέροις δι᾽ ὀλίγων εἴρηται καὶ οὐ φαίνεται τεμνόμενα.

## ΠΕΡΙ ΕΙΡΩΝΕΙΑΣ.

Εἰρωνεία ἐστὶν ἔμφασις κακίας δι᾽ εὐφήμων ῥημάτων, ὡς ὁ ποιητὴς ἐν τῷ ἐννάτῳ περὶ τοῦ[1] Ἀγαμέμνονος, λέγοντος Ἀχιλλέως πρὸς τὸν Ὀδυσσέα·[3]

[2]Ἦ μὲν δὴ μάλα πολλὰ πονήσατο νόσφιν ἐμεῖο,
Καὶ δὴ τεῖχος ἔδειμε καὶ ἤλασε·

21 Mon. ἀγγέλων. — pro cor. p. 284. 22 Phil. I. p. 47. 23 Phil. IV. init. 24 Mon. βούλεσθε. 25 Mon. Μισείνην ἀφεῖλαν. 26 Mon. τό.

1 τοῦ Mon. om., est in Parr. 2 Il. ι. 348. 3 Il. ι. 356.

καὶ δεικνὺς τὸ ἀχρεῖον τοῦ τείχους φησίν,

Ἀλλ' οὐδ' ὣς δύναται σθένος Ἕκτορος ἀνδροφόνοιο
Ἴσχειν,

εἰπὼν μάλα πονήσατο νόσφιν ἐμεῖο, ἐπηύξησε τὰς πράξεις τοῦ Ἀγαμέμνονος· ἐν γὰρ ταῖς εἰρωνείαις, ὧν καταφρονοῦμεν, ταῦτα αὐξάνομεν. τινὲς καὶ τὸ ἐπαγόμενον εἰρωνικόν φασιν, ἑαυτὸν εὐτελίζοντος διὰ τὸ ὑπὸ Ἀγαμέμνονος ἀτιμασθῆναι. οἷον, „νῦν δ' ἐπεὶ[3] οὐκ ἐθέλω,“ ἀντὶ τοῦ οὐ δύναμαι, πρὸς τὴν ὑπόληψιν ἣν ἔχει περὶ ἐμοῦ ὁ Ἀγαμέμνων·

Φεῦγε μάλ', εἴ τοι θυμὸς ἐπέσσυται, οὐδέ σ' ἔγωγε,

καὶ ἑξῆς, ὧν μεμνημένος ὁ Ἀχιλλεὺς ἔφη,

Ἀλλ' Ὀδυσεῦ,[4] σὺν σοί τε καὶ ἄλλοισιν βασιλεῦσι·

καὶ πάλιν·

Αὔριον ἱρὰ Διῒ ῥέξαι καὶ πᾶσι θεοῖσιν·
Νηήσας εὖ νῆας, ἐπὴν ἅλαδε προερύσσω·
Ὄψεαι, αἴκ' ἐθέλησθα·

αἰνιττόμενος, μὴ σχολὴν ἄγειν, μένειν αὐτῷ ταῦτα ἐκ τῆς ἐπιθέσεως τῶν πρώτων· καὶ ὁ ῥήτωρ ἐν τῷ[5] περὶ Ἁλοννήσου· „Φεραίων μὲν ἀφήρηται τὴν πόλιν καὶ φρουρὰν ἐν τῇ ἀκροπόλει κατέστησεν, ἵνα δὴ αὐτόνομοι ὦσιν.“ οἱ γὰρ παρ' αὐτοῦ φρουρὰν δεξάμενοι καὶ τὴν ἐλευθερίαν ἀφήρηνται. Ἄλλο κατὰ συνέχειαν· „Ἐπὶ δὲ Ἀμβρακίαν στρατεύεται, τὰς δὲ ἐν Κασσωπίᾳ τρεῖς πόλεις, Πανδοσίαν καὶ Βούχεταν καὶ Ἐλάτειαν, Ἠλείων ἀποικίας, κατακαύσας τὴν χώραν καὶ εἰς τὰς πόλεις βιασάμενος παρέδωκεν Ἀλεξάνδρῳ τῷ ἑαυτοῦ κηδεστῇ δουλεύειν.“ εἶτα εἰρωνικῶς· „σφόδρα γε βούλεται τοὺς Ἕλληνας ἐλευθέρους εἶναι καὶ αὐτονόμους, ὡς δηλοῖ τὰ ἔργα.“ Ἄλλως· „οὕτως ὑβριστικῶς ὑμῖν κέχρηται ὥστε φησίν, ἐὰν μὴ θέλωσι δικάσασθαι[6] οἱ Καρ-

4 Il. ι. 346. 5 Par. 2. ἐκ τοῦ. — de Halon. p. 84. unde etiam sequentia sumta sunt. 6 Mon. δικαιώσασθαι. Parr. δικάσασθαι. Dem. l. l. p. 87. διαδικάζεσθαι.

διανοῖ αὐτὸν ἀναγκάσειν, ὡς ὑμῶν γε οὐκ ἂν δυναμένων οὐδὲ ἀναγκάσαι Καρδιανοὺς ὑμῖν ποιῆσαι τὰ δίκαια, ἐπειδὴ δὲ ὑμεῖς οὐ δύνασθε, αὐτός φησιν τοῦτο ἀναγκάσειν αὐτοὺς ποιῆσαι.“ εἶτα τὸ εἰρωνικόν· „ἄρα οὐ μεγάλα[7] ὑμᾶς φαίνεται εὐεργετῶν.“

### ΠΕΡΙ ΤΟΥ[8] ΚΑΤΑ ΑΠΟΣΙΩΠΗΣΙΝ.

Σχήματα ἐκ τοῦ Ἀριστογείτονος·[9] „βουλοίμην δ' ἄνωθεν πρὸ τοῦ περὶ τῶν ἰδίων ἐμὲ τῶν τουτουῒ λέγειν σπουδάσαντας ὑμᾶς ἐξετάσαι διὰ βραχέων, εἰς ὅσην αἰσχύνην καὶ ἀδοξίαν προεῖχε τὴν πόλιν δημοσίᾳ πάντα τὰ τοιαῦτα θηρία, ὧν μέσος καὶ τελευταῖος καὶ πρῶτός ἐστιν οὗτος· καὶ τὰ μὲν ἄλλα ἐάσω.“ καὶ πάλιν·[10] „ὅσα μὲν οὖν τοὺς χορευτὰς ἐναντιούμενος ἡμῖν ἀφεθῆναι τῆς στρατείας ἠνώχλησεν, ἢ προβαλλόμενος καὶ κελεύων ἑαυτὸν εἰς Διονύσια χειροτονεῖν ἐπιμελητὴν, ἢ τἄλλα πάντα, ὅσα τοιαῦτα, ἐάσω.“

### ΠΕΡΙ ΤΟΥ ΤΗΣ ΕΠΙΔΙΟΡΘΩΣΕΩΣ ΣΧΗΜΑΤΟΣ.

Ὅταν μὴ ἀρκούμενός τις εἰς μίαν λέξιν προστιθῇ ἢ τὴν αὐτὴν ἢ ἐκδηλοτέραν, οἷον, „ὀψὲ[11] γὰρ λέγω ὀψέ.“ ἐπιτατικωτέραν δὲ, ὡς, „ἔστι τῶν[12] αἰσχρῶν, μᾶλλον δὲ τῶν αἰσχίστων.“ εἰπὼν γὰρ τῶν αἰσχρῶν ὄνομα πρωτότυπον προσέθηκε παράγωγον ὑπερθετικὸν ὄνομα τὸ αἰσχίστων.

### ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΤΩΝ ΤΗΣ ΔΙΑΝΟΙΑΣ ΣΧΗΜΑΤΩΝ ΚΑΘ' ΕΡΜΟΓΕΝΗ.

Τὴν περὶ τῶν τῆς λέξεως σχημάτων περάναντες σὺν

---

7 Mon. μέγα. Parr. μεγάλα. 8 τοῦ Mon. om. Recepi ex Parr. 9 p. 772. 10 in Mid. p. 519. 11 pro cor. p. 270. 12 Ol. II. init.

θεῷ φάναι πραγματείαν ἐπὶ τὰ[1] τῆς διανοίας μετελθεῖν φήθημεν, ὡς ἂν μὴ ἐλλιπῆ[2] αὐτὴν τοῖς μεθ' ἡμᾶς ἐάσαντες γραφὴν ὀλιγωρίας ἀποίσομεν· οὐ γὰρ μέμψεως ἀμοιρήσομέν τινος ἀπαρξάμενοι, μὴ ἐπὶ τὸ τέλος καταντῆσαι σὺν προθυμίᾳ, ἵνα μὴ ἀφορμὴν καθ' ἡμῶν δῶμεν τοῖς φιλοσκώμμοσιν ἄλλου ἄλλο τι ἀναπλάττοντος, ἀλλὰ καὶ σὲ τῆς ὠφελείας ὁλοσχερῶς ἀπόνασθαι, καθαρὰν δὲ καὶ σαφῆ τὴν διδασκαλίαν γενέσθαι σπουδάζοντες ἐκ καθαρότητος ἀρξόμεθα.

## ΠΕΡΙ ΣΧΗΜΑΤΟΣ ΑΠΟ ΨΙΛΟΥ ΤΟΥ ΠΡΑΓΜΑΤΟΣ ΑΡΧΟΜΕΝΟΥ.

Ἀπὸ ψιλοῦ τοῦ πράγματος ἄρχεται ὅταν μηδὲν ἔξωθεν συνεφέλκηται, οἷον γένος εἴδει προσλαβὸν, ἢ ὅλον μέρει ἢ ἀόριστον ὡρισμένῳ ἢ δικαστῶν κρίσιν ἢ ποιότητα πράγματος, ἢ πρὸς ἕτερον διαφοράν· οἷον,

Οἱ δὲ θεοὶ[3] πὰρ Ζηνὶ καθήμενοι ἠγορόωντο·

καὶ τό·

Ὠιχόμεθ' ἐς Θήβην.[4]

## ΠΕΡΙ ΤΟΥ ΚΑΤΑ ΦΥΣΙΝ ΤΩΝ ΠΡΑΓΜΑΤΩΝ ΧΡΗΣΘΑΙ ΤΩι ΛΟΓΩι.

Τουτέστι τὰ πρῶτα τιθέναι πρῶτα, τὰ δὲ δεύτερα δεύτερα καὶ ἑξῆς κατὰ τὰς ἀντιθέσεις πρὸς τὸν λόγον· οἷον τὸν θεὸν φοβοῦ. τοὺς γονεῖς τίμα· καὶ τοὺς φίλους αἰσχύνου· ἡ δὲ ἀντίθεσις πρὸ τῆς λύσεως· τοῦ γὰρ Μειδίου λέγοντος, Δημοσθένην ὕβρισα ἐχθρὸν ἐμὸν, ὅπερ οὐκ ἔστι δημόσιον ἔγκλημα, ἐπιλύεται· ἀλλὰ χορηγὸς ἦν ὁ Δημοσθένης, ὁ δὲ χορηγὸς τῆς πόλεώς ἐστιν· ἡ ἀντίθεσις· πρόεδροι καὶ θεσμοθέται πληγὰς λαβόντες οὐκ ἐπεξῆλθον, δημοσίᾳ συγγνώμης ἄξιοι ἦσαν οἱ τυπτήσαντες

1 Mon. τῶν. 2 Mon. ἐλλείπῃ. 3 Il. δ. 1. 4 Il. α. 366.

ἐκείνους· ἐκεῖνοι γὰρ ἀπὸ θυμοῦ τι[5] ἔδρασαν, σὺ δὲ ἀπὸ προνοίας προέχων τὴν ἔχθραν ἐν ἑαυτῷ κατὰ Δημοσθένους.

### ΠΕΡΙ ΤΟΥ ΕΞ ΑΦΗΓΗΣΕΩΣ ΚΑΤΑ ΑΠΟΦΑΣΙΝ ΣΧΗΜΑΤΟΣ.

Κατὰ ἀπόφασιν σχῆμα ἐξ ἀφηγήσεώς ἐστιν, ὅταν τις ἀποφαίνηται μὴ ἔχων ἐνδοιασμὸν τὸ οἶμαι ἢ τὸ εἴτε, ὡς ὁ ῥήτωρ ἐν τῷ παραπρεσβείας·[6] „ἔστι τοίνυν οὗτος ὁ πρῶτος Ἀθηναίων αἰσθόμενος Φίλιππον, ὡς τότε δημηγορῶν,“ καὶ ἑξῆς.

### ΠΕΡΙ ΑΛΛΗΓΟΡΙΚΟΥ ΚΑΙ ΔΙΟΡΚΟΥΝΤΟΣ.

Ὡς παρὰ Πλάτωνι·[7] „ὁ μέντοι μέγας ἐν οὐρανῷ Ζεὺς πτηνὸν ἅρμα ἐλαύνων φέρεται.“ καὶ παρὰ τῷ ποιητῇ·

Ἀμφὶ δ' ἄρ' ὤμοισιν[8] βάλετ' αἰγίδα θυσσανόεσσαν·

ἕως

Τῇ ῥα δι' αὐτάων κεντρηνεκέας ἔχον ἵππους·

καὶ ὑποκατιών·[9]

Μητρός τοι μένος ἐστὶν ἀάσχετον οὐκ ἐπιεικτόν·

ἕως

Τῷ δ' ἐπὶ Παιήων ὀδυνήφατα φάρμακα πάσσων·

καὶ ἑξῆς, καὶ ἐν τῇ ἐνάτῃ·[10]

Εἰ δ' ἄγε πειρήσεσθε, θεοὶ ἵνα εἴδετε πάντες·

καὶ ἑξῆς.

### ΠΕΡΙ ΣΧΗΜΑΤΟΣ ΤΟΥ ΔΙ' ΕΜΦΑΣΕΩΣ ΜΥΣΤΙΚΩΣ ΛΕΓΟΜΕΝΟΥ.

Ὡς παρὰ Πλάτωνι, ὡς ὅταν λέγῃ, „τὸ ὄντως ὄν, καὶ ἀγαθὸς[11] ἦν,“ καὶ ἀναπτύξας ἔφη· „τόδε τι εὑρεῖν[12] τε

5 Mon. τό. 6 p. 344. 7 Phaedr. p. 246. e. 8 Il. ε.738. 9 ibid.892. 10 Il.θ.18. 11 Tim.p.29. 12 ibid.p.28.

καὶ εὑρόντα εἰς πάντας λέγειν ἀδύνατον," καὶ οἷον τὸ Πυθαγορικόν· εἰς ἱερὸν ἀπιὼν προσκυνῆσαι μηδὲν ἄλλο μεταξὺ βιωτικὸν μήτε λέγε μήτε πρᾶττε. καὶ πάλιν· ἀνυπόδυτος θῦε καὶ προσκύνει κοσμίως καὶ μετρίως καὶ μὴ ὑπερσχὼν τῆς ἐν τῇ γῇ τάξεως· σχεδὸν ὅμοιον τό·[13] „λῦσον τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου· ὁ γὰρ τόπος ἐν ᾧ σὺ ἕστηκας γῆ ἁγία ἐστί·" καὶ πάλιν· περὶ θεοῦ μηδὲν θαυμαστὸν ἀπίστει μηδὲ περὶ θείων δογμάτων.

## ΠΕΡΙ ΤΟΥ ΑΠΑΡΑΚΑΛΥΠΤΩΣ ΕΙΣΑΓΕΣΘΑΙ ΤΗΝ ΤΡΑΧΥΤΗΤΑ ΣΧΗΜΑΤΟΣ.

Τοῦτο δὲ γίνεται, ὅταν μὴ συμπλακῇ ἑτέρῳ τινὶ λεαίνοντι· οἷον τό· „τὸν ἐγκέφαλον[1] ἐν τοῖς κροτάφοις, ἀλλὰ μὴ ἐν ταῖς πτέρναις καταπεπατημένον φορεῖτε·" καὶ τό· „ἀλλὰ[2] μανδραγόραν ἤτοι φάρμακον ἄλλο πεπωκόσιν ἐοίκατε ἀνθρώποις·" τὸ δὲ, „οὔτε σωφρόνων[3] οὔτε γενναίων ἀνδρῶν, ἐλλείποντάς τι δι' ἔνδειαν χρημάτων τῶν τοῦ πολέμου εὐχερῶς τὰ τοιαῦτα ὀνείδη φέρειν," λειότερον[4] γέγονε τῷ σχήματι· ἐν γὰρ τῷ καθαρῷ εἴρηται καὶ οὐχ ἁπλῶς ἐπετίμησεν.

## ΠΕΡΙ ΤΟΥ ΠΡΟΗΓΟΥΜΕΝΩΣ ΕΙΣΑΓΟΝΤΟΣ ΤΑΣ ΕΝΝΟΙΑΣ ΣΧΗΜΑΤΟΣ ΚΑΙ ΑΔΙΑΚΟΠΤΩΣ.

Τοῦτο δὲ γίνεται, ὅταν ὡς θαῤῥῶν προηγουμένως ἀφηγῇ, ἀλλὰ μὴ ἐπεισάγῃς ἕτερόν τι διακόπτον τὴν ἀφήγησιν, οἷον· αὕτη τῶν[5] περὶ Θήβας ἐγένετο πραγμάτων ἀρχὴ καὶ κατάστασις πρώτη· τοῦτο δὲ τὸ ψήφισμα τὸν τότε τῇ πόλει περιστάντα κίνδυνον," καὶ ἑξῆς· διακόπτεται δὲ οὕτως· „αὕτη τῶν περὶ Θήβας ἐγένετο πραγμάτων ἀρχὴ καὶ κατάστασις πρώτη, τὰ πρὸ τούτων

13 Exod. III, 5. 1 de Halon. p. 88. 2 Phil. IV. p. 133. 3 Ol. III. p. 34. 4 Mon. λειότερα. 5 pro cor. p. 291.

εἰς ἔχθραν καὶ μῖσος καὶ ἀπιστίαν τῶν πόλεων ὑπηγμένων· ὑπὸ τούτων τοῦτο τὸ ψήφισμα τοῦ τότε τῇ πόλει.“

## ΠΕΡΙ ΤΟΥ ΤΑ ΕΝΔΟΞΑ ΕΝΔΟΞΟΤΕΡΩΣ ΛΕΓΕΙΝ.

Ἔνδοξοι γεγόνασιν οἱ Μαραθῶνι προκινδυνεύσαντες ὑπὲρ τῆς πατρίδος· ὁ δὲ Δημοσθένης διὰ τοῦ σχήματος πλέον αὐτοὺς ἐδόξασεν ὅρκον αὐτοὺς ποιησάμενος· τὰ γὰρ σεπτὰ ὄμνυνται καὶ τοῖς σεπτοῖς ὁρκίζονται· ὅθεν ἔφη, [6] „οὐ μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας καὶ τοὺς ἐν Σαλαμῖνι παραταξαμένους.“

## ΠΕΡΙ ΤΟΥ ΑΝΤΙΣΤΡΕΦΕΙΝ ΤΑ ΠΡΑΓΜΑΤΑ ΚΑΙ ΤΑ ΔΕΥΤΕΡΑ ΠΡΩΤΑ ΛΕΓΕΙΝ· ΕΙΤΑ ΕΠΕΜΒΑΛΛΕΙΝ ΤΑ ΠΡΩΤΑ.

Οἷον „ἀλλ' ἐπειδὴ [7] πάλιν ἥκομεν ἐκ τῆς πρεσβείας ταύτης τῆς ἐπὶ τοὺς ὅρκους, ἥσπερ εἰσὶν αἱ νῦν εὐθῦναι, οὔτε μικρὸν οὔτε μέγα [8] οὐδ' ὁτιοῦν εὑρημένοι τῶν ὅτε τὴν εἰρήνην ἐποιεῖσθε λεχθέντων καὶ προσδοκηθέντων, ἀλλὰ πάντα ἐξηπατημένοι, καὶ τούτων ἕτερα αὖθις [9] πεπραχότων καὶ παρ' αὐτὸ τὸ ψήφισμα προσῆμεν τῇ βουλῇ. καὶ ταυτὶ πολλοὶ συνίσασιν, ἃ μέλλω λέγειν· τὸ γὰρ βουλευτήριον μεστὸν ἦν ἰδιωτῶν.“ εἰπὼν τὰ δεύτερα πρῶτα ἐπενέβαλε τὰ πρῶτα εἰπὼν, οὔτε μικρὸν οὔτε μέγα, οὐδ' ὁτιοῦν εὑρημένοι, ἕως τοῦ προσῆμεν τῇ βουλῇ, καὶ πάλιν κατὰ ἐπισυναφήν· „ἀλλ' ἐπὶ [10] τῷ πανδοκείῳ τῷ πρὸ τοῦ Διοσκορείου (εἴτις ὑμῶν εἰς Φερὰς ἀφῖκται, οἶδεν ὃ λέγω) ἐνταῦθα ἐγένοντο οἱ ὅρκοι.

---

6 pro cor. p. 297. 7 de fals. leg. p. 346. 8 Par. 2. οὔτε μικρὰ, οὔτε μεγάλα. Mon. Par. 1. οὔτε μικρὸν οὔτε μέγα. 9 Mon. ὦ θεοί. Parr. αὖθις. 10 de fals. leg. p. 390.

### ΠΕΡΙ ΤΟΥ ΤΑΣ ΚΑΤΑΣΚΕΥΑΣ ΤΩΝ ΠΡΟΤΑΣΕΩΝ ΚΑΙ ΤΑΣ ΠΙΣΤΕΙΣ ΠΡΩΤΑΣ ΠΡΟΤΙΘΕΝΑΙ ΤΩΝ ΠΡΟΤΑΣΕΩΝ.

Οἷον, „ὁρῶν τὸ ναυτικὸν ὑμῶν καταλυόμενον καὶ τοὺς μὲν πλουσίους ἀτελεῖς [11] ἀπὸ μικρῶν ἀναλωμάτων γινομένους, τοὺς δὲ μέτρια καὶ μικρὰ κεκτημένους τῶν πολιτῶν [12] τὰ ὄντα ἀπολλύντας, ἔτι δὲ ὑστερίζουσαν ἐκ τούτων τὴν πόλιν τῶν καιρῶν ἔθηκα νόμους·“ καὶ πάλιν· „εἰ μὲν [13] περὶ καινοῦ τινος πράγματος προὐτίθετο λέγειν, ὦ Ἀθηναῖοι, ἐπισχὼν ἂν ἕως οἱ πλεῖστοι τῶν εἰωθότων γνώμην ἀπεφήναντο, εἰ μὲν ἤρεσκέ τί μοι τῶν ὑπὸ τούτων ῥηθέντων, ἡσυχίαν ἦγον· εἰ δὲ μή, τότε ἂν αὐτὸς ἐπειρώμην ἃ γιγνώσκω λέγειν.“ ἡ μὲν γὰρ πρότασίς ἐστιν, ὅτι δεῖ καὶ νεωτέρου ὄντος πρώτου λέγοντος ἀνέχεσθαι· ἡ δὲ κατασκευὴ, ὅτι μηδὲν οἱ πρεσβύτεροι τῶν δεόντων εἰρήκασιν.

### ΠΕΡΙ ΕΠΙΜΟΝΗΣ.

Σχῆμά ἐστιν ἐπιμονῆς, [14] ὅταν ἐφ' ὧν ἰσχύωμεν πραγμάτων χρώμεθα αὐτῇ. οἷον· „οὔτε [15] καιρὸς οὔτε φιλανθρωπία λόγων οὔτ' ἐπαγγελιῶν μέγεθος οὔτ' ἐλπὶς οὔτε φόβος οὔτ' ἄλλο οὐδὲν ἐπῆρεν, οὐδὲ προηγάγετο ὧν ἔκρινα δικαίων καὶ συμφερόντων τῇ πατρίδι οὐδὲν προδοῦναι.“ καὶ πρὸ τούτου· „πότερον [16] ἐχρῆν, Αἰσχίνη, τὸ φρόνημα ἀφεῖσαν καὶ τὴν ἀξίαν τὴν αὑτῆς,“ καὶ ἑξῆς.

### ΠΕΡΙ ΓΟΡΓΟΥ ΣΧΗΜΑΤΟΣ.

Γοργὸν σχῆμα λέγεται, ὅταν ταῖς ἀπαντήσεσι τα-

---

11 Mon. ἀτελεῖς. Parr. εὐτελεῖς. — pro cor. p. 260. 12 Parr. πολιτῶν. Mon. πολλῶν. 13 Phil. I. init. 14 Mon. ἐστὶ μονῆς. Parr. ἐστὶν ἐπιμονῆσι 15 pro cor. p. 325. 16 ib. p. 246.

χείαις καὶ βραχείαις χρώμεθα καὶ ταῖς ἀντιθέσεσιν, οἷον· „τί βουλευόμενοι [17] μετεπέμπεσθε αὐτοὺς ἐν τούτῳ τῷ καιρῷ; ἐπὶ τὴν εἰρήνην; ἀλλ' ὑπῆρχεν ἅπασιν. ἀλλ' ἐπὶ τὸν πόλεμον; ἀλλ' αὐτοὶ περὶ εἰρήνης ἐβουλεύεσθε·" καὶ πάλιν· „κακοδαιμονοῦσι [18] Βυζάντιοι· σφόδρα γε· ἀλλ' ὅμως αὐτοὺς δεῖ σῶς εἶναι, συμφέρει γὰρ τῇ πόλει."

## ΠΕΡΙ ΤΟΥ ΚΑΤ' ΕΥΤΕΛΕΙΑΝ ΣΧΗΜΑΤΟΣ.

Κατ' εὐτέλειάν ἐστι σχῆμα τὸ πλεονάζον τοῖς κατὰ μέρος. οἷον εἰ μὴ καὶ τοὺς θεριστὰς καὶ τοὺς σκαπανέας [19] καὶ τοὺς ἀμαλλοδέτας καὶ τοὺς νομέας καὶ τοὺς ποιμένας· ἔστι καὶ ἄλλο εἶδος τὸ δι' ὅρκων πιστοῦσθαι, ἀλλὰ μὴ διὰ πραγμάτων, ὡς ὁ ῥήτωρ· „καλῶ [20] δὲ τοὺς θεοὺς πάντας καὶ πάσας καὶ τὸν Ἀπόλλωνα τὸν Πύθιον." καὶ Ὅμηρος· [21]

Ναὶ μὰ τόδε σκῆπτρον τὸ μὲν οὔποτε φύλλα καὶ ὄζους·

ἀλλὰ καὶ ὁρκίζειν κριτὰς ἢ διάδικον.

## ΠΕΡΙ ΣΧΗΜΑΤΟΣ ΕΠΙΕΙΚΟΥΣ.

Ἐπιεικὲς σχῆμά ἐστιν ὅταν τὰ ἑαυτοῦ καλὰ ἐλαττοῖ, τὰ δὲ τοῦ ἐναντίου ἢ τὰ καλὰ ἐπαίρῃ ἢ τὰ κακὰ μειοῖ· καὶ τοῦ μὲν πρώτου· „τῆς [22] μέντοι διακονίας τῆς ἐφ' ἑκάστῳ τῶν πεπραγμένων καὶ ἐμαυτῷ μετεῖναί φημι·" ἐκεῖνος μὲν γὰρ καὶ ἐβούλευσεν, ἀλλὰ ταπεινώσας αὐτοῦ τὸ κατόρθωμα μετεῖναί φησι. τοῦ δὲ μειοῦντος τὰ τοῦ ἀντιδίκου κακὰ ἢ ἐνδεικνυμένου τοῦ λέγοντος, ὡς τό· „μηδὲν [23] ὀργισθῇς, οὐδὲν γὰρ ἐρῶ φλαῦρον·" καὶ πάλιν· „τοῦ θέντος [24] τὸν νόμον τὰ μὲν ἄλλα ἔγωγε οὐκ οἷ-

---

17 pro cor. p. 233. 18 de Chers. p. 93. 19 Mon. et Par. 2. καπανίας καὶ τοὺς ἀμαλοδέτας. Par. 1. σκαπανέας κ. τ. ἀμαλλοδέτας. 20 pro cor. p. 274. 21 Il. α, 234. 22 pro cor. p. 296. 23 in Lept. p. 488. 24 ibid. p. 461.

οἶδα, ἐκ δὲ τοῦ νόμου σκοπὸν εὑρίσκω πολὺ τούτου κεχωρισμένον." τοῦ δὲ μὴ ἐνδεικνυμένου. „τίνος [25] οὖν ἕνεκεν, εἰ τὰ μάλιστα μὴ τινὲς ἀλλὰ πάντες ἦσαν ἀνάξιοι, τὴν αὐτὴν ἀτιμίαν ὑμῶν τε κατέγνω κἀκείνων. ἐκείνους μὲν γὰρ ἠτίμασε ἀφελὼν αὐτοὺς τὴν ἀτέλειαν. ὑμᾶς δὲ κατηυτέλησε τῷ στερῆσαι ὑμᾶς τῆς ἐξουσίας τοῦ διδόναι ἀτέλειαν, ᾧ τινι βούλεσθε."

### ΠΕΡΙ ΣΧΗΜΑΤΟΣ ΠΑΡΑΛΗΠΤΙΚΟΥ.

Κατὰ δεινότητα δὲ ἐμφαίνοντες τὰ δοκοῦντα παραλείπεσθαι, οἷον· „καὶ οὐδὲν [26] ἂν εἴποιμι τούτων, οὔτε εἴ τινας ἐκ τῶν πολεμίων ἐλυσάμην, οὔτε εἴ τισι πενομένοις θυγατέρας συνεκδέδωκα·" καὶ πάλιν· „Ὄλυνθον [27] μὲν δὴ καὶ Μεθώνην καὶ Ἀπολλωνίαν καὶ δύο καὶ τριάκοντα πόλεις ἐπὶ Θρᾴκης ἐῶ."

### ΠΕΡΙ ΣΧΗΜΑΤΟΣ ΠΟΙΗΤΙΚΟΥ ΑΡΧΙΚΟΥ.

Ἀρχικὸν μὲν σχῆμα ποιήσεως τὸ μὴ παρ' ἑαυτῶν λέγειν, ἀλλ' αἰτεῖσθαι τὰς κατ' αὐτοὺς Μούσας ἀπάρχεσθαι τοῦ λόγου· οἷον, „μῆνιν ἄειδε," καὶ, „Μοῦσαι Πιερίηθεν," καὶ,

Μουσάων Ἑλικωνιάδων ἀρχώμεθ'.
Εἰπὲ θεὰ κρυφίων ἐπιμάρτυρα λύχνον ἐρώτων.

καὶ ἐκ Διὸς ἀρχώμεθα· καὶ ταῦτα μὲν τῶν παρ' Ἑρμογένει σχημάτων· εἰσὶ δέ τινα ἕτερα σχήματα παρ' Ὁμήρῳ, ἅπερ ἰδίως ποιησόμεθα.

### ΠΕΡΙ ΚΑΙΝΟΠΡΕΠΩΝ ΣΧΗΜΑΤΩΝ ΤΗΣ Α.

Καὶ λίην σε πάρος γ' οὔτ' εἴρομαι [1] οὔτε μεταλλῶ.

πῶς τὸ πάρος ἐπίρρημα σημαῖνον καιρὸν παρῳχηκότα,

---

25 in Lept. init. 26 pro cor. p. 316. 27 Phil. III. p. 117.

1 Mon. Par. 2. οὔτε εἴρομαι. Il. α, 553.

ῥήματι συνετάγη χρόνῳ ἐνεστῶτι, οὐδεὶς γὰρ σωφρονῶν φησι, πέρυσιν οὐκ ἐρωτῶ οὐδὲ πρότερον ἐπιζητῶ· μήτι γε ὁ σοφώτατος Ὅμηρος· καί φαμεν, ὡς οὐ κατ' εὐθὺ δεῖ συντάσσειν τὸ κῶλον, ἀλλὰ κατὰ ὑστερολογίαν ἐκδέχεσθαι τὸ πρότερον. οἷον οὐδὲ πάνυ ἐρωτῶ σε, οὐδὲ ἐπιζητῶ, οὐδὲ τὸ πρότερον. Ἄλλως. Εἰπόντος τοῦ Διὸς πρὸς τὴν Ἥραν· „ἀλλ' ὃν μὲν ἐπιεικὲς ἀκουέμεν,[2] ἕως,

Μήτι σὺ ταῦτα ἕκαστα διείρεο, μηδὲ μετάλλα,

ἐπεὶ περὶ καθολικῶν βουλευμάτων αὐτῇ προσεῖπε, τῶν μὲν ποιεῖσθαι ζήτησιν, ὅσα αὐτὸς κρύπτειν βούλοιτο, περὶ δὲ τῶν φανερῶν αὐτὴν προτιμητέον ἡγεῖται· ἀπεκρίθη αὐτῷ, ἐμοὶ ἑνός, ὦ ἄνερ, μέλει, περὶ ὧν ἡ Θέτις ἐζήτησε παρά σου τῶν γονάτων ἐπειλημμένη· τὰ δὲ πρότερον γεγονότα καὶ λίαν οὐκ ἐρωτῶ, οὐδὲ ἐπιζητῶ· ἵνα τὸ πάρος μὴ εἴη πρὸς τὸ ἐπιζητῶ. ἀλλὰ πρὸς τὰ γεγονότα τῷ παρεληλυθότι· ἄλλο ὑποκατιών [3] φησι·

Μή νύ τοι οὐ χραίσμωσιν ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ,

ἕως τὸ „ἀάπτους χεῖρας ἐφείω." Τινὲς αὐτῷ ἀντιπίπτουσιν ὡς δοκεῖ χρησαμένου τοῦ ποιητοῦ ἀντὶ γενικῆς, ἵνα ᾖ οὕτως· μή ποτε, ὅσοι θεοί εἰσιν ἐν τῷ Ὀλύμπῳ, οἱ βοηθήσουσί σοι ἐμοῦ ἐγγὺς ἐλθόντος, ὅταν σοι τὰς ἀπροσπελάστους ἐπιβάλλω χεῖρας, ἀντὶ τοῦ ἰόντος ἰόντι φαμένου. ἔστι δὲ μᾶλλον εἰπεῖν, ὡς τοῦ ποιητοῦ εἰς δύο τάξεις μερίζοντος τοὺς παρ' αὐτῶν σεβομένους θεούς, οὐρανίους καὶ καταχθονίους· καὶ γὰρ κατὰ τὴν Πυθαγορικὴν δόξαν τὸ ἆσσον ἰόνθ' οὐκ ἔστιν, ὡς δοκεῖ τοῖς πολλοῖς, πτώσεως δοτικῆς ἀλλ' εὐθείας τῶν δυϊκῶν· ἀντὶ τοῦ ἰόντε· ἵν' ᾖ τὸ συναγόμενον τῆς συντάξεως οὕτως, μήπως, ὅταν σοι τὰς ἀπροσπελάστους χεῖρας ἐπιβάλλωσιν οἱ οὐράνιοι καὶ καταχθόνιοι θεοί, ἐγγὺς ἐλθόντες οὐ βοηθήσωσί σοι· καὶ τούτου ὅμοιον δείξομεν ἐν τῇ γ'

---

2 Mon. ἀκούομεν. 3 Il. α, 566.

παρὰ πόδας τοῦ λόγου· ἔστι δὲ καὶ ἄλλως εἰπεῖν περὶ τῆς τοιαύτης συντάξεως δοτικῆς οὔσης τῆς ἆσσον ἰόνθ' ἀντὶ τοῦ ἰόντι· τὸ χραισμῶ σημαίνει τὸ βοηθῶ. καὶ τὸ ἀνθίσταμαι ἐκ τοῦ παρεπομένου. ὁ γὰρ βοηθῶν τινὶ τῶν ἀντιδίκων ἀνθίσταται· ἔστιν οὖν καὶ τὰ νῦν εἰπεῖν περὶ τῆς τοιαύτης συντάξεως δοτικῆς οὔσης τῆς ἆσσον· μήπως ὅταν σοι τὰς ἀπροσπελάστους χεῖρας ἐπιβάλλω ἐγγὺς ἐλθόντι οὐκ ἀντιστήσονται ὅσοι θεοί εἰσιν ἐν τῷ Ὀλύμπῳ. Καιρὸς ἂν εἴη καὶ τὴν ὑπόσχεσιν ἐκπληρῶσαι τῆς ἀποδείξεως τῆς Ὁμηρικῆς δόξης, εἰς δύο ἀφοριζούσης τοὺς παρ' αὐτῆς οὐρανίους καὶ ἐπιγείους κατὰ τὴν αἴτησιν Ἀγαμέμνονος περὶ μονομαχίας Ἀλεξάνδρου καὶ Μενελάου καὶ ὁποτέρου τῶν μερῶν παραβασίαν,

> Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιστε, μέγιστε,
> Ἠέλιός θ' ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακούεις.
> Καὶ ποταμοὶ καὶ γαῖα, καὶ οἱ ὑπένερθε καμόντες
> Ἀνθρώπους τίννυσθαι.

εἰπὼν γὰρ Δία καὶ θεοὺς τοὺς οὐρανίους ᾐνίξατο ποταμοὺς καὶ γῆν καὶ τοὺς ὑπένερθεν, τοὺς ὑπὸ γῆν ἐδήλωσε. ὅθεν καὶ ῥῆμα δυϊκὸν ἐπήγαγε, καμόντας ἀνθρώπους τίννυσθον ἀντὶ τοῦ τιμωρήσατε, β' πρόσωπον δυϊκὸν προστακτικῆς ἐγκλίσεως, τάχα δὲ τοῦτο καὶ ἑτέρως θεραπεύεται. μάρτυρα μὲν γὰρ ἐπεισήγαγε τὸ καμόντας ἀνθρώπους τίννυσθον· ἀναγνωστέον οὖν τελείας τιθεμένης μετὰ τὸ γαῖαν οὕτως. Ζεὺς ἠέλιός τε καὶ ποταμοὶ καὶ γαῖα· εἶτα στιγμὴν, καὶ εἶθ' οὕτως· καὶ οἱ ὑπένερθεν καμόντες ἀνθρώπους τίννυσθον· ἵν' ᾖ τὸ πλῆρες οὕτως·

> Ζεῦ [3] πάτερ, Ἴδηθεν μεδέων, κύδιστε, μέγιστε·
> Ἠέλιός θ' ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακούεις,
> Καὶ ποταμοὶ καὶ γαῖα,
> Ὑμεῖς μάρτυρες ἔστε, φυλάσσετε δ' ὅρκια πιστά·
> Καὶ οἱ ὑπένερθε καμόντες
> Ἀνθρώπους τίννυσθον ὅτις κ' ἐπίορκον ὀμόσσῃ.

3 Il. γ. 276.

Ἄλλο ἀντιπτωτικὸν τῆς β'· [4]

Φημὶ γὰρ οὖν κατανεῦσαι ὑπερμενέα Κρονίωνα,

ἕως τοῦ

Ἀστράπτων ἐπιδέξι' ἐναίσιμα σήματα φαίνων,

ἀντὶ τοῦ ἀστράπτοντος· προειπὼν γὰρ γενικὴν κατανεῦσαι ὑπερμενέα Κρονίωνα· ἀστράπτων ἐπήνεγκεν εὐθύς· καὶ Εὐριπίδης·

Πάλαι δή σ' ἐξερωτῆσαί θέλων
Σχολή μ' ἀπεῖργεν,

ἀντὶ τοῦ θέλοντος ἐρωτῆσαι· ἐν δὲ τῇ γ' ἀντὶ γενικῆς Ὅμηρος ἐποίησεν εὐθεῖαν· οἷον

Ἄμφω [5] δ' ἑζομένω, γεραρώτερος ἦεν Ὀδυσσεύς,

ἀντὶ τοῦ καθεζομένου καὶ ἐν τῇ κ'· σύν τε δύ' ἐρχομένω· [6] περὶ δὲ Μενελάου, καὶ Νέστορος καὶ ὁ Ὀδυσσεὺς μνήμην ποιούμενος τοὺς τρεῖς τρόπους τῆς ῥητορικῆς καθ' ἕκαστον πρόσωπον ἔδειξεν, τό τε ἀπολελυμένον καὶ πυκνὸν καὶ πιθανόν· περὶ μὲν τοῦ Μενελάου ὡς ἅτε νέου ὄντος φησὶν, ὅτι ἐπιτροχάδην ἀγόρευε, [7] τὰ μὲν πολλὰ καὶ ἔνδειξιν ἔχοντα παρατρέχων. ἴδιον γὰρ τοῦτο νεότητος διὰ τὸ ἄπειρον τῶν ἱστοριῶν· τῶν ἀναγκαίων δὲ μόνων μνήμην ποιούμενος, ὁποῖον ὑπογράφουσιν οἱ παλαιοὶ ῥήτορες τὸν Λυσίαν· περὶ δὲ τοῦ Ὀδυσσέως φησὶν, [8] ἔπεα νιφάδεσιν ἐοικότα χειμερίῃσιν οἱ λόγοι αὐτοῦ. αἰνιττόμενος τὸ πλῆθος τοῦ λόγου ὑψηλόν τε καὶ πυκνὸν καὶ καταπληκτικὸν, καὶ τὸ μεστὸν τῶν ἐνθυμημάτων καὶ τούτων ἀθρόως λεγομένων, ὁποῖός τίς ἐστιν ὁ Δημοσθένης· ἐπεισάγει δὲ τὸν Νέστορα, χαρακτηρίζοντα τὸν Ἰσοκράτη· ἔχει γὰρ τὸ πιθανὸν ἐκ τῆς ἡδύτητος τοῦ λόγου, καὶ τὸ ἀξιόπιστον ἐκ τῆς πλαγιότητος καὶ πείρας τῶν ἱστοριῶν· πλήρης γὰρ δογμάτων· καὶ Ἰσοκράτης κεκαλλωπισμένος τὸν λόγον εἴπερ τις ἄλλος, ὅθεν καὶ οἱ τεχνι-

---

4 Il. β, 350. 5 γ, 211. 6 κ, 224. 7 γ, 213. 8 γ, 222.

κοὶ τὰ παραδείγματα τῶν παρίσων καὶ ἰσοκώλων καὶ ἐπαναφορῶν καὶ ἐπαναστροφῶν καὶ πάντων τῶν σχημάτων τῶν λόγον καλλωπιζόντων ἐξ αὐτοῦ παρειλήφασιν. ἃ δὲ περὶ τοῦ Νέστορος ὁ ποιητὴς ἐπιμαρτύρεται λέγων·

— — — τοῖσι δὲ Νέστωρ [9]
Ἡδυεπὴς ἀνόρουσε λιγὺς Πυλίων ἀγορητής.
Τοῦ καὶ ἀπὸ γλώσσης.

ὅθεν καὶ Ἀγαμέμνων θαυμάζων αὐτὸν ἐγκωμιάζει δημοσίᾳ·

Ἦ μὴν [10] αὖτ' ἀγορῇ νικᾷς, γέρον, υἷας Ἀχαιῶν.

ἀμέλει καὶ εἰς εὐχὴν τρέπεται, τοιούτους πλείστους ἔχειν γλιχόμενος·

Αἲ γὰρ Ζεῦ τε πάτερ καὶ Ἀθήνη
Τοιοῦτοι δέκα μοι συμφράδμονες εἶεν Ἀχαιῶν·

καὶ ἑτέρωθεν·

Ὦ γέρον, [12] εἴθ' ὡς θυμὸς ἐνὶ στήθεσσι φίλοισι
Ὥς τοι γούναθ' ἕποιτο·

Τὰ πληθυντικὰ ὀνόματα τῶν οὐδετέρων ἑνικοῖς ῥήμασι συντάσσεται παρὰ τοῖς Ἀττικοῖς· ὅθεν σοφώτατος ὢν ὁ ποιητὴς ἐν ἑνὶ στοίχῳ δυσὶ διαλέκτοις ἐχρήσατο. [13]

Καὶ δὴ δοῦρα σέσηπε νεῶν καὶ σπάρτα λέλυνται.

Καινοπρεπές·

Ὣς [14] φασαν ἡ πληθύς·

καὶ ἐν τῇ ὀ·

— — — αὐτὰρ ὀπίσσω
Ἡ πληθὺς ἐπὶ νῆας Ἀχαιῶν ἀπονέοντο· [15]

πρὸς τὴν σημασίαν ἐποιήσατο τὴν ἐπαγωγὴν τοῦ ῥήματος· οὕτως καὶ τό· „πᾶσα [16] ἡ γῆ προσκυνησάτωσαν·“ καὶ ἐν τῇ Ἐξόδῳ, [17] „φοβηθέντες δὲ ὁ λαός ἔστησαν μακρόθεν.“ Ἄλλο.

Ὁ δὲ ἀγλαΐηφι πεποιθὼς, ἀντὶ τούτου δὲ ἀγλαΐη-

---

9 Il. α, 247. 10 β, 370. 11 δέκα μοι Mon. om. 12 Il. δ, 314. 13 β, 135. 14 β, 278. 15 Mon. ἀπονέωνται. ο, 305. 16 Ps. 65, 3. 17 XX, 19.

φι πεποιθότος ῥίμφα ἑ γοῦνα φέρει, [18] ἐπεὶ προηγουμένως εὐθυμίαν εἰ μὴ ἀρχαϊκῇ συνηθείᾳ εἴπωμεν αὐτῷ συντετάχθαι σολοικισμὸς λογισθήσεται· συντακτέον οὖν οὕτως· ὁ δὲ τῇ ἀγλαΐᾳ θαῤῥῶν ταχέως φέρει τὰ κατ' αὐτὸν γόνατα, ἵνα τὰ γοῦνα εἴη πτῶσις αἰτιατικὴ, καὶ μὴ εὐθεῖα· τινὲς δὲ τῶν ἀρχαίων βιαζόμενοι καὶ παραλλαγὴν ἐμποιοῦντές φασιν· ὁ δ' ἀγλαΐηφι πεποιθὼς ῥίμφα ἑ γοῦνα φέρει, ἤγουν τὰ ἑαυτοῦ γόνατα· ἔστι καὶ ἕτερος τρόπος, ὃς πολυσχεδής ἐστι καὶ ποικίλος, οἷον·

Ἄνδρ' ὁρόω κρατερὼ· [18] ὁ μὲν τόξων εὖ εἰδὼς,
Πάνδαρος, υἱὸς δ' αὖτε Λυκάονος εὔχεται εἶναι.

προειπὼν αἰτιατικήν· ἄνδρας ὁρῶ κρατεροὺς ἐπήνεγκεν εὐθὺς, ὁ μὲν τόξων εὖ εἰδὼς, ἀντὶ τοῦ, τὸν μὲν τόξων εὖ εἰδότα, Πάνδαρον υἱὸν Λυκάονας εὐχόμενον εἶναι·

Αἰνείαν δ' υἱὸν μεγαλήτορος Ἀγχίσαο·

ἄλλο·

Ἔχθιστος [19] δέ μοί ἐσσι θεῶν, οἳ Ὄλυμπον ἔχουσιν.
Ἔχθιστος δέ μοί ἐσσι θεῶν τὸν Ὄλυμπον ἐχόντων.

καὶ ἔστι καὶ ἕτερον εἶδος παρ' αὐτῷ σχήματος τὸ λεγόμενον προεπίζευξις· προθεὶς γὰρ ὄνομα ἑνικὸν ἓν ἐπάγει δυϊκὸν ῥῆμα ἢ πληθυντικόν. εἶθ' οὕτως ἐπάγει ἕτερον ὄνομα· οἷον [21]

Ἧχι ῥοὰς Σιμόεις συμβάλλεται ἠδὲ Σκάμανδρος·

Ὤφειλε γὰρ κατὰ τὴν ἀκολουθίαν τῆς συντάξεως εἰπεῖν·

Ἧχι ῥοὰς Σιμόεις συμβάλλεται, ᾗ δὲ Σκάμανδρος.

Ἄλλο εἶδος προτάττει ῥῆμα ἑνικοῦ ἀριθμοῦ καὶ ἐπάγει δύο πρόσωπα·

Ἦρχε [22] δ' ἄρα σφιν Ἄρης καὶ πότνι' Ἐνυώ.

ἄλλως· αἰτιατικὴ ἀντὶ γενικῆς·

Ζεῦ ἄλλοι [23] τε θεοὶ, δότε δὴ καὶ τόνδε γενέσθαι

---

18 Mon. ῥιμφαρῶς γοῦν φέρει. Parr. ῥίμφα ἑ γοῦνα φ. Il. ζ, 511. 19 ε, 244. 245. 20 ε, 890. 21 ε, 774. 22 ε, 592. 23 ζ, 477.

*Παῖδ' ἐμὸν, ὥς καὶ ἐγώ περ, ἀριπρεπέα Τρώεσσιν*
*Ὧ δε βίην τ' ἀγαθὸν καὶ Ἰλίου ἶφι ἀνάσσειν.*
*Καὶ ποτέ τις εἴπῃ πατρὸς δ' ὅδε πολλὸν ἀρείων!*
*Ἐκ πολέμου ἀνιόντα·*

ἀντὶ τοῦ ἀνιόντος.

## ΠΕΡΙ ΣΧΗΜΑΤΟΣ ΙΣΟΚΩΛΟΥ.

Ἰσόκωλόν ἐστι φράσις δύο ἢ καὶ πλειόνων κώλων ἀπηκριβωμένων ἀλλήλοις πρὸς ἀντιστρόφου ἐμφέρειαν. οἷον

*Αἴδεσθεν[24] μὲν ἀνήνασθαι δεῖσαν δ' ὑποδέχθαι·*

καὶ ἄλλως

*Χρὴ[25] ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν.*

## ΠΕΡΙ ΕΛΛΕΙΠΤΙΚΟΥ ΣΧΗΜΑΤΟΣ.

*Γνωτὸν δὲ καὶ ὃς μάλα νήπιός ἐστιν,[26]*

ἀντὶ τοῦ, γνωτὸν δὲ τοῦτο τῷ καὶ πάνυ νηπίῳ. δύο γὰρ σχήματα ἔχει ἔλλειψιν τοῦ[27] τοῦτο, καὶ ἀλλαγὴν τῆς δοτικῆς εἰς εὐθεῖαν· „ὃς μάλα νήπιός ἐστιν“· ἄλλο εἶδος ἀντιπτώσεως, ἀντὶ δοτικῆς χρησαμένου τοῦ ποιητοῦ γενικῇ.

*Οὐ γάρ[28] τις φειδὼ νεκύων κατατεθνειώτων*
*Γίνετ', ἐπεί κε θάνωσι πυρὸς μελισέμεν ὦκα.*

ἀντὶ, οὐ γάρ τις φειδὼ γίνεται τοῖς τεθνεῶσι νέκυσι[29] χαρίζεσθαι· παρὰ γὰρ τὸ μέλι, ἐπεὶ γλυκεῖα ἡ χάρις. οὕτως ἔχει καὶ τὸ, μηδέτι μοι αἰδόμενος μελίσσεο, ἀντὶ τοῦ χαρίζου. — Ἄλλο καινοπρεπές· δ' ὄντων προσώπων δυϊκὸν ῥῆμα προσήγαγεν· ὁ Ἕκτωρ ἐστὶν ὁ λέγων πρὸς τοὺς οἰκείους ἵππους,[30]

---

24 Il. η. 93. 25 Od. ο. 74. 26 Il. η. 401. 27 τοῦ Mon. om., recepi ex Parr. 28 Il. η. 409. 29 Mon. τεθνῶσι χωρίζεσθαι omisso νέκυσι. corrigunt Parr. 30 Il. θ. 185.

*Ξάνθε τε καὶ σὺ Πόδαργε καὶ Αἴθων Λάμπε τε δῖε,*
*Νῦν μοι τὴν κομιδὴν ἀποτίνετον.*

ὅταν δὲ εἴπῃ, ὅτι μήποτε αἱ δύο ὀνομασίαι εἰσὶν ἐπίθετα, καὶ αἱ δύο ἕτεραι ὀνόματα ἵππων κύρια, ἀλλ' ἡ συνθήκη τοῦτο νοεῖν οὐ συγχωρεῖ· ἑκάστῳ γὰρ ὀνόματι σύνδεσμος ἕπεται συμπλεκτικός· καὶ ἡνίκα μὲν εἰσι δύο ὀνόματα συνδέσμου δίχα, δύναται τὸ μὲν εἶναι κύριον ἢ προσηγορικὸν, τὸ ἄλλο δὲ ἐπίθετον, ὡς τὸ δέος Ὀδυσσεὺς ἐπίθετον καὶ κύριον ἄνευ συνδέσμου· καὶ ἀγαθὸν Διομήδην· καὶ τὰ τοιαῦτα. ἡνίκα δὲ μεταξὺ σύνδεσμος εἴη, ἢ ἄμφω κύρια ἢ ἄμφω προσηγορικὰ ἦσαν· τοῖς γὰρ ὁμοίοις ἐφευρίσκονται οἱ σύνδεσμοι· προσηγορικὰ μὲν, θεοί τε καὶ ἀνέρες, κύρια δὲ, Ἕκτωρ τε Πριάμοιο πάϊς καὶ δῖος Ὀδυσσεύς· ἐπεὶ οὖν ἑκάστῳ ὀνόματι σύνδεσμος ἐφήρμοσται, οἱ δὲ συμπλεκτικοὶ[31] σύνδεσμοι ἐν τοῖς ὁμοίοις εὑρίσκονται ὡς ἂν χωρίζωσιν αὐτὰ ἐξ ἀλλήλων καὶ μὴ λογίζωνται ἓν τὰ δύο. Τέσσαρες ἵπποι εἰσὶ καὶ οὐ δύο· ἀλλά φαμεν, ὅτι δύο μέν εἰσιν ἐν τῷ ζυγῷ ἵπποι, δύο παρήοροι,[32] καὶ διεῖλεν εἰς δύο συζυγίας τὴν τετρακτὺν τῶν ἵππων, καὶ πρὸς ἑκάστην συζυγίαν ἐπήνεγκε τὸ ῥῆμα, νῦν μοὶ τὴν κομιδὴν ἀποτίνετον, πρὸς τὴν μίαν συζυγίαν λέγων· ἀπότινε, καὶ πρὸς τὴν ἑτέραν, ἀπότινε, καὶ πρὸς τὰς δύο, ἀποτίνετον· οὐ καθ' ἓν πρόσωπον ἁρμόζων τὴν προτροπὴν, ἀλλὰ καθ' ἑκάστην συζυγίαν· πρῶτος δὲ Ἕκτωρ ὡς εἰμοιρήσας καλλίστων ἵππων τῶν ἐκ τοῦ Τρωὸς τεθρίππων ἐπέβη. ἄλλως τε καὶ θρασὺν ἡνίοχον αὐτὸν ὠνόμασεν. εἰκὸς τοίνυν ὡς θρασὺν τεθρίππῳ χρήσασθαι· φασὶ δέ τινες περὶ τοῦ δυϊκοῦ ῥήματος καὶ ὡς δύο εἰσὶν ὑποζύγιοι καὶ δύο παρήοροι, καὶ τὸ ὅλον βάρος τῆς ἡνιο-

31 In verbis: οἱ δὲ συμπλεκτικοὶ finit Cod. Par. 1983.
32 Mon. παρήωροι. constanter.

χείας καὶ οἱ ἑλκυσμοὶ τοῦ δίφρου οἱ ὑποζύγιοι φέρουσιν· ἀμέθεκτοι δὲ βάρους τυγχάνουσιν οἱ παρήοροι μηδεμιᾶς αὐτῶν οὔσης χρείας, ἐῤῥωμένων τῶν ὑποζυγίων· εἰ δέ τι συμβῇ ἐκ Τρωὸς τοῖς ὑποζυγίοις, τὸ τηνικάδε χρεία καθίσταται τῶν παρηόρων, ἀντ' αὐτῶν ὑπεισιόντων τῷ ζυγῷ· πρὸς οὖν τοὺς[33] τὸ βάρος ἅπαν φέροντας τοῦ δίφρου τὸ ῥῆμα μετήνεγκε· νῦν μοι τὴν κομιδὴν ἀποτίνετον· περὶ δὲ τοῦ

Οἶνον τ' ἐγκεράσασα πιεῖν ὅτε θυμὸς ἀνώγοι,[34]

ὡς γυνὴ λίαν φίλανδρος διὰ τὸ παρεῖναι τὸν πόλεμον τῇ ὑπερβολῇ τῆς ἐπιμελείας χρῆται τοῖς ἵπποις κεκραμένῳ οἴνῳ ὕδωρ ἐπικομίζουσα αὐτοῖς· ὅτι δὲ πρὸς τοὺς ὑποζυγίους μόνους κέχρηται τῷ ἀποτίνετον, δηλοῦσι καὶ τὰ ἑξῆς δυϊκὰ τῶν ῥημάτων· „ἀλλ' ἐφομαρτεῖτον καὶ σπεύδετον“· πῶς γὰρ ἂν δύναιντο σπεύδειν οἱ παρήοροι, εἰ μὴ ἕλκουσιν οἱ ὑποζύγιοι· μᾶλλον δὲ ἔστω ὑπερβατὸν, ἵνα μὴ εἰς κακόζηλον ἐμπέσῃ τὸ περὶ τοῦ οἴνου· ἵν' ᾖ οὕτως· προτέροις ὑμῖν πυρὸν ἔθηκεν, ἢ ἐμοὶ πυρὸν, καὶ οἶνον ἐγκεράσασα[35] πιεῖν, ὅτε θυμὸς ἀνώγοι.

## ΠΕΡΙ ΕΛΛΕΙΠΤΙΚΟΥ ΣΧΗΜΑΤΟΣ ΗΝΙΚΑ ΛΕΙΠΕΙ ΛΕΞΙΣ.

— — — Εἰ δὲ[36] καὶ αὐτοὶ
Φευγόντων σὺν νηυσὶ φίλαις εἰς πατρίδα γαῖαν·

ὅμοιον σχεδὸν τῷ·[37]

Ἀλλ' εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοὶ
Ἄρσαντες κατὰ θυμόν.

ἐνταῦθα τὸ εὖ καὶ καλῶς ὅπερ ὀνομάζουσιν ἀνανταπόδοσιν, ὅτι χωρὶς ἀποδόσεως τῆς ἀπαρτιζούσης τοῦ μὲν τὴν ἀκολουθίαν ἤρξατο κώλου ἔχοντος καὶ τὸν καὶ σύν-

---

33 τοὺς Mon. om., recepi ex Par. 2. 34 Il. ϑ, 189. 34 Mon. κερῶσα ποιεῖν. Par. 2. ἐγκερ. πιεῖν. 36 Il. ι, 46. 37 Il. α, 135.

δεσμον. ἕτεροι δέ φασι περὶ τοῦ εἰ,[38] παρακελεύσεως ἐπίῤῥημα εἶναι· ἀντὶ τοῦ, εἰ δὲ ἄγε καὶ αὐτοὶ φευγόντων σὺν νηυσὶ φίλην· ὡς τὸ, σὺ δέ με ἄκουσον· καὶ τό· ἀλλ' εἴτε καλέσειεν· ὁμοίως καὶ τό· εἰ δ' ἄγε νῦν φίλε Φοῖβε· οὕτως οὖν καὶ τό· εἰ δὲ καὶ αὐτοὶ ὅμοιοι· τῆς χ΄·[39]

*Εἰ δέ κεν ἀσπίδα μὲν καταθείομαι,*

ἀντὶ τοῦ ἄγε· ἄλλο καινοπρεπές·

*— — — ὅς ῥα[40] μάλιστα*
*Χρυσὸν Ἀλεξάνδροιο δεδεγμένος, ἀγλαὰ δῶρα*

πρὸς γὰρ τὴν σημασίαν καὶ οὐ τὸν χαρακτῆρα ἀπήντησε, τὸν χρυσὸν εἰπὼν ἀγλαὰ δῶρα.

## ΠΕΡΙ ΠΡΟΛΗΠΤΙΚΟΥ ΣΧΗΜΑΤΟΣ.

Ὅταν ἐν μέσῳ τοῦ διηγήματος μνησθῇ τις τοῦ τέλους ὡς ἐν ἀρχῇ τῆς ὠ. μήπω γὰρ ὁ ποιητὴς διηγησάμενος τὸν θάνατον Ἕκτορος μηδὲ τὴν διαλλαγὴν Ἀχιλλέως τὸν μετὰ τὴν πόρθησιν Ἰλίου ἀφανισμὸν λέγει τοῦ τείχους, οἷον,

*Αὐτὰρ ἐπεὶ κατὰ μὲν Τρώων θάνον ὅσσοι[41] ἄριστοι.*

## ΠΕΡΙ ΣΧΗΜΑΤΟΣ ΣΥΛΛΗΠΤΙΚΟΥ.

Συλληπτικόν ἐστι σχῆμα ὅταν παρά τινων δύο προσώπων τὸ διήγημα γένηται διαφερόντων κατά τι, καὶ περὶ τῶν διαφερόντων γένηται ἡ διήγησις ὡς κοινή·

*Οἱ δ' ὥστε σφῆκες μέσον αἰόλοι ἠὲ μέλισσαι·*
*Οἰκία ποιήσονται ὁδῷ ἔπι παιπαλοέσσῃ,*
*Οὐδ' ἀπολείπουσιν κοῖλον δόμον.*

ταῦτα κοινά· εἶτα,

---

38 Mon. περὶ τοῦ εἴδους τὸ ε̄ν. fort. leg. περὶ τοῦ ε̄ι., τὸ εἰ΄. Par. 2. περὶ τοῦ εἰ. 39 Il. χ, 111. 40 Il. λ, 123. 41 ὅσοι Mon. et Par. 2.

ἀλλὰ μένοντες
Ἄνδρας θηρητῆρας ἀμύνονται περὶ τέκνων

ἐπήνεγκε, καὶ τοῦτο κοινὸν, τὸ δὲ οὐκ ἔστιν ἀλλὰ μόνον τῶν σφηκῶν· μέλισσαι μὲν γὰρ μάχονται ὑπὲρ τοῦ μέλιτος, σφῆκες δὲ ὑπὲρ τῶν τέκνων· κοινὸν οὖν γεγονὸς ἐποίησε σχῆμα συλληπτικὸν, συλλαβομένων τῶν μελισσῶν μετὰ τῶν σφηκῶν.

### ΠΕΡΙ ΚΡΕΜΑΜΕΝΟΥ ΣΧΗΜΑΤΟΣ.

Ὡς Ἕκτωρ [42] εἵως μὲν ἀπείλει μέχρι θαλάσσης
ῥέα διελεύσεσθαι.

εἰπὼν γὰρ εἵως, οὐκ εἶπεν ἀπόδοσιν αὐτοῦ, ἀλλ' ἐποιήσατο ἑτέραν ἀρχήν·

Ἀλλ' ὅτε δὴ πυκινῇς ἐνέκυρσε φάλαγξιν.

ἔστιν οὖν εἰπεῖν ἐλλειπτικὸν εἶναι τρόπον λείποντος τοῦ τινὸς, ἵν' ᾖ τὸ πλῆρες οὕτως· ὡς Ἕκτωρ, ἕως μέν τινος ἠπείλει μέχρι θαλάσσης, καὶ ἑξῆς. — Ἄλλο εἶδος καινοπρεποῦς σχήματος.

Ἔρχομαι [43] εἴ τί τοι ἔγχος ἐνὶ κλισίῃσι λέλειπται,
— — τό νυ γὰρ κατεάξαμεν ὃ πρὶν ἔχεσκον.

### ΠΕΡΙ ΩΡΑΙΑΣ ΠΑΡΙΣΩΣΕΩΣ.

Ἐς δ' ἅλα πορφυρέην μεγάλα στενάχουσι ῥέουσαι· [44]

τὸ πάρισον· μεγάλα στενάχουσι ῥέουσαι. καὶ μεγάλα στενάχουσι θέουσαι. Καινοπρεπὲς εἶδος ἄλλο. ἐν τῇ π'.

— — δύνασαι δὲ σὺ παντὸς ἀκούειν
Ἀνέρι κηδομένῳ.

εἰπὼν γενικὴν τὸ παντὸς ἐπήνεγκε τὸ ἀνέρι κηδο-

---

42 Il. ν, 143. 43 Il. ν, 256. 44 Par. 2. ῥέουσαι. Mon. στενάχουσαι θέουσαι. — Il. π, 391.

μένῳ· κρεῖσσον δέ ἐστι τὸ παντὸς μὴ εἶναι γενικὴν, ἀλλ' ἐπίῤῥημα πάντοτε καὶ ἐν ἀκριβεστέροις εὕρομεν· ἄλλως· ὅτι τὸ εἶπεν ὡς λειπούσης τῆς πρὸς αἰτιατικῇ συνέταξε·

Καὶ τότ' ἄρ' Ἕκτορα [45] εἶπε παραστὰς Φοῖβος Ἀπόλλων.

## ΕΙΔΟΣ ΣΥΝΤΑΞΕΩΣ ΓΕΝΙΚΗΣ ΕΝΙΚΗΣ.

Ἐπιμεριζομένου ὀνόματος ὀνόματα προηγουμένου ἐπήνεγκε γενικὴν πληθυντικοῦ ἐν τῇ ψ'.

— — πάτασσε [46] δὲ θυμὸς ἑκάστου
Νίκης ἱεμένων. [47]

Ἄλλο καινοπρεπὲς τῆς β'. [48]

Τῶν δ' ὥστ' ὀρνίθων πετεηνῶν ἔθνεα πολλὰ,

ἕως τοῦ, ἀγαλλόμεναι πτερύγεσσιν· εἰπὼν ὀρνίθων ἔθνεα ἐπήνεγκεν ἀγαλλόμεναι θηλυκὸν ὄνομα, οὐ πρὸς τὸ ἐκφαινόμενον, οἱονεὶ τὰ ἔθνεα, ἀλλὰ πρὸς τὸ νοούμενον τὸ ὀρνίθων· τὰ γὰρ ἔθνεα ὄρνεις εἰσὶν, ὡς τό· κίνηθεν [49] δὲ φάλαγγες, ἐλπόμενοι παρὰ ναῦφι· αἱ γὰρ φάλαγγες εἰ καὶ θηλυκοῦ γένους εἰσὶ κατὰ τὸ ἐκφωνού-

---

45 Il. υ, 375. 46 Il. ψ, 370. 47 Subjungo h.l. quod sequitur in codd.: „Περὶ μερῶν τοῦ δίφρου." Δίφρος, ἔνθ' ἵσταται ὁ ἡνίοχος καὶ ὁ περιβάτης. ῥυμὸς τὸ ἀπ' ἐκείνου ξύλον μέσον τῶν ἵππων ἕως τοῦ ζυγοῦ, ὃ ἕλκει τὸν δίφρον· ζυγὸς τὸ ἐπικείμενον τοῖς νώτοις τῶν ἵππων· κνῆμαι αἱ ῥάβδοι αἱ ἀπὸ τῆς χοινικίδος μέχρι τοῦ τροχοῦ· τροχὸς δὲ ἡ ἀψὶς, ἥτις λέγεται καὶ ἴτυς, ἐν ᾗ αἱ κνῆμαι τῆς χοινικίδος ἐμπήγνυνται· πλῆμναι αἱ χοινικίδες, ἐν αἷς εἰσέρχεται ὁ ἄξων. ἄξων τὸ ξύλον τὸ ἀπὸ τοῦ τροχοῦ εἰς τροχὸν τὸ ὑποδεχόμενον τὰς περόνας· ἄντυγες τὰ ἐπὶ τοῦ δίφρου ἡμικύκλια, ἀστράβη τὸ ξύλον τὸ ὀρθὸν, ὃ κρατεῖ ὁ ἡνίοχος πρὸς τὸ μὴ ἐκπίπτειν αὐτὸν, ὅ τινες βαρβαρίζοντες καλοῦσιν ἀστραπήν. 48 Il. β, 459. 49 Il. π, 280. 281.

μενον, ἀλλὰ κατὰ τὸ νοούμενον ἀρσενικοῦ γένους εἰσίν· αἱ γὰρ στρατιωτικαὶ τάξεις ἀνδρῶν εἰσὶν, οὐ γυναικῶν.

Ἄλλο τῆς β′.[50]

Φημὶ γὰρ οὖν κατανεῦσαι ὑπερμενέα Κρονίωνα
Ἤματι τῷ,

ἕως τὸ

Ἀστράπτων ἐπιδέξι᾽ ἐναίσιμα σήματα φαίνων.

εἴπομεν ἐν τοῖς ἔμπροσθεν δόξαν τὴν τῶν πρὸ ἡμῶν περὶ τῆς τοιαύτης συντάξεως ὡς εὐθείᾳ ἀντὶ αἰτιατικῆς ἐχρήσατο ὁ ποιητής· εἰπὼν γὰρ ὑπερμενέα Κρονίωνα κατανεῦσαι ἀστράπτων ἀντὶ τοῦ ἀστράπτοντα· κρεῖσσον οὖν φάναι ὡς δεῖ τοῦτο τιθέναι πρὸ τοῦ ἀστράπτων, ἵν᾽ ᾖ τὸ λεγόμενον οὕτως.

Φησὶ γὰρ οὖν κατανεῦσαι ὑπερμενέα Κρονίωνα
Ἤματι τῷ ὅτε νηυσὶν ἐπ᾽ ὠκυπόροισιν ἔβαινον
Ἀργεῖοι, Τρώεσσι φόνον καὶ κῆρα φέροντες.

τελεία. εἶτα ὡς ἐπανάληψιν ποιήσασθαι τοῦ Διὸς ἐπὶ συστάσει προσώπου ὁ ἀπαστράπτων ἐπιδεξίως καὶ ἐπίσημα τέρατα καὶ σημεῖα φαίνων· καὶ ἔστι τοῦτο ἑρμηνεία τοῦ Διὸς ἢ μᾶλλον ἐπὶ πράγματος διδασκαλίᾳ· ὡς τό·[51]

Ἀλλ᾽ ὁ μὲν Αἰθίοπας μετεκίαθε τηλόθ᾽ ἐόντας,
Αἰθίοπας τοὶ διχθὰ δεδαίαται·

ἐπανελάβετο γὰρ τὸ Αἰθίοπας ὄνομα, ἵνα δείξῃ δύο ἔθνη Αἰθιόπων· οὕτω καὶ ἐνταῦθα·

Φημὶ γὰρ οὖν κατανεῦσαι ὑπερμενέα Κρονίωνα,

ὁ Κρονίων ὁ ἀστράπτων ἐπιδέξια ἐναίσιμα σήματα φαίνων. ἀλλ᾽ ἐσιώπησε τὸ Κρονίων μὴ ἀναδιπλασιάσαι αὐτὸ, διόπερ τινὸς ἐρωτήσαντος, ποῖος Κρονίων κατένευ-

---

50 ν, 350. 51 Od. α, 22.

*σεν, ὁ ἀστράπτων ἐπιδέξι᾽ ἐναίσιμα σήματα. κρεῖσσον δὲ τὸ πρώην ὡς ἐν τῇ πέμπτῃ·*

*Ἄνδρ᾽ ὁρόω κρατερὼ ἐπὶ σοὶ μεμαῶτε μάχεσθαι,*
*Ἶν᾽ ἀπέλεθρον ἔχοντας, ὁ μὲν τόξων εὖ εἰδὼς*
*Πάνδαρος, ὁ δ᾽ αὖτε Λυκάονος εὔχεται εἶναι.*

*Τέλος· τῷ θεῷ δόξα εἰς τοὺς αἰῶνας Ἀμήν.*

X.

# ΖΩΝΑΙΟΥ
## ΠΕΡΙ ΣΧΗΜΑΤΩΝ.

Zonaei nomen invenitur apud Fabricium Vol. 1. p. 433. inter epistolographos, ubi Suidae locus adfertur: *Ζωναῖος ἔγραψεν ἐρωτικὰς ἐπιστολὰς καὶ περὶ τοῦ σφαιρίζειν· φέρονται δὲ αὐτοῦ καὶ ἕτεραι ἐπιστολαὶ ἀγροικικαὶ, ἀλλ' ἀποπίπτουσι τοῦ χαρακτῆρος.* Idem fortasse auctor est libelli *περὶ σχημάτων*, qui exstat in Cod. Paris. 2929. [Par. 1.] sub titulo: *Ζωναίου περὶ σχημάτων τῶν κατὰ λόγον*, et sine nomine auctoris in Par. 2008. Fol. 122. b. [Par. 2.] cum titulo: *περὶ σχημάτων τῶν κατὰ λόγον.* Sed nihil certi ea de re statuere audemus.

Anno 1830. descripsimus libellum ex Par. 2929. una cum Tryphone, cui nunc Gregorii Corinthii nomen vindicavimus, et Cocondrio, nescii tum, hos auctores jam a Boissonadio typographiae regiae commissos esse, ex qua a. 1831. cum summa nostra voluptate inter Anecdota graeca Vol. III. prodierunt, observationibus, quae nostrae editioni perutiles fuerunt, instructi.

Conjunximus cum Zonaeo duas alias de schematibus commentationes, quae in definitionibus schematum ad verbum

cum eo consentiunt, sed plerumque exempla aut alia, aut eadem sed extensiora continent, alteram, quam inter Moschopuli opuscula grammatica p. 60—67. edidit Titzius a. 1822. e codice nuper iu Bohemia reperto, in quo sine auctoris nomine continetur [apud nos M.], cum qua ad verbum consentit cod. Ambros. A. 115. [apud nos Ambr. vel A.]: alteram, a Josepho Rhacendyta in rhetoricae suae compendium, quod e codice Veneto Class. VIII. cod. 18. edidimus, receptam nota Ven. distinximus, quacum consentiunt ea, quae scholiorum forma in codice Par. 1741. singulis Alexandri Rhetoris schematibus ad marginem adjecta sunt [apud nos Par. 3.].

His subsidiis instructi Zonaeum multis locis emendatiorem edere potuimus, quam Boissonadius, qui solo codice Par. 2929. usus est.

ΆΝΩ-

# ΖΩΝΑΙΟΥ

## ΠΕΡΙ ΣΧΗΜΑΤΩΝ

### ΤΩΝ ΚΑΤΑ ΛΟΓΟΝ.[1]

Τῶν[2] τοῦ λόγου σχημάτων τὰ μέν εἰσι κατ᾽ ἔννοιαν, τὰ δὲ κατὰ λέξιν.[3]

Καὶ τὰ κατ᾽ ἔννοιαν εἰσὶ ταῦτα· προδιόρθωσις, ἐπιδιόρθωσις, ἀμφιδιόρθωσις, προκατάληψις, ὑπεξαίρεσις, αἰτιολογία, συναθροισμὸς, ἐπιμονὴ, λεπτολογία, ἠθοποιΐα, προσωποποιΐα, ἐπιτροχασμὸς,[4] ἀποσιώπησις, παράλειψις,[5] ἀποστροφὴ, διαπόρησις, ἐρώτημα, πύσμα, διατύπωσις, ἀν-

1 Vir doctiss., alicubi hunc libellum ex hoc codice allegans, titulum sic recitat: *περὶ σχημάτων τῶν κατὰ βίον*. Sed codex *λόγον* exhibet, in compendio quidem, sed eo perspicuo nec interpretationis dubiae. Boiss. 2 MA. Par. 2. incipiunt: *ἴσθι ὅτι τῶν*. Jos. Rhacendyta, qui hanc troporum expositionem compendii sui capiti VI. [T. III. p. 537.] annexuit, incipit: *Τῶν τοῦ λόγου σχημ.* [Med. 3. *Τὰ τοῦ λόγου δὲ σχήματα*] *τὰ μὲν — λέξιν· καὶ* [Med. 3. *καὶ τὰ*] *κατ᾽ ἔννοιαν μέν εἰσι ταῦτα, προδιόρθωσις· ἔστι τοίνυν ἡ προδιόρθωσις* etc., omissa schematum enumeratione. 3 MA. addunt: *μάλιστά γε πόσα εἰσὶ κατ᾽ ἔννοιαν καὶ ποῖα; ἓξ καὶ εἴκοσι ταῦτα· προδιόρθ. κ. τ. λ.* 4 Par. 1. *ἐπιτροχαϊσμός*. 5 Par. 1. 2. *παράληψις*.

τειςαγωγὴ, μετάστασις, εἰρωνεία, διασυρμὸς, ἐπανάληψις, ἐπαναφορὰ, διπλῆ ἐπαναφορά.

ά. Τί ἐστι ΠΡΟΔΙΟΡΘΩΣΙΣ; ὅταν θεραπεύωμεν τὸ ῥηθήσεσθαι μέλλον[6] ὡς δυςπαράδεκτον τοῖς ἀκροαταῖς, ὡς τό·[7] „τολμᾷ τι νεανικὸν ὁ λόγος.“[8]

β΄. ΕΠΙΔΙΟΡΘΩΣΙΣ[9] τῇ μὲν χρείᾳ ταὐτὸν τῇ προδιορθώσει, διαφέρει δὲ, ὅτι τὴν τοῦ λόγου θεραπείαν ὕστερον τίθησιν, ὡς τὸ,[10]

Οὐκ οἶδ' ὅπως εἰς τούςδ'[11] ἐμπίπτω τοὺς λόγους.

γ΄. ΑΜΦΙΔΙΟΡΘΩΣΙΣ μίξις ἀπ'[12] ἀμφοῖν, ὅταν καὶ πρὸ τοῦ εἰπεῖν τὸ[13] δυσχερὲς καὶ μετὰ τὸ εἰπεῖν θεραπεύωμεν,[14] ὡς τό· „βούλεσθε προςθῶ τι νεανικόν· ὁρᾶτε τὰς ἐναντίας γλώσσας ἡμετέρας γινομένας.“[15]

δ΄. ΠΡΟΚΑΤΑΛΗΨΙΣ, ὅταν προεκλύῃ τις τὸν τοῦ ἀντιδίκου[16] λόγον, ὃν ἔχειν ἰσχυρὸν οἴεται,[17] ὡς τό· „ἥκει δὲ ἡμῖν ὁ λόγος ἐπ'[18] αὐτὸ τὸ κεφάλαιον.“

---

6 Par. 1. 2. MA. τὸ ῥηθὲν, μᾶλλον. Par. 3. τὸ ῥηθήσεσθαι μέλλον. Ven. τὸ ῥηθῆναι μέλλον ὡς προςπαράδεκτον. 7 Ven. Par. 3. pro ὡς τὸ constanter habent οἷον, quod semel annotasse sufficiat. 8 Greg. Naz. Or. εἰς τὰ Θεοφ. p. 616. B. 9 Ven. Par. 3. post nomen schematis constanter ponunt ἐστὶ vel ἐστὶν, excepta litt. ί. 10 Ven. Par. 3. οἷον· αἰσθάνομαι μὲν ἔξω τοῦ καιροῦ καὶ τοῦ μέτρου φερόμενος, καὶ οὐκ οἶδ'. 21 Ven. Par. 3. τούτους. Par. 1. 2. τούςδε. MA. τούςδ'. 12 Codd. omnes ἐπ'. Boiss. ἀπ'. 13 Boiss. conjicit τι. 14 Par. 1. θεραπεύομεν et v. 14. προεκλύει. 15 Ven. Par. 3. ἡμερουμένας. Par. 1. 2. MA. ἡμετέρας γινομένας Fortasse scribendum ἡμέρους γινομ. 16 Par. 1. τὸν ἄδικον λ. ὃν ἔχει. Boiss. correxit τὸν ἀντιδίκου λ. collatis notis ad Tiberium ιδ΄. μζ΄. „Apud Dionysium Halic. de Isaeo critici ἀντιδικεῖν pro ἀδικεῖν rescripserunt.“ — A. τὸν τοῦ ἀδίκου. Ven. Par. 3. M. τὸν τοῦ ἀντιδίκου. 17 Ven. Par. 3. addunt: Οἷον, τίς ἐστι λόγος αὐτοῖς τῶν ἀφύκτων, τάχα ἂν ἐπ' ἐκείνου καταφύγοιεν τελευταῖον. καὶ πάλιν· ἥκει κ. τ. λ. 18 Ven. Par. 3. καὶ ἐπ'.

ε΄. ΥΠΕΞΑΙΡΕΣΙΣ ἐστιν, ὅταν ὑπεξελὼν[19] τις πρόσωπον ἢ πρᾶγμα πρὸς τὰ λοιπὰ ποιῆται τὴν σύγκρισιν, ὡς[20] τό· „μετὰ τὴν Ὁμήρειον Μοῦσαν ἡ Ἡσιόδειος.“

ς΄. ΑΙΤΙΟΛΟΓΙΑ, ὅταν αἰτίαν λόγου ἀποδῶμεν, ὡς τό·[21] „ἡ ἀρετὴ διὰ τὴν παιδείαν, καὶ ἡ κακία διὰ τὴν ἀμάθειαν.“

ζ΄. ΣΥΝΑΘΡΟΙΣΜΟΣ, συναγωγὴ πραγμάτων εἰς ἓν κεφάλαιον, ὡς τό· „δῆμοι στασιάζοντες,[22] καὶ πόλεις καὶ γένη ῥηγνύμενα, καὶ οἰκίαι διϊστάμεναι.“[23]

η΄. ΕΠΙΜΟΝΗ,[24] ὡς ὅταν ἐπὶ τοῦ αὐτοῦ πράγματος ἐπιμένωμεν χάριν αὐξήσεως, ὡς τό· „εἰ γὰρ τὸ Βυζάντιον[25] τῆς οἰκουμένης ὀφθαλμὸς, γῆς καὶ θαλάττης ὅτι κράτιστος ἑῴας καὶ ἑσπερίου λήξεως[26] σύνδεσμος, εἰς ἣν τὰ πανταχόθεν ἄκρα συντρέχει καὶ ὅθεν ἄρχεται.“[27]

---

19 Par. 1. MA. ὑπεξέλῃ — ποιεῖται. Boiss. et Titz. post πρᾶγμα inserunt καὶ et scripserunt ποιῆται. Ven. Par. 3. ὑπεξελὼν — ποιεῖται. 20 Ven. Par. 3. MA. οἷον [MA. ὡς τό] ὁ μετὰ Ἡλίαν [A. εἰλίαν] μετάρσιος, καὶ μετὰ Μωσέα θεοφανείας ἠξιωμένος, [MA. καὶ μετὰ M. — ἠξιωμ. om.] καὶ μετὰ Παῦλον οὐράνιος. nihil ultra. 21 Ven. Par. 3. οἷον τὸν αὐτὸν πνεῦμα καὶ σάρκα, πνεῦμα διὰ τὴν χάριν, σάρκα διὰ τὴν ἔπαρσιν, καὶ τὸ πρόβατον διὰ τόδε, καὶ τὰ ὅμοια. [MA. τὸν αὐτὸν πν. καὶ σάρκα et paullo post: καὶ τὸ πρόβατον διὰ τόδε om.] 22 Par. 1. δήμου στασιάζοντος. MA. δῆμος στασιαζόντων. Par. 3. Ven. δῆμοι στασιάζοντες. 23 Ven. Par. 3. addunt: καὶ συζυγίαι σχιζόμεναι καὶ τὰ ὅμοια. 24 Ven. Par. 3. ἐπιμ. ἐστιν ἡ ἐπὶ τοῦ αὐτοῦ πρ. ἐπιμονὴ χάριν αὐξ. οἷον εἰ γὰρ τὸ πόλιν τῆς οἰκ. κ. τ. λ. M. ἐπιμονή ἐστιν ὅταν τις — ἐπιμένῃ. A. ἐπιμονὴ οἷον ἐπὶ τ. α. πρ. ἐπιμενεῖ. 25 Ven. Par. 3. MA. τὸ πόλιν τ. οἰκ. ὀφθαλμὸν — κράτιστον — σύνδεσμον. 26 λήξεως Par. 1. om. Recepi ex Ven. Par. 3. MA. — Greg. Naz. Or. XXXII. p. 517. 27 Ven. Par. 3. addunt: καὶ τὰ ὅμοια.

θ'. *ΛΕΠΤΟΛΟΓΙΑ*, ὅταν ἕκαστον τῶν συμβεβηκότων ἢ συμβαινόντων διεξίωμεν[28] ἀκριβῶς· οἷον·[29] „ἀνάπτεται πῦρ, δαπανᾶται ἡ ναῦς,[30] συνδαπανᾶται ὁ φόρτος, πῦρ ὕδατι μίγνυται, καὶ πυρσὸς ὑπὲρ θαλάσσης αἴρεται ξένος."[31]

ἰ. *ΗΘΟΠΟΙΙΑ*, ὅταν λόγους παρατιθῶμεν[32] ἀψύχοις πράγμασιν· ὡς τό·[33] „εἶπε τὰ ξύλα, πρῆσαι ἐφ' ἑαυτοῖς βασιλέα, καὶ ἡ θάλασσα[34] τὰ καὶ τά."

ιά. *ΠΡΟΣΩΠΟΠΟΙΙΑ*, προσώπου διάπλασις, ἢ μὴ γενομένου,[35] ἢ γενομένου μὲν, οὐκέτι δὲ ὄντος, ὡς τό·[36] „ἀνακαλεῖται[37] λίαν ἐλεεινῶς[38] ἡ μήτηρ, τέκνον λέγουσα δυςτυχὲς, καὶ ἀθλίας μητρὸς ἔκγονον."

ιβ'. *ΕΠΙΤΡΟΧΑΣΜΟΣ*, σχῆμα προςκείμενον[39] τῷ τε συναθροισμῷ καὶ τῇ ἐπιμονῇ· διαφέρει δὲ ἐκείνων, ὅτι τὰ πολὺ[40] διεστηκότα συνάγει, ὡς τό·[41] „ὑπε-

---

28 Ven. διέξειμεν. Par. 3. διέξιμεν. Par. 1. διέξωμεν, unde Boiss. scripsit δείξωμεν, conjiciens διεξίωμεν, quod est in MA. 29 οἷον Par. 1. MA. om. Recepi ex Ven. Par. 3. 30 ἡ ναῦς MA. om. 31 Ven. Par. 3. addunt: καὶ πάλιν, ἡ νὺξ παρῆν, ὁ δίφρος εὐπρεπὴς, οἱ μισοῦντες ἐν κρότοις, ἐν ἀθυμίᾳ τὸ εὐσεβὲς, περὶ τὸν πρόθυμον ὁδοιπόρον ἡμεῖς. [pro vv. περὶ τ. πρ. ὁδ. ἡμεῖς Par. 3. habet: οἱ μιγνῦντες ἐν κρότοις, καὶ τὰ ἑξῆς.] 32 Ven. παρατιθῶμεν. Par. 3. hoc schema om. 33 Ven. οἷον δοκῶ μοι τῆς φωνῆς ἐκείνης ἀκούειν· πλάτυνον τὰ σχοινίσματά σου, καὶ τό· ἡ θάλασσα τὰ καὶ τὰ, καὶ τὰ ὅμοια τούτοις. 34 MA. θάλ. εἶπε. 35 Ven. Par. 3. addunt: ποτέ. 36 Ven. Par. 3. οἷον, καὶ μήτηρ μέμνηται τῶν ὀδύνων καὶ τὰ σπλάγχνα σπαράσσεται, καὶ ἀνακαλεῖται — ἀθλίας μητρὸς, καὶ τὰ ἑξῆς, [καὶ τὰ ἑξῆς Par. om. tum legit: ἃ ν καὶ ἐπὶ ἐν. ἐῤῥήθη.] εἰ καὶ ἐπὶ ἐνεστῶτος ἐῤῥήθησαν, ἀλλὰ παρῳχημένου δύναμιν ἔχουσιν. 37 Par. 1. MA. ἀνακλινεῖται. M. ad marg. Ven. Par. 3. ἀνακαλεῖται. 38 Par. 1. ἐλεηνῶς. 39 Par. 1. MA. προκείμενον. Ven. Par. 3. προςκ. ut emendavit Boiss. 40 M. πολλά. 41 Ven. Par. 3. MA. οἷον ὑπεσπῶντο σύνοδοι ὑπὸ τοῦ νέου μητροπολίτου

σπῶντο σύμπαντες παρὰ τοῦ νέου ὑπάτου, πρόσοδοι διηρπάζοντο, στρατιῶται τῶν φρουρῶν οἱ μὲν ἀπηλαύνοντο,[42] οἱ δὲ ἀντεισήγοντο.“

ιγ'. ΑΠΟΣΙΩΠΗΣΙΣ, λόγος παραλείπων τὸ γινωσκόμενον καὶ σιωπῶν τὸ αἰσχρὸν, ὡς τό· „οἶδεν[43] Ἐλευσὶς ταῦτα καὶ οἱ τῶν σιωπωμένων καὶ[44] σιωπῆς ὄντως ἀξίων ἐπόπται·“[45] καὶ ὡς τό· „καὶ τὸ δύςφημον σιωπήσομαι.“

ιδ'. ΠΑΡΑΛΕΙΨΙΣ, ὅταν τι προςποιούμενοι παραλείπειν οὐδὲν ἧττον λέγωμεν[46] αὐτό· „τὸν γὰρ Πρωτέα[47] παρίημι τοῦ μύθου[48] τὸν σοφιστήν.“

ιε'. ΑΠΟΣΤΡΟΦΗ, ὅταν ἀφ' ἑτέρου πρὸς ἕτερον[49] πρόσωπον ἀποστρέψωμεν[50] τὸν λόγον, ὡς τό· „ὡς δὲ εἶχεν αὐτῷ κατὰ νοῦν τὰ πλησίον, οὕτως ἤδη πειρᾶται, εὐηθέστατα[51] καὶ σκαιότατα καὶ κατὰ τοσούτου κλήρου.“

---

[ὑπὸ τοῦ νέου μητροπ. A. om.] πρόσοδοι διηρπάζοντο, πρεςβύτεροι τῶν ἐκκλησιῶν, οἱ μὲν ἀνεπείθοντο, οἱ δὲ ἀπηλλάττοντο, [A. οἱ μὲν ἀπελαύνοντο, οἱ δὲ ἀντεισήγοντο. sq. καὶ τὰ ὅμοια A. et Par. 3. om.] καὶ τὰ ὅμοια. 42 Par. 1. ἀπελαύνοντο. — Exemplum hoc ad Beccum seu Veccum Metropolitam Constantinopolitanum referri censet Titzius. 43 Greg. Naz. Or. XXXIX. p. 625. 44 Par. 1. τῶν. A. τό. Ven. M. Par. 3. καί. 45 MA. addunt: καὶ μάρτυρες. Sequitur in Ven. Par. 3. καὶ πάλιν καὶ ἡ λαμπρότης ἐκεῖθεν καὶ τὸ [Par. 1. τὸ om.] δύσφ. σιωπήσομεν. 46 Par. 1. A. λέγομεν. 47 Ven. Par. 3. οἷον τὸν γὰρ Πρωτέα [Par. 1. MA. προτάξαντα] — τὸν Αἰγύπτιον σοφιστήν· καὶ πάλιν, ἵνα γὰρ παρεάσω τὰ τῶν ἁγίων προςτάγματα, [Par. 3. ἵνα παρήσω τὰ ἁγνὰ τῶν ἁγ. πρ.] δημοσίᾳ τε προςτιθέμενα [Par. 3. τιθέμενα.] καὶ ἰδίᾳ πληρούμενα. 48 A. τοῦ λόγου σοφιστήν. Greg. Naz. Or. II. p. 74. 49 πρὸς ἕτερον Ven. quater repetit. 50 Par. 1. ἀποστρέψομεν σύ. Par. 3. μεταστρέψωμεν. 51 Par. 1. 3. MA. εὐηθέστατε καὶ σκαιότατε. Ven. εὐηθέστατα καὶ σκαιότατα. Tum MA. Par. 1. κατὰ τοῦ σοῦ κλήρου. [Par. δήμου.] Ven. Par. 3. καὶ [Par. καὶ om.] κατὰ το-

ις΄. ΔΙΑΠΟΡΗΣΙΣ, ὅταν περὶ[52] ἑνὸς πράγματος διπλᾶς[53] ἢ καὶ πλείους ἔχωμεν ἐννοίας, ἀγνοοῦντες, ὁποτέρα[54] τούτων ἀληθὴς, ὡς τό· „οὐκ οἶδα εἴτε τῇ τάξει τῆς στάσεως μεριζομένη[55] τὸν φωτισμὸν, εἴτε τοῖς μέτροις τοῦ φωτισμοῦ[56] τὴν τάξιν λαμβάνουσα.“

ιζ. ΕΡΩΤΗΜΑ, οὗ σύντομος ἡ ἀπόκρισις, διὰ τοῦ ναὶ ἢ τοῦ οὒ προχωροῦσα, ὡς τό· „οὐ δέχει[57] παιδείαν, οὐ δίδως τῇ κακίᾳ χώραν;“

ιή. ΠΥΣΜΑ, οὗ ἡ ἀπόκρισις μακρὰ καὶ διεξοδικῶς[58] λεγομένη, ὡς τό· „ἐπὶ ποίας τοι[59] γὰρ ἰτέον; καὶ τίνας φυλακτέον;“[60]

ιθ΄. ΔΙΑΤΥΠΩΣΙΣ, ὅταν[60*] ὑπ᾽ ὄψιν ἄγεσθαι δοκῶσι[61] τὰ πράγματα· „καὶ γὰρ ἦν ὄντως[62] κἀκεῖνα θρήνων καὶ ὀδυρμῶν ἄξια· πῶς δ᾽ οὐ τῶν μεγίστων; τείχη κατεσκαμμένα[63], καὶ οἶκοι ἀνάστατοι.“

κ΄. ΑΝΤΕΙΣΑΓΩΓΗ, ὅταν ἀνθ᾽ ἑτέρου πράγματος ἕτερον ἀντεισάγωμεν[64] τιμιώτερον, συμβουλεύ-

---

σούτου κλήρου. 52 M. διά. 53 Ven. Par. 3. MA. διττάς. Sq. καὶ Par. 3. om. 54 A. ὁπότερα τούτων ἀληθῆ. Tum Ven. Par. 3. ἐστὶν ἀλ. 55 Par. 1. μεριζομένη τὸν πυρετόν — λαμβάνοντες. Boiss. in Addendis conjicit μεριζόμενοι. Ven. Par. 3. MA. μεριζομένη τὸν φωτισμὸν — λαμβάνουσα. 56 Ven. Par. 3. M. φωτισμοῦ. Par. 1. πυρετοῦ. A. εἴτε τῷ φωτισμῷ. 57 Par. 3. MA. Ven. οὐ δέχῃ μετάνοιαν, οὐ δίδ. ὀδυρμοῖς χώραν. 58 Par. 1. MA. διεξοδικῶς. M. ad marg. habet λεγομένη, quod recepit Titzius. Boiss. scripsit διεξοδικός. Ven. Par. 3. καὶ διεξ. λεγ. om. 59 τοι MA. om. 60 Ven. Par. 3. addunt: ἐπὶ τῶν τοιούτων γὰρ οὐκ ἔστιν ἀποκρίνεσθαι ναὶ ἢ οὔ, ἀλλὰ διεξοδικῶς ἐν πλείοσι λόγοις. 60* Ven. Par. 3. ὅτε. 61 Par. 1. δοκοῦσι. 62 Par. 1. οὕτω. Ven. Par. 3. MA. ὄντως. 63 Ven. Par. 3. addunt: πόλεις ἠφανισμέναι, ἁγίασμα καθῃρημένον καὶ τὰ ἑξῆς. MA. nihil nisi: ἁγιασ. καθειργμένον [A. καθειργόμενον.] 64 Par. 3. ἀντεισ. ἕτερον.

οντες ἢ[65] παραμυθούμενοι, ὡς τό· „λυπεῖ σε τὸ τῆς διαζεύξεως, ἀλλ'[66] εὐφραινέτω[67] τὸ τῆς ἐλπίδος.“[68]

κα΄. ΜΕΤΑΣΤΑΣΙΣ, ὅταν ἀφ' ἑαυτῶν[69] τὴν αἰτίαν εἰς ἕτερον μεθιστῶμεν, ὡς τό· „οὐδὲ τοῦ ἀμήσαντος[70] ὁ στάχυς, ἀλλὰ τοῦ σπείροντος, οὐδὲ τοῦ[71] κατασβέσαι μὴ[72] δυνηθέντος ὁ ἐμπρησμὸς, ἀλλὰ τοῦ ἀνάψαντος.“

κβ΄. ΕΙΡΩΝΕΙΑ, λόγος προσποιούμενος τὸ ἐναντίον οὗ λέγει, ὡς[73] παρ' Εὐριπίδῃ προειποῦσα ἡ Μήδεια,[74] ὅσων προὐπῆρξεν εἰς τὸν ἄνδρα εὐεργεσιῶν, παθητικώτατα ἐπιφέρει·

Τοιγάρ με πολλαῖς[75] μακαρίαν ἀν' Ἑλλάδα
Ἔθηκας ἀντὶ τῶνδε· θαυμαστὸν δέ σε
Ἔχω πόσιν καὶ πιστὸν ἡ τάλαιν'[76] ἐγὼ,
Εἰ[77] φεύξομαί γε γαίας ἐκβεβλημένη,
Δόμων ἔρημος σὺν τέκνοις μόνοις μόνη.

κγ΄. ΔΙΑΣΥΡΜΟΣ, ὅταν τι διαβάλλωμεν ἀξιοπίστως, ὡς τό· „ἢ καὶ τὸ τριβώνιον[78] αἰτιάσῃ, καὶ τοῦ προσώπου τὴν θέσιν οὐκ εὐφυῶς[79] ἔχουσαν.“

κδ΄. ΕΠΑΝΑΛΗΨΙΣ, ἀνάληψις προειρημένου,

---

65 Par. 3. Ven. ἢ καί. 66 ἀλλ' abest a Ven. 67 Par. 1. εὐφραινέσθω. ceteri εὐφραινέτω. 68 Ven. Par. 3. addunt: καὶ τό· δριμὺς ὁ χειμὼν, ἀλλὰ γλυκὺς ὁ παράδεισος, ἀλγεινὴ ἡ πῆξις, ἀλλ' ἡδεῖα ἡ ἀπόλαυσις. 69 Par. 1. A. ἑαυτοῦ. M. ἑτέρου. 70 A. ἀμύσαντος. 71 τοῦ Par. 1. om. 72 μὴ Par. 1. MA. om. Tacite praec. τοῦ inseruit Boiss. — Greg. Naz. Or. IV. p. 118. 73 Ven. Par. 3. MA. habent: οἷον ἠπάτα δέ με καὶ ὁ Κάρμηλος Ἠλίου, τὸ τοῦ πυρὸς ἅρμα, καὶ ἡ μηλωτὴ Ἐλισσαίου, πλείω δυνηθεῖσα, ἢ τὰ Σηρῶν νήματα. 74 Par. 1. Μείδια. — Eur. Med. 508. 75 Par. 1. πολλὴ μακαρίαν ἐλ. 76 Par. 1. τάλαινα ἐγώ. 77 Par. 1. ἢ φεύξ. σε. 78 Ven. Par. 3. τὸ τῆς ἐσθῆτος τρίχινον. MA. τῆς ἐσθῆτος τὸ τρίχ. 79 Ven. Par. 3. ἀφυῶς. Post ἔχουσαν Ven. Par. 3. addunt: καὶ πάλιν· τάχα ἂν ὀνειδίσαις καὶ τὸν σταυρὸν καὶ τὸν θάνατον.

μεταξυλογίας [80] ἐμβαλλομένης, ὡς εἴ τις εἴποι· „ὁ δεῖνα στρατηγὸς ηὔξησε τὰ τῶν στρατιωτῶν·“ εἶτα μεταξὺ εἰπὼν, πῶς ηὔξησεν, ἐπαναμνήσοι πάλιν· „αὐξήσαντος οὖν τούτου τὰ τῶν στρατιωτῶν, τάδε γέγονεν.“

κέ. ΕΠΑΝΑΦΟΡΑ πλειόνων κώλων ἢ ῥημάτων ἀπὸ τῆς αὐτῆς λέξεως ἀρχομένων συνεκδοχὴ, [81] ὡς εἴ τις λέγοι· „σὺ τὸν Γάγγην [82] ἐγεφύρωσας, σὺ τὸ στράτευμα διαβαίνειν πεποίηκας.“

κϛ΄. ΔΙΠΛΗ ΕΠΑΝΑΦΟΡΑ ἐστι [83] πλειόνων κώλων ἢ ῥημάτων ἀπὸ τῶν αὐτῶν λέξεων ἀρχομένων συνεκδοχή· [84] ὡς τό· „παρὰ τοσούτοις οἱ ἡμέτεροι παιδευταὶ, παρ᾽ ὅσοις Ἀθῆναι, [85] παρὰ τοσούτοις δὲ ἡμεῖς, παρ᾽ ὅσοις οἱ παιδευταί.“ καὶ πάλιν· „σὺ τὸν [86] Ξέρξην, κἀγὼ τὸν Κῦρον· σὺ τὸν Δαρεῖον, κἀγὼ τὸν Κροῖσον.“

---

80 A. μεταξυλλογίας. Tum Ven. Par. 3. ἐμβεβλημένης. In Ven. Par. 3. MA. sequitur: οἷον ἐπεὶ δὲ φθόνῳ διαβόλου καὶ γυναικὸς ἐπηρείᾳ [καὶ γυναικὸς ἐπηρ. AM. om.]· εἶτα μεταξυλογήσας πολλὰ ἐπήγαγε· [A. M. εἶτα μεταξυλλογίας πολλῆς καὶ μετὰ ταῦτα, ἐπειδή.] ταῦτα ἐπειδὴ μείζονος ἐδεῖτο τοῦ βοηθήματος, μείζονος καὶ τυγχάνει. [βοηθήματος μ. κ. τυγχάνει Par. 3. om.] Greg. Naz. Or. εἰς τὰ Θεοφ. p. 619. 81 συνεκδοχὴ Ven. Par. 3. om. In Ven. Par. 3. MA. sequitur: οἷον, Χριστὸς γεννᾶται, δοξάσατε, Χριστὸς ἐξ οὐρανῶν, ἀπαντήσατε, [MA. in his desinit.] Χριστὸς ἐπὶ γῆς, ὑψώθητε· [Greg. Or. εἰς τὰ Θεοφ. init.] καὶ πάλιν, τί λύετε τάξιν ἐπαινουμένην; τί βιάζεσθε γλῶσσαν νόμῳ δουλεύουσαν; τί τὴν κεφαλὴν ἀφέντες ἐπὶ τοὺς πόδας ἐσπεύσατε; [Or. XV. init.] γίνεται δὲ καὶ διπλῆ ἐπαναφορὰ, ὡς τὸ παρὰ τοσούτοις οἱ ἡμ. 82 Par. 1. γάγγιν. 83 MA. ἐστὶ om. 84 MA. συνεκδοχαί. 85 Ven. Par. 3. αἱ Ἀθ. — Greg. Naz. Epitaph. in Basil. M. p. 332. B. 86 Ven. Par. 3. MA. τὸν βασιλέα κἀγὼ τοὺς ἐμούς· σὺ τὸν Ἀχαὰβ, κἀγὼ τὸν Ἰωσίαν. Ven. Par. 3. pergunt: Γίνεται δὲ πάλιν ἐπαναφορὰ, ὅταν τῇ ἀρχούσῃ λέξει ἕτεραι ἰσοδυναμοῦσαι ληφθεῖεν· ἐπὶ τῶν ἄλλων κώλων, οἷον ἡ ἐκ τῆς ἀρχῆς ἀρχὴ, τὸ ἐκ τοῦ φωτὸς φῶς. καὶ πάλιν, ὁ ἀόρατος ὁρᾶται, ὁ ἀναφὴς ψηλαφᾶται, ὁ ἄχρονος ἀρ-

## ΠΕΡΙ ΣΧΗΜΑΤΩΝ ΤΩΝ ΚΑΤΑ ΛΕΞΙΝ.[1]

*Πόσα εἰσὶ κατὰ λέξιν καὶ ποῖα· ὁμοίως εἴκοσι ἕξ, ὡς καὶ τὰ προειρημένα.*

*Εἰσὶ δὲ ταῦτα· ταυτολογία, παλιλλογία,[2] ἀναδίπλωσις, ἀντιστροφὴ, συμπλοκὴ, ἐπάνοδος, κλιμακωτὸν, προδιασάφησις, πλεονασμὸς, ἔλλειψις, ἀλλοίωσις, πολύπτωτον, μεταβολὴ, ζεῦγμα, παρονομασία,[3] ἢ[4] καὶ παρήχησις, ὁμοιοτέλευτον, πάρισον, ὁμοιόπτωτον, ἀσύνδετον, ἀντίθετον,[5] σύγκρισις, ᾧ σχήματι πλησιάζει[6] καὶ ἡ ἀντίθεσις[7] καὶ ἡ ἀντιβολὴ, ἀντεναντίωσις, προαπάντησις, ὑπαλλαγὴ, περίφρασις καὶ ὑπερβατόν.*

*ά. ΤΑΥΤΟΛΟΓΙΑ ἐστὶ λέξεων παράλληλος θέσις τὸ αὐτὸ σημαινουσῶν, οἷον, „ὀξύς[8] ἐστι καί ταχὺς, ἀλλ' οὐ νωθὴς καὶ βραδύς.“*

*β́. ΠΑΛΙΛΛΟΓΙΑ ἐστὶ λέξις ἢ φράσις τοῦ μὲν προηγουμένου κώλου κατάληξις, τοῦ δὲ ἑπομένου ἀρχὴ,[9] ὡς ἂν εἴποι τις· „προὔκυψε μαρμαρυγὴ, προὔκυψε ξανθὴ Λαῒς, Λαῒς τὴν τοῦ Φιλωνίδου[10] οὐσίαν ἐγκάψασα.“*

---

χεται, ἰσοδυναμοῦσι [Par. 3. ἰσοδυναμοῦσαι. Sqq. καὶ τὰ μὲν τῆς διανοίας — — — λέξεως σχημάτων Par. 3. om.] γὰρ αἱ ἄρχουσαι λέξεις· καὶ τὰ μὲν τῆς διανοίας σχήματά εἰσι ταῦτα. Λεκτέον δὲ νῦν καὶ περὶ τῶν τῆς λέξεως σχημάτων. Ταυτολογία ἐστὶ λέξ. omissa schematum enumeratione.

1 MA. Titulum om. 2 Par. 1. MA. h. l. et postea παλιλογία. 3 Par. 1. MA. παρωνομασία. 4 MA. ἢ. 5 ἀντίθετον Par. 1. om. Est in MA. Addidit etiam Boiss. 6 Par. 1. πλεονάζει. MA. πλησιάζει. 7 Boiss. conjicit ἀντιμετάθεσις. coll. Alexandro p. 479. 8 Ven. Par. 3. ὀξεῖς εἰσι καὶ ταχεῖς, ἀλλ' οὐ νωθεῖς καὶ βραδεῖς. 9 Sequitur in Ven. Par. 3. MA. οἷον πάλιν Ἰησοῦς ὁ ἐμὸς καὶ πάλιν μυστήριον, μυστήριον οὐκ ἀπατηλὸν οὐδὲ ἄκοσμον. [AM. addunt: οὐδὲ τῆς Ἑλληνικῆς πλάνης καὶ μέθης.] Greg. Naz. Or. εἰς τὰ ἅγ. φῶτα init. 10

γ'. ΑΝΑΔΙΠΛΩΣΙΣ ἐστι λέξεων[11] προφορὰ ἐπάλληλος, οἷον, [12] λέγε, λέγε τἀληθές· γίνεται δὲ καὶ μεταξὺ λέξεως ἐμβεβλημένης, ὡς τό· „ἀλλ᾽[13] οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν.“[14]

δ'. ΑΝΤΙΣΤΡΟΦΗ ἐστι τὸ ἐναντίον[15] τῆς ἐπαναφορᾶς· ὡς γὰρ ἐκείνη ἀπὸ τοῦ αὐτοῦ ἄρχεται, οὕτως αὕτη εἰς τὸ αὐτὸ λήγει, [16] οἷον, „πλῆξον τὸν τύραννον, σφάξον τὸν τύραννον, καρατόμησον τὸν τύραννον.“

έ. ΣΥΜΠΛΟΚΗ ἐστι[17] σύνθεσις ἔκ τε τῆς ἐπαναφορᾶς καὶ τῆς ἐπαναστροφῆς, ὡς[18] ἂν εἴποι τις· „ὧν ἡδέα μὲν τὰ μηνύματα ἡμῖν τῶν τὴν σὴν εἰρήνην κηρυττόντων, ἡδέα καὶ τὰ στόματα τῶν τὴν σὴν δόξαν κηρυττόντων.“

ς'. ΕΠΑΝΟΔΟΣ ἐστιν, ὅταν τινὰ[19] προτιθέντες κεκρυμμένας ἔτι διανοίας ἔχοντα ἐπανίωμεν εἰς αὐτὰ καὶ σαφηνίζωμεν, οἷον διττοῦ δὲ ὄντος λόγου παντὸς, καὶ τοῦ μὲν τὸ οἰκεῖον κατασκευάζοντος, τοῦ δὲ τὸ ἀντίπαλον ἀνατρέποντος, [20] ἡμεῖς τὰ οἰκεῖα ἐκθέμενοι πρότερον οὕτω τὰ τῶν ἐναντίων ἀνατρέψαι πειρασόμεθα.

---

Par. 1. φειλονείδου. Respicitur Aristoph. Plut. 179. ἐρᾷ δὲ Λαΐς οὐ διὰ σὲ Φιλωνίδου. Boiss. 11 Ven. Par. 3. MA. λέξεως. 12 Ven. Par. 3. MA. οἷον Κύριε, Κύριε. 13 ἀλλ᾽ Ven. Par. 3. MA. om. 14 Ven. Par. 3. addunt: καὶ πάσχα Κυρίου, πάσχα. 15 Ven. τοὐναντίον. 16 Ven. καταλήγει. Sequitur in Ven. Par. 3. οἷον θελῆσαι δεῖ μόνον, ὁρμῆσαι δεῖ μόνον, καὶ κόπασον Κύριε, ἱλάσθητι Κύριε, ἄνες Κύριε. [MA. οἷον κόπασον Κύρ. ἄνες Κύρ. ἱλ. Κύριε. 17 ἐστι Par. 1. om. Habent ceteri. 18 Ven. Par. 3. MA. οἷον ὧν ὡραῖοι μὲν οἱ πόδες εὐαγγελιζομένων εἰρήνην καὶ ἀγαθὰ, μεθ᾽ ὧν ἐληλύθατε, ὡραῖοι δὲ τὰ πρὸς ἡμᾶς, οἷς εἰς καιρὸν ἐληλύθατε, ὡς γὰρ αἱ ἀρχαὶ ἀπὸ τοῦ αὐτοῦ, οὕτω καὶ αἱ καταλήξεις εἰς τὸ αὐτό. [ὡς γὰρ — τὸ αὐτό MA. om.] 19 Ven. Par. 3. δύο τινά. Tum Ven. Par. 1. M. προςτιθέντες. Par. 3. προτιθέντες. A. προςθέντες. Mox Par. 1. σαφηνίζομεν. 20 Par. 1. MA. ἀποτρέποντος. Ven. Par. 3. ἀνατρέποντος. [ut

ζ. *ΚΛΙΜΑΚΩΤΟΝ* δὲ γίνεται, ὅταν ἐπὶ πλέον προτείνοντες τὸ προκείμενον κεφάλαιον ἕκαστον κόμμα τελευτὴν λόγου καὶ ἀρχὴν[21] ποιήσωμεν, ὡς τό· „Ἥφαιστος[22] μὲν ἔδωκε Διΐ, Ζεὺς δὲ τῷ Ἑρμῇ, Ἑρμῆς δὲ τοῖς ἄλλοις.“

η. *ΠΡΟΔΙΑΣΑΦΗΣΙΣ* ἐστιν, ὅταν πεπληρωμένῳ λόγῳ ἐπενεχθῇ ὄνομά τι πλέον διασαφοῦν, οἷον περινοεῖ[23] τι τῇ διανοίᾳ μεῖζον καὶ ὑψηλότερον·“ πλήρει[24] γὰρ τῷ λόγῳ ἐπῆκται ἡ διάνοια.

θ. *ΠΛΕΟΝΑΣΜΟΣ* ἐστιν, ὅταν λόγου μόριον προστεθῇ περιττὸν κόσμου χάριν ἢ ἐμφάσεως, οὗ ἀφαιρεθέντος ἡ διάνοια οὐδὲν βλάπτεται, οἷον, „τὸ μὲν δὴ σὸν, ὦ βασιλεῦ,“ τὸ δὴ γὰρ περισσόν.[25]

ι. *ΕΛΛΕΙΨΙΣ* ἐστιν, ὅταν ᾖ περιῃρημένον[26] μέρος λόγου τι συντομίας ἕνεκα·[27] οἷόν ἐστι·

---

conjecit Boiss.] καὶ ἡμεῖς. 21 καὶ ἀρχὴν MA. om. Post ποιήσωμεν Ven. Par. 3. MA. habent: οἷον ἵνα τῷ ληπτῷ μὴ ἕλκῃ πρὸς ἑαυτὸ, τῷ δὲ ἀλήπτῳ θαυμάζηται· θαυμαζόμενον [θαυμαζόμενον δὲ — — ἀπεργάζηται Par. 3. om.] δὲ ποθῆται [A. ποθεῖται] πλέον, ποθούμενον δὲ καθαίρῃ, [Ven. καθαίρει] καθαῖρον δὲ θεοειδεῖς ἀπεργάζηται, [Greg. Naz. Or. εἰς τὰ Θεοφ. p. 616. A.] καὶ πάλιν· παρὰ τοῦ πνεύματος ἡμῖν ἡ ἀναγέννησις, παρὰ δὲ τῆς ἀναγεννήσεως ἡ ἀνάπλασις, παρὰ δὲ τῆς ἀναπλάσεως ἡ ἐπίγνωσις· ἀναβαίνει γὰρ ὁ λόγος ὡς διὰ κλίμακος. [καὶ πάλιν — κλίμακος MA. om.] 22 Respicit ad Il. β. 101. 23 Par. 1. MA. περινοεῖν. Ven. Par. 3. περινοεῖ, ut correxit Titzius monens, hoc a Gregorio Theol. de Basilio dictum esse. 24 Par. 1. Ven. MA. πλήρη. Par. 3. M. πλήρει, ut correxit Boiss. 25 Ven. Par. 3. περιττὸν γὰρ τὸ δὴ, καὶ τό· [Ven. τὸ om.] ἐκεῖνος Καλλίστρατος ἔκρινε· τὸ γὰρ ἐκεῖνος ἔμφασίν τινα μεγέθους περὶ τὸν Καλλίστρατον ἐποίησεν. 26 Par. 1. περιειρημένον. Sq. μέρος MA. om. 27 Sequitur in Ven. Par. 3. ἢ δι' ἔμφασιν πάθους, οἷον ἀναστάσεως ἡμέρα, καὶ ἡ ἀρχὴ δεξιά· λείπει γὰρ τὸ ἐστί· τί οὖν τὸ πνεῦμα; θεός; πάνυ γε· τί οὖν, ὁμοούσιον, εἴπερ

*Δώδεκα γὰρ σὺν νηυσὶ πόλεις ἀλάπαξ᾽ ἀνθρώπων,*
*Πεζὸς δ᾽ ἕνδεκα φημί.*[28]

λείπει δὲ τὸ ἀλάπαξα, νοεῖται δ᾽ ἐκ τῶν προειρημένων. Κἀκεῖνο δὲ λέγεται κατὰ ἔλλειψιν·

*Εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης.*[29]

ἐνδεῖ γὰρ τὸ ἐστί· καὶ[30]

*Ὢ πόποι ἦ μοι ἄχος μεγαλήτορος Αἰνείαο.*

λείπει γὰρ τὸ πάρεστιν ἢ συμβέβηκε· καὶ μυριαχοῦ ἐστιν εὑρεῖν παρὰ τοῖς παλαιοῖς. καὶ τόδε·[31]

*Ἀλλ᾽ εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί·*
*Ἄρσαντες κατὰ θυμὸν ὅπως ἀντάξιον ἔσται·*

λείπει, ἀγαθὸν ἢ δίκαιον ἢ τοιοῦτόν τι δηλονότι ἔσται· εἰ δὲ μὴ δώσουσιν, ἐγὼ ποιήσω τάδε. καὶ παρὰ τῷ Κωμικῷ·[32] „ἐὰν μὲν ἀποφήνω ἀγαθῶν πάντων αἰτίαν ἐμέ· εἰ δὲ μή, ποιεῖτε ὅπερ ἂν δοκῇ ὑμῖν."

Ἄλλως.[33] Ἐλλειψίς ἐστι λέξις οὐ κατὰ τὸ πλῆρες ἐκφερομένη. γίνεται δὲ κατ᾽ ἀρχήν, κατὰ μέσον καὶ κατὰ τέλος· λέγεται δὲ τὸ κατ᾽ ἀρχὴν ἀφαίρεσις, οἷον λείβειν εἴβειν· τὸ κατὰ μέσον συγκοπή, οἷον μονόνυχας μώνυχας· τὸ κατὰ τέλος ἀποκοπή, οἷον δῶμα δῶ. Ἔλλειψις στοιχείου, οἷον γαῖα αἶα. Ἔλλειψις συλλαβῆς, ἀστράπτει, στράπτει, ἀμφιφορεὺς ἀμφορεύς, Ἀπόλλωνα Ἀπόλλω. Ἔλλειψις λόγου·

*Κἄπειτ᾽ ἀπὸ ταῤῥοῦ*[34] *τοὺς θεοὺς ὑπερφρονεῖς,*
*Ἀλλ᾽ οὐκ ἀπὸ τῆς γῆς, εἴπερ·*

---

*θεός; λείπει γὰρ τὸ* ναί· *καὶ πάλιν· ταῦτα τίνες; λείπει γὰρ τὸ* φασί. *καὶ πάλιν· τῆς βίας, τῶν λημμάτων, λείπει γὰρ τὸ* φεῦ. In MA. post *συντομ. ἔν.* sequitur: *οἷον ἀναστ. ἡμέρα. τὸ ἐστὶ περιῃρημένον, καὶ τί οὖν· τὸ πνεῦμα θεός; πάνυγε· τί οὖν τὸ πνεῦμα ὁμοούσιον; ναί.* nihil amplius. 28 Il. *ι.* 328. 29 Boiss. *πάτρας.* Il. *μ.* 243. Boiss. confert Bachmanni Anecd. T. II. p. 107. 30 Il. *υ.* 293. 31 Il. *α.* 135. 32 Arist. Plut. 468. 33 Videntur quae de ellipsi sequuntur in Zonaei libellum aliunde fuisse inlata. Boiss. 34 Par. 1. *ταροῦ.* — Arist. nub. 227.

ἐλλείπει τό, ἐβούλου, ἢ εἰ ἦν δυνατὸν ἄνθρωπον ὄντα διαγνῶναι τὰ θεῖα. Ἔλλειψις ὀνομάτων ῥημάτων καὶ προθέσεων· πάντα γὰρ λόγον ἐξ ὀνόματος καὶ ῥήματος ἀνάγκη συνίστασθαι, ἀλλὰ οἱ Ἀττικοὶ συντομίας χάριν ἐνίοτε θάτερον τούτων νοεῖσθαι διδόασιν, ἐπὶ ὀνόματος, οἷον, „ἐνταῦθα πωλεῖν τε χρὴ καὶ ὠνεῖσθαι,"[35] λείπει τό· τινὰ ἄνθρωπον δηλονότι.

ιά. ΑΛΛΟΙΩΣΙΣ[36] ἤτοι ἐναλλαγὴ κατὰ πολλοὺς γίνεται τρόπους· καὶ γὰρ[37] περὶ γένη ὀνομάτων καὶ περὶ ἀριθμοὺς καὶ περὶ πτώσεις καὶ περὶ ἐνεργείας καὶ πάθη καὶ χρόνους, καὶ περὶ μὲν γένη ὀνομάτων, οἷον, „πᾶσα ἡ Ἑλλὰς ἐσιδηροφόρει,"[38] ἀντὶ τοῦ οἱ Ἕλληνες, καί, „τίμιον[39] ἡ ἀρετή," ἀντὶ τοῦ[40] ὁ ἐνάρετος· περὶ[41] ἀριθμούς, οἷον, „μέγας[42] ὁ καθελὼν τὴν[43] Τροίαν," ἀντὶ τοῦ μεγάλοι[44] οἱ καθελόντες· περὶ δὲ πτώσεις·[45] „μῆνιν ἄειδε θεά, ἢ μυρί' Ἀχαιοῖς·" ἀπὸ αἰτιατικῆς γὰρ εἰς εὐθεῖαν μετέπεσε· περὶ[46] ἐνεργείας καὶ πάθη·[47] οἷον

---

Boiss. confert Creuzer. ad Plotin. de pulchrit. p. 263. Wyttenb. ad Plut. p. 750. Dion. Chrys. Or. XXXIV. p. 53. ἐκεῖνο δὲ ἴσως ἀγνοοῦντες ὅτι εἴπερ, κατηρᾶσθε οἱ τοῖς φιλοσόφοις. 35 Verba sunt Philostrati Her. p. 661. 36 M. A. ἀλλ. γάρ. 37 Ven. Par. 3. καὶ γὰρ καί. 38 Thuc. I. 6. 39 καὶ τίμιον — ἐνάρετος Par. 3. om. 40 Par. 1. οἷον ἐνάρετος. Ven. Par. 3. ἀντὶ τοῦ ὁ ἐν. MA. ἤγουν ἐν. 41 Ven. Par. 3. περὶ δέ. 42 Herodiani Cod. Par. 1. [p. 600.] habet Αἴας. 43 Par. 3. Ven. τὴν om. 44 μεγάλοι Par. 1. MA. om. recepi ex Par. 3. Ven. Sq. καθελόντες Par. 3. om. 45 Par. 3. Ven. ὡς τό· μῆνιν. Post Ἀχαιοῖς addunt: ἄλγε' ἔθηκεν. ἀπὸ γὰρ αἰτ. μετέπεσεν εἰς εὐθ. 46 Ven. περὶ δέ. 47 Ven. Par. 3. addunt: καὶ χρόνους. Tum Par. 1. MA. οἷον οὐκέτι μιγνύμενοι. Boiss. collato Alexandro de fig. p. 473. legendum putavit: οὐκ ἐπιμιγνύντες ἀδεῶς ἀλλήλοις, ἀντὶ τοῦ ἐπιμιγνύμενοι. ex Thuc. I. 2. Lectionem receptam offerunt Ven. Par. 3. ὡς τό· οὐκ ἐπιμ. — ἐπιμιγνύμενοι· καὶ αὖθις, οἱ τὴν μεσόγαιαν κατῳκημένοι, ἀντὶ τοῦ

„οὐκ ἐπιμιγνῦντες ἀλλήλοις," ἀντὶ τοῦ οὐκ ἐπιμιγνύμενοι· περὶ δὲ χρόνους, ὡς τό, „παρέξομαι τοὺς ὁρῶντας μάρτυρας."

ιβ΄. *ΠΟΛΥΠΤΩΤΟΝ* λέγεται, ὅταν ὁ αυτὸς λόγος πολλῶν πτώσεων ἀντιλαμβάνηται,[48] ὡς τό· „οὗτος ἦν φίλος αὐτοῦ, οὗτος προστάτης, οὗτος κηδεμὼν ἦν."

ιγ΄. *ΜΕΤΑΒΟΛΗ* ἐστιν, ὅταν τὸ[49] αὐτὸ νόημα διαφόρως ἐξαγγελθῇ, ὡς τό· „τίνος διώκοντος ἢ συναναγκάζοντος." οὐδενός· τίνων ἱππέων,[50] τίνος ὑλακῆς ἢ κραυγῆς;

ιδ΄. *ΖΕΥΓΜΑ* ἐστιν, ὅταν διάφορα κῶλα μία συνδῇ[51] λέξις, ἢ μετ᾽ αὐτῶν τεθεῖσα, ἢ πρὸ αὐτῶν, οἷον· „τῶν μὲν τὸν λόγον, τῶν δὲ τὴν πρᾶξιν, τῶν δὲ τὸ πρᾷον, τῶν δὲ τὸ ἥσυχον,[52] τῶν δὲ τοὺς κινδύνους, τῶν δὲ τὰ πλείω, τῶν δὲ τὰ πάντα μιμησάμενος." τὸ γὰρ μιμησάμενος ζεύγνυσι τὰ κῶλα.[53]

ιε΄. *ΠΑΡΟΝΟΜΑΣΙΑ*[54] ἐστὶν, ὅταν τι[55] τῶν ληφθέντων εἰς διάνοιαν ὀνομάτων ἢ ῥημάτων βραχὺ με-

---

κατῳκηκότες· περὶ δὲ χρόνον, ὡς τό· παρέξ. [Dem. in Neaer. p. 1356.] 48 Par. 1. ἀντιλαμβάνεται. MA. ἀντιλαμβάνηται. Ven. Par. 3. ἀντιλάβηται. Sequitur in Ven. Par. 3. MA. οἷον ἐκείνων [MA. ὡς τό· οὓς στύλος] ἐσμὲν καὶ γένος καὶ μαθηταὶ, οὓς στύλος πυρὸς καὶ νεφέλαι ὡδήγουν, [M. ὁδήγουν] οἷς θάλασσα διΐστατο, ὧν θῆρες ἡττῶντο, καὶ τὰ τοιαῦτα. [MA. καὶ τὰ τοιαῦτα om.] 49 Ven. τὸ νόημα. Par. 3. τὸ αὐτὸ ὄνομα. 50 Ven. Par. 3. addunt: τίνων κυνῶν. 51 M. συνδήσῃ. A. συνδεθῇ. 52 Ven. Par. 3. τὸν ζῆλον. Sqq. τῶν δὲ — πάντα μιμησάμενος Par. 1. MA. om. Recepi ex Ven. Par. 3. μιμησάμενος M. habet post ἥσυχον. Boiss. ex conj. posuit. 53 Par. 1. ζευγνύουσι κῶλον. Boiss. conj. ζεύγνυσι κῶλον ἕκαστον vel κῶλα. Lectio recepta est in MA. Par. 3. Ven. 54 Par. 1. 3. Ven. A. παρωνομασία. 55 τι Par. 1. M. om. Posuit Boiss. Est in Ven. Par. 3. A. — Tum Par. 1. λειφθέντων — μεταποιήσαντος. corr. Par. 3. Ven. MA. et Boiss. coll. Alexandro p. 477.

ταποιήσαντες ἑτέραν κινήσωμεν ἔννοιαν·“ οἷον·[56] „οὐ τὴν ὑλακὴν, ἀλλὰ τὴν φυλακήν·“ καὶ, „τῆς ἐμῆς εἴτε ἀπονοίας,[57] εἴτε ἀνοίας,“ ὃ καὶ παρήχησις ὀνομάζεται.

ιϛʹ. ΟΜΟΙΟΤΕΛΕΥΤΟΝ ἐστιν,[58] ὅταν πολλὰ κῶλα τὴν αὐτὴν συλλαβὴν ἔχωσι κατάληξιν,[59] οἷόν ἐστι τό [60]

— οὔτ' ἀνέμοισι τινάσσεται, οὔτε ποτ' ὄμβρῳ
Δεύεται, οὔτε χιὼν ἐπὶ πίλναται, ἀλλὰ μάλ' αἴθρη
Πέπταται ἀννέφελος·[61]

καὶ ὡς ἂν εἴποι τις· „λέγετε, φέρετε, χαίρετε.“

ιζʹ. ΠΑΡΙΣΟΝ ἐστιν, ὅταν δύο ἢ καὶ[62] πλείονα κῶλα μάλιστα μὲν καὶ τὰς συλλαβὰς ἴσας ἔχῃ· εἰ δ' οὖν ἀλλά γε τὸ γένος καὶ τον ἀριθμὸν[63] καὶ τὸν ῥυθμόν·[64] οἷον· „τίνα[65] μὲν ἀνθρώπων κινήματα, τίνα δὲ πιθήκων ὁρμήματα.“[66]

ιηʹ. ΟΜΟΙΟΠΤΩΤΟΝ[67] ἐστιν, ὅταν ἡ αὐτὴ πτώ-

---

56 Ven. Par. 3. οἷον κατηγορήσω γὰρ αὐτὸς [Par. 3. αὐτὸς ἐγὼ τῆς εἴτε ἀπ.] τῆς ἐμῆς εἴτε ἀπονοίας εἴτε ἀνοίας, καὶ αὖθις, οὐδὲ τὴν ὑλακὴν, ἀλλὰ τὴν φυλακὴν· τοῦτο δὲ τὸ σχῆμα καὶ παρήχησιν ὀνομάζουσιν. 57 MA. εἴτε ἀνοίας, εἴτε διανοίας. [A. εἴτε διανοίας om.] 58 Ven. Par. 3. ὃ καὶ ὁμοιοκατάληκτον λέγεται, ὅταν διάφορα κῶλα — κατάληξιν, οἷον· „Χριστὸς γεννᾶται, δοξάσατε, Χριστὸς ἐξ οὐρανῶν, ἀπαντήσατε.“ 59 Par. 3. καὶ κατάληξιν. Boiss. conj. κατὰ κατάλ. tum MA. οἷον δοξάσατε, ἀπαντήσατε, ὑψώθητε. 60 Od. ζ. 43. 61 Par. 1. ἀνέφελος. 62 καὶ Par. 3. MA. om. 63 Ven. Par. 3. inserunt: καὶ τὸν χρόνον. 64 Par. 3. ἀριθμόν. 65 Greg. Naz. Or. III. p. 102. 66 Ven. Par. 3. addunt: διαφέρει δὲ τοῦ ὁμοιοκαταλήκτου, ὅτι ἐν ἐκείνῳ μὲν τὰς τελευταίας μόνας συλλαβὰς ὁμοίας ποιοῦμεν, τοῦτο δὲ πλείονα, ὡς ἔφαμεν, ἔχει παρατηρήματα· καὶ εἴ τι μὲν πάρισον, ἐκεῖνο καὶ ὁμοιοκατάληκτον, οὐκέτι δὲ ὁμοιοκατάληκτον, τοῦτο καὶ πάρισον. Πολλάκις δὲ ὁ αὐτὸς λόγος διαφόροις ἐμπίπτει σχήμασι κατ' ἄλλο καὶ ἄλλο. 67 Cod. Angel. F. 6. 17. ad marg. Alexandri habet: ὁμ. ἐστι πτῶσις ἡ αὐτὴ κατὰ τοὺς αὐτοὺς τρό-

σις ἐπὶ τὸ αὐτὸ ὄνομα διαφόρως φέρηταί,[68] οἷον, ὦ[69] μὲν ἐπὶ τὰ μεγάλα τῶν ἔργων ἀχρηστότατε, πρὸς δὲ τὴν ἐν λόγοις τόλμαν θαυμασιώτατε."

ιθ'. ΑΣΥΝΔΕΤΟΝ ἐστιν, ὅταν χωρὶς τῶν συναπτόντων συνδέσμων ἐκφέρωμεν[70] τὸν λόγον, οἷον· „φθάνει τοὺς ταχεῖς, σφάλλει[71] τοὺς συνετούς, περιτρέπει[72] τοὺς ἰσχυρούς, συστέλλει[73] τοὺς ὑψηλούς."

κ'. ΑΝΤΙΘΕΤΟΝ γίνεται κατὰ δύο τρόπους·[74] καθ' ἕνα μέν, ὅταν[75] τὰ ἀντικείμενα ὀνόματα λαμβάνωνται, οἷον· μᾶλλον τιμῶσιν αἱ πόλεις τοὺς ἀδίκως πλουτοῦντας, ἢ τοὺς δικαίως[76] πενομένους· καθ' ἕτερον δέ,[77] ὅταν ἀντιδιαστέλληται[78] κατάφασις ἀποφάσει[79], ὡς τό· „σὺ μὲν ἔλαβες δῶρα, ἐγὼ δ'[80] οὐκ ἔλαβον."

κά. ΣΥΓΚΡΙΣΙΣ[81] ἐστιν, ὅταν πλεονάκις ταῖς αὐταῖς χρώμενοι λέξεσιν ἕτερα σημαίνωμεν, οἷον·[82] „εἰ μὲν θεός, οὐ κτίσμα, εἰ δὲ κτίσμα, οὐ θεός."[83]

κά.

---

πους διαφόρως λεγομένη, οἷον, ὦ περὶ μὲν ἔργων καὶ τὰ λοιπά. Par. 3. schema hoc om. 68 Ven. Par. 3. ἐκφέρηται. Par. 1. φέρεται. MA. φέρηται. 69 Par. 1. MA. ὁ μὲν — ἀχρηστότατον — θαυμασιώτατον. Ven. Par. 3. ὦ μὲν περὶ τὰ μ. — ἀχρηστότατε — θαυμασιώτατε. ex Aeschine adv. Ctes. p. 433. Bekker. 70 Par. 1. ἐκφέρομεν. 71 Par. 1. MA. φθάνει. Ven. Par. 3. σφάλλει. 72 Par. 1. περιτρέχει. Boiss. correxit παρατρέχει. MA. Ven. Par. 3. περιτρέπει. 73 MA. Par. 3. στέλλει. 74 Ven. Par. 3. κατὰ τρ. πλείονας. 75 Par. 1. ὅτε — λαμβάνεται. MA. ὅταν — λαμβάνωνται. Ven. Par. 3. ὅταν — λαμβάνηται. 76 Par. 1. 3. Ven. δικαίους. MA. δικαίως. 77 Ven. Par. 3. addunt: τρόπον. 78 Par. 1. ἀντιδιαστέλλεται. Par. 3. διαστείληται. MA. Ven. ἀντιδιαστέλληται. 79 Par. 1. MA. ἀπόφασιν. Ven. Par. 3. ἀποφάσει, quod posuit Boiss. ex Herodiano p. 602. 80 Ven. Par. 3. δέ. Post ἔλαβον addunt καὶ πάλιν· τὸ σκότος λύεται, πάλιν τὸ φῶς ὑφίσταται. 81 a Par. 3. abest hoc schema. 82 Ven. Par. 3. MA. οἷον Λὼτ ὁ Σοδομίτης [M. Σοδομήτης] καὶ οὐ Σοδομίτης τὸν τρόπον, καὶ Ῥαὰβ ἡ πόρνη καὶ οὐ πόρνη τὴν προαίρεσιν. τούτῳ δὲ τῷ

κβ. ΑΝΤΙΕΝΑΝΤΙΩΣΙΣ[84] ἐστιν, ὅταν εἰπεῖν τι βουλόμενοι διὰ τοῦ ἐναντίου[85] δηλώσωμεν, οἷον, „ἴσως οὐ τῶν πολλῶν ἐγενόμην φαυλότερος."

κγ. ΠΡΟΑΠΑΝΤΗΣΙΣ γίνεται, ὅταν δύο τινὰ θέντες πρὸς τὸ δεύτερον ἀπαντήσωμεν πρότερον, οἷον,[86] καλὸν παιδεία καὶ πλοῦτος, ἐφ' ὅσον ὁ μὲν τὸ σῶμα κοσμεῖ, ἡ δὲ τὴν ψυχὴν καλλύνει.

κδ. ΥΠΑΛΛΑΓΗ ἐστιν, ὅταν ἐπιτιμήσαντες[87] τῷ πρώτῳ ὀνόματι ἕτερον προςλάβωμεν, οἷον, „οὐκ ἔστι τοῦτο φιλανθρωπία, ἀλλ' ἔρως," καί· „οὐκ ὠργίζετο, ἀλλ' ἐμαίνετο."

κε. ΠΕΡΙΦΡΑΣΙΣ ἐστιν, ὅταν τὸ διὰ μιᾶς λέξεως ῥηθῆναι δυνάμενον διὰ πλειόνων ἐκφέρηται,[88] οἷον βίη Ἡρακλείη, καὶ μένος Ἀλκινόοιο.[89]

κς. ΥΠΕΡΒΑΤΟΝ ἐστιν, ὅταν τῆς συνεχείας τοῦ νοήματος[90] διακοπείσης ὑπὸ μεταξυλογίας ἐμβληθείσης

---

σχήματι πλησιάζει καὶ ἡ ἀντίθεσις καὶ ἡ ἀντιβολή· οἷον [Ῥαὰβ — — ἀντιβολή· οἷον et quae sequuntur post θεὸς MA. om.] εἰ μὲν θεὸς, οὐ κτίσμα, εἰ δὲ κτίσμα, οὐ θεὸς, τὰ γὰρ ἐν τοῖς πρώτοις κώλοις ἁπλῶς τεθέντα ἐν τοῖς δευτέροις ἐναντίον ἐτέθησαν. 83 Verba sunt theologi scriptoris de Spiritus sancti vel de Christi divinitate: cfr. Greg. Naz. Or. XXXVII. p. 596. Boiss. 84 Ven. ἐναντίωσις. 85 Par. 1. MA. διὰ τὸ ἐναντίον. Ven. Par. 3. διὰ τοῦ ἐναντίου. 86 Ven. Par. 3. MA. οἷον καλὸν προσευχὴ καὶ ἀγρυπνία, καὶ πειθέτω σε Ἰησοῦς ἀγρυπνῶν πρὸ τοῦ πάθους καὶ προσευχόμενος. [MA. καὶ προσευχ. om.] 87 inde est ὑπαλλαγῇ nomen alterum ἐπιτίμησις. cfr. Alexandrum p. 486. Boiss. 88 Par. 1. ἐκφέρεται. 89 MA. addunt: καὶ ἡ τοῦ θεοῦ φιλανθρωπία ἀντὶ τοῦ ὁ θεός. Ven. Par. 3. καὶ ἴς Τηλεμάχοιο, καὶ ἡ τοῦ θεοῦ φιλ. — θεὸς, καὶ Θηβαίων ἄνοια, ἀντὶ τοῦ οἱ Θηβαῖοι. 90 MA. ὀνόματος. Ven. διηγήματος.

ὕστερον τὸ λεῖπον ἀποδοθῇ· οἷον[91] ἐμοῦ μέτα,[92] ἀντὶ τοῦ μετ' ἐμοῖ, καί· „ἄπ' ἐμ' ὀλεῖς,"[93] ἀντὶ τοῦ ἀπολεῖς ἐμέ.

---

91 Ven. Par. 3. κατὰ ταῦρον ἐδηδοκὼς [Par. 3. ἐδηδὼς], καὶ ἀνὰ δ' ὁ πτολίπορθος Ὀδυσσεὺς ἔστη, ἀντὶ τοῦ ἀνέστη, καὶ ἄπ' ἐμ' — ἀπολεῖς ἐμὲ, καὶ ἐμοῦ μέτα ἀντὶ τοῦ μετ' ἐμοῦ, καὶ τὰ ὅμοια. 92 M. μετὰ μὲν γὰρ ἐμοῦ ἀντὶ τοῦ μετ' ἐμοῦ. 93 Soph. Phil. 817.

# XI.

# ΑΝΩΝΥΜΟΥ
## ΠΕΡΙ ΣΥΝΕΚΔΟΧΗΣ.[1]

Πόσας ἀναφορὰς ἔχει ἡ συνεκδοχή;[2] ιγʹ. ποίας ταύτας; Ἡ μὲν ἀπὸ ὅλου δηλοῖ τὸ μέρος· ἡ δὲ ἀπὸ μέρους τὸ ὅλον· ἡ δὲ ἀπὸ τῆς ὕλης τὸ ἀποτέλεσμα· ἡ δὲ, ἀπὸ τοῦ ἑπομένου[3] συμβαίνοντος τὸ προηγούμενον· ἡ δὲ ἀπὸ τοῦ[4] συμβόλου τὸ κύριον· ἡ δὲ ἀπὸ τοῦ προηγουμένου τὸ ἀκόλουθον· ἡ δὲ ἀπὸ τοῦ ἀκολούθου τὸ προηγούμενον· ἡ δὲ ἀπὸ τοῦ γένους τὸ εἶδος· ἡ δὲ ἀπὸ εἴδους τὸ γένος· ἡ δὲ ἀπὸ τῶν πολλῶν τὸ ἕν· ἡ δὲ ἀφ'

---

1 Apospasma hoc in Codd. Par. 2929. Ambros. A. 115. et Pragensi praecedenti libello annexum est. Primum edidit Titzius in Man. Moschopuli Opusculis a. 1822. deinde Boissonadius ad calcem Zonaei in Anecd. T. III. p. 319. a. 1831. Equidem descripsi ex Ambrosiano, et contuli cum Par. et editionibus Titzii et Boissonadii. 2 Par. ἡ συν. ἔχει. Tum MA. ιά. Par. ιγʹ. quod ponendum esse vidit Titz. 3 ἑπομένου Par. A. om., est in M. 4 τοῦ Par. om.

ἑνὸς τὰ πολλά· ἡ δὲ ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον· ἡ δὲ ἀπὸ τοῦ περιεχομένου τὸ περιέχον.

Πῶς;[5] Ἀπὸ ὅλου τὸ μέρος; ὡς τὸ, „βόας αὔας·“[6] ἀντὶ τοῦ, ἀσπίδας, τὰς[7] ἐκ βοείων βυρσῶν.

Ἀπὸ μέρους τὸ ὅλον, ὡς τὸ, λευκώλενος[8] Ἥρη.

Ἀπὸ τῆς ὕλης τὸ ἀποτέλεσμα, ὡς τὸ,

Χρυσὸν δ' αὐτὸς[9] ἔδυνε περὶ χροΐ·

ἀντὶ τοῦ, χρυσῆν πανοπλίαν.

Ἀπὸ τοῦ ἑπομένου συμβαίνοντος τὸ προηγούμενον, ὡς τὸ,

Ἑζόμενοι λεύκαινον[10] ὕδωρ ξεστῆς ἐλάτῃσιν.

Ἀπὸ τοῦ συμβόλου τὸ κύριον, ὡς τὸ σκῆπτρον[11] τὴν βασιλείαν.

Ἀπὸ τοῦ προηγουμένου τὸ ἀκόλουθον, ὡς τὸ,

Λῦσε[12] δὲ παρθενίην ζώνην.

Ἀπὸ τοῦ ἀκολούθου τὸ προηγούμενον, ὡς τὸ ἐναρίζω, τὸ σκυλεύω.

Ἀπὸ γένους τὸ εἶδος, ὡς τὸ, „ζῶον ἐνταῦθα οἰκονομούμενον καὶ ἀλλαχοῦ μεθιστάμενον.“

Ἀπὸ εἴδους τὸ γένος, ὡς τὸ ἀΐω τὸ αἰσθάνομαι.

Ἀπὸ πολλῶν τὸ ἕν, ὡς τὸ, „στήθεα μαρμαρόεντα.“[13]

Ἀφ' ἑνὸς τὰ πολλὰ, ὡς τὸ, „πέρσεν[14] Ὀδυσσεὺς καὶ ἱερὸν Τροίης πτολίεθρον.“

---

5 πῶς Par. om. Idem post ὅλου ponit μέν. 6 A. αἴας. — Il. μ. 137. 7 Par. τάς. M. τῶν. A. τῶν omisso sq. ἐκ. 8 Par. λευκόλενος Ἥρα. 9 Par. δὲ αὐτῆς ἔνδυνε. — Il. ϑ. 43. 10 A. λεύκενον. — Od. μ. 172. 11 A. σκύπτρον. 12 A. λῦσαι. Par. ὡς τὸ λῦσε — προηγούμενον om. 13 Par. μαρμαίροντα. Respicit Il. γ. 337. Στήθεά ϑ' ἱμερόεντα καὶ ὄμματα μαρμαίροντα. Boiss. 14 M. πέρσε, Ὀδ. Sq. καὶ Boiss. ejecit. — Od. init.

*Ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον, ὡς τὸ, „πᾶσα ἡ πόλις ἐταράχθη."*

*Ἀπὸ τοῦ περιεχομένου τὸ περιέχον, ὡς τὸ, „οἶκος Ἰσραὴλ, εὐλογήσατε τὸν Κύριον."*

---

**15 *οἶκος — Κύριον* Par. om. Sequuntur in MA. *Πόσα σχήματα λόγου τῶν ἐξαμέτρων εἰσὶ*, *κ. τ. λ.*, quae invenies in commentario Maximi Planudae T. V. p. 556—560.**

XII.

# ΑΝΩΝΥΜΟΥ

## ΠΕΡΙ ΣΧΗΜΑΤΩΝ.[1]

Σχῆμά ἐστιν ἁμάρτημα μετὰ λόγου πεποιημένον. ἔστι δὲ διπλοῦν· ἤγουν λόγου καὶ συντάξεως. εἰσὶ δὲ ὀκτὼ τῆς συντάξεως· πρόληψις,[2] σύλληψις, ζεῦγμα, σύνθεσις, ἀντίπτωσις, ἐπιφώνημα, πρόσθεσις, συνεκδοχή.

Πρόληψίς ἐστιν ἀπόδοσις τῆς ἰδιότητος τῷ[3] ὅλῳ ἐν αὐτοῦ μέρεσι διῃρημένῳ, οἷον, ἀετοὶ πέτανται· οὗτος ἄνωθεν, ἐκεῖνος κάτωθεν. ἐν τῇ προλήψει ζητοῦνται έ. τὸ ὅλον· τὰ μέρη τοῦ ὅλου· ἡ ἀπόδειξις τῶν μερῶν· ἡ ἰδιότης ἤτοι τὸ ῥῆμα καὶ ἡ τάξις· διπλῆ ἐστὶν ἡ πρόληψις, ἐν νῷ καὶ ἐν γράμματι, ἤγουν σῶα καὶ ἀτελὴς, τουτέστιν, ἔν τινι σιωπῶσά τινα. καὶ σῶά ἐστιν ἤγουν ἡ ἐν νῷ καὶ ἐν γράμματι, ἐν ᾗ τὰ έ ζητούμενα, οἷον, „ὁ

---

1 Edidit hoc apospasma Titzius in Moschopuli Opusculis pag. 69. Equidem ex Cod. Ambr. A. 115. passim emendavi.

2 A. πρόςληψις h. l. et in sqq. constanter. 3 A. ἐν τῷ ὅλῳ αὐτοῦ μέρει.

Καῖσαρ καὶ ὁ Πομπεῖος μάχονται· εἷς ὅπλοις, ἕτερος δόλῳ." ἡ ἐλλειπὴς ἐστιν, ἐν ᾗ σιωπῶνταί τινα, οἷον, „οἱ ἄνθρωποι φθονοῦσιν ἕτερος ἑτέρῳ."

Σύλληψίς ἐστι συναθροισμὸς διαφόρων λέξεων ὑπὸ πληθυντικῆς ἰδιότητος. ἐν τῇ συλλήψει ζητεῖται ε. λέξις συλλαμβάνουσα· λέξις συλλαμβανομένη· ἡ ἰδιότης ῥήματος ἢ ἐπιθέτου πληθυντικοῦ ἀριθμοῦ· σύνδεσμος· ἡ ἰδιότης ἰσάζουσα μετὰ τῆς λέξεως τῆς συλλαμβανούσης. Κατὰ δ' τρόπους γίνεται ἡ σύλληψις, ἐν γένει,[4] ἐν ἀριθμῷ, ἐν προσώπῳ, ἐν πτώσει. ἐν γένει τὸ γένος τὸ ἀρσενικὸν συλλαμβάνει τὸ θηλυκὸν καὶ τὸ οὐδέτερον, οἷον, ὁ ἔριφος καὶ ἡ αἲξ καὶ τὸ ἀρνίον μέλανες. τὸ θηλυκὸν συλλαμβάνει τὸ οὐδέτερον, οἷον, ἡ ὄρνις καὶ τὸ ὑποζύγιον ἰσχυραὶ ἢ στεραιαί. ἀλλ' ἐνίοτε μὲν συλλαμβάνεται τὸ ἀρσενικὸν καὶ τὸ θηλυκὸν διὰ τοῦ οὐδετέρου, τῇ αἰτίᾳ τῆς μείζονος σημασίας, οἷον, ὁ ἀνὴρ καὶ ἡ γυνὴ καὶ τὰ ζῶά εἰσι λευκά. ἐν ἀριθμῷ ὁ πληθυντικὸς ἀριθμὸς συλλαμβάνει ἑνικὸν, οἷον, οἱ στρατιῶται καὶ ὁ τριβοῦνος πολεμοῦσιν. ἐν προσώπῳ τὸ πρῶτον μὲν πρόσωπον συλλαμβάνει δεύτερον καὶ τρίτον, οἷον, ἐγὼ καὶ σὺ καὶ ὁ Νικόλαος βουλόμεθα· τὸ δὲ δεύτερον συλλαμβάνει τὸ τρίτον, οἷον, καὶ σὺ καὶ ὁ Φραγκίσκος ὑπνεῖτε. ἐν πτώσει ἡ ὀνομαστικὴ συλλαμβάνει ἑτέραν πτῶσιν μετὰ προθέσεως, οἷον, ὁ[5] ἵππος μετὰ τοῦ ὄνου τρέχουσιν. Ἔστι δὲ διπλῆ ἡ σύλληψις, ὁμοία καὶ ἀνομοία. ὁμοία ἐστὶν, ἥτις γίνεται ἐν ὁμοίαις πτώσεσιν, οἷον, ἐγὼ καὶ ὁ Ἀντώνιος λέγομεν· ἡ ἀνομοία, ἥτις γίνεται ἐν ἀνομοίαις λέξεσιν, οἷον, ὁ Ἀνδρέας μετ' ἐμοῦ φεύγομεν.

Ζεῦγμά ἐστιν μιᾶς[6] ἰδιότητος ἀπόδοσις ἐν διαφόροις λέξεσιν, οὕτως, ὡς μεθ' ἑνὸς ἐξισάζοντος· οἷον, τῶν

---

4 ἐν γένει — πτώσει M. propter ὁμοιοτέλευτον om. Recepi ex A. 5 ὁ M. om. Est in A. 6 A. ἑνὸς, et mox ἵν' οὕτως.

φίλων καὶ τοῦ ῥηγὸς μαχομένου. ἤ, τῶν ἀρχόντων καὶ ταῦ ῥηγὸς μαχομένου. ἐν[7] τῷ ζεύγματι ζητεῖται δ'. διάφορα οὐσιώδη ὀνόματα· σύνδεσμος· ἡ ἰδιότης· καὶ αὐτὴ ἡ ἰδιότης, ἰσάζουσα μετ' ἐκείνου, ᾧτινι ὡς προτέρῳ ἀποδίδοται, καὶ ἀνισάζουσα ἀπ' ἐκείνου, ᾧτινι ὡς ὑστέρῳ ἀποδίδοται. ἐν τρισὶ παρεπομένοις γίνεται τὸ ζεῦγμα, ἐν προσώπῳ, ἐν γένει, ἐν ἀριθμῷ. τριπλοῦν ἐστὶ τὸ ζεῦγμα, ἀπὸ τοῦ ἄνω προτέρου, ἀπὸ τοῦ μέσου, ἀπὸ τοῦ κατωτέρου. ἀπὸ τοῦ προτέρου, ἐν ᾧ ἡ ἰδιότης προτίθεται, οἷον, λέγω ἐγὼ καὶ σύ· ἀπὸ τοῦ μέσου, οἷον, ἐγὼ λέγω καὶ σύ· ἀπὸ τοῦ κατωτέρου, οἷον, ἐγὼ καὶ σὺ λέγω.

Σύνθεσίς ἐστιν ἀπόδοσις τῆς ἰδιότητος ἑνὶ ἢ πολλοῖς συμπεπλεγμένοις, οὐκ αἰτίᾳ φωνῆς, ἀλλὰ τῆς σημασίας, οἷον, τὸ μέρος εἰς μερίδας ἔκοπτον· καὶ ὁ Σκιπίων καὶ ὁ Λαίλιος ἐθαύμαζον. τρία ζητεῖται ἐν τῇ συνθέσει· ἓν ὑποκείμενον ἢ πλείονα συμπεπλεγμένα· ἡ ἰδιότης· ἡ ἀπόδοσις τῆς ἰδιότητος, ἰσάζουσα μετὰ τῆς σημασίας, καὶ ἀνισάζουσα μετὰ τῆς φωνῆς, οἷον, ἡ πενία κακόν. γίνεται δὲ ἡ σύνθεσις ἐν γένει καὶ ἐν ἀριθμῷ, οἷον, τὸ πλῆθος βαδίζουσιν· ὁ Σκιπίων καὶ ὁ Λαίλιος λέγουσι· καί, ἡ πενία κακόν.

Ἀντίπτωσις ἐστὶν ἀπόδοσις[8] τῆς ἰδιότητος, πτῶσις ἀντὶ πτώσεως. τρία ζητεῖται ἐν ἀντιπτώσει· ἓν ὑποκείμενον· ἡ ἰδιότης· καὶ ὅτι ἡ πτῶσις ἀντὶ πτώσεως τίθεται, οἷον,[9] τὴν πόλιν, ἣν βλέπω, ὑμετέρα ἐστίν.

Ἐπιφώνημά ἐστιν ἀπόδοσις τῆς ἰδιότητος τινὶ πράγματι δεικνυμένῳ διὰ τοῦ δεικνύοντος, οἷον, ἐγὼ ὁ Βιργίλιος, ψάλλω. ἐν τῷ ἐπιφωνήματι δ' ζητεῖται· πρᾶγμα ἐπιφωνοῦν, πρώτου ἢ δευτέρου προσώπου· πρᾶγμα ἐπιφωνηθέν· ἀπουσία συνδέσμου· ἡ ἰδιότης τοῦ ῥήματος, πρώτου ἢ δευτέρου προσώπου.

---

7 ἐν A. om. 8 M. ἀπόδ. τῆς πτώσεως ἀντιπτώσεως. restitui ex A. 9 οἷον — ὑμ. ἐστὶν A. om.

*Πρόσθεσίς ἐστιν ἄμεσος σύζευξις οὐσιωδῶν,*[10] *οἷον, ὁ Καῖσαρ ἀνὴρ ἰσχυρός. ἐν τῇ προςθέσει*[11] *ζητεῖται τρία· λέξις προςτιθεῖσα· λέξις προςτιθεμένη, ὅ ἐστιν, ἀποδιδομένη· ἡ ἰδιότης· οἷον, ζῶον ὁ ἄνθρωπος περιπατεῖ. γίνεται δὲ ἡ πρόσθεσις ἐν τρισὶ τρόποις·*[12] *πρῶτον, αἰτία τοῦ γενικοῦ συνεσταλμένου, οἷον, ζῶον ὁ ὄνος περιπατεῖ. δεύτερον, τοῦ ὁμωνύμου μετατιθεμένου,*[13] *οἷον, ὁ κύων ἄστρον λάμπει. τρίτον, τῆς ἰδιότητος ἀποδιδομένης,*[14] *οἷον, ὁ Ὅμηρος ἄνθρωπος ἰσχυρός.*

*Συνεκδοχή ἐστιν, ὅταν ἡ ἰδιότης τοῦ μέρους ἀποδοθῇ τῷ ὅλῳ, οἷον, ὁ αἰθίοψ ἐστὶ λευκὸς τοὺς ὀδόντας. τρία ζητεῖται ἐν τῇ συνεκδοχῇ· τὸ ὅλον· τὸ μέρος, ὁποῖον πάντοτε γίνεται, ἐν αἰτιατικῇ πτώσει· ἡ ἰδιότης· οἷον, ἡ γυνὴ κεκομμένη τὴν χεῖρα.*[15]

---

10 MA. *οὐσιοδῶν.* 11 M. *προθέσει.* tum MA. *προτιθεῖσα* et *προτιθεμένη.* 12 MA. *προσώποις.* In margine M. correctrice manu adscriptum *τρόποις,* quod recepit Titzius. 13 MA. *μεταθεμένου.* 14 A. *ἀποδεδομένης.* 15 Sequitur in MA. *Φράσις τρόπων ποιητικῶν. οὗτοι μὲν οὖν οἱ τρόποι τῆς γραμματικῆς τὴν κοινὴν συνήθειαν παραβαίνοντες.*

# XIII.

## ΑΝΩΝΥΜΟΥ

## ΠΕΡΙ ΤΩΝ ΣΧΗΜΑΤΩΝ ΤΟΥ ΛΟΓΟΥ. [1]

Τῶν τοῦ λόγου σχημάτων τὰ μέν εἰσι κατ' ἔννοιαν, τὰ δὲ κατὰ λέξιν. Τὰ μὲν δὴ κατ' ἔννοιαν σχήματα ταῦτά ἐστι· προδιόρθωσις, ἐπιδιόρθωσις, ἀμφιδιόθωσις, ἀμφιδιόρθωσις, προκατάληψις, ὑπεξαίρεσις, αἰτιολογία, συναθροισμὸς, ἐπιμονὴ, λεπτολογία, ἠθοποιΐα, προσωποποιΐα, ἐπιτροχασμὸς, ἀποσιώπησις, παράλειψις, ἀποστροφὴ, διαπόρησις, ἀντεισαγωγὴ, μετάστασις, διασυρμὸς, ἐπανάληψις, ἐπαναφορά.

### α'. ΠΡΟΔΙΟΡΘΩΣΙΣ.

Ἐστὶ μὲν οὖν ἡ προδιόρθωσις, ἣ θεραπεύει τὸ ῥηθησόμενον, πρὶν ἢ ῥηθῆναι, ὡς δυσπαράδεκτον, ὁποῖόν ἐστι τό· „τολμᾷ τι νεανικὸν [2] ὁ λόγος, θεὸς θεοῖς ἡγούμενος καὶ γνωριζόμενος," τολμηρὸν γὰρ ἦν τοῦτο, διὸ προθεραπεύει οἰκονομικῶς.

### β'. ΕΠΙΔΙΟΡΘΩΣΙΣ.

Ἐπιδιόρθωσις δέ ἐστι μὲν τὸ αὐτὸ, πλὴν ἐπάγει τὴν θεραπείαν ὕστερον, ἀλλ' οὐ πρότερον, ὡς προδιόρθωσις·

1 Descripsi e Codice Vaticano 1105. 2 Greg. Naz. Or. εἰς τὰ Θεοφ. p. 616. B.

ἐμφαίνει γὰρ ἐν μὲν ἐκείνῳ ἡ πρὸ τὸ πρότερον, ἐν δὲ τούτῳ ἡ ἐπὶ τὸ ὕστερον· ὁποῖόν ἐστι τό· „αἰσθάνομαι ἔξω τοῦ καιροῦ καὶ τοῦ μέτρου φερόμενος.“ πρότερον γὰρ τὴν κειμένην ἀφεὶς ὑπόθεσιν καὶ τὸ πανηγυρίζειν ἐπὶ τὸ δογματίζειν καὶ τὸ θεολογεῖν μετέπεσεν, ὃ θεραπεῦσαι ἔγνω διὰ τούτου.

### γ΄. ΑΜΦΙΔΙΟΡΘΩΣΙΣ.

Ἀμφιδιόρθωσις δέ ἐστι μίξις ἀμφοῖν, ἡ γὰρ ἀμφὶ ἡ αὐτὴ οὖσα [3] τῇ περὶ εἴληπται ἐνταῦθα τὴν κύκλῳ σημαίνουσα σχέσιν· λέγεται οὖν ἀμφιδιόρθωσις ἡ καὶ πρότερον καὶ ὕστερον θεραπεύουσα τὸ λεγόμενον, ἂν δυσπαράδεκτον ᾖ ἢ τῷ μεγέθει ἢ τῷ ἀσυνήθει.

### δ΄. ΠΡΟΚΑΤΑΛΗΨΙΣ.

Προκατάληψις λέγεται ἡ προεκλύουσα τὸν τοῦ ἀντιδίκου λόγον, ὃν εἶπεν ὡς ἰσχυρὸν, καὶ οἴεται μηδεμίαν ἔχειν αὐτὸν ἀντιλογίαν, οἷον.“ τίς λόγος αὐτῷ τῶν ἀφύκτων; τάχ᾽ ἂν ἐπὶ [4] τόνδε καταφύγοι ἄν, ἀλλ᾽ οὐκ ἔστι.

### ε΄. ΥΠΕΞΑΙΡΕΣΙΣ.

Ὑπεξαίρεσις δὲ γίνεται, ὅταν ὑπεξελών τις πρόσωπον ἢ πρᾶγμα ὡς μέγα καὶ ὑπεροχικὸν πρὸς τὰ λοιπὰ ποιῆται τὴν σύγκρισιν, οἷον τό· „ὁ μετὰ Ἡλίαν μετάρσιος, ὁ μετὰ Μωσέα θεόπτης, καὶ ἔτι ὁ μετὰ τὸν ἀποστάτην ἀποστάτης, καὶ τὸν διώκτην διώκτης.“

### ϛ΄. ΑΙΤΙΟΛΟΓΙΑ.

Αἰτιολογία δέ ἐστιν ἡ αἰτίαν ἀποδιδοῦσα καὶ λόγον

3 οὖσα posui, parum adnuentibus litteris, ex quibus veram vocem extricare mihi non contigit. 4 Vat. ἔτι.

τοῦ εἰρημένου, οἷον τὸ παρὰ τῷ αὐτῷ· „τὸν αὐτὸν πνεῦμα καὶ σάρκα, πνεῦμα διὰ τὴν χάριν, σάρκα κατὰ τὴν ἔπαρσιν·" αἰτίαν γὰρ ἐκφαίνει πάντως τὸ ἐπαγόμενον καὶ οἱονεὶ θεραπείαν τοῦ λόγου, πῶς ὁ αὐτός ἐστι καὶ πνεῦμα καὶ σάρξ.

### ζ΄. ΣΥΝΑΘΡΟΙΣΜΟΣ.

Συναθροισμὸς δέ ἐστι συναγωγὴ πραγμάτων πλειόνων εἰς κεφάλαιον ἓν δηλωτικὸν πολλῶν, εἰ καὶ ἑνικῶς λέγεται, ἢ κατ' ἔμφασιν, οἷον· „συζυγίαι σχιζόμεναι, γένη ῥηγνύμενα·" ἰδοὺ γὰρ τὸ συζυγία καὶ τὸ γένος ἔοικεν ἕν τι εἶναι, τὸ δὲ ἕκαστον πολλά ἐστιν.

### η΄. ΕΠΙΜΟΝΗ.

Ἐπιμονὴ δὲ ἡ ἐπὶ τοῦ αὐτοῦ καὶ ἑνὸς πράγματος ἀργία καὶ ἀναστροφὴ χάριν αὐξήσεως, οἷον τό· „πόλιν[5] τῆς οἰκουμένης ὀφθαλμὸν, γῆς καὶ θαλάσσης ὅτι κράτιστον, ἑῴας καὶ ἑσπερίας λήξεως σύνδεσμον·" ἰδοὺ γὰρ ὀφθαλμὸν τῆς οἰκουμένης εἰπὼν ἐπέμεινε τῷ λόγῳ καὶ διεῖλε μὲν τὴν οἰκουμένην εἰς γῆν καὶ θάλατταν, καὶ κράτιστον ὠνόμασε κατὰ σύγκρισιν τὴν πόλιν, εἶτα πάλιν ἐπιδιεῖλε τοπικῶς κατὰ τὰς δύο σχέσεις, καὶ αὖθις ἐθαύμασε τὴν πόλιν, σύνδεσμον αὐτὴν εἰπὼν ἑῴας λήξεως καὶ ἑσπερίας· μέγιστον εἰς θαῦμα τὸ τοσοῦτον δύνασθαι, ὡς καὶ συνδεῖν ταύτας.

### θ΄. ΛΕΠΤΟΛΟΓΙΑ.

Λεπτολογία δέ ἐστιν ἡ ἕκαστον τῶν συμβαινόντων διεξιοῦσα ἀκριβῶς καὶ λεπτομερῶς, ὡς μονονοὺ δακτυλοδεικτεῖν δοκεῖν τὸ πρᾶγμα ὡς ἄρτι γινόμενον, οἷον· „ἀνάπτεται πῦρ, δαπανᾶται ἡ ναῦς, συνδαπανᾶται ὁ

---

5 Greg. Naz. Or. XXXII. p. 517.

φόρτος, συναπόλλυται τὰ ἐν αὐτῇ πάντα, πῦρ ὕδατι μίγνυται, καὶ πυρσὸς ὑπὲρ θαλάττης αἴρεται ξένος·“ ἐνῆν γὰρ ἁπλῶς οὕτω φάναι, ὡς ἡ ναῦς ἔργον πυρὸς ἐγεγόνει, ἀλλ' οὐκ ἂν ἦν οὕτω φανερὸν τὸ πάθος, διὸ διὰ τῆς ἀκριβείας οἱονεὶ νῦν ἁπτόμενον ἔδειξε τὸ πῦρ, καὶ τὴν ναῦν φλογιζομένην, καὶ τὸν φόρτον συνδαπανώμενον, καὶ πάντα τὰ ἐν αὐτῇ καὶ τὰ ἑξῆς.

## ι. ΗΘΟΠΟΙΙΑ.

Ἠθοποιΐα ἐστὶν ἡ λόγους ἀψύχοις περιτιθεῖσα πράγμασιν ἢ ἀλόγοις, οἷον τίνας ἂν εἴποι λόγους ναῦς ἐκ κλύδωνος καὶ τρικυμίας ἐλαυνομένη ἐς ἀποῤῥῶγας πέτρας, καὶ μέλλουσα προσαῤῥάττεσθαί τε καὶ καταποντίζεσθαι, ἢ γῆ ῥηγνυμένη ὑπὸ σεισμῶν βίας· δεῖ γὰρ ἀκριβῶς ἀπομιμεῖσθαι τὸν πλαττόμενον τὰ πράγματα.

## ιά. ΠΡΟΣΩΠΟΠΟΙΙΑ.

Προσωποποιΐα δέ ἐστι προσώπου διάπλασις, ἢ μηδέποτε γενομένου, ἢ γενομένου μὲν, οὐκέτι δὲ νῦν ὄντος· οἷον τὸ παρὰ τῷ θεολόγῳ ἐν τῷ περὶ φιλοπτωχίας· „μέμνηται μήτηρ ὠδίνων καὶ τὰ σπλάγχνα σπαράττεται, καὶ ἀνακαλεῖται, λέγουσα λίαν ἐλεεινῶς, τέκνον δυστυχὲς, τέκνον ἐλεεινὸν,“ καὶ τὰ ἑξῆς· εἰσάγει γὰρ οὐκ οὔσας μὲν πλὴν ὡς οὔσας τὰς μητέρας, ἵνα κατολοφυρομένων ἐκείνων καὶ παθαινομένων, καὶ ἄξια ἐλέους λεγόντων δυνηθῇ τὰς τῶν ἀκουόντων καρδίας πρὸς ἔλεον ἐπισπάσασθαι, ὅπερ ἀδύνατον ἦν ἄλλως δι' ἑαυτοῦ ποιῆσαι καὶ ἀπρεπές.

## ιβ'. ΕΠΙΤΡΟΧΑΣΜΟΣ.

Ἐπιτροχασμός ἐστι σχῆμα προσκείμενον τῷ τε συναθροισμῷ καὶ τῇ ἐπιμονῇ· συναθροισμὸς γάρ ἐστιν ἕνωσις πλειόνων πραγμάτων κεφαλαιώδης ἢ λόγων, ἐπιμονὴ

δὲ πολλαπλασιασμὸς τοῦ αὐτοῦ νοήματος δι' ἑτέρων λέξεων σημαινουσῶν τὸ αὐτό· διαφέρει δὲ τούτων ὁ ἐπιτροχασμὸς, ὅτι τὰ πολὺ διεστῶτα συνάγει, οἷον· „ὑπεσπῶντο σύνοδοι, πρόσοδοι διηρπάζοντο·" συναθροισμὸν γὰρ ἐποίησεν εἰπὼν συνόδους καὶ προσόδους πληθυντικῶς. ἐπέμεινε δὲ τῷ αὐτῷ πράγματι, διάφορα λέγων, εἰ καὶ πρὸς ἓν τέλος ἀφορῶσιν· ἕτερον γὰρ ὑπόσπασις συνόδων, καὶ ἕτερον ἁρπαγὴ προσόδων, καὶ ὅσα τοιαῦτα ἐπάγει ἐν τῷ εἰς τὸν μέγαν Βασίλειον ἐπιταφίῳ.

## ιγ'. ΑΠΟΣΙΩΠΗΣΙΣ.

Ἀποσιώπησίς ἐστι λόγος παραλείπων τὸ γινωσκόμενον καὶ σιωπῶν τὸ αἰσχρόν· δεῖ γὰρ μετὰ τῶν ἄλλων καὶ τοῦτο σκοπεῖν τὸν γράφοντα, ὥστε μὴ μολύναι τὴν γλῶτταν ἢ τὰ γράμματα ἢ τοὺς ἀκούοντας αἰσχροῖς λόγοις, ὁποῖον δή τι συμβαῖνον καὶ ὁ θεολόγος ἐνιδὼν τῷ αὐτοῦ λόγῳ παρέδραμεν οἰκονομικῶς, ἀμυδρῶς ἐμφήνας καὶ τὸ αἶσχος τῶν Ἑλληνικῶν ὕθλων καὶ τὴν νέμεσιν διεκφυγών. οἷον· οἶδεν [6] Ἐλευσὶς ταῦτα καὶ οἱ τῶν σιωπωμένων καὶ σιωπῆς ὄντως ἀξίων ἐπόπται· διὰ γὰρ τοῦ εἰπεῖν σιωπῆς ὄντως ἀξίων ὡς πλείστην ὑπέφηνε τὴν ὕβριν καὶ πρεπόντως ἐστηλίτευσε.

## ιδ'. ΠΑΡΑΛΕΙΨΙΣ.

Παράλειψις δὲ γίνεται, ὅταν προσποιούμενοί τι παραλείπειν καὶ ἐᾷν ἐν τῷ συγγράμματι ἡμεῖς οὐδὲν ἧττον λέγωμεν. οἷον τό· „εἰ μὲν οὖν ἑώρων αὐτὸν γένει καὶ τοῖς ἐκ γένους φιλοτιμούμενον·" καὶ μετὰ βραχὺ, „ἄλλος ἂν ἡρώων ὤφθη κατάλογος," καὶ μετ' ὀλίγα, „πολλὰ μὲν γὰρ ὁ πόντος ἡμῖν αὐτοῦ προβλύει [7] τὰ διηγή-

6 Greg. Naz. Or. εἰς τὰ ἅγ. φῶτα. p. 625. D. 7 Vat. προβλήει. scripsi προβλύει.

ματα·" καὶ ὅσα ἑξῆς φησιν ἐν σχήματι παραλείψεως. καὶ ἀλλαχοῦ· „τὸν γὰρ [8] Πρωτέα παρίημι τοῦ μύθου, τὸν Αἰγύπτιον σοφιστήν·" παραλείπειν γὰρ λέγων οὐδὲν ἧττον ἡμῖν αὐτὸν ὑπέγραψεν, ὀνομάσας Πρωτέα καὶ σοφιστὴν καὶ Αἰγύπτιον, προσθεὶς δὲ καὶ, ὡς πλάσμα καὶ μῦθος ὁ περὶ ἐκείνου λόγος καὶ οὐκ ἀληθής.

### ιέ. ΑΠΟΣΤΡΟΦΗ.

Ἀποστροφή ἐστιν ἀφ' ἑτέρου προσώπου πρὸς ἕτερον πρόσωπον νεῦσις καὶ μετάβασις, οἷον· „ὡς δὲ εἶχον αὐτῷ κατὰ νοῦν τὰ πλησίον," καὶ τὰ ἑξῆς, εἶτ' ἐπάγει, „οὕτως ἤδη πειρᾶται εὐηθέστατε σὺ κατὰ τοσούτου κλήρου·" καὶ ἐν τῷ περὶ τοῦ πάσχα λόγῳ· μετὰ γὰρ τοὺς μακροὺς καὶ λαμπροὺς λόγους ἐπιστραφεὶς πρὸς τὸ ἡμῶν ἁπάντων τῶν Χριστιανῶν ἀληθὲς πάσχα, οὗ τύποι ταῦτα, καθὼς ὁ αὐτὸς θεολόγος διδάσκει, αὐτὸν ἐρωτικῶς ἀνυμνεῖ καὶ θεοπρεπῶς, οἷον, „ἀλλ' ὦ πάσχα τὸ μέγα καὶ ἱερώτατον, Χριστὲ," καὶ τὰ ἑξῆς.

### ιϛ'. ΔΙΑΠΟΡΗΣΙΣ.

Διαπόρησις δέ ἐστιν ἀμφιβολία περί τινος πράγματος, ὅταν διττὰς ἢ καὶ πλείους ἐννοίας ἔχωμεν περὶ αὐτοῦ, ἀμφιβάλλοντες, ὁποτέρα τούτων ἀληθὴς ἀναμφιβόλως· οἷόν τι τῷ αὐτῷ περὶ τοῦ φωτισμοῦ καὶ τῆς τάξεως τῶν ἀγγέλων διηπόρηται, λέγοντι· „οὐκ οἶδα, εἴτε τῇ τάξει τῆς στάσεως μεριζομένη τὸν φωτισμὸν, εἴτε τῷ φωτισμῷ τὴν τάξιν λαμβάνουσα.

### ιζ'. ΕΡΩΤΗΜΑ.

Ἐρώτημά ἐστιν, ᾧ ἐπάγεται διὰ κατανεύσεως ἢ ἀπονεύσεως σύντομος ἡ ἀπόκρισις, λέγω ναὶ ἢ οὔ, οἷον τό·

---

8 Greg. Naz. adv. Julian. p. 74. C.

„οὐ δέχῃ μετάνοιαν; ἢ οὐδὲ τὸν ἐν Κορίνθῳ δέχῃ παρανομήσαντα·“ ἐπαχθήσεται γὰρ ἐπιτομωτάτη πάντως ἡ ἀπόκρισις ἢ διὰ συγκαταθέσεως ἢ ἀποφάσεως.

ιή. ΠΥΣΜΑ.

Πύσμα δέ ἐστιν, ᾧ ἐπάγεται μὲν ἀπόκρισις μακρὰ μέντοι καὶ διὰ πλειόνων τῶν λέξεων· οἷον τό· „ἐπὶ ποίας τοίνυν ἰτέον, καὶ τίνας φυλακτέον·“ οὐ γάρ ἐστιν ἐπὶ τῶν τοιούτων ναὶ ἢ οὔ ἀποκρίνασθαι. ἀλλὰ διεξοδικῶς χρεία τὴν ἀπόκρισιν ποιήσασθαι, ἵνα γνώριμος γίνηται τῷ ἐρωτῶντι, οἷον, ἐπὶ ταύτης ἰτέον μᾶλλον, ἢ ἐπ᾽ ἐκείνης.

ιθ'. ΔΙΑΤΥΠΩΣΙΣ.

Διατύπωσις δέ ἐστι λόγος διηγηματικὸς ὑπ᾽ ὄψιν ἄγων καὶ οἱονεὶ ζωγραφῶν τὰ πάλαι ποτὲ γενόμενα, ὡς· „τέμοι μὲν τὴν ἐρυθρὰν Μωυσῆς ῥάβδῳ, διέλθοι δ᾽ ὁ Ἰσραὴλ, καταποντισθείη δὲ σὺν ἱππεῦσιν ὁ Φαραώ.“ ἢ αὖθις· „καὶ γὰρ ἦν θρηνῶν καὶ ὀδυρμῶν ὄντως ἄξια, πῶς δ᾽ οὐ τῶν μεγίστων, τείχη κατεσκαμμένα, πόλεις ἠφανισμέναι,“ καὶ τὰ ἑξῆς.

κ'. ΑΝΤΕΙΣΑΓΩΓΗ.

Ἀντεισαγωγὴ δέ ἐστιν ἡ ἀντεισάγουσα εὐαρμόστως ἀνθ᾽ ἑτέρου πράγματος ἕτερον πρᾶγμα ἢ κατὰ συμβουλὴν ἢ παραμυθίαν· οἷον τό· „λυπεῖ σε τὸ τῆς διαζεύξεως, εὐφραινέτω τὸ τῆς ἐλπίδος·“ καὶ ἔτι ὁμοίως· „δριμὺς ὁ χειμὼν, ἀλλὰ γλυκὺς ὁ παράδεισος, ἀλγεινὴ ἡ πῆξις, ἀλλ᾽ ἡδεῖα ἡ ἀπόλαυσις·“ ἰδοὺ γὰρ συμβουλευτικῶς καὶ παραμυθητικῶς ἀνθ᾽ ἑτέρου ἕτερον παρίστησιν, ὥστε πεῖσαι μὴ ἐνδοῦναι.

### κά. ΜΕΤΑΣΤΑΣΙΣ.

Μετάστασις δὲ γίνεται, ὅταν ἀφ' ἑαυτῶν μεθιστῶμεν τὴν αἰτίαν εἰς ἕτερον, οἷον· „οὐ τοῦ ἀμήσαντος ὁ στάχυς, ἀλλὰ τοῦ σπείραντος, οὐδὲ τῆς τεκούσης ὁ παῖς, ἀλλὰ τοῦ καταβαλόντος τὸ σπέρμα.“ ὡς πρώτων αἰτίων ὄντων ἐκείνων τῆς ὑπάρξεως.

### κβ'. ΔΙΑΣΥΡΜΟΣ.

Διασυρμός ἐστι λόγος διαβάλλων τι οὐκ ἐπὶ τῷ ἀποφαυλίσαι, ἀλλὰ μᾶλλον ὡς ἀξιόπιστον θαυμάζων, οἷον· „τάχα ἂν ὀνειδίσαις τὸν σταυρὸν καὶ τὸν θάνατον.“

### κγ'. ΕΠΑΝΑΛΗΨΙΣ.

Ἐπανάληψις δέ ἐστιν ἀνάληψις προειρημένου τινὸς, μεταξυλογίας ἐμβεβλημένης. ἵνα διὰ τὴν μεσολαβησάντων λόγων ἐγγενομένην λήθην λήσῃ καὶ πρὸς μνήμην ἀγάγῃ τοῦ πρότερον εἰρημένου· οἷον· „ἐπειδὴ[9] φθόνῳ διαβόλου καὶ γυναικὸς ἐπηρείᾳ, ἥν τε ἔπαθεν ὡς ἁπαλωτέρα καὶ ᾗ προσήγαγεν ὡς πιθανωτέρα,“ εἶτα διὰ πλειόνων ἐλθὼν ἐπανάληψιν αὖθις ποιησάμενός φησιν, „ἐπειδὴ ταῦτα δῆθεν μείζονος ἐδεῖτο βοηθήματος, μείζονος καὶ τυγχάνει.“

### κδ'. ΕΠΑΝΑΦΟΡΑ.

Ἐπαναφορὰ δὲ κώλων πλειόνων ἢ ῥημάτων ἀπὸ τῆς αὐτῆς λέξεως ἀρχομένων, οἷον· „Χριστὸς[10] γεννᾶται, δοξάσατε, Χριστὸς ἐξ οὐρανῶν, ἀπαντήσατε.“ καὶ ἀλλαχοῦ·[11] „τί λύετε τάξιν ἐπαινουμένην, τί βιάζεσθε γλῶτταν νόμῳ δουλεύουσαν·“ γίγνεται δὲ καὶ ἔτι ἐπανα-

---

9 Greg. Naz. Or. εἰς τὰ Θεοφ. p. 619. B. — 620. A. 10 Greg. Naz. Or. εἰς τὰ Θεοφ. init. 11 ib. Or. XV. init.

φορά· οἷον τὸ, „παρὰ τοσούτοις [12] γὰρ οἱ ἡμέτεροι παιδευταὶ, παρ᾽ ὅσοις Ἀθῆναι, παρὰ τοσούτοις δ᾽ ἡμεῖς, παρὰ ὅσοις οἱ παιδευταί.“ Γίγνεται πάλιν ἐπαναφορὰ, καὶ ὅταν τῇ ἀρχούσῃ λέξει ἕτεραι ἰσοδυναμοῦσαι ληφθεῖεν ἐπὶ τῶν ἄλλων κώλων, οἷον, „ἡ ἐκ τῆς ἀρχῆς ἀρχὴ, τὸ ἐκ τοῦ φωτὸς φῶς.“ καὶ ἔτι· „ὁ ἀόρατος ὁρᾶται, ὁ ἀναφὴς ψηλαφᾶται.“ Τοσαῦτα μὲν οὖν καὶ τοιαῦτα τὰ κατ᾽ ἔννοιαν σχήματα.

## ΤΑ ΔΕ ΚΑΤΑ ΛΕΞΙΝ

ταῦτά ἐστι· Ταυτολογία, παλιλλογία, ἀναδίπλωσις, ἀντιστροφὴ, σύνθεσις, ἐπάνοδος, κλιμακωτὸν, προδιασάφησις, ἀλλοίωσις, ἥτις γίνεται ἢ κατὰ γένος ἢ ἀριθμὸν ἢ πτῶσιν, καὶ ἔτι ἐνεργείας καὶ πάθη καὶ χρόνους· πολύπτωτον, μεταβολὴ, ζεῦγμα, παρήχησις, ὁμοιοτέλευτον, πάρισον, ὁμοιόπτωτον, ἀσύνδετον, ἀντίθετον, σύγκρισις, ἀντεναντίωσις, προαπάντησις, ὑπαλλαγὴ, περίφρασις καὶ ὑπερβατόν.

### α΄. ΤΑΥΤΟΛΟΓΙΑ.

Ταυτολογία μὲν οὖν ἐστιν ἐν ταὐτῷ λέξεων παράλληλος θέσις, τὸ αὐτὸ σημαινουσῶν, οἷον ὀξεῖς καὶ ταχεῖς, ἀλλ᾽ οὐ νωθεῖς καὶ βραδεῖς· πᾶσαι γὰρ ἐν ταὐτῷ τὸ αὐτὸ σημαίνουσιν· ὀξεῖς μὲν καὶ ταχεῖς καταφατικῶς τὸ αὐτὸ σημαίνουσιν, νωθεῖς δὲ καὶ βραδεῖς τοὐναντίον, αἷς συνταχθὲν καὶ τὸ οὐ ἀποφατικὰς ἑαυτῶν ἐποίησε καὶ συμφώνους τοῖς προτέροις.

### β΄. ΠΑΛΙΛΛΟΓΙΑ.

Παλιλλογία ἐστὶ λέξις ἢ φράσις, τοῦ μὲν προηγουμένου κώλου κατάληξις, ἡ αὐτὴ δὲ τοῦ ἑπομένου γενομέ-

12 Greg. Epitaph. in Basil. M. p. 332. B.

νη ἀρχή. οἷον τό· „πάλιν Ἰησοῦς ὁ ἐμὸς,[1] καὶ πάλιν μυστήριον, μυστήριον οὐκ ἀπατηλὸν, οὐδὲ ἄκοσμον.“ τὸ γὰρ μυστήριον κατάληξις ὂν [2] τοῦ προτέρου κώλου, ἀρχὴ τοῦ δευτέρου ἐγένετο, καὶ δευτερολογίαν ἐποίησεν ἤτοι παλιλλογίαν.

### γ΄. ΑΝΑΔΙΠΛΩΣΙΣ.

Ἀναδίπλωσις δέ ἐστι λέξεως τῆς αὐτῆς ἅμα ἐπάλληλος προφορὰ, οἷον· „Κύριε, Κύριε, μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ·“ εἰ γίνεται ὁ αὐτὸς τύπος καὶ μεταξὺ ἐμβεβλημένης λέξεως, οἷον, „οὐκ ἔστι ταῦτα, οὐκ ἔστι·“ τὸ γὰρ ταῦτα μεσολαβοῦν οὐ καταλύει τὸ σχῆμα.

### δ΄. ΑΝΤΙΣΤΡΟΦΗ.

Ἀντιστροφὴ ἐναντία ἐστὶ τῇ ἐπαναφορᾷ, ὅτι εἰς τὸ αὐτὸ καταλήγει, οἷον· „θελῆσαι δεῖ μόνον, ὁρμῆσαι δεῖ μόνον.“

### ε΄. ΣΥΜΠΛΟΚΗ.

Συμπλοκή ἐστι σύνθεσις ἔκ τε τῆς ἐπαναφορᾶς καὶ τῆς ἐπαναστροφῆς· „ὧν ὡραῖοι μὲν οἱ πόδις εὐαγγελιζομένων εἰρήνην καὶ ἀγαθὰ, μεθ᾽ ὧν ἐληλύθατε, ὡραῖοι δὲ τὰ πρὸς ἡμᾶς, οἷς εἰς καιρὸν ἐληλύθατε.“ διὰ μὲν γὰρ τῆς τοῦ ὡραῖοι προσθήκης ἐν ταῖς τῶν κώλων ἀρχαῖς ἐποίησεν ἐπαναφορὰν, διὰ δὲ τῆς τοῦ ἐληλύθατε διπλῆς καταλήξεως τὴν ἀναστροφὴν, καὶ ἐν ἑκατέρῳ γὰρ κώλῳ τὰς αὐτὰς ἔχει ἀρχὰς, καὶ ἔτι τὰς αὐτὰς καταλήξεις.

### ϛ΄. ΕΠΑΝΟΔΟΣ.

Ἐπάνοδος γίνεται, ὅταν δύο τινὰ προθέντες κεκρυ-

---

1 Greg. Naz. Or. εἰς τὰ ἅγ. φῶτα init. 2 Cod. ἄν.

μένας ἔτι διανοίας ἔχοντα ἐπανίωμεν εἰς αὐτὰ καὶ σαφηνίζωμεν εὐκρινείας χάριν καὶ ποικιλίας, οἷον· „διττοῦ δὲ ὄντος λόγου παντὸς, καὶ τοῦ μὲν τὸ οἰκεῖον κατασκευάζοντος, τοῦ δὲ τὸ ἀντίπαλον καθαιροῦντος καὶ ἀνατρέποντος, καὶ ἡμεῖς τὰ οἰκεῖα ἐκθέμενοι πρότερον οὕτω τὰ τῶν ἐναντίων ἀνατρέψαι πειρασόμεθα.“

## ζ. ΚΛΙΜΑΚΩΤΟΝ.

Κλιμακωτὸν δέ ἐστιν ἄριστον καὶ πρόξενον κόσμου τοῖς συγγράμμασι. Χρώμεθα δὲ ἅπαξ πρεπόντως· σπανίως γὰρ χρῆσθαι προσήκει τοῖς ξενοπρεπέσιν, ἵνα μὴ τῇ καταχρήσει γίνωνται ὑπερκορῆ. Γίνεται δὲ τὸ κλιμακωτὸν, ὅταν ἐπὶ τὸ πλέον μηκύνοντες τὸ προκείμενον κεφάλαιον ἕκαστον κόμμα τὸ αὐτὸ τελευτὴν καὶ ἀρχὴν ποιώμεθα.[3] κατάληξιν μὲν πρότερον, ἀρχὴν δὲ τοῦ ἑπομένου, οἷον τό· „ἄληπτον[4] οὖν τὸ θεῖον, ἵνα θαυμάζηται, θαυμαζόμενον δὲ ποθῆται, ποθούμενον δὲ καθαίρῃ, καθαῖρον δὲ θεοειδεῖς ἀπεργάζηται.“

## ή. ΠΡΟΔΙΑΣΑΦΗΣΙΣ.

Προδιασάφησις γίνεται, ὅταν πεπληρωμένῳ λόγῳ ἐπενεχθῇ ὄνομά τι εἰς πλείονα διασάφησιν καὶ ἐντελῆ κατάληψιν τοῦ λεγομένου, οἷον τό· περινόει τι τῇ διανοίᾳ μεῖζον καὶ ὑψηλότερον· πλήρει γὰρ τῷ λόγῳ ἐπῆκται λέξις ἡ διάνοια εἰς ἔμφασιν μείζονα.

## θ΄. ΑΛΛΟΙΩΣΙΣ.

Ἡ ἀλλοίωσις ἤτοι ἡ ἐναλλαγὴ γίνεται κατὰ τρόπους, ὡς ἔφημεν, πλείονας· κατὰ γένος μὲν, οἷον· „τίμιον ἡ ἀρετὴ,“ ἤτοι ὁ ἐνάρετος· διὰ γὰρ τῆς ἀρετῆς τὸν ἔχοντα

---

3 Vat. ποιούμεθα. 4 Greg. Naz. Or. εἰς τὰ Θεοφ. p. 616. A.

τὴν ἀρετὴν ὁ λόγος δεδήλωκεν, ὅς ἐστιν ἑτερογενὴς τῇ ἀρετῇ· κατὰ δὲ τὸν ἀριθμὸν, οἷον· „μέγας ὁ καθελὼν Τροίαν,“ ἤτοι οἱ καθελόντες· κατὰ πτῶσιν, οἷον· „μῆνιν ἄειδε, θεὰ, ἣ μυρία ἄλγε' Ἀχαιοῖς ἔθηκε·“ μετέβη καὶ γὰρ εἰς εὐθεῖαν ἀπὸ αἰτιατικῆς· ἐνεργείας δὲ καὶ πάθη καὶ χρόνους, ὡς τό· „οὐκέτι μιγνύντες[5] ἀλλήλοις, ἤτοι μιγνύμενοι·“ καὶ „οἱ ἐκ γένους Ἡρακλέους κατάγοντες,“ καὶ αὖθις, „οἱ τὴν μεσόγεων κατῳκηκότες,“ καὶ, „παρέξομαι μάρτυρας,“ ἤτοι παρέξω, καὶ ἀπολαύσομαι ἤτοι ἀπόλαυσις· καὶ τὰ τοιαῦτα.

### ί. ΠΟΛΥΠΤΩΤΟΝ.

Πολύπτωτός ἐστι λόγος ὁ πολλῶν ἀντιλαμβανόμενος πτώσεων, οἷον τό· „ἐκείνων ἐσμὲν καὶ γένος καὶ μαθηταὶ, οὓς στύλος πυρὸς καὶ νεφέλη ὡδήγουν·“ ἐνταῦθα γὰρ ἀπὸ πτώσεως τῆς γενικῆς εἰς πτῶσιν αἰτιατικὴν μετηνέχθη.

### ιά. ΜΕΤΑΒΟΛΗ.

Μεταβολὴ ἡ τὸ αὐτὸ ὄνομα διαφόρως ἐξαγγέλλουσα, ὡς τό· „τίνος διώκοντος ἢ συναναγκάζοντος· τίνων ἱππέων ἢ ποίων κυνῶν;“

### ιβ΄. ΖΕΥΓΜΑ.

Ζεῦγμά ἐστι λέξις διάφορα κῶλα συνδέουσα ἢ μετ' αὐτὰ τιθεῖσα ἢ πρὸ αὐτῶν· οἷον τό· „τῶν μὲν τὸν λόγον, τῶν δὲ τὴν πρᾶξιν, τῶν δὲ τὸ πρᾷον μιμησάμενος.

### ιγ΄. ΠΑΡΟΝΟΜΑΣΙΑ.[6]

Παρονομασία γίνεται, ὅταν τι τῶν ληφθέντων εἰς

---

5 Respicit ad Thuc. I. 2. οὐκ ἐπιμιγνύντες. 6 Vat. παρωνομασία, bis.

διάνοιαν ὀνομάτων ἢ ῥημάτων βραχὺ μεταποιήσαντες ἑτέραν κινήσωμεν ἔννοιαν, οἷον, „οὐδὲ τὴν ὑλακὴν, ἀλλὰ τὴν φυλακὴν,“ ὃ καὶ

Παρήχησις ὀνομάζεται, οἷον τὸ παρὰ Δημοσθένει, „οὐκ αἰσχύνῃ Αἰσχίνῃ;“ καὶ παρὰ Πλάτωνι, „Πῶλε λῷστε,“[7] καὶ, „Παυσανίου παυσαμένου,“ καὶ πλεῖστα τοιαῦτα.

ιδ΄. ΟΜΟΙΟΤΕΛΕΥΤΟΝ.

Ὁμοιοτέλευτον δὲ τὸ ὁμοιοκατάληκτον, ὅταν διάφορα κῶλα τὴν αὐτὴν ἔχωσι κατάληξιν, οἷον τό· „Χριστὸς γεννᾶται, δοξάσατε, Χριστὸς ἐξ οὐρανῶν, ἀπαντήσατε·“ τὸ γὰρ δοξάσατε καὶ ἀπαντήσατε ταὐτοκατάληκτα.

ιε΄. ΠΑΡΙΣΟΝ.

Τὸ δὲ πάρισον γίνεται, ὅταν δύο ἢ πλείονα κῶλα μάλιστα μὲν καὶ τὰς συλλαβὰς ἴσας ἔχῃ· εἰ δ᾽ οὖν ἀλλὰ καὶ τὸ γένος καὶ τὸν ἀριθμὸν καὶ ἔτι τὸν χρόνον καὶ τὸν ῥυθμὸν, οἷον τό· „τίνα[9] τῶν ἀνθρώπων κινήματα, τίνα δὲ τῶν πιθήκων ὁρμήματα.“ εἴτι μὲν οὖν πάρισον, καὶ ὁμοιοκατάληκτον· οὐ μὴν εἴ τι ὁμοιοκατάληκτον, ἤδη καὶ πάρισόν ἐστι· τὸ μὲν γὰρ μόνας τὰς τελευταίας συλλαβὰς ὁμοίας ἔχει, τὸ δὲ ἐν πάσαις ἔχει τὰς συγκρούσεις καὶ ὁμοιώσεις.

ιϛ΄. ΟΜΟΙΟΠΤΩΤΟΝ.

Ὁμοιόπτωτον δέ ἐστι πτῶσις ἡ αὐτὴ κατὰ τοῦ αὐτοῦ ὑποκειμένου διαφόρως λεγομένη, οἷον· „ὦ περὶ[10] μὲν ἔργων τὰ μεγάλα ἀχρηστότατε, πρὸς δὲ τὴν ἐν λόγοις

---

7 Gorg. p. 467. B. 8 Sympos. p. 185. C. 9 Greg. Naz. Or. III. p. 102. 10 Aeschin. adv. Ctes. pag. 433. Bekker.

τόλμαν θαυμασιώτατε·“ τὸν γὰρ αὐτὸν καὶ ἕνα διὰ τῆς κλητικῆς περὶ λόγους μὲν θαυμαστὸν, περὶ δὲ ἔργα ἀχρεῖον ἐνέφηνεν.

## ιζ΄. ΑΣΥΝΔΕΤΟΝ.

Ἀσύνδετον δέ ἐστι τὸ χωρὶς τῶν συμπλεκτικῶν συνδέσμων ἴδια καθ᾽ ἑαυτὰ κομματικῶς ἐκφέρεσθαι τὰ κῶλα, ὁποῖον τό· „φθάνει ταχεῖς, σφάλλει συνετοὺς, συστέλλει ὑψηλούς.“

## ιη΄. ΑΝΤΙΘΕΤΟΝ.

Τὸ ἀντίθετον κατὰ πλείονας γίνεται τρόπους· ἕνα μὲν, ὅτε τὰ ἀντικείμενα ὀνόματα λαμβάνηται, οἷον τό· „τιμῶσι μᾶλλον τοὺς ἀδίκους πλουτοῦντας, ἢ τοὺς δικαίους πενομένους.“ καθ᾽ ἕτερον δὲ τρόπον, ὅτε ἀντιδιαστέλλεται κατάφασις ἀποφάσει, οἷον· „σὺ μὲν ἔλαβες, ἐγὼ δὲ οὐκ ἔλαβον·“ τὸ μὲν γὰρ καταφαίνεταί τις, τὸ δὲ ἀποφαίνεταί τι· καὶ ἔτι· „πάλιν τὸ σκότος λύεται, πάλιν τὸ φῶς ὑφίσταται·“ ἐναντιότης γὰρ ἐντεῦθεν αὖθις φωτὸς πρὸς σκότος.

## ιθ΄. ΣΥΓΚΡΙΣΙΣ.

Σύγκρισις γίνεται, ὅταν ταῖς αὐταῖς λέξεσι χρώμεθα παραβάλλοντες πρόσωπον πρὸς πρόσωπον, ἢ πρᾶγμα πρὸς πρᾶγμα, ὁποῖον τὸ, „Λὼτ, ὁ Σοδομίτης καὶ οὐ Σοδομίτης τὸν τρόπον.“ τὸ γὰρ Σοδομίτης τέθεικεν ἐνταῦθα δεικτικῶς ὡς τοπικόν· ἀλλ᾽ ἐπεὶ μόνος τῶν πάντων ἐσώζετο διὰ τὴν ἀρετὴν, μέγιστον εἰς θαῦμα δύναται ἡ τοῦ τοπικοῦ προςθήκη, ὅσῳ μόνος ἐν τοσούτοις ἀναστρεφόμενος οὐκ ἐχράνθη, ἀλλὰ πεφύλακται. Τούτῳ τῷ σχήματι ἔοικε καὶ ἡ

Ἀντίθεσις καὶ ἡ ἀντιβολὴ, οἷον· „εἰ μὲν θεὸς, οὐ κτίσμα, εἰ δὲ κτίσμα, οὐ θεός·“ ἀντιτίθησι γὰρ ἑκάτερα,

καὶ τὰ ἐν πρώτοις κώλοις ἄλλως τεθέντα ὑπεναντίως ἐν τοῖς δευτέροις ἐτέθη.

κ'. ΑΝΤΕΝΑΝΤΙΩΣΙΣ.

Ἡ δ' ἀντεναντίωσις γίνεται, ὅταν εἰπεῖν τι βουλόμενοι διὰ τοῦ ἐναντίου δηλῶμεν· „ἴσως οὐ τῶν πολλῶν ἐγενόμην φαυλότερος, δηλονότι καὶ μᾶλλον σπουδαιότερος.“ καὶ ἀλλαχοῦ· „ἄληθες, καλῶς τυγχάνεις διακείμενος πρὸς ἡμᾶς,“ ἀντὶ τοῦ κακῶς.

κά. ΠΡΟΑΠΑΝΤΗΣΙΣ.

Προαπάντησις δὲ, ὅταν δύο τινὰ θέντες πρὸς τὸ λεχθὲν ὑστέρως, ἀπαντήσωμεν πρότερον, οἷον τό· „καλὸν τὸ προσευχὴ καὶ νηστεία καὶ ἀγρυπνία.“ καί· „πειθέτω σὲ Ἰησοῦς, ἀγρυπνῶν πρὸ τοῦ πάθους καὶ προσευχόμενος· πρὸς γὰρ τὸ ὑστέρως ῥηθὲν ὑπήντησε, τὴν ἀγρυπνίαν λέγω.“

κβ'. ΥΠΑΛΛΑΓΗ.

Ὑπαλλαγὴ δὲ γίνεται, ὅταν ἐπιτιμήσαντες τῷ πρώτῳ ὀνόματι ἕτερον προσλάβωμεν, οἷον, „εἴ τις τὸν ἐρῶντα φιλάνθρωπον λέγει. ἐρεῖ γάρ τις, ὡς οὐκ ἔστι τόδε φιλανθρωπία, ἀλλ' ἔρως, καὶ ἔτι οὐκ ὠργίζετο ἀλλ' ἐμαίνετο, εἴ τις τὸν ἀπόπληκτον λέγει θυμοῦσθαι.

κγ'. ΠΕΡΙΦΡΑΣΙΣ.

Περίφρασις δὲ, ὅταν τὸ διὰ μιᾶς λέξεως ῥηθῆναι δυνάμενον διὰ πλειόνων ἐκφέρηται, ὅταν βίη Ἡρακλείη δηλονότι ἡ Ἡρακλέους ἰσχύς· καὶ μένος Ἀλκινόοιο, ἤγουν ἡ τοῦ Ἀλκινόοιο προθυμία καὶ Θηβαίων ἄνοια, ἤγουν οἱ ἄγνωστοι Θηβαῖοι.

## κδʹ. ΥΠΕΡΒΑΤΟΝ.

Ὑπερβατὸν δὲ, ὅταν τῆς συνεχείας τοῦ νοήματος διακοπείσης ὑπὸ μεταξυλογίας ἐκβληθείσης ἕτερον ἀποδοθῇ τὸ λεῖπον· οἷον κατὰ ταῦρον ἐδηδὼς, καὶ ἀνὰ δ' ὁ πτολίπορθος Ὀδυσσεὺς ἔστη· τὸ γὰρ ἀνὰ ὀφείλει συγκεῖσθαι τῷ ἐδηδὼς, ἵνα σημαίνῃ τὸ καταφαγεῖν τὸν ταῦρον, ἐπεὶ οὕτως τὸ ὁμοίως τῷ ταύρῳ τρώγειν ἐμφαίνει. ἐπὶ τοῦ δευτέρου ὡσαύτως ἡ ἀ ν ά τις ἔ σ τ η ὀφείλει συγκεῖσθαι, ἵν' ᾖ, ὅτι ἀνέστη ὁ Ὀδυσσεύς. καὶ ἔτι, ἄπ' ἐμ' ὀλεῖς, ἤγουν ἀπολεῖς ἐμέ· καὶ ἐμοῦ πέρι, ἤγουν περὶ ἐμοῦ· καὶ ἐμοῦ μέτα, ἤγουν μετ' ἐμοῦ.

# XIV.

## ΑΝΩΝΥΜΟΥ

## ΠΕΡΙ ΠΟΙΗΤΙΚΩΝ ΤΡΟΠΩΝ.[1]

Τούτοις ἑπομένως καὶ περὶ ποιητικῶν λεγέσθω τρόπων· ποιητικοὶ δὲ λέγονται, οὐχ ὅτι παρὰ ποιηταῖς μόνοις γράφονται, ἀλλ' ὅτι τὴν κοινὴν ὑπερβαίνοντες συνήθειαν παρ' αὐτοῖς μᾶλλον πλεονάζουσιν· ὡς γὰρ φιλόσοφοι πάντως καὶ μεῖζον ἔχοντες ὀνομάτων ἄλλων καὶ τοὺς αὐτῶν ἐξόχους σχημασί τισι ποικίλλειν ἐπετήδευον, καὶ ἀπὸ τοῦ χθαμαλοῖ ἐξαίρειν ἔσπευδον· ὀνομάζεται μὲν οὖν οὕτω καθολικῶς ὡς ἐκ τῶν κατὰ φύσιν πραγμάτων μετακινούμενοι ἐφ' ἕτερα· ὀνομάζονται δὲ καὶ ἰδίως οὕτως· ἀλληγορία, μεταφορὰ, κατάχρησις, μετά-

1 Cum hoc libello, quem e Codice Vaticano 1405. descripsi, conjunxi alium, aliquanto discrepantem, quem Jos. Rhacendyta in σύνοψιν ῥητορικῆς recepit. Hujus Codices notandi: Ven. Class. VIII. Cod. 18. Med. 1. [Plut. 58. 2.] Med. 2. [Plut. 58. 21.] Med. 3. [Plut. 58. 1.] Incipit: Τρόπος [Med. 3. τρ. δὲ] ἐστὶ λέξις ἢ φράσις ἐκ τῶν κατὰ φύσιν αὐτῆς κινηθεῖσα· εἰσὶ δὲ τρόποι ποιητικοὶ κυρίως εἴκοσι τέσσαρες. ἀλληγορία κ. τ. λ. [Med. 3. ἀλληγορία ponit post μετωνυμία, sed in expositione eundem ordinem sequitur.]

ληψις, μετωνυμία, αἴνιγμα, συνεκδοχὴ, ὀνοματοποιΐα, σύλληψις, παραπλήρωμα, ὑπερβολὴ[2], ἔλλειψις, πλεονασμὸς, ἀντίφρασις,[3] ἐξοχὴ, προσωποποιΐα, παραβολὴ, ἀνταπόδοσις, παράδειγμα, ἀντονομασία[4] καὶ εἰρωνεία.[5]

α΄. ΑΛΛΗΓΟΡΙΑ.

Ἔστι[6] μὲν οὖν ἀλληγορία λέξις ἕτερον μὲν[7] λέγουσα, ἑτέρου δὲ ἔννοιαν παριστῶσα, ὡς τὸ πρὸς τὸν ὄφιν εἰρημένον· „ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν θηρίων.“ ἀλληγορικῶς ἐπὶ τοῦ νοητοῦ ὄφεως, τοῦ διαβόλου, λαμβανόμενον.

β΄. ΜΕΤΑΦΟΡΑ.

Μεταφορὰ δέ[8] ἐστι μέρος λόγου ἀπὸ τοῦ κυρίως λεγομένου μεταφερόμενον ἐφ᾽ ἕτερον[9] ὁμοιώσεως ἢ ἐμφάσεως ἕνεκα. εἴδη[10] δὲ αὐτοῦ τέσσαρα. ἀπὸ ἐμψύχου εἰς

2 Med. 3. καὶ ὑπερβολή. Sqq. ἔλλειψις — εἰρωνεία om. 3 Vat. ἀντίφασις, h. l. et infra nr. ιδ΄. 4 Ven. ἀντωνομασία. 5 Rhacend. h. l. ponit: λέγονται δὲ ποιητικοὶ, διότι παρὰ τοῖς ποιηταῖς πλεονάζουσι, τὴν κοινὴν συνήθειαν ὑπερβαίνοντες. 6 Ven. Ἀλληγ. τοίνυν ἐστὶ λέξις. Med. 3. ἀλληγορία ἐστί φράσις, ἕτερον μέντοι κυρίως δηλοῦσα, ἑτέρου δὲ ἔννοιαν παριστῶσα, οἷον, λῦσε δὲ παρθενίην ζώνην ἀντὶ τοῦ ἔφθειρεν. 7 Ven. ἕτερόν τι λέγ. καὶ ἑτέρου ἐνν. π. ὡς τὸ εἰρημένον ὑπὸ τοῦ θεοῦ πρὸς τὸν ὄφιν — θηρίων. [Gen. III. 14.] ὁ γὰρ λόγος ὡς πρὸς τὸν ὄφιν ἐστὶν, ἐπὶ δὲ τὸν διάβολον αὐτὸν ἀλληγορικῶς ὄφιν λεγόμενον ἐκλαμβάνομεν. 8 δὲ Ven. om. — Vat. ἐστὶν μέρος. 9 ἐφ᾽ ἕτερον Ven. om. 10 Rhac. τῶν δὲ μεταφορῶν εἴδη τέσσ. ἀπὸ ἐμψύχου εἰς ἔμψυχον, καὶ ἀπὸ ἐμψύχου εἰς ἄψυχον, καὶ ἀπὸ ἀψύχου εἰς ἄψυχον, καὶ ἀπὸ ἀψύχου εἰς ἔμψυχον. ἀπὸ μὲν ἐμψ. εἰς ἔμψυχον, ὡς ὅταν τις τὸν βασιλέα ποιμένα λέγῃ λαῶν, ποιμὴν γὰρ κυρίως ὁ τῶν προβάτων λέγεται νομεὺς, καὶ ἀμφότεροι ἔμψυχοι, ἀπὸ δὲ ἐμψύχου εἰς ἄψυχον, ὅταν τὴν ἀκρωρείαν τοῦ ὄρους κορυφὴν ὄρους εἶναι λέγῃ· κορυφὴ γὰρ ἐπὶ ἐμψύχου κυρίως λέγεται. ἀπὸ δὲ ἀψύχου εἰς ἄψυχον, ὡς

ἔμψυχον· οἷον εἰ λέγομεν τὸν βασιλέα ποιμένα μεταφορικῶς ἐκ τοῦ τῶν προβάτων ποιμένος· ὅ τε γὰρ ποιμὴν, ὅ τε βασιλεὺς ἔμψυχα καὶ ἄμφω· ἀπὸ ἐμψύχου εἰς ἄψυχον· οἷον εἰ τὴν τοῦ ὄρους ἀκρώρειαν κορυφὴν λέγοιμεν ὄρους· ἐπὶ γὰρ ἀνθρώπου κυρίως λαμβάνεται ἡ κορυφὴ, ὅς ἐστιν ἔμψυχον· τὸ δ' ὄρος ἄψυχον. ἀπὸ ἀψύχου εἰς ἄψυχον· οἷον εἰ κρίψας τις ἐν σποδιᾷ ἄνθρακας πυρὸς, σπέρμα λέγοι πυρὸς φυλάττειν, ὃ λαμβάνεται ἐπὶ σίτου καὶ τῶν ὁμοίων, ἅτινα ἄψυχά ἐστι καὶ τὸ πῦρ ὅμοιον· ἢ εἰ λέγει, ὅτι διεχεῖτο ἡ φλόξ. τὸ γὰρ διαχεῖσθαι κυρίως τοῖς ὑγροῖς συμβαίνει, ἀφ' ὧν μεταφορικὰ καὶ ἐπὶ τοῦ πυρὸς λαμβάνεται. ἀπὸ δὲ ἀψύχου εἰς ἔμψυχον· οἷον εἴ τις ἀδαμάντινον λέγει τὸν ἀνδρεῖον καὶ ἀνένδοτον· ὁ γὰρ ἀδάμας ἄψυχον, ὁ δὲ ἄνθρωπος ἔμψυχος.

## γ'. ΚΑΤΑΧΡΗΣΙΣ.

Κατάχρησίς ἐστι[11] φράσις μετενεχθεῖσα ἀπὸ τοῦ πρώτως κατονομασθέντος κυρίως, ὡς εἴ τις[12] λέγει πυξίδα τὴν ἐκ χαλκοῦ κατεσκευασμένην·[13] μόνη γὰρ κυρίως ἡ ἐκ πύξου μετουσιαστικῶς πύξις ὀνομάζεται. ὁμοίως λέγομεν καὶ ἐπὶ[14] τοῦ κεραμείου τράχηλον, καὶ γόνυ κα-

---

ὅταν τις ἄνθρακα πυρὸς ἐν σποδῷ κρύψας λέγῃ σπέρμα πυρὸς διακρύψασθαι, [Med. 1. addit: ἢ εἴπῃ, διεχεῖτο ἡ φλὸξ, τὸ γὰρ χεῖσθαι τοῖς ὑγροῖς συμβέβηκεν. Ibid. ad marg. γρ. ἢ εἴπῃ, πολλὴ ἐκκέχυται τῇ ὕλῃ φλόξ.] ἀπὸ δὲ ἀψύχου ἐπὶ ἔμψυχον, ὡς τὸ, ἡ θάλασσα εἶδε καὶ ἔφυγε, τὸ γὰρ ὁρᾶν καὶ φεύγειν ἐπὶ ἐμψύχων κυρίως λέγεται, ἡ δὲ θάλασσα ἄψυχός ἐστι. 11 Ven. δέ ἐστι φράσις. Vat. φάσις. 12 Ven. οἷον ὡς ὅταν λέξωμεν. 13 Ven. κατασκευασθεῖσαν· κυρίως γὰρ πυξὶς, ἡ ἐκ πύξου καλεῖται, καὶ ὁ ἀνδροφόνος κυρίως ὁ ἄνδρα φονεύσας· καταχρηστικῶς δὲ καὶ ὁ γυναῖκα ἢ καὶ παῖδα φονεύσας· τοιοῦτόν ἐστι καὶ τὸ τράχηλος κεραμείου, καὶ γόνυ καλάμου, καὶ γαστὴρ νηὸς, καὶ γλῶσσα ὑποδήματος, καὶ ψηφίζειν τὸ τοῖς δακτ. 14 Vat. ἐπεί. scr. ἐπί.

λάμου, καὶ γαστέρα νηὸς, καὶ γλῶσσαν ἐμβάδων. καὶ ἔτι ψηφίζειν τὸ δακτύλοις μετρεῖν. διαφέρει δὲ κατάχρησις μεταφορᾶς, ὅτι ἡ μὲν μεταφορὰ ἀπὸ κατωνομασμένου ἐπὶ κατωνομασμένον[15] γίνεται, ἡ δὲ κατάχρησις ἀπὸ κατωνομασμένου ἐπὶ ἀκατονόμαστον.

### δ'. ΜΕΤΑΛΗΨΙΣ.

Μετάληψίς ἐστι[16] λέξις διὰ[17] τῆς συνωνύμου τὸ ὁμώνυμον δηλοῦσα, οἷον Τεῦκρος δὲ τόξων φειδωλός ἐστιν·[18] εἶτ' εἰπεῖν, ὡς ἄριστος περὶ τὸ τοξεύειν· τῇ γὰρ φειδωλίᾳ συνωνυμεῖ ἡ κατὰ δόσιν ἀκρίβεια, τῇ δὲ[19] ὁμωνυμεῖ ἡ κατὰ τέχνην ἀκρίβεια, ἤγουν ἡ εὐστοχία.

### ε'. ΜΕΤΩΝΥΜΙΑ.

Μετωνυμία δέ ἐστι[20] λέξις διὰ τῆς ὁμωνυμίας τὸ συνώνυμον δηλοῦσα· οἷον ὄμβριμος Ἄρης,[21] δηλονότι ἰσχυρὸς πολέμοις, ὡσαύτως καὶ τὸν οἶνον Διόνυσον ἢ τὸν Διόνυσον οἶνον.

### ς'. ΑΙΝΙΓΜΑ.

Αἴνιγμα δέ ἐστι φράσις ἐπιτετηδευμένη εἰς ἀσάφειαν, ὥστε[22] ἐπικρύπτειν τὸ νοούμενον· οἷον τὸ ζυγὸν

---

15 Ven. κατωνομασμένου πάλιν γίν. 16 Ven. δέ ἐστι. 17 διὰ Vat. om., recepi ex Ven. 18 ἐστὶν — τοξεύειν Ven. om. 19 τῇ δὲ ὁμωνυμεῖ ἡ κατὰ τέχνην ἀκρίβεια Ven. om., est in Med. 1. 2. 3. 20 Vat. ἐστιν. 21 Ven. Ἄρης, ἀντὶ τοῦ ὁ σίδηρος, καὶ τὸν οἶνον Διόνυσον καὶ τὸν Διόν. Med. 1. ad marg. γρ. ἐν ἄλλῳ οὕτως τοῦ Γεωργίου τοῦ Χοιροβοσκοῦ. Μετωνομασία δέ ἐστιν, ὅταν ἐκ τῶν περιεχόντων τὰ περιεχόμενα μετονομάσωμεν, κατὰ τὸ εἰρημένον· παιδεύθητε πάντες οἱ κρίνοντες τὴν γῆν, ἀντὶ τοῦ ἐν τῇ γῇ· ἢ ἐκ τῶν οἰκούντων τὰ οἰκούμενα, ὡς ὅταν τις τὴν ἀσέλγειαν Σοδομικὴν εἴπῃ ἐργασίαν, καὶ γὰρ ἐκ τῶν οἰκούντων τότε ἀσελγῶν τὰ Σόδομα τὸν σχετλιασμὸν ἐπιφέρεται. 22 Ven. ἐπικρύπτουσα

μὴ ὑπέρβαινε ἤγουν μὴ κατάλυε τὸ δίκαιον ἢ παράτρεχε· καὶ ἔτι γαμψώνυχας μὴ τρέφειν, ἤγουν μὴ σιτίζειν ἅρπαγας, καὶ μελανούρων μὴ γεύσεσθαι, ἤγουν μὴ προσίεσθαι τὸ ψεῦδος· τοῦτο γὰρ ἔσχατον ἀμαυροῦται, καὶ[23] τὸν ψευδόμενον συναμαυροῖ· μαχαίρᾳ πῦρ μὴ σκαλεύειν, ἤγουν θυμούμενον μὴ προσερεθίζειν·[24] διαφέρει δὲ αἴνιγμα ἀλληγορίας· ὅτι ἐκείνη μὲν γίνεται προτροπῆς ἢ ἀποτροπῆς ἕνεκα· ἢ καὶ διὰ σεμνότητα·[25] τὸ αἴνιγμα δὲ χάριν ἀσαφείας ἐπιτετηδευμένης[26] μόνης.

## ζ. ΣΥΝΕΚΔΟΧΗ.

Συνεκδοχή ἐστι[27] φράσις ἢ λέξις οὐ[28] κατὰ τὸ πλῆρες ἐκφερομένη, προσδεομένη δέ τινος ἔξωθεν· εἰσὶ[29] δὲ ταύτης διαφοραὶ δώδεκα· ἡ μὲν γὰρ ἀπὸ ὅλου δηλοῖ

---

τὸ ν., οἷον ζυγὸν μὴ ὑπερβαίνειν, ἀντὶ τοῦ τὸ δίκαιον, καὶ γαμψ. μὴ τρ., ἀντὶ τοῦ ἅρπαγας, μελάνουρον μὴ ἐσθίειν ἀντὶ τοῦ ψεῦδος μὴ προσίεσθαι. 23 καὶ τὸν ψ. συναμαυροῖ Ven. om. 24 Ven. μαχαίρῃ πῦρ μὴ σκ., ἀντὶ τοῦ προθυμούμενον μὴ προσερεθίζειν· [Vat. προερεθίζειν] διαφ. δὲ τὸ αἴνιγμα τῆς ἀλληγ. 25 Ven. ἡ δὲ σεμνότητος. 26 ἐπιτετηδευμ. Ven. om. 27 Ven. δέ ἐστι. 28 οὐ Vat. om., recepi ex Ven. 29 Ven. ἔχει δὲ διαφορὰς δώδεκα· ἡ μὲν γὰρ ἀπὸ τοῦ ὅλου δηλοῖ τὸ μέρος, ἡ δὲ ἀπὸ μέρους τὸ ὅλον· ἀπὸ τῆς ὕλης τὸ ἀποτέλεσμα, ἀπὸ τοῦ ἑπομένου τὸ προηγούμενον, ἀπὸ τοῦ ἡγουμένου τὸ ἀκόλουθον, ἀπὸ τοῦ συμβαίνοντος τὸ προηγούμενον, ἀπὸ γένους τὸ εἶδος, ἀπὸ εἴδους τὸ γένος, ἀπὸ τῶν πολλῶν τὸ ἕν, καὶ ἀφ' ἑνὸς τὰ πολλά, ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον, καὶ ἀπὸ τοῦ περιεχομένου τὸ περιέχον, καὶ ἀπὸ ὅλου μὲν τὸ μέρος, οἷον βόας αὔας [Il. μ. 137.] ἀντὶ τοῦ ἀσπίδας τὰς ἐκ βοείων βυρσῶν· μέρος γὰρ τοῦ ὅλου βοὸς ἡ βύρσα· ἀπὸ μέρους το ὅλον, λευκώλενος Ἥρα, αἰνίττεται γὰρ ἀπὸ μέρους τῶν χειρῶν, τὴν ὅλην λευκὴν εἶναι· ἀπὸ τῆς ὕλης τὸ ἀποτέλεσμα, οἷον χρυσὸν δ' αὐτῆς ἔνδυνε περὶ χροΐ, ἀντὶ τοῦ χρυσῆν πανοπλίαν. ἀπὸ τοῦ συμβ. τὸ προηγ., οἷον,

Ἑζόμενοι λεύκαινον ὕδωρ ξεστῇς ἐλάτῃσιν. [Od. μ. 172.]

τὸ μέρος· ὡς ὅταν βόας αὔας ὀνομάζω τὰς ἐκ βοείων βυρσῶν κατεσκευασμένας ἀσπίδας· μέρος γὰρ βοὸς ἡ βύρσα· ἀπὸ μέρους τὸ ὅλον, ὡς λευκώλενος Ἥρα· ἀπὸ γὰρ μέρους τοῦ τῶν χειρῶν, λέγω τῆς ἀγκάλης, τὴν ὅλην αἰνίττεται εἶναι λευκήν· ἀπὸ τῆς ὕλης τὸ ἀποτέλεσμα, ὡς τὸ χρυσὸν δ᾽ αὐτῆς ἔνδυνε περὶ χροΐ, ἤγουν χρυσῆν πανοπλίαν. ὕλη γὰρ ἐγένετο τῶν ὅπλων ὁ χρυσός· ἐπεὶ ἄλλως οὐκ ἦν αὐτῇ ὅπλον γυμνὸς ὁ χρυσός· ἀπὸ τοῦ συμβαίνοντος τὸ προηγούμενον· ἀρυόμενοι[30] δὲ λεύκαινον ὕδωρ ξέστησεν. ἀπὸ τοῦ συμβόλου τὸ κύριον.[31] οἷον εἴ τις τὴν βασιλείαν σκῆπτρον καλεῖ· ἀπὸ τοῦ προηγουμένου τὸ ἀκόλουθον, οἷον λῦσε δὲ παρθενικὴν ζώνην διακορισθεῖσα.[32] ἀπὸ τοῦ ἀκολούθου τὸ προηγούμενον, οἷον ἐναρίζειν[33] καλεῖ τὸ σκυλεύειν· ἐν γὰρ ταῖς λείαις πολλὰ καίνειν καὶ διχάζειν συμβαίνει· ἀπὸ γένους τὸ εἶδος, ὡς τὸ ζῶον ἐνταῦθα οἰκονομούμενον καὶ ἀλλαχοῦ μεθιστάμενον λέγων τὸν ἄνθρωπον, ὃς εἶδός ἐστι τοῦ ζώου· ἀπὸ εἴδους τὸ γένος, ἢ τοῦ ἰδίου, ὡς ὅταν γελῶν εἴπω τινά· δῆλον γὰρ ἄνθρωπον εἶναι ἐκεῖνον· ἀνθρώπου γὰρ μόνον τὸ γελαστικόν· ἢ ἀπὸ τῶν πολλῶν τὸ ἕν· ὡς τὸ στήθεα μαρμαίροντα· ἀφ᾽ ἑνὸς τὰ πολλά, ὡς τὸ πέρσεν Ὀδυσσεὺς[34] ἱερὸν πτολίεθρον Τροίης. ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον, ὡς τὸ, πᾶσα ἡ πόλις ἐταράχθη, δηλονότι[35] οἱ ἐν τῇ πόλει ἄνθρωποι. ἀπὸ τοῦ περιεχομένου τὸ περιέχον, οἷον τό· „οἶκος Ἰσραὴλ, εὐλογήσατε τὸν Κύριον.

---

30 Vat. ἀῤῥυόμενοι. 31 Vat. κῦρος. Ven. κύριον, οἷον σκῆπτρον τὴν βασιλείαν. 32 διακορισθ. Ven. om. 33 Ven. ἐναρίζω τὸ σκυλεύω. ἀπὸ τοῦ γένους τὸ εἶδος, ὡς τὸ ζῶον ἐνταῦθα οἰκονομούμενον. ἀπὸ τοῦ εἴδους τὸ γένος, ὡς τὸ ἀΐω τὸ αἰσθάνομαι· ἀπὸ τῶν πολλῶν. 34 Vat. Ὀδυσεύς. Ven. Ὀδυσσεύς. 35 δηλονότι — ἄνθρωποι Ven. om.

## ή. ΟΝΟΜΑΤΟΠΟΙΙΑ.

Ὀνοματοποιΐα ἐστὶ[36] λέξις ἢ μέρος λόγου πεποιημένον κατὰ μίμησιν τῶν ἀποτελουμένων ἤχων,[37] ὡς καταχλευασμὸς ἡ ζέοντος λέβητος ἠχὼ, καὶ ἐπὶ πυρὸς τὸ παφλάζειν, καὶ κότταβος ἀσπίδων καὶ πάταγος ἀνέμου, καὶ ἦχος ἐπὶ βροντῆς καὶ τὰ τοιαῦτα.

## θ'. ΣΥΛΛΗΨΙΣ.

Σύλληψίς ἐστι[38] φράσις τὸ ἄλλως πραχθὲν ἐφ' ἕτερον ἕλκουσα, ὡς[39] τό·

Βοῤῥᾶς καὶ Ζέφυρος, τώ τε Θρᾴκηθεν[40] ἄητον·

μόνος

36 Ven. δέ ἐστι. 37 Ven. pergit: ἢ φωνῆς, οἷον φλοῖσβος θαλάσσης, καὶ [Med. 1. 2. καὶ om.] καχλασμὸς λέβητος, παφλάζον πῦρ. tum Rhacend. addit: Ἡ περίφρασις δὲ καὶ τὸ ὑπερβατὸν καὶ ἡ ἀναστροφὴ ἐν τοῖς σχήμασι τῆς λέξεως εὑρισκόμεναι καὶ παρὰ τοῖς ῥήτορσιν ἐτέθησαν. — Med. 1. ad marg. habet: Γεώργιος ὁ Χοιροβοσκὸς ἄλλως λέγει· ὀνοματοποιΐα δέ ἐστι λέξις κ. τ. λ. usque ad ἐτυμολογεῖται ἡ φωνή. Περίφρασις δέ ἐστιν ἡ διὰ πλειόνων ἕν τι σημαίνουσα, οἷον ἀντὶ τοῦ εἰπεῖν· μὰ τὸν θεὸν, εἴποι τις, τὴν φοβερὰν δύναμιν τοῦ θεοῦ, οὐδὲν γὰρ πλέον ἐσήμανεν εἰ μὴ τὸν θεόν. Ὑπερβατὸν δέ ἐστι λέξις ὑπερβαίνουσα, ἐκ τοῦ προηγουμένου αὐτὸ ἑπόμενον, ὡς ὅταν τις ἀντὶ τοῦ εἰπεῖν, ἐπικαλοῦμαι τὸν κύριον, εἴποι, ἐπὶ τὸν κύριον καλοῦμαι. Ἀναστροφὴ δέ ἐστι λέξις ἀναστρέφουσα ἐκ τοῦ ὑποκειμένου εἰς τὸ προκείμενον, μηδενὸς μέρους λόγου μεταξὺ πίπτοντος· οἷον ἀντὶ τοῦ εἰπεῖν· ἕως ἡμῶν ἐλθὲ, εἴπωμεν, ἐλθὲ ἕως ἡμῶν. Παραπλήρωμα οὐκ ἔχει ὁ Χοιροβοσκὸς, ἔχει δὲ ἕτερόν τινα τρόπον ποιητικὸν, ἐπανάληψιν αὐτὸν ὀνομάζων, ὅστις ἐνταῦθα μὲν οὐχ εὑρίσκεται, ταὐτὸν δέ μοι δοκεῖ δηλοῦν τῷ παραπληρώματι τουτῳΐ. ἐπανάληψις δέ ἐστι λέξις δὶς παραλαμβανομένη ἐπιτάσεως χάριν, ὡς ὅταν τοῦ ἐγνωσμένου ἡμῖν πράγματος τὴν εἴδησιν διαβεβαιούμενός τις εἴπῃ· οἶδα, οἶδα τὸ πρᾶγμα, διότι οἶδα λέγων· ἢ πταίσματος ἐπίτασιν σημαίνων εἴπῃ, κακὸν τὸ ἁμάρτημα. 38 Ven. δέ ἐστι. 39 Ven. οἷον sine τό. 40 Ven. Θρήκηθεν. Il. ι. 5.

μόνος γὰρ Βοῤῥᾶς[41] ἀπὸ Θρᾴκης πνεῖ· ἐνέφηνε δὲ διὰ τοῦ ἀδυνάτου τὴν τότε ταραχὴν τῶν ἀνέμων καὶ τὸ ἀνώμαλον.

### ί. ΠΑΡΑΠΛΗΡΩΜΑ.

Παραπλήρωμα δέ ἐστι λέξις ἐκ περισσοῦ κειμένη,[42] κόσμου χάριν ἢ μέτρου, ὡς[43] τὸ,

Πάνδαρος, ᾧ καὶ τόξον Ἀπόλλων αὐτὸς ἔδωκε.

καὶ[44] γὰρ ἐνταῦθα ἀργῶς κεῖται ὅ τε καὶ σύνδεσμος, καὶ ἡ αὐτὸς ἀντωνυμία εἰς[45] παραπλήρωσιν κόσμου χάριν.

### ιά. ΥΠΕΡΒΟΛΗ.

Ὑπερβολή δέ ἐστι λόγος ὑπεραίρων τὴν ἀλήθειαν, ἐμφάσεως ἢ ὁμοιώσεως ἕνεκα· ἐμφάσεως μὲν, ὁποῖον[46] τὸ ἐπ' ἄκρων ἀνθερίκων θέον, οὐδὲ κατέκλων. καὶ ἔτι[47] ταχύτερος ἀνέμου καὶ λευκότερος χιόνος· ταυτὶ[48] μὲν γὰρ οὐκ ἀληθῆ, ἔμφασιν δὲ ὅμως ἔχουσιν ὑπερβολῆς· ὁμοιώσεως δὲ, οἷον ἀδαμάντινος ἦν τὸ σῶμα, ἀνδριὰς τὴν καρτερίαν, κιὼν[49] τὴν εὐθύτητα τοῦ σώματος, φοῖνιξ τὸ μῆκος, ἀστὴρ τὴν αὐγὴν τοῦ κάλλους, ἅπερ οὐκ ἄλλως ἀληθῆ, εἰ μὴ μόνην ὁμοίωσιν σώζοντα πρὸς αὐτά.

### ιβ'. ΕΛΛΕΙΨΙΣ.

Ἔλλειψις δέ ἐστι λόγος, μὴ[50] κατὰ τὸ πλῆρες ἐκφε-

41 Ven. ὁ Βοῤῥᾶς. — Sqq. ἐνέφηνε — ἀνώμαλον Ven. om. 42 κειμένη Ven. post μέτρου ponit. 43 Ven. οἷον sine τό. 44 Ven. περισσεύει γὰρ ὁ καὶ σύνδ. 45 εἰς παραπλ. κόσμου χάριν Ven. om. 46 Ven. οἷον ἄκρων ἐπ' ἀνθερ. Il. υ. 227. 47 ἔτι Ven. om. 48 ταυτὶ — ὑπερβολῆς Ven. om. 49 Ven. κιὼν δὲ, tum φοῖνιξ δὲ, ἀστὴρ δέ. 50 Ven. ὁ μή.

ρόμενος· παρέχων δὲ νοεῖν τὸ ἑπόμενον, ὡς[51] τὸ ἀγαθὸν, ἐλπίζειν ἐπὶ κύριον· τὸ[52] γὰρ ἐστὶν ἐλλειπτικῶς νοεῖται, καὶ[53] ἀναστάσεως ἡμέρα καὶ τὰ τοιαῦτα.

### ιγ΄. ΠΛΕΟΝΑΣΜΟΣ.

Πλεονασμὸς δ' ἐστὶν[54] λέξις πλεονάζουσα μὲν, μηδὲν μέντοι σημαίνουσα πλέον· προςτίθεται δὲ κόσμου ἢ μέτρου χάριν, οἷον, ὁ μὲν δὴ Πέρσης καὶ τὸ ἔναντι καὶ ἐναντίον.

### ιδ΄. ΑΝΤΙΦΡΑΣΙΣ.

Ἀντίφρασις δέ ἐστι λόγος δι' ἐναντίου τὸ ἐναντίον σημαίνων, ὡς ὅταν τις τὸν τυφλὸν βλέποντα λέγῃ.[55]

### ιε΄. ΕΞΟΧΗ.

Ἐξοχὴ δέ ἐστι λόγος ὁ μετὰ τὴν κοινὴν σημασίαν, εἰδικῶς[56] καθ' ὑπεροχήν τινι προςνευόμενος,[57] ὡς τό· εἴπατε τοῖς μαθηταῖς μου καὶ τῷ Πέτρῳ.

### ις΄. ΠΡΟΣΩΠΟΠΟΙΙΑ.

Προσωποποιΐα δὲ[58] ἡ τοῖς ἀψύχοις πρόσωπον προςτιθεῖσα καὶ λόγους αὐτοῖς ἁρμοδίους προςάπτουσα, οἷον

---

51 Ven. οἷον. 52 Ven. ἐνταῦθα τὸ ἐστίν. 53 καὶ ἀναστ. — τοιαῦτα Ven. om. 54 Ven. δέ ἐστιν, ὅταν πλεονάζῃ λέξις μηδὲν πλέον σημαίνουσα, ὡς τὸ ἔναντι καὶ ἐναντίον. 55 Ven. εἴποι. 56 Ven. ἰδικῶς. 57 Ven. προνεμόμενος, οἷόν ἐστι τὸ τοῦ κυρίου εἰρημένον, εἴπατε — Πέτρῳ· κατ' ἐξοχὴν γὰρ ἐνταῦθα τὸ ὄνομα τοῦ Πέτρου εἴρηται, ἐπειδήπερ εἷς ἦν τῶν μαθητῶν καὶ αὐτός. 58 Ven. δέ ἐστιν, ὅταν τις τοῖς ἀψύχοις πρόσωπα καὶ λόγους ἁρμοδίους προσάπτῃ, ὡς τὸ εὐφραινέσθωσαν οἱ οὐρανοὶ, καὶ ἀγαλλιάσθω ἡ γῆ. χαιρέτωσαν τὰ πεδία καὶ πάντα τὰ ἐν αὐτοῖς· σαλευθήτω ἡ θάλασσα, καὶ τὸ πλήρωμα αὐτῆς.

τὸ εὐφρανέσθωσαν οἱ οὐρανοὶ, καὶ τὸ οἶδεν ἡ θάλασσα, καὶ ἔφυγεν.

## ιζ'. ΠΑΡΑΒΟΛΗ.

Παραβολὴ δέ ἐστι λόγος δι' ὁμοίων καὶ γινωσκομένων εἰς ὄψιν ἄγειν [59] πειρώμενος τὸ νοούμενον· ὡς ἡ τοῦ κυρίου περὶ τοῦ ἀσώτου παραβολὴ, ἐν ᾗ δείκνυσι [60] τὸ συμπαθὲς τῆς θεότητος καὶ τὸ τῆς αὐτοῦ ἀγαθότητος ἄπειρον, καὶ ὅπως τοὺς μετανοοῦντας προςδέχεται.

## ιη'. ΑΝΤΑΠΟΔΟΣΙΣ.

Ἀνταπόδοσις δέ ἐστιν ἡ τῶν ἐν τῇ παραβολῇ εἰρημένων προςδιασάφησις [61] καὶ εὐκρίνεια δεικνύντα κατὰ σύγκρισιν τόν τε σκοπὸν καὶ τὴν τῆς παραβολῆς χρείαν, καὶ ἔτι διέγερσιν καὶ μίμησιν· οἷον ἐκείνου τοῦ Σολομῶντος μίμησαι τὸν μύρμηκα, ὦ ὀκνηρὲ νεανία. ἐλεγκτικῶς γὰρ παροξύνει δεικνὺς ἡττώμενον τοῦ μύρμηκος καὶ πρὸς τὸν ὅμοιον ἐνάγων ζῆλον. καὶ τὸ ποιητικὸν αὐτοῦ ἀλλ' οὐ τὴν φύσιν ζηλοῦν ἐγκελευόμενος.

## ιθ'. ΑΝΤΟΝΟΜΑΣΙΑ.

Ἀντονομασία ἐστὶ λόγος δι' ἐπιθέτων, ἢ [63] τῶν

59 Ven. εἰς ὄψιν ἄγουσα. 60 Ven. δείκν. τὸ ἄπειρον τῆς τοῦ θεοῦ ἀγαθότητος, καὶ ὅπως προσδ. τοὺς μετανοοῦντας. 61 Ven. ἐπεκδιδαχὴ, [Med. συνεκδιδαχή. ad marg. γρ. ἐπεκδιδαχή.] δεικνύουσα συγκριτικῶς τῆς παραβολῆς τὴν ὁμοίωσιν, οἷον ᾧ λόγῳ ἐχρήσατο ὁ πατὴρ τοῦ ἀσώτου, τοιούτῳ καὶ ὁ θεὸς τοῖς γνησίως μετανοοῦσι. Tum Rhac. rectius: *Παράδειγμα* δέ ἐστι λόγος πρὸς ἕτερόν τι συγκριτικῆς δυνάμεως ἔμφασιν ἔχων· οἷον τὸ τοῦ Σολομῶντος, μέμνησαι τὸν μύρμηκα, ὦ ὀκνηρὲ, καὶ ζήλωσον τὰς ὁδοὺς αὐτοῦ· τὸ ποιητικὸν γὰρ αὐτοῦ ζηλοῦν ἡμᾶς παρακελεύεται, οὐ τὴν φύσιν. 62 Vat. Ven. ἀντωνομασία. tum Ven. δέ ἐστι. 63 Ven. ἢ συνωνύμων αὐτὸ τὸ κύριον ὄνομα δηλῶν, ὡς ὅταν δύο ἢ καὶ πλειό-

ὁμοίως αὐτὸ τὸ ὄνομα τὸ κύριον δηλῶν· ὃ ποιοῦμεν, ὅταν δύο ἢ καὶ πλειόνων ἡμῖν ἐγνωσμένων ἀνθρώπων καὶ τὰ κύρια ὀνόματα ἐχόντων τὰ αὐτὰ βουληθῶμεν ἑνὸς τούτων μνήμην ποιήσασθαι πρὸς ἕτερόν τινα, μὴ τὸ κύριον ὄνομα λέγωμεν διὰ τὴν ὁμωνυμίαν, ἀλλ' ἐκ τῶν συμβεβηκότων αὐτὸν χαρακτηρίζειν πειρώμεθα· τὸν χαλκέα τυχὸν, ἢ τὸν τέκτονα λέγοντες, ἢ ἀπὸ τῶν τοῦ σώματος παθῶν χωλὸν, εἰ τύχῃ, ἢ φαλακρὸν λέγωμεν, ἢ ἕτερόν τι τοιοῦτον.

### κ'. ΕΙΡΩΝΕΙΑ.

Εἰρωνεία δέ ἐστιν λόγος ὑποκριτικὸς ἐκ τοῦ ἐναντίου τὸ ἐναντίον δηλῶν· τῆς δὲ εἰρωνείας εἴδη[64] τέσσαρα· χλευασμὸς, μυκτηρισμὸς, σαρκασμὸς, καὶ ἀστεϊσμός.[65]

### κα'. ΧΛΕΥΑΣΜΟΣ.

Χλευασμὸς μὲν οὖν ἐστι λόγος μετὰ μειδιάματος προφερόμενος, ὡς ὅταν τὸν ῥιψάσπιδα[66] ἐπεγγελῶντες ἀνδρεῖον πολεμιστὴν εἴπωμεν.

### κβ'. ΜΥΚΤΗΡΙΣΜΟΣ.

Μυκτηρισμὸς δέ ἐστι λόγος διασυρτικὸς μετὰ τῆς τῶν ῥινῶν μύσεως,[67] ὡς ὅταν ἐπὶ κακῷ ἁλόντα τινὰ

---

νων ἔχειν ἐγνωσμένων ἀνθρώπων καὶ τὰ κύρια αὐτῶν ὀνόματα ἐχόντων βουληθῶμεν ἑνὸς ἐξ αὐτῶν μνήμην ποιήσασθαι πρὸς ἀλλήλους, μὴ εἴπωμεν τὸ κύριον ὄνομα διὰ τὴν ἐπωνυμίαν, ἀλλ' ἐκ τῶν συμβεβηκότων ὀνομάσωμεν αὐτὸν, τὸν χαλκέα τυχὸν ἢ τὸν τέκτονα λέγοντες. Sqq. usque ad τοιοῦτον Ven. om. 64 Ven. εἴδη εἰσί. 65 Ven. καὶ χλευασμὸς μέν ἐστι λ. μετὰ μειδιασμοῦ πρ. 66 Vat. τὸν χρυσάσπιδα. Ven. ῥιψάσπιδα [sine τὸν] ἐγγελῶντες. 67 Ven. Med. 1. μώσεως. ad marg. γρ. ἐπιμίξεως. Med. 2. Vat. μύσεως.

ὀνειδίζοντες εἴπωμεν,[68] καλὸν ἔργον ἐποίησας καὶ φρονίμου ἀνδρὸς, ἐπιπνέοντες καὶ πνεῦμα διὰ τῶν ῥινῶν.

### κγ'. ΣΑΡΚΑΣΜΟΣ.

Σαρκασμὸς δέ ἐστι λόγος διὰ χρηστῶν ῥημάτων τὴν ἀτιμίαν ἐμφαίνων, ὡς ὅταν τὸν ἐν προςλήψει μείζονος τιμῆς κακοῖς περιπέσοντα[69] καὶ διὰ τούτων ἀτιμαζόμενον, καταγελῶντες οἷον εἴπωμεν, εἰς μεγάλην δόξαν καὶ τιμὴν ἤγαγες σεαυτὸν, φίλε.

### κδ'. ΑΣΤΕΙΣΜΟΣ.

Ἀστεϊσμὸς δέ ἐστι λόγος[70] τις διασυρτικὸς, εὐαρμόστως συντεταγμένος, ὡς ὅταν τῷ μηδὲν ἐπισταμένῳ λέγοιμεν ἢ ἀποφαντικῶς ἢ ἐρωτηματικῶς· οἷον γὰρ εἶ, ἑταῖρε, τῶν λογίων τὸ κλέος. καὶ ὅσα τοιαῦτα, ἃ δεῖ καὶ σκοπεῖν ἐν τοῖς τῶν ἑτέρων συγγράμμασιν, καὶ αὐτὸν πειρᾶσθαι συντιθέναι μετὰ τῆς προσηκούσης ἁρμονίας καὶ τάξεως.

---

68 Ven. h. l. addit: καὶ πνεῦμα διὰ τῶν ῥινῶν ἐπιφέροντες. 69 Vat. πεσόντα. Ven. περιπεσόντα καὶ διὰ τοῦτο ἀτιμ. ἐγγελῶντες εἴπωμεν. 70 Ven. ἀφ' ἑαυτοῦ διασυρτικὸς, ὡς ὅταν τῷ μηδὲν ἐπισταμένῳ εἴπωμεν, σὺ εἶ, ἑταῖρε, τῶν λογίων τὸ κλέος. Nihil ultra. Med. 3. habet ad marg.: Γεώργιος ὁ Χοιροβοσκὸς προστίθησι καὶ ἕτερα τρία τινὰ, τρόπους ποιητικοὺς ὀνομάζων καὶ αὐτά. οἷον πεποιημένον, σχῆμα, καὶ ὑστερολογίαν, καὶ πεποιημένον μέν ἐστι λέξις λεγομένη κατά τινα τοῦ ἐξ οὗ λέγεται ὁμοιότητα. φησὶν, ὡς ὅταν τὸν μετὰ θυμοῦ καὶ ὀργῆς ἡμᾶς ὑποβλεπόμενον εἴπωμεν, ὅτι ὡς λέων με ἐπέβλεψεν ὁ δεῖνα. Σχῆμα δέ ἐστι σολοικισμὸς, ἀπολογίαν ἔχων, ὡς ἵνα εἴπωμεν· ὁ κύριος Ἰωάννης, ὃν ὁ θεὸς ἐλεήσει, καὶ ἄνθρωπός ἐστιν. Ὑστερολογία δέ ἐστι λόγος πρωθύστερος λεγόμενος, ὡς ἵνα εἴπωμεν, καλῶς ἐτελειώθη ὁ δεῖνα καὶ καλῶς ἐβίωσεν, πρῶτον γὰρ βιοῖ τις, καὶ οὕτω τελειοῦται.

## XV.

# ΤΡΥΦΩΝΟΣ

## ΠΕΡΙ ΤΡΟΠΩΝ.

Tryphonis, qui Augusti Imperatoris aetate floruit, libellum de tropis e codice Galeano primum edidit Blomfieldius in Musei Critici Cantabrigensis volumine primo. 1814. 8. deinde inter liminares libellos Londinensi Thesauri Stephaniani editioni praefixit Barkerus. Aliam ejusdem libelli recensionem non parum divergentem et multo ampliorem, sed auctoris nomine destitutam, e codice Rehdigerano ediderunt Passovius et Schneiderus in Museo Critico Vratislaviensi 1820. 8., quam notavimus per Rehd. vel R. Cum hac recensione, ab amicissimo Krabingero meos in usus collata, plurimum consentit ea, quam e codice nuper in Bohemia reperto inter Manuelis Moschopuli Cretensis Opuscula grammatica edidit Titzius, 1822. 8. [apud nos M.] Moschopuli nomen Titzius, quoniam in primo codicis volumine Moschopuli opera continentur, sua auctoritate posuit: [vide Praefat. p. XXIV.] cui quidem conjecturae quantum tribuendum sit, mecum ii optime sentient, qui grammaticorum et rhetorum codicibus pervolutis perspexerunt, a scribis plerumque tam diversorum auctorum opera in unum codicem congesta esse,

ut ne ab antecedentis quidem libelli auctore ad sequentem adespotum valeat conclusio. Haec igitur recensio et ipsa anonymo cuidam tribuenda est, et ita in codice Ambrosiano A. 115. [Ambr. vel A.] servatur. Attamen hae recensiones, ab auctoribus Christianis profectae et exemplis scriptorum sacrorum auctae, ita cum Blomfieldiana consentiunt, ut varietas earum ad hanc referri, eaque ipsa non parum ex illis emendari posset.

Libellum de tropis, ab eo, de quo paullo ante diximus, prorsus diversum Boissonadius e codicibus Parisinis 2551. et 2929. inter Anecdota Graeca Tom III. a. 1831. Tryphonis nomine edidit. Cum his codicibus fere consentit Barocc. 76. ex quo specimina quaedam edita sunt in Museo Philologico [Philological Museum] a. 1832. mense Novembri p. 432. sqq., et Paris. 2008. A Tryphone duos diversos eadem de re libellos scriptos esse nemo erit, qui credat: probabile potius est nomen Tryphonis, grammatici veteris et nobilis, cuicumlibet posterioris aevi opusculo eandem materiam tractanti praefixum esse: sed ad alterutrum horum libellorum Tryphoni abjudicandum cum internae tum externae rationes diu mihi defuerunt, donec nuper aliud agens in Leonis Allatii Diatriba de Georgiis p. 416. ed. Paris. inveni, in Bibliotheca Vaticana servari Gregorii Corinthii libellum *περὶ τρόπων ποιητικῶν*, cujus initium sit: *τοῦ λόγου ἤδη μεριζομένου τὸ μέν ἐστι κυριολογία, τὸ δὲ τρόπος.* Quod quum consentiat cum Tryphone Boissonadiano, huic Gregorii Corinthii nomen praefigendum censui.

Quantum grammatici in Tryphonis nomine luserint, argumento est Cod. Paris. 2087., in quo commentatio de tropis, Tryphonis nomen prae se ferens, initium habet sensu non verbis cum recensione Boissonadiana consentiens, troporum vero expositionem e Georgio Choerobosco expilatam.

# ΤΡΥΦΩΝΟΣ
## ΠΕΡΙ ΤΡΟΠΩΝ.

Φράσις ἐστὶ λόγος ἐγκατάσκευος, ἢ λόγος κατά τινα δήλωσιν περισσοτέραν [1] ἐκφερόμενος· τῆς δὲ φράσεως εἴδη [2] εἰσὶ δύο, κυριολογία τε [3] καὶ τρόπος. Κυριολογία μὲν οὖν ἐστὶν ἡ διὰ τῆς πρώτης θέσεως [4] τῶν ὀνομάτων τὰ πράγματα σημαίνουσα· οἷον,

Πὺξ μὲν ἐνίκησα Κλυτομήδεα Φαίνοπος [5] υἱόν·
Ἀγκαῖον δὲ πάλην [6] πλευρώνιον, ὅς μοι ἀνέστη·
Ἴφικλον δὲ πόδεσσι παρέδραμον ἐσθλὸν ἐόντα·
Δουρὶ δ' ὑπειρέβαλον [7] Φυλῆά τε καὶ Πολύδωρον.

τρόπος δέ ἐστι λόγος κατὰ παρατροπὴν [8] τοῦ κυρίου λεγόμενος κατά τινα δήλωσιν κοσμιωτέραν, ἢ κατὰ τὸ [9] ἀναγκαῖον. Τρόποι δέ εἰσιν οἱ γενικωτάτην ἐμφαίνον-

---

1 Gal. περισσοτέρως. Rehd. περισσοτέραν M. Ambr. περισσοτέραν δήλωσιν. 2 Rehd. εἰσὶν, εἴδη δύο. Post δύο et post κυριολογία semicolo distinguitur. 3 τε Rehd. om. 4 M. Ambr. προθέσεως τ. ὀ. τὸ πρᾶγμα σημ. Iidem sequentia usque ad Πολύδωρον v. 11. om. 5 Il. ψ, 634. Edd. Hom. Ἤνοπος. Plut. Sympos. II, 5. Οἴνοπος. BLOMF. Mox Rehd. Ἀγγαῖον. 6 Editiones πάλῃ. Schol. Ven. Ἀρίσταρχος σὺν τῷ ν, πάλην. BLOMF. 7 Gal. ὑπερέβουλον. Edd. ὑπειρέβαλον. Rehd. ὑπερέβαλον. Mox deest τε in Gal. et Rehd. Posuit Blomf. 8 Rehd. M. Ambr. κατὰ τροπήν. 9 Gal. Rehd. κατά τι. M. κατὰ τό. Ambr. κατά.

τες [10] στάσιν τέσσαρες καὶ δέκα· [11] μεταφορά, κατάχρησις, ἀλληγορία, αἴνιγμα, μετάληψις, μετωνυμία, συνεκδοχή, ὀνοματοποιΐα, περίφρασις, [12] ἀναστροφὴ ὑπερβατὸν, πλεονασμὸς, ἔλλειψις, παραπλήρωμα. τούτους δὲ ποιητικοὺς καλοῦσιν, [13] ἐπεὶ κατά γε τὸ πλεῖστον ἡ τούτων χρῆσις παρὰ ποιηταῖς, καὶ [14] ὅτι τούτοις οἱ γραμματικοὶ χρῶνται, ἐξηγούμενοι τὰ κυρίως ἢ τροπικῶς τοῖς ποιηταῖς εἰρημένα.

## ά. ΠΕΡΙ ΜΕΤΑΦΟΡΑΣ. [15]

Μεταφορά ἐστι, [16] λέξις μεταφερομένη ἀπὸ τοῦ κυρίου ἐπὶ τὸ μὴ κύριον, ἐμφάσεως ἢ ὁμοιώσεως ἕνεκα· ἐμφάσεως μὲν, οἷον,

*Αἰχμὴ δὲ [17] διέσσυτο μαιμώωσα.*

ἡ γὰρ μαιμώωσα λέξις, ὅπερ ἐστὶ [18] προθυμουμένη, ἰδίως ἐπὶ ἐμψύχου τασσομένη [19] νῦν ἐπὶ ἀψύχου τοῦ δόρατος τέτακται· ὁμοιώσεως δὲ, [20]

*Πάντες δ' ἐσσείοντο [21] πόδες πολυπιδάκου Ἴδης·*

καὶ,

*Οὔρεος ἐν κορυφῇσι.* [22]

---

10 Rehd. εἰσιν οἱ γενικ. Gal. εἰσι γενικ. M. Ambr. εἰσιν οἱ γενικώτατοι ἐμφαίνοντες στάσεις ιδ΄. 11 Rehd. δεκατέσσαρες. 12 Rehd. M. Ambr. περίφρ. Gal. παράφρ. 13 Rehd. καλοῦσι. Ambr. καλοῦμεν. — Sq. γε M A. om. Iidem et Rehd. τὸ πλεῖστον. Gal. τὸ om. 14 RAM. ἢ. Sq. οἱ AM. om. 15 in Rehd. MA. inscriptio deest et hic et in sqq. 16 R. ἐστιν. 17 Gal. μὲν — μαιμόωσα. Phavorinus δὲ μεμώωσα. BLOMF. MA. μεμώωσα, bis. Il. ε, 661. R. στέρνοις διέσσυτο. Il. ο, 542. 18 R. ὅπέρ ἐστι. AM. ἥπέρ ἐστι. 19 MA. τασσομένη, νῦν δέ. Gal. τασσόμενον νῦν δέ. R. τασσομένη omisso δέ. Fort. scribendum δή. 20 RMA. δὲ οἷον. 21 Il. ν, 59. Gal. [etiam AM.] ἐσείοντο. et sic Phavorinus in v. Μεταφορά. qui mox οὔρεος ἐκ κορυφῆς. BLOMF. tum A M, πολυπηδάκου. 22 Il. β, 456. AM. ἐκ κορυφῆς.

πόδες γὰρ καὶ κορυφαὶ[23] ἐπ' ἀνθρώπων ῥηθεῖεν ἄν·[24] ἐπὶ δὲ ὄρους ὑπώρειαι καὶ ἀκρώρειαι. Γίνεται δὲ ἡ μεταφορὰ τετραχῶς.[25] ἀπὸ ἐμψύχων ἐπὶ ἔμψυχα· οἷον ποιμένα λαῶν,[26] ἄμφω γὰρ ἔμψυχα· ἀπὸ ἀψύχων ἐπὶ ἄψυχα· οἷον, σπέρμα πυρὸς σώζων.[27] ἀπὸ ἐμψύχων ἐπὶ ἄψυχα· οἷον,[28]

*Ἐν γαίῃ ἵστατο[29] λιλαιομένη χροὸς ἆσαι·*

καὶ,[30]

*Κυλίνδετο λᾶας ἀναιδής·*[31]

ἀπὸ ἀψύχων ἐπὶ ἔμψυχα, οἷον·

*Ἄσβεστος δ' ἀνῶρτο[32] γέλως μακάρεσσι θεοῖσι.*

---

23 Rehd. AM. κορυφαὶ ἐπ' ἀνθρώπου. Gal. κορυφὴ ἐπ' ἀνθρώπων. 24 Deest ἂν in Gal. et Phavorino, qui ῥήθειεν. BLOMF. Etiam Rhed. ἂν om. M. ῥηθεῖεν ἂν κυρίως. A. ῥηθεῖεν κυρίως. 25 Sequentia usque ad finem hujus paragraphi in AM. prorsus discrepant: ἀπὸ ἐμψύχων ἐπὶ ἄψυχα, ὡς ὅταν τις τὴν ἀκρώρειαν τοῦ ὄρους κορυφὴν ἢ κεφαλὴν εἶναι λέγῃ, τὰ δέ κάτω καὶ παρὰ τὴν πεδιάδα, πρόποδας ἢ πόδας· κορυφὴ γὰρ καὶ κεφαλὴ, καὶ πόδες, κυρίως ἐπὶ ἐμψύχων λέγονται. ἀπὸ δὲ ἀψύχων ἐπὶ ἔμψυχα, ὡς ὅταν εἴπῃ, κριὸς ἐλεπίσθη, δέον εἰπεῖν, ἐξεδάρθη. ἀπὸ δὲ ἐμψύχων ἐπὶ ἔμψυχα, ὡς ὅταν τις τὸν βασιλέα ποιμένα λέγῃ λαοῦ. ποιμὴν γὰρ ὁ τῶν προβάτων κυρίως νομεὺς λέγεται, καὶ ἀμφότεροι ἔμψυχοι, ὅ τε βασιλεὺς καὶ ὁ νομεύς. [λέγεται — νομεὺς M. om.] ἀπὸ δὲ ἀψύχων ἐπὶ ἄψυχα, ὡς ὅταν τις ἄνθρακα πυρὸς ἐν σποδῷ κρύψας λέγῃ σπέρμα πυρὸς διασώσασθαι· ἢ εἴπῃ, πολλὴ κέχυται τῇ ὕλῃ φλόξ. τὸ γὰρ χεῖσθαι τοῖς ὑγροῖς συμβέβηκε. 26 Il. α, 263. 27 Od. ε, 490. Rhed. ὡς ὅταν τις ἄνθρακα πυρὸς ἐν σποδῷ κρύψας, λέγῃ, σπέρμα πυρὸς διασώσασθαι· ἢ εἴπῃ, πολλὴ κέχυται τῇ ὕλῃ φλόξ. [Il. π, 123.] τὸ γὰρ σπέρμα τοῖς σπειρομένοις καὶ τό χεῖσθαι τοῖς ὑγροῖς συμβέβηκεν. 28 Rehd. inserit: πολλὰ δὲ καὶ μεσσηγὺ πάρος χρόα λευκὸν ἐπαυρεῖν. Il. λ, 573. 29 *Γαίῃ ἐνεστήρικτο* Homeri verba sunt. Dein MS. λιλαιόμενα. BLOMF. Il. φ, 168. 30 Rehd. καὶ τό. 31 Gal. λαός. R. λάας. Od. λ, 597. 32 Il. α, 599. Sic in Co-

## β΄. ΠΕΡΙ ΚΑΤΑΧΡΗΣΕΩΣ.

*Κατάχρησις ἐστὶ λέξις μετενηνεγμένη*[1] *ἀπὸ τοῦ πρώτου κατονομασθέντος κυρίως τε καὶ ἐτύμως ἐφ᾽ ἕτερον ἀκατονόμαστον, κατὰ τὸ*[2] *οἰκεῖον·*[3] *οἷον*[4] *γόνυ καλάμου, καὶ ὀφθαλμὸς ἀμπέλου, καὶ*[5] *χεῖλος κεραμίου καὶ τράχηλος ὄρους·*[6] *κυρίως γὰρ ταῦτα ἐπὶ ἀνθρώπου λέγονται·*[7] *καὶ*[8] *πάλιν, πυξὶς*[9] *μὲν λέγεται ἡ*[10] *ἐκ πύξου κατεσκευασμένη· καταχρηστικῶς δὲ καὶ ἡ χαλκῆ*[11] *καὶ ἡ ἐξ οἵας δήποτε πεποιημένη ὕλης· τῷ αὐτῷ σχήματι ἀνδριὰς*[12] *κυρίως μὲν τὸ τοῦ*[13] *ἀνδρὸς ἀπεικόνισμα, καταχρηστικῶς δὲ καὶ γυναικός·*[14] *καὶ ἀνδροφόνος κυ-*

---

dice scriptum pro *Ἄσβεστος δ᾽ ἄρ᾽ ἐνῶρτο.* Ceterum pars posterior hujus articuli plenior apud Phavorinum legitur, et, si bene memini, apud Eustathium: quoniam vero liber iste ad manus non est, hoc non ausim adfirmare. BLOMF. Post *θεοῖσι* Rehd. addit: *ἢ ὡς τὸ ἡ θάλασσα εἶδε καὶ ἔφυγεν. ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω καὶ οἱ οὐρανοὶ διηγοῦνται.* Subjecta est haec notula: „Alterum, e Psalm. CXIII, 3., alterum e Psalm. XVIII. 1. petitum.“

1 A. *μετηνηνεγμένη.* Tum AMR. *ἀπὸ τοῦ πρώτου καὶ κυρίως ὀνομασθέντος ἐφ᾽ ἕτερον.* 2 Cantabr. Rehd. *κατά τι.* emendat Boisson. Anecd. T. III. p. 273. ex alia recensione. AM. *κατὰ τὸ οἰκεῖον* om. 3 Adjicit Phavorinus [etiam AM.] *ἔκ τινος συνηθείας λεγομένη, καὶ μὴ ὂν* [M. *ὂν* om.] *κυρίως.* Idem mox *κεραμείου.* BLOMF. 4 MA. *ὡς.* 5 *καὶ* Gal. om., inserit RAM. 6 *ὄρους* Gal. RA. om., est in M. 7 *λέγεται* Phavorinus [et MA.], qui sequentia aliquatenus immutata exhibet. BLOMF. 8 RMA. *ἤ.* 9 Gal. R. *πύξ,* corrigit Boiss. l. l. MA. *πυξὶς τῷ αὐτῷ — σχήματι* v. 9. om. 10 R. *ὁ ἐ. κατεσκευασμένος χρόνθος.* 11 R. *ὁ ἐκ χαλκοῦ καὶ ὁ — πεποιημένος.* 12 R. *καὶ ἀνδρ.* 13 *τὸ τοῦ* A M. om. Tum iidem et R. *ἀπεικόνισμα λέγεται.* 14 R. *τὸ τῆς γυν. καί.* Gal. *καὶ* om. MA. post *γυναικὸς* habent: *ἢ πάλιν ὅταν τις τὸν ἐν ποταμῷ ἰχθύας*

ρίως[15] ὁ ἄνδρα φονεύσας, καταχρηστικῶς δὲ καὶ ὁ γυναῖκα. Ἔτι[16] τριήραρχος κυρίως ὁ τριήρους ἄρχων, καταχρηστικῶς δὲ καὶ ὁ πεντήρους καὶ ἑξήρους· [17] καὶ τὸ ψηφίζειν κυρίως μὲν τὸ ταῖς[18] ψήφοις ἀριθμεῖν, καταχρηστικῶς δὲ καὶ δακτύλοις[19] ἀριθμεῖν· διαφέρει δὲ μεταφορὰ καὶ κατάχρησις, ὅτι ἡ μὲν μεταφορὰ ἀπὸ[20] κατονομαζομένου ἐπὶ[21] κατονομαζόμενον λέγεται·[22] ἡ δὲ κατάχρησις ἀπὸ κατονομαζομένου ἐπὶ ἀκατονόμαστον,[23] ὅθεν καὶ κατάχρησις λέγεται.

## γ΄. ΠΕΡΙ ΑΛΛΗΓΟΡΙΑΣ.

Ἀλληγορία[1] ἐστὶ λόγος[2] ἕτερον μέν τι[3] κυρίως δηλῶν· ἑτέρου δὲ ἔννοιαν παριστάνων, καθ' ὁμοίωσιν[4] ἐπὶ τὸ πλεῖστον· οἷον

Ὥς τε πλείστην μὲν καλάμην χθονὶ[5] χαλκὸς ἔχευεν.

---

ἀγρεύοντα ἁλιέα εἴπῃ· κυρίως δὲ ἁλιεὺς ὁ ἐπὶ τῆς θαλάσσης λέγεται· ἅλς γὰρ ἡ θάλασσα· ὁμοίως καὶ τὸ ψηφίζειν κ. τ. λ. 15 R. μὲν κυρ. 16 ἔτι ex Rehd. recepi, Gal. om. Tum R. κυρίως μὲν ὁ τριήρους ἄρχων. Gal. ἄρχων om. 17 R. inserit: καὶ αὖθις ὅταν τις τὸν ἐν ποταμῷ — θαλάσσης λέγεται. Eadem quae MA. paullo ante inseruerunt. 18 Gal. A. τοῖς. RM. ταῖς. 19 RMA. τὸ δακτ. omisso ἀριθμεῖν. Dein ita habent: διαφ. δὲ καταχρήσεως ἡ μεταφορά, etc. MA. διαφ. δὲ ἡ κατάχρησις τῆς μεταφορᾶς. 20 MA. ἀπὸ τοῦ. 21 A. ἐπὶ τό. 22 λέγεται Gal. om., addit RMA. 23 Gal. ἐπὶ κατονομαζομένου. RAM. ἐπὶ ἀκατονόμαστον. Reliqua ignorant.

1 Longe diversum caput de allegoria legitur in Codice Leidensi apud Hemsterhus. ad Callim. fragm. 456. et Barocciano, uti e Gaisfordio didici. BLOMF. 2 MA. λέξις ἕτερόν τι λέγουσα, ἑτέρου ἔννοιαν παριστῶσα. 3 Gal. τοι. In R. τι a manu sec. super lin. scriptum. In contextu τι uncis est inclusum. 4 R. καθομοίωσιν. Subjecta notula: „Gal. recte καθ' ὁμοίωσιν. 5 Gal. ἐπὶ χθονὶ, atque ita Phavorinus, qui

## δ'. ΠΕΡΙ ΑΙΝΙΓΜΑΤΟΣ.

*Αἴνιγμα ἐστὶ φράσις ἐπιτετηδευμένη*[6] *κακοσχόλως εἰς ἀσάφειαν ἀποκρύπτουσα τὸ νοούμενον· ἢ ἀδύνατόν τι*[7] *καὶ ἀμήχανον παριστάνουσα· διαφέρει δὲ*[8] *ἀλληγορίας· ὅτι ἡ μὲν ἀμαυροῦται ἢ λέξει ἢ διανοίᾳ· τὸ δὲ*[9] *καθ' ἑκάτερον· οἷον, Ἥσσων*[10] *ἀλγήσας παῖδα τὸν ἐκ Θέτιδος ἀνέθρεψε· ἥσσων γὰρ ὁ χείρων,*[11] *ἀλγήσας*

---

voces *ἧς τε* omittit. BLOMF. Il. τ, 222. Post *ἔχευεν* pergit R.

*Αἶψά τε φυλόπιδος πέλεται κόρος ἀνθρώποισιν.*
*Ἧς τε πλείστην μὲν καλάμην χθονὶ χαλκὸς ἔχευεν.*
*Ἄμητος δ' ὀλίγιστος ἐπὴν κλίνῃσι τάλαντα*
*Ζεύς, ὅς τ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.*

Pergit deinceps RMA. *σαφέστερον δὲ τὸ* [MA. *ὡς τὸ*] *λεγόμενον ἐν τῇ θείᾳ γραφῇ. ἐν ᾗ πρὸς τὸν ὄφιν εἶπεν ὁ θεός· ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν θηρίων· ὁ γὰρ λόγος ὡς πρὸς τὸν ὄφιν ἐστίν. ἐπὶ τοῦ διαβόλου δὲ ἀλληγορικῶς αὐτὸν λαμβάνομεν.* 6 M. *ἐπιτηδευμένη*. Sq. *κακοσχόλως* RMA. om. 7 Pro verbis: *ἢ ἀδύνατόν τι — παριστάνουσα* RMA. exhibent haec: *ἢ αἴνιγμα ἐστὶ λόγος σκοτεινὸν καὶ κεκρυμμένον ἔχων ἐν ἑαυτῷ τὸ νοούμενον. ὡς τὸ προβληθὲν ζήτημα παρὰ τοῦ Σαμψὼν τοῖς ἀλλοφύλοις ἐν ᾧ φησίν· ἐκ τοῦ μὴ ἐσθίοντος ἐξῆλθε βρῶσις, καὶ ἐκ τοῦ πικροῦ γλυκύ· σημαίνοντος* [M. *σημάνοντος*. A. *σημᾶναι*.] *τὸν λέοντα ὅνπερ ἀνεῖλε. καὶ τὸ εὑρεθὲν ἐν τῷ κρανίῳ αὐτοῦ ἀπὸ μελισσείου κηρίου.* [R. *μελησίου κηρίον*.] *ἢ ὡς ὅταν* [MA. *ἵνα*] *εἴπωμεν θεριστὴν ὑδάτων τὸν ἁλιέα.* 8 MA. *γάρ*. 9 AM. *τὸ δὲ αἴνιγμα*. tum A. *καθ' ἕτερον*. 10 Ita recte Phavorinus. *ἧσσον* MS. Mox *ἀνέθρεψε*, qui deest in Codice scripto [etiam in RMA.], ex Phavorino adjeci. Cujusnam lepidi capitis sint hi duo joci, plane nescio. Ipsum Tryphonem sapiunt. Dignum quod his facetiis adnumeretur dictum commemorant Athenaeus, Demetrius de Eloc. et Eustath. ad Iliad. I. p. 772. 37. *μὴ ποίει τὸν Οἰνέα Πηλέα*. Vid. Toup. in Suid. T. I. p. 307. BLOMF. 11 R. *γὰρ ὁ Χείρων· ὁ Ἱπποκένταυρος·* [MA. *ἥσσων γὰρ Ἱπποκένταυρος Χείρων*] *ἀλγήσας καὶ πονήσας τὸν Ἀχιλ-*

πονήσας· ἐστὶ δὲ ὅτι Χείρων ὁ Κένταυρος ἐξέθρεψε τὸν Ἀχιλλέα· καὶ πάλιν,

Γῆς ἔθανε καταδέσμου ὅτ' ἀγγείων [12] ἀφάμαρτεν·

ἀντὶ τοῦ, Αἴας ὁ Τελαμῶνος ἐτελεύτησεν, [13] ὅτε τῶν [14] ὅπλων ἀπέτυχε. γῆς γὰρ Αἴας γίνεται, δεσμοῦ [15] Τελαμῶνος, [16] ἀγγείων δὲ τῶν ὅπλων· καὶ [17]

Εἰσὶ κασίγνηται δισσαὶ, ὧν ἡ μὲν μία τίκτει
Τὴν ἑτέραν· αὐτὴ [18] δὲ τεκοῦσ' ὑπὸ τῆςδε τεκνοῦται. [19]

ἐπὶ ἡμέρας γὰρ καὶ νυκτὸς λέγει· γίνεται δὲ τὸ αἴνιγμα κατὰ τρόπους ἕξ· καθ' ὅμοιον, κατ' ἐναντίον, κατὰ συμβεβηκὸς, καθ' ἱστορίαν, καθ' ὁμωνυμίαν, κατὰ [20] γλῶτταν· κατὰ μὲν ὅμοιον, [21] οἷον [22] Ἀνδροκύδης, ὁ

---

λέα ἀνέθρεψε. Καὶ πάλιν [MA. οὕτως πάλιν] γῆς ἔθανεν. [Gal. A. ἔθανε.] 12 R. in contextu ἀγκεῖον. In not.: „Gal. ἀγγείων recte. 13 Gal. R. ἀφάμαρτεν MA. ἐτελεύτησεν, ut Blomf. ex Phavorino restituit. Tum Gal. ὅταν. RMA. ὅτε. 14 RAM. inserunt Ἀχιλλείων. 15 Gal. δέσμου. MA. δεσμοῖ δέ. R. καγαδέσμου. Editor in contexto καταδ. corr. 16 Τελαμώνιος. A. ταλαμῶνος. Mox R. ἀγκείων. Editor in not.: „Gal. ἀγγείων recte. 17 R. καὶ πάλιν εἰσίκα σιγείηται δισσαὶ ἀλλ' οὐχ ὁμοῖαι· ὧν. In not.: „εἰσὶ κασίγνηται recte." MA. εἰ καὶ κασίγνηται διτταί εἰσιν, ἀλλ' οὐχ ὁμοῖαι. ἡ μὲν μία τ. τ. ἑ. ἀλλ' ἡ τεκοῦσα ὑπὸ τῆςδε τ. 18 R. ἡ δὲ τεκοῦσα. Gal. αὕτη. Versus sunt ex Theodectae Oedipode, et laudantur apud Athen. X. p. 451. F. ubi recte eos ex MSS. restituit Schweighaeuserus, cui adstipulatur Trypho noster. Versus solute citat Phavorinus. BLOMF. 19 Post τεκνοῦται RMA. habent: τοῦτο γὰρ λέγεται ἐπὶ ἡμέρας καὶ νυκτός. Γίνεται. 20 R. καὶ κατὰ γλ. 21 MA. addunt: γίνεται αἴνιγμα. 22 RMA. ὡς ὁ. Tum MA. Ἀνθοκίδης. Titzius scripsit Ἀνδοκίδης, ut est apud Phavorinum. Gal. R. Ἀνδροκύδης. „Androcydes quidam apud Athenaeum VI, p. 258. b. citatur a Clearcho, qui de griphis scripserat. Deest ὁ in MSto. Haec et alia quaedam Pythagorae aenigmata ex Demetrio Byzantino profert Athenaeus X. p. 452. D. Ple-

Πυθαγορικὸς ἔλεγε· Ζυγὸν μὴ ὑπερβαίνειν ἀντὶ[23] τοῦ τὸ δίκαιον μὴ παραβαίνειν. Γαμψώνυχας[24] μὴ τρέφειν ἀντὶ τοῦ ἅρπαγας φεύγειν. Μελάνουρον[25] μὴ ἐσθίειν ἀντὶ τοῦ ψευδῆ λόγον μὴ προΐεσθαι· τὸ[26] γὰρ ψεῦδος ἐν τοῖς ἐσχάτοις μέρεσι μελαίνεται καὶ ἀμαυροῦται. Ἐπὶ χοίνικος μὴ καθίζειν·[27] τουτέστι, μὴ ἐπαναπαύεσθαι τῇ ἐφημέρῳ τροφῇ, ἀλλὰ προεισφέρειν. Μαχαίρᾳ πῦρ μὴ σκαλεύειν,[28] τουτέστι τὸν[29] θυμούμενον λόγοις μὴ ἐρεθίζειν· καὶ[30] τὸ Ἡσιόδειον·

Μηδ' ἀπὸ χυτροπόδων ἀνεπιῤῥέκτων ἀφελόντα
Ἔσθειν·[31]

τουτέστι, μὴ[32] ἀκρατῆ μηδὲ λίχνον εἶναι. καὶ ἐν τῷ βίῳ δέ τινα αἰνιγματωδῶς γίνονται κατὰ τὸν ὅμοιον[33] τρόπον· οἷον ἐπὶ τῶν γαμούντων ὅτι[34] σήσαμον ἢ κριθὰς κόπτουσιν οἰωνιζόμενοι, ἐπεὶ πολύγονά[35] ἐστι· κατ'

---

niora Plutarchus de Liber. Educ. p. 21. Quaedam etiam Proclus in Hesiod. p. 160. et Eustath. ad Od. τ. p. 1854. 3." BLOMF. 23 ἀντὶ τοῦ — παραβαίνειν MA. om. 24 Unus hoc citat Trypho. BLOMF. Etiam Arsenius Viol. p. 157., et alii, qui de tropis scripserunt. 25 Plutarchus, μὴ γεύεσθαι τῶν μελανούρων· τουτέστι μὴ συνδιατρίβειν μέλασιν ἀνθρώποις διὰ κακοήθειαν. hic niger est: hunc tu, Romane, caveto. BLOMF. 26 τὸ γὰρ ψ. — προεισφέρειν v. 7. MA. om. 27 Athenaeus, μὴ καθῆσθαι ἐπὶ χοίνικα. Plutarchus: μηδὲ ἐπὶ χοίνικα καθίσαι. Cum Nostro Eustathius. BLOMF. 28 Sic Athenaeus et Proclus. Paullo aliter Plutarchus, πῦρ σιδήρῳ μὴ σκαλεύειν. Omnes eodem modo explicant. Horat. S. II. III. 276. adde cruorem stultitiae, atque ignem gladio scrutare. BLOMF. 29 τὸν MA. om. 30 καὶ τὸ Ἡσ. — λίχνον εἶναι MA. om. 31 Ἔργ. 748. ubi ἀνελόντα. MS. [etiam Rehd.] male ἐσθίειν. BLOMF. 32 R. μὴ δὲ ἀκρατῆ, μὴ δέ. 33 MA. τὸν τοῦ ὁμοίου. 34 ὅτι MA. om. Tum iidem σήσαμον [M. σίσαμον] ἢ κριθὰς κόπτ. R. κόπτουσι. ἢ καὶ κριθὰς οἰωνιζ. Gal. ἢ κριθὰς om. 35 MS. πολύγωνον. [Blomf. scr. πολύγονον. RMA. πολύγονά ἐστι] Pho-

ἐναντίον[36] δὲ, οἷον, ὥς ἀνήρ τε καὶ οὐκ ἀνήρ· ὄρνιθα[37] καὶ οὐκ ὄρνιθα· ἰδών τε καὶ οὐκ ἰδών· ἐπὶ[38] ξύλου καὶ οὐ ξύλου· καθημένην τε καὶ οὐ καθημένην· λίθῳ τε καὶ οὐ λίθῳ· βάλλει τε καὶ οὐ βάλλει·[40] ταῦτα[41] εἴρηται ἐπὶ εὐνούχου κισσήρει βεβληκότος[42] νυκτερίδα καὶ διὰ τὸ μὴ ἀκριβῶς ἰδεῖν ἐφημαρτηκότος· ἀνὴρ μὲν καὶ οὐκ ἀνὴρ ὁ εὐνοῦχος· ὄρνις καὶ οὐκ ὄρνις ἡ νυκτερίς· ἄπτερος γὰρ καὶ πετομένη·[43] τὸ δὲ ἰδεῖν τε καὶ μὴ ἰδεῖν τὸ μὴ καλῶς ἰδεῖν· ἠμβλυώπει[44] γάρ· καθημένην καὶ οὐ καθημένην διὰ τὸ ἀνεπιστρόφως κρέμασθαι· ξύλον τε καὶ οὐ ξύλον ὁ νάρθηξ· λίθος τε καὶ οὐ λίθος ἡ κίσ-

---

tius Σήσαμον μετὰ μέλιτος κεκομμένον πρῶτον παρὰ τῷ νυμφίῳ τὸ παλαιὸν ἐδίδοσαν ἁπαντῶσι περιϊόντες τῶν ἐντίμων ἢ φίλων, ἐπιλέγοντες, ὡς παρὰ τοῦ γαμοῦντός ἐστιν, ἢ τῆς γαμουμένης — ἐν δὲ τοῖς γάμοις ἐδίδοσαν σήσαμον, ἐπεὶ πολυγονώτατον. Aristoph. Pac. 866. Ἡ παῖς λέλουται, καὶ τὰ τῆς πυγῆς καλά. Ὁ πλακοῦς πέπεπται· σησάμη ξυμπλάττεται. ubi Schol. Πλακοῦς γαμικὸς ἀπὸ σησάμου πεποιημένος, διὰ τὸ πολύγονον· ὥς φησι Μένανδρος. BLOMF. 36 Gal. κατεναντίον. MA. κατ᾽ ἐναντίον γίνεται αἴνιγμα οὕτως· ἀνήρ τε καὶ οὐκ ἀνὴρ, ἰδών τε καὶ οὐκ ἰδὼν. ὄρνιθα. R. κατὰ δὲ τὸ ἐναντίον, ὡς ἀνήρ. 37 R. ὄρνιν bis. 38 Gal. μετά. RMA. ἐπὶ ξύλου τε [A. τε om.] καὶ οὐ ξύλου post καθημένην ponunt. 39 Gal. R. βάλλοι bis. MA. βάλλει. 40 Hunc griphum exhibui, qualis in MSto exaratur. Habet eum Suidas in v. Αἶνος, ex Scholiasta Platonis desumtum p. 167. ed. Ruhnken. Sic vero cum Brunckio constituas. Αἶνός τις ἐστιν, ὡς ἀνήρ τε κοὐκ ἀνὴρ, Ὄρνιθα κοὐκ ὄρνιθ᾽, ἰδών τε κοὐκ ἰδὼν, Ἐπὶ ξύλου τε κοὐ ξύλου καθημένην, λίθῳ τε κοὐ λίθῳ, βάλοι τε κοὐ βάλοι. Vid. Brondstedt ap. Bredow. Epist. Paris. p. 132. BLOMF. 41 RMA. ταῦτα δέ. 42 MA. βεβληκότος κισσέρει. 43 M. πετωμένη. A. πτωμένη. τὸ ἰδεῖν καὶ οὐκ ἰδεῖν. 44 ἠμβλυώπει — — κρέμασθαι Gal. om., recepi ex RMA.

κίσσηρις· βαλεῖν τε καὶ οὐ βαλεῖν τὸ προέμενον[45] μὴ εὐστοχῆσαι·[46] κατὰ δὲ συμβεβηκὸς,[47] ὡς τό.

Εἰσίν μοι δύο κασίγνητοι· οἱ[48] δύο μοῦνοι·
Ὄφρα μὲν οὖν ζώωσι, τὸν ἥλιον οὐκ ἐσορῶσι,[49]
Αὐτὰρ[50] ἐπεί κε θάνωσι καὶ ἀνδρῶν χεῖρας ἵκωνται,
Ἠέλιόν τε ὁρῶσι, καὶ ἀλλήλοισι μάχονται.

περὶ δὲ[51] τῶν ἀστραγάλων,[52] οἶμαι, λέγει· κατὰ δὲ ἱστορίαν, οἷον, Τριτογένεια.[53] κατὰ δὲ ὁμωνυμίαν, ὡς ἔχει ὁ δεδομένος χρησμὸς Ἀλεξάνδρῳ τῷ Μολοσσῷ, φυ-

---

45 MA. προθυμούμενον. 46 Gal. ἀστοχῆσαι. R. εὐστοχῆσαι, ut scripsit Blomf. 47 RMA. τὸ συμβ. Tum R. ὡς ἔχει τὸ, εἰσίν. Gal. MA. εἰσί. Gal. post δύο inserit ἀδελφοὶ, quod ignorant ceteri. 48 RMA. οὐ δύο. 49 Gal. εἰσορῶσα. RMA. ἐσορῶσι, ut scripsit Blomf. 50 αὐτὰρ ἐπεὶ — ὁρῶσι Gal. om., inserui ex RMA. adjecto κε, quod Codd. om. 51 δὲ Rehd. om. MA. περὶ τῶν ἀγγέλων οἶμαι λέγειν, quae Titz. tanquam spuria inclusit. 52 MS. ἀστραγγάλων. Phavorinus ἀγγέλων. BLOMF. 53 Phavorinus: οἷον Τριτωγένειαν τὴν Ἀθηνᾶν λέγει, καθ' Ὅμηρον, ὅτι ἐν Τρίτωνι ποταμῷ Λιβύας ἐγεννήθη· κατὰ δὲ Καλλισθένην, ἐν τρίτῃ μηνὸς καὶ πρώτως· κατὰ δὲ ἄλλους, ἐκ κεφαλῆς τοῦ Διός. quae corrupta sunt ex Ttetzae Scholio ad Lycophronem 519. ubi plura de hac voce videas, quibuscum confer Aeschyl. Eumen. 292. et ibi Stanleji curas secundas. Schol. ad Pind. Pyth. IV. 36. Cornut. de Nat. Deor. 20. ab Eudocia Macrembol. exscriptum p. 4. Vide etiam Photium et Suidam v. Τριτογενής. BLOMF. Cum Phavorino consentit Rehd. Καθ' ἱστορίαν δὲ, οἷον Τριτογένειαν τὴν Ἀθηνᾶν λέγει. κατὰ μὲν Ὅμηρον, ἐν Τρίτωνι ποταμῷ Λιβύης γεννηθεῖσαν· κατὰ δὲ Καλλισθένην, ἐν τρίτῃ μηνός· κατὰ δὲ ἄλλους ἐκ τῆς τριτοῦς, ἤγουν τῆς κεφαλῆς τοῦ Διός. MA. καθ' ἱστορίαν οἷον Τριτωγένεια, τὴν Ἀθηνᾶν λέγειν, κατὰ μὲν Ὅμ. ὅτι ἐν Τρίτωνι ποταμῷ Λιβύας ἐγεννήθη· κατὰ δὲ Καλλισθένην ἐν τρίτῃ μηνός [A. ἐν τρίτῳ μηνος καὶ πρώτῳ] κατὰ δὲ ἄλλους ἐκ κεφαλῆς τοῦ Διὸς αὕτη μυθεύεται καὶ πρώτη καὶ φρόνησις.

λάξασθαι τὸν ΚΗΡΟΕΝΤΑ. ὁ μὲν γὰρ ᾤετο τὸν ἐν Ἰταλίᾳ ποταμόν· ἦν δὲ ἕτερον· προσδοθέντος γάρ[54] αὐτῷ πινακιδίου κεκηρωμένου, τοῦτο ἀναγινώσκων ἐδολοφονήθη· κατὰ δὲ γλῶτταν ὅταν[55] τὴν μὲν[56] θάλατταν εὐρυγάστορα[57] λέγῃ· τὴν δὲ Ἀθηναίαν[58] μαρμαρῶπιν, τὸν δὲ μῦν δολιχοῦρον.[59]

### ι. ΠΕΡΙ ΜΕΤΑΛΗΨΕΩΣ.

Μετάληψίς ἐστι λέξις ἐκ[1] συνωνυμίας τὸ ὁμώνυμον δηλοῦσα· οἷον,

Ἔνθεν δ' αὖ[2] νήσοισιν ἐπιπροέηκε θοῇσι.

τὸ γὰρ θοὸν καὶ ὀξὺ[3] συνωνυμεῖ. τὰς γὰρ καλουμένας ὀνομαστικῶς ὀξείας νήσους διὰ τὸ σχῆμα μεταληπτικῶς θοὰς ἐκάλεσεν·[4] οὕτω καὶ τὸ ἔῤῥε κακὴ γλήνη·[5] καὶ

Τεῦκρος δὲ τόξου χρώμενος φειδωλίᾳ,
Ὑπὲρ τάφρου πηδῶντας ἔστησε[6] Φρύγας.

εἴρηται γὰρ φειδωλίᾳ[7] ἀντὶ τοῦ ἀκριβείᾳ.

---

54 MA. δέ. 55 Gal. ὅτε — λέγει. RMA. ὅταν — λέγῃ, 56 μὲν MA. om. 57 Quis dixerit θάλασσαν εὐρυγάστορα equidem haud memini. εὐρέα νῶτα θαλάσσης nota sunt. BLOMF. Respicit ad oraculum Apollinis apud Euseb. Chron. οὐ κατὰ γῆν λέγω στενύγρην, ἀλλὰ κατὰ τὴν εὐρυγάστορα, i. e. θάλασσαν. Vide Heyn. ad Apollodor. II. 7. T. I. p. 234. 58 RMA. Ἀθηνᾶν. Tum Gal. μαρμορῶπιν. MA. μαρμαρῶπιν. R. μαρμαρώπην 59 Post δολιχοῦρον addunt RMA. καὶ τὴν [MA. τὸν] γέρανον δολιχόδειρον.

1 Gal. ἐξ. 2 R. ἔνθε δὲ νήσοισιν ἐπιπροέηκε. Gal. ἔνθε δὲ νήσοις ἐπιπροῆκε θοῇσι. MA. ἐνθὲν δέ. — Od. o, 299. 3 MA. addunt: καὶ ὠκὺ καὶ ταχύ. [A. τραχύ.] 4 AM. ἐκάλεσε, omissis sqq. οὕτω — γλήνη. 5 Il. θ, 164. 6 Gal. ἔστησεν. RMA. ἔστησε. — Hos versus desumtos puto ex Sophoclis Teucro. Dictio certe Sophoclea est, apud quem in Ajac. 1292. haec de se praedicat Teucer,

— — εἰς δὲ ναυτικὰ σκάφη

## ε'. ΠΕΡΙ ΜΕΤΩΝΥΜΙΑΣ.

Μετωνυμία ἐστὶ λέξις ἀπὸ τοῦ ὁμωνύμου τὸ συνώνυμον δηλοῦσα· οἷον

Σπλάγχνα δ' ἄρ'[8] ἀμπείραντες[9] ὑπείρεχον Ἡφαίστοιο·

Ἥφαιστος γὰρ ὁ εὑρὼν τὸ πῦρ· καὶ ὅταν τὸν πυρὸν Δήμητραν[10] εἴπωμεν· ἢ[11] ἀπὸ τῶν εὑρόντων τὰ εὑρήματα, ἀλλὰ[12] καὶ ἀπὸ τοῦ εὑρήματος τὸν εὑρόντα· οἷον,

Οἶνός μ' ἔπεισε, δαιμόνων ὑπέρτατος.[13]

## ζ'. ΠΕΡΙ ΣΥΝΕΚΔΟΧΗΣ.

Συνεκδοχή ἐστι φράσις οὐ κατὰ τὸ πλῆρες ἐξενη-

---

Πηδῶντος ἄρδην Ἕκτορος τάφρων ὕπερ,
Τίς ταῦτ' ἀπεῖρξεν; οὐχ ὅδ' ἦν ὁ δρῶν τάδε;

Hoc exemplum non agnoscit Phavorinus. BLOMF. 7 Ed. Vratisl. φειδωλίᾳ — ἀκριβείᾳ in texto; in not.: (Gal.) „φειδωλία, uti noster. Sed quia hic ἀκριβείᾳ subscripto ι habet, idem in φειδωλία, ut in multis facit, omisisse putandus est. Gal. habet ἀκρίβεια." MA. φειδωλία ἀντὶ τῆς ἀκριβείας. — Post ἀκριβείᾳ RMA. addunt: καὶ πάλιν μετάληψίς ἐστιν, ὡς ὅταν τις τὸν γοργῶς τρέχοντα ὀξὺν εἴπῃ περὶ τὸν δρόμον. τὸ γὰρ ὀξὺ κυρίως ἐπὶ ἠκονημένου σιδήρου λέγεται· ὅθεν καὶ τὸ ὀξῦναι μάχαιραν ἢ ἄλλο τι ἀκονῆσαι σημαίνει. 8 RMA. ἄρ' om. Il. β, 426. 9 MS. ἀπείραντες. Edd. vulgares ἐμπείραντες. [ut MA.] BLOMF. R. ἀμπείραντες. 10 Gal. A. Δημήτραν. 11 ἢ Gal. om., recepi ex R. — In MA. γίνεται δὲ ἢ ἀπὸ τῶν εὑρ. In M. post γίνεται signo superimposito aliquid notari videtur. 12 R. ἀλλὰ om. 13 MA. addunt: ἢ πάλιν, ὅταν ἐκ τῶν περιεχόντων τὰ περιεχόμενα κατονομάσωμεν κατὰ τὴν γραφὴν, ἥ φησι, παιδεύθητε πάντες οἱ κρίνοντες τὴν γῆν· ἀντὶ τοῦ, οἱ ἐν τῇ γῇ· ἢ ἐκ τῶν οἰκούντων τὰ οἰκούμενα, ὡς ὅταν τὴν ἀσέλγειαν Σοδομιτικὴν ἐργασίαν εἴπωμεν· καὶ γὰρ ἐκ τῶν οἰκούντων τὰ τηνικαῦτα ἀσελγῶν τὰ [male Beyerus ἀσελγῶντα conjecit] Σόδομα, τὸν ἀσελγισμὸν ἐπιφέρεται.

νεγμένη, προςδεομένη δέ τινος ἔξωθεν ἀκολουθίας·[1] τῶν δὲ συνεκδοχῶν εἰσὶ διαφοραὶ πλείους· αἱ μὲν γὰρ ἀπὸ μέρους τὸ ὅλον δηλοῦσιν, ὡς[2] ἀργυρόπεζα Θέτις καὶ λευκώλενος Ἥρη· ἢ ἀπὸ τοῦ ὅλου τὸ μέρος· οἷον χάλκεον ἔγχος· οὐ γὰρ[3] ὅλον, ἀλλὰ μέρος· καὶ βόας αὔας,[4] τὰς βύρσας· ἢ ἀπὸ τῆς ὕλης τὸ ἀποτέλεσμα· οἷον

Χρυσὸν δ' αὐτὸς ἔδυνε περὶ χροΐ,[5]

ἀντὶ τοῦ χρυσέην[6] πανοπλίαν. ἢ ἀπὸ τοῦ προηγουμένου τὸ ἀκόλουθον· οἷον,

Πολλὰς δ' ἰφθίμους ψυχάς·[7]

ἢ ἀπὸ τοῦ ἀκολούθου τὸ προηγούμενον· οἷον,[8]

Ἑζόμενοι[9] λεύκαινον ὕδωρ ξεστῇς ἐλάτῃσι.

### ν. ΠΕΡΙ ΟΝΟΜΑΤΟΠΟΙΙΑΣ.

Ὀνοματοποιΐα ἐστὶ λέξις κατὰ[10] παραγωγὴν τοῦ καθωμιλημένου ἐξενηνεγμένη·[11] λέγεται δὲ ὀνοματο-

---

1 RMA. addunt: πρὸς ἀπαρτισμὸν τοῦ τελείου· ὡς ὅταν εἰρήνης ἐλθούσης, λέγωμεν οὐκ ἔνι νῦν ὅπλα, ἤγουν οὐκ ἔστι πόλεμος νῦν. 2 Gal. Θέτις et Ἥρη om., recepi ex RMA. 3 Pro οὐ γὰρ ὅλον, ἀλλὰ μέρος R. habet καὶ βοῦν ἀζαλέην („quae verba leguntur Il. η, 238 sq.") MA. καὶ βοῦν ἀζ. ponunt pro καὶ βόας αὔας τ. βύρσας. 4 Il. μ, 137. R. τὰς ξηρὰς βύρσας. 5 Il. ϑ, 43. Gal. ἐδῦναι. R. ἔνδυνε. M. ἔδυνε. A. ἔδωκε. 6 RMA. χρυσῆν. 7 R. addit: Ἄϊδι προΐαψεν ἡρώων. Il. α, 3. 8 R. inserit: οἵδ' ἐπ' ἐρετμά. 9 Gal. εἰβόμεναι — ξαιστῆς. MAR. ξεστῆς ἐλάτῃσιν. Od. μ, 172. 10 RMA. inserunt: μίμησιν καὶ ὁμοιότητα [MA. addunt: τινα] τοῦ σημαινομένου γεγονυῖα· ἢ κατά. 11 MA. inserunt: ὡς ὅταν τις τοὺς ἀσήμους κτύπους φωνὰς ὀνομάζῃ· καὶ ὡς ἡ γραφὴ λέγει, φωνὴν ἔδωκαν αἱ νεφέλαι, τὴν βροντὴν λέγων· διὰ τὸ περιηχεῖν ἡμᾶς φωνὴν ὀνομάζουσα· φωνὴ γὰρ κυρίως ἡ ἐκ νοῦ προερχομένη λέγεται· ἐπεὶ καὶ φῶς νοῦ ἡ φωνὴ ἐτυμολογεῖται, λέγεται δὲ ἡ ὀνομ. ἑπταχῶς κατὰ ἐτυμολογίαν, ὡς τὸν εὐλαβῆ λίθον τὸν εὐλ. λέγει· καὶ οὐ τὸ σύνηθες. κατὰ ἀναλ.

ποῖα ἑπταχῶς· κατὰ ἐτυμολογίαν, κατὰ ἀναλογίαν, κατὰ παρονομασίαν,[12] κατὰ σύνθεσιν, κατὰ ἐναλλαγὴν, κατὰ διαίρεσιν, κατὰ πεποιημένον. κατὰ μὲν ἐτυμολογίαν,[13] εὐλαβῆ λίθον τὸν εὔληπτον· κατὰ δὲ ἀναλογίαν, ὡς παρὰ Σοφοκλεῖ·

Γεροντα γωγῶ κἀναπαιδεύω πάλιν·[14]

ἀναλόγως γὰρ τὸ[15] γεροντα γωγεῖν συνήθους ὄντος τοῦ παιδαγωγεῖν εἴληπται· κατὰ παρονομασίαν,[16] χρυσῶ ἀπὸ τοῦ χρυσοῦ· οὕτως ὠνόμασται καὶ παρ' Αἰσχύλῳ μελλώ·[17]

Χρονίζομεν γὰρ[18] ὧδε, τῆς μελλοῦς[19] χάριν.

κατὰ σύνθεσιν, ὡς τὸ[20] ποδάρκης δῖος Ἀχιλλεύς· καὶ νεφεληγερέτα Ζεὺς κατ' ἐναλλαγὴν, ὡς ὅταν ἐπὶ συνθέτων ὀνομάτων ἐναλλάξῃ τις τὸ καθωμιλημένον, ὡς παρὰ Σοφοκλεῖ,[21]

Οἱ γὰρ γύνανδροι, καὶ λέγειν ἠσκηκότες,

---

12 R. παρωνομασίαν. 13 R. inserit ὡς ὅταν ε. λ. λέγωμεν. 14 Pelei fragm. I. 2. ed. Brunck. BLOMF. MA. καὶ ἀναπαιδεύω, omisso πάλιν. 15 Gal. ἀναλ. γὰρ τῷ γερ. συνήθως οὕτω τὸ παιδ. Blomf. Phavorinum secutus scripsit: ἀναλ. γὰρ τῷ γερ. συνηθῶς ἀντὶ τοῦ παιδ. Boiss. Anecd. T. III. p. 290. scribendum censet ἀναλ. γὰρ τὸ γεροντα γωγεῖν· συνήθως οὕτω τὸ παιδ. RMA. ἀν. γὰρ τὸ γερ. συνηθοῦς [M. συνήθους. A. συνήθως] ὄντος τοῦ παιδ. εἴληπται. 16 R. παρωνομασίαν, ὡς χρ. εἴληπται. MA. ὡς χρυσοῦς αἰτ. χρ. ὡς καὶ παρ' Αἰσχ. ὠνόμασται. χρονίζ. 17 Pro μελλῶ Phavorinus ὡς. In MSto interpungitur post Αἰσχύλῳ. Manifesto respicitur Agam. 1358., qui versus hodie ita legitur, Χρονίζομεν γάρ· οἱ δὲ μελλούσης κλέος Πέδον πατοῦντες, οὐ καθεύδουσιν χερί. Legendum puto Χρονίζομεν γάρ· οἱ δὲ τῆς μελλοῦς χάριν Πέδον πατοῦντες οὐ καθεύδουσιν χερί. BLOMF. Gal. μελλῶ. R. μελῶ semicolo praefixo. 18 γὰρ inserui invitis codicibus. 19 R. μελοῦς. 20 Gal. ὁ et mox νεφεληγερέτη. MAR. τὸ et νεφεληγερέτα. 21 Vide Brunckii Lexicon Sophocleum in voce γύνανδροι. BLOMF.

ἀντὶ τοῦ,[22] οἱ ἀνδρόγυνοι· κατὰ διαίρεσιν δὲ,[23] ὡς εἴ τις τὸ σύνθετον καταδιέλοι,[24] ὡς παρὰ τῷ ποιητῇ·[25] ἀκρόπολιν, πόλιν ἄκρην. πεποιημένον,[26] ὡς τὸ τετριγῶτας καὶ κελαρύζει·[27] καὶ λάψοντες γλώσσῃσι·[28]

## θ'. ΠΕΡΙ ΠΕΡΙΦΡΑΣΕΩΣ.

Περίφρασίς ἐστι φράσις,[1] πλείοσι λέξεσι παριστάνουσα[2] μετ' αὐξήσεως τὸ ὑποκείμενον πρᾶγμα· οἷον, Ποσειδάωνος[3] σθένος, ἀντὶ τοῦ Ποσειδῶνος·[4] καὶ βίη Ἡρακλείη,[5] καὶ Πριάμοιο βίη, καὶ μένος Ἀτρείδαο, καὶ ἲς Τηλεμάχοιο, καὶ Πατροκλῆος λάσιον κῆρ.[6]

## ι'. ΠΕΡΙ ΑΝΑΣΤΡΟΦΗΣ.

Ἀναστροφή ἐστι λέξις,[7] ἣν ἐχρῆν προηγεῖσθαι,

---

22 ἀντὶ τοῦ MA. om. 23 RMA. δὲ om. 24 R. διέλοι. MA. διέλῃ, ὡς λέγει ὁ ποιητὴς, ἀκρόπολιν, καὶ διέλῃ λέγων, πόλιν ἄκρην. καὶ πεποιημένην, ὡς τὸ τετρυγῶτας [R. τετριγότας. Gal. τετριγότα.] Il. β, 314. 25 Semicol. R. nescit. Dein habet ἀκροπ. λέγοντι. Il. χ, 383. 26 R. κατὰ πεποιημένον. 27 Gal. RMA. κελαρίζει. Blomf. scripsit κελαρύζει. Il. φ, 261. 28 Il. π, 161.

1 R. Περίφρασις ἐστὶ, φρ. Gal. περίφρασίς ἐστι λέξεως φράσις. 2 Gal. περιστάνουσα. tum MA. μετὰ αὐξήσ. 3 MA. Gal. et Rehd. Ποσειδάονος. „Scripserat Trypho Ὠρίωνος, ex Iliad. σ, 486. Cetera exempla apud Homerum quaerant, qui velint. Ἡρακλείη MS.“ BLOMF. 4 ἀντὶ τοῦ Ποσειδῶνος MA. om. In R. est ἀντὶ τοῦ ὁ Ποσειδῶν. 5 Addit R. ἀντὶ τοῦ ὁ Ἡρακλῆς. 6 MA. addunt: καὶ πάλιν ὡς [insere monente Beiero: ὅταν τις] ἀντὶ τοῦ εἰπεῖν τίς μὰ τὸν θεὸν, εἴπῃ, μὰ τὴν φοβερὰν δύναμιν τοῦ θεοῦ· ὃ οὐδὲν ἄλλο ἐσήμανεν, εἰ μὴ τὸν θεόν. 7 MA. λέξις ἀναστρέφουσα ἐκ τοῦ ὑποκειμένου εἰς τὸ προκείμενον, μηδενὸς μέρους λόγου μεταξὺ πίπτοντος· οἷον [adde monente Beiero ὅταν τις] ἀντὶ τοῦ εἰπεῖν, ἕως ἡμῶν ἦλθεν, εἴπῃ, ἡμῶν ἕως ἦλ-

δευτέραν ἔχουσα τάξιν· γίνεται δὲ [8] ἤτοι ὀνόματος ἢ προθέσεως ἢ ἐπιῤῥήματος μετακίνησις· [9] ἐπὶ ὀνόματος μὲν, οἷον·

Οὕνεκα τὸν Χρύσην ἠτίμησ' [10] ἀρητῆρα
Ἀτρείδης.

τὸ [11] γὰρ ἑξῆς, τὸν ἀρητῆρα Χρύσην· ἐπὶ δὲ [12] προθέσεως, οἷον,

Ὧι ἔπι πόλλ' ἐμόγησα. [13]

ἀντὶ τοῦ ἐφ' ᾧ. καὶ Ἰθάκῃ ἔνι, ἀντὶ τοῦ ἐν Ἰθάκῃ· [14] ἐπὶ δὲ [15] ἐπιῤῥήματος, οἷον, ὄρνιθες ὥς· βόες ὥς.

## ιά. ΠΕΡΙ ΥΠΕΡΒΑΤΟΥ. [16]

Ὑπερβατόν ἐστι λέξις [17] μετακεκινημένη ἀπὸ τῆς ἰδίας τάξεως· γίνεται δὲ ὑπερβατὸν ἐν εἴδεσι δυσίν· ἢ γὰρ ἐν λόγῳ, ἢ ἐν λέξει· ἐν λέξει μὲν, οἷον, κατὰ ταῦρον ἐδηδὼς, ἀντὶ τοῦ κατεδηδώς· ἐν λόγῳ δὲ, οἷον,

Ὣς ἔφατ'. [18] Ἀργεῖοι δὲ μέγ' ἴαχον, ἀμφὶ δὲ νῆες

---

θε. γίνεται δὲ ἐπὶ ὀνόματος, ὡς τὸ, οὕνεκα τὸν Χρύσην. ἢ ἐπὶ προθέσεως, οἷον, ᾧ ἐπὶ πόλλ' ἐμόγησα. δόσαν δέ μοι υἷες Ἀχαιῶν· ἀντὶ τοῦ, ἐφ' ᾧ· καὶ ὡς τὸ, Ἰθάκῃ ἔνι, ἀντὶ τοῦ, ἐν Ἰθάκῃ. ἢ ἐπὶ ἐπιῤῥήματος, οἷον, ὄρνιθες ὥς· βόες ὥς· καὶ τὸ, περὶ ἐγὼ ἕως. 8 ἢ Gal. om. R. δὲ, ἤτοι ἐπὶ ὀνόμ., ἢ. 9 R. ἡ μετακ. Sqq. ἐπὶ ὀνόματος μὲν Gal. om., recepi ex R. 10 Gal. ἠτίμησεν, Il. α, 11. 11 R. τῇ γὰρ ἑξῆς ἐπιφέρει τὸν ἀρ. 12 R. ἐπὶ δὲ προθ. Gal. κατὰ προθ. 13 Il. α, 162. 14 Verba ἀντὶ τοῦ ἐν Ἰθάκῃ R. om. 15 R. ἐπὶ δὲ ἐπιῤῥ. Gal. ἐπὶ δὲ om. 16 Gal. ὑπερβάτου et ὑπέρβατον. RMA. ὑπερβατόν. 17 MA. λέξις ὑπερβαίνουσα ἐκ τοῦ προηγουμένου τὸ ἑπόμενον, ὡς ὅταν τις εἴπῃ· ἐπικαλοῦμαι τὸν θεὸν, καὶ λέξῃ, ἐπὶ τὸν θεὸν καλοῦμαι. ὑπερβατὸν δὲ λέγει, διότι μετακινεῖται ἀπὸ τῆς ἰδίας τάξεως. Γίνεται δὲ διχῶς. ἢ ἐν λόγῳ, ἢ ἐν λέξει. ἐν λέξει μὲν, ὡς παρ' Ἀριστοφάνει· εἰ μὴ φράσεις γὰρ, ἀπό σ' ὀλῶ κακὸν κακῶς. 18 Il. β, 333. sqq.

*Σμερδαλέον κονάβησαν ἀϋσάντων ὑπ᾽ Ἀχαιῶν*
*Μῦθον* [19] *ἀγασσαμένοι Διομήδεος ἱπποδάμοιο.*

διαφέρει δὲ τῆς ἀναστροφῆς, ὅτι ἡ μὲν [20] τὰ τελευταῖα τοῖς πρώτοις συνάπτει· τὸ [21] δὲ τὰ τελευταῖα ἐπὶ τὰ πρῶτα ἀνάγει.

## ιβ'. ΠΕΡΙ ΠΛΕΟΝΑΣΜΟΥ.

Πλεονασμός ἐστι λέξις ἢ [1] καθάπαξ ἢ μέρεσι τισὶ πλεονάζουσα· [2] εἴδη δὲ εἰσὶ [3] τοῦ πλεονασμοῦ τρία· [4] παράγωγον, ἔκτασις, παραπλήρωμα· παράγωγον μὲν οὖν ἐστι λέξις ἐν αὐτῇ τὸ πλεονάζον ἔχουσα· οἷον, κελαινεφὲς αἷμα· οὐ γὰρ ἔγκειται [5] τὸ νέφος· ὁμοίως καὶ τὸ χθονὸς εὐρυοδείης [6] παρῆκται. οὐ γὰρ ἔγκειται ἡ ὁδός. ἔκτασις δέ ἐστι λέξις ἐκτεινομένη παρὰ τὸ σύνηθες· οἷον, καλῇσι· θέλῃσι· δῶσι· [7] παραπλήρωμα δέ ἐστι [8] λέξις ἐκ περισσοῦ παραλαμβανομένη· οἷον

---

19 Verba μῦθον — ἱπποδάμοιο in MAR. desunt. 20 Addit R. ἀναστροφή. 21 Gal. ἡ δὲ [etiam A. ἡ δὲ] τ. τελ. ἐπὶ τοῖς πρώτοις ἐνάγει. R. τὸ δ' ὑπερβατὸν τὰ πρῶτα τοῖς τελευταίοις. nihil amplius. Verba recepta obtulerunt MA.

1 R. λέξις ἡ καθάπαξ μέρεσι τισί. MA. Πλ. ἐστιν, ὅταν πλεονάσῃ συλλαβὴ λέξεως, καὶ πάλιν τὸ αὐτὸ σημαίνουσα, ὡς ἔχει τὸ ἄντιος, καὶ τὸ ἐναντίος· ταὐτὸν γάρ ἐστι. καὶ τὸ ἔναντι, κατέναντι. καὶ τὸ πανταχοῦ, ἁπανταχοῦ· καὶ τὸ θέλω, ἐθέλω, καὶ ἕτερα. 2 R. addit καὶ πάλιν τὸ αὐτὸ σημαίνουσα. 3 MA. τοῦ πλεον, εἰσι. 4 R. δύο παραγωγὴ καὶ ἔκτασις. Παραγωγὴ μὲν οὖν ἐστι. MA. τρία παραγωγὴ, ἔκτασις καὶ παραπλήρωμα. παραγωγή ἐστι λέξ. ἔχουσα ἐν αὐτῇ. [R. αὐτῇ. Gal. αὐτῇ.] 5 M. Gal. ἔκκειται. MA. οὐ γὰρ — ὁμοίως om. 6 Gal. εὐρυόδειαν. R. εὐρυοδείης, π. M. εὐριοδίης. A. εὐρυοδίης. Correxerunt Blomf. et Titz. — Sqq. παρῆκται — ὁδὸς MA. om. 7 Pro δῶσι MA. habent ὁπόσοισι. Sequitur in R. deinceps cap. περὶ ἐλλείψεως, cui subjectum legitur cap. περὶ παραπληρώματος. 8 R. δ' ἐστὶ, λέξ. MA. παραπλήρωμά ἐστι λέξις ὅλη.

*Πάνδαρος*, [9] *ᾧ καὶ τόξον Ἀπόλλων αὐτὸς ἔδωκεν*·
ὁ γὰρ καὶ σύνδεσμος ἐνθάδε [10] πλεονάζει· καὶ
*Ἀρχοὺς αὖ νηῶν ἐρέω*, [11] *νῆάς τε προπάσας*,
πλεονάζει ἡ πρό.

## ιγʹ. ΠΕΡΙ ΕΛΛΕΙΨΕΩΣ.

Ἔλλειψίς [12] ἐστι λέξις οὐ κατὰ τὸ πλῆρες ἐξενηνεγμένη· [13] γίνεται δὲ κατ᾽ ἀρχὴν, κατὰ μέσον, κατὰ τέλος· [14] οἷον, ἀφαίρεσις, συγκοπὴ καὶ ἀποκοπή· κατ᾽ ἀρχὴν μὲν, οἷον λείβειν εἴβειν· κατὰ μέσον, οἷον, μονώνυχας μώνυχας· κατὰ δὲ τὸ τέλος, δῶμα [15] δῶ.

Τρόποι μὲν οὖν [16] οὗτοι τῆς γραμματικῆς, τὴν κοινὴν συνήθειαν παραβαίνοντες· λοιποὶ δὲ τῆς φράσεως εἰσὶν κζʹ. [17] ὑπερβολὴ, ἔμφασις, ἐνέργεια, παρασιώπησις, ὁμοίωσις, εἰκὼν, παράδειγμα, παραβολὴ, χαρακτηρισμὸς, εἰκασμὸς, συντομία, βραχύτης, σύλληψις, ἐπανάληψις, προαναφώνησις, παρέκβασις, [18] ἀμφιβολία, ἀντίφρασις, μετατύπωσις, ἀντονομασία, [19] εἰρωνεία, σαρκασμὸς,

---

9 Gal. R. *Πίνδαρος* MA. om. Il. β, 827. 10 R. *ἐνταῦθα*. MA. om. 11 Gal. *ἐρέων*. R. *νῆας τε*. M. *νῆας τὲ πρὸ πάσ.* Il. β, 493. 12 R. *ἔλλειψις ἐστὶ, λ.* 13 MA. *ἐκφερομένη*. 14 R. dein ita legit: *κατὰ μὲν τὴν ἀρχὴν, ἡ ἀφαίρεσις· οἷον λείβειν, εἴβειν. κατὰ δὲ τὸ μέσον, ἡ συγκοπή· οἷον μονόνυχας ἵππους, μώνυχας.* MA. *λέγεται δὲ τὸ κατ᾽ ἀρ. ἀφ. οἷον λείβειν εἴβειν. τὸ μέσον συγκοπὴ, οἷον μονώνυχας μώνυχας. τὸ τέλος ἀποκοπὴ, δῶμα δῶ. — Παραπληρωμά ἐστι λέξις τετελειωμένη, ἔχουσα ἐν ἑαυτῇ ἀπαρτισμένον τῆς φράσεως νοῦν.* Sequitur in M. titulus: *περὶ τρόπων ποιητικῶν.* Tum MA. incipiunt: *ἕτεροι τρόποι ποιητικοὶ κζ δηλωτικοὶ συνεσκευασμένης φράσεως ῥητορικῆς καὶ λογικῆς παιδεύσεως.* 15 R. *οἷον δῶμα· δῶ· κρίμνον, κρῖ.* 16 *οὖν* Gal. om. Recepi ex R. 17 R. *εἰκοσιεπτά.* 18 RMA, *παρέκβασις*. Gal. *παρέκτασις*. 19 R. *ἀντωνομασία*.

ἀστεϊσμὸς, μυκτηρισμὸς, χαριεντισμὸς, ἐπικερτόμησις, παροιμία.

### ά. ΠΕΡΙ ΥΠΕΡΒΟΛΗΣ.

Ὑπερβολή ἐστι [1] φράσις ὑπεραίρουσα τὴν ἀλήθειαν αὐξήσεως ἢ μειώσεως [2] χάριν· αὐξήσεως μὲν, οἷον,

*Ἠχὴ δ' ἀμφοτέρων ἵκετ' [3] αἰθέρα καὶ Διὸς αὐγάς·*

καὶ·

*Λευκότεροι χιόνος, θείειν δ' ἀνέμοισιν ὁμοῖοι·[4]*

καὶ μελάντερον ἠΰτε πίσσα· [5] καὶ

*Κούρην δ' οὐ [6] γαμέω Ἀγαμέμνονος Ἀτρείδαο,*
*Οὐδ' εἰ χρυσείῃ Ἀφροδίτῃ κάλλος ἐρίζοι· [7]*

καὶ τὰ ἑξῆς· μειώσεως δὲ, οἷον Δίφιλός [8] φησιν ἐπὶ αἰσχρᾶς γυναικός·

*Ἣν ὁ πατὴρ ἐφίλησεν [9] οὐδὲ πώποτε·*
*Παρ' ἧς τὸν ἄρτον ἡ κύων οὐ λαμβάνει·*
*Μέλαινα δ' οὕτως, ὥστε καὶ ποιεῖν σκότος. [10]*

### β'. ΠΕΡΙ ΕΜΦΑΣΕΩΣ.

Ἔμφασίς ἐστι [1] λέξις δι' ὑπονοίας αὐξάνουσα τὸ δηλούμενον· οἷον,

---

1 R. ὑπερβολή ἐστι, φρ. 2 Cant. ὁμοιώσεως. R. μειώσεως εἵνεκα. MA. αὐξ. χάριν ἢ μειώσ. 3 Gal. RA. ἵκετο. M. ἵκετ'. — Il. ν. 537. 4 RMA. καὶ ἵπποι χιόνος λευκ. tum Gal. θείην. MA. ὁμοῖαι. Il. κ. 437. 5 Il. δ. 277. 6 MA. ἣν γαμέω — οὐδ' ἡ χρυσῇ Ἀφροδίτη. Gal. χρυσῇ. Il. ι. 388. 7 R. ἐρίζει· ἔργα δ' Ἀθηναίῃ γλαυκώπιδι ἰσοφαρίζει· μειώσεως. 8 MS. διόφιλος. Phavorinus οἷον διϊ φίλος ἦν ἐπὶ αἰ. γ. Dein legendum forsan: Ἣν μὲν ὁ πατὴρ — vel Ἣν οὐδ' ὁ πατήρ. BLOMF. Rehd. Διΐφιλος φησίν. MA. Διϊ φίλος ἦν, quod Titz. legendum putat Δίφιλος ἦν i. e. ἔφην. 9 MA. φίλησεν. tum MAR. οὐδεπώποτε. v. sq. MAR. ἡ κύων. Gal. ὁ κύων. 10 MA. addunt: καὶ πάλιν ὑπερβολή ἐστιν, ὅταν τις τὸν γοργῶς τρέχοντα εἴπῃ, τρέχει ὡς ἄνεμος, καὶ τὸ λευκὸν εἴπῃ· ὡσεὶ χιών.

1 R. ἔμφασις ἐστί. mox MAR. αὔξουσα.

Αὐτὰρ ὅτ' εἰς ἵππον [2] κατεβαίνομεν·

ἐν γὰρ τῷ [3] κατεβαίνομεν δηλοῦται τὸ μέγεθος τοῦ ἵππου· καὶ πάλιν· ἱππόθεν ἐκχυμένοι·[4] τὴν γὰρ ἀθρόαν ὁρμὴν τοῦ πλήθους διὰ μιᾶς ἐσήμανε λέξεως.[5]

### γ'. ΠΕΡΙ ΕΝΕΡΓΕΙΑΣ.

Ἐνέργειά ἐστι [6] φράσις ὑπ' ὄψιν ἄγουσα τὸ νοούμενον· οἷον,

Μυρίοι,[7] οὐκ ἄνδρεσσιν ἐοικότες, ἀλλὰ Γίγασιν·

ἔχονται δὲ [8] τῆς ἐνεργείας καὶ αἱ τοῦ Ὁμήρου παραβολαί.

### δ'. ΠΕΡΙ ΠΑΡΑΣΙΩΠΗΣΕΩΣ.

Παρασιώπησίς ἐστι λόγος, ἐν ᾧ δύο ὀφειλόντων πραγμάτων κατὰ τὸ πλῆρες λέγεσθαι, τοῦ μὲν ἑνός ἐστιν[9] ἐπαγγελία, τοῦ δ' ἑτέρου παρασιώπησις, κατὰ τὸ ἀνάλογον νοουμένη· οἷον,

Αὐτὰρ ὁ Διογενὴς [10] δόρυ μὲν λίπεν.[11]

ὡς μὲν γὰρ [12] ἔθηκεν, εἶπεν· ὡς δὲ ἀνέλαβεν, οὔ.

### ε'. ΠΕΡΙ ΟΜΟΙΩΣΕΩΣ.

Ὁμοίωσίς ἐστι ῥῆσις, καθ' ἣν ἕτερον ἑτέρῳ παρα-

---

2 Gal. RMA. ἐξ ἵππων. Blomf. recepit εἰς ἵππον ex Od. λ, 523. 3 Gal. τοῖς. R. τῷ κατεβ. AM. ἐν γὰρ τῷ κατεβ. om. Mox RMA. τὸ τοῦ ἵππου μέγ. 4 Od. θ. 515. Gal. RMA. ἐκκεχύμενοι. 5 RMA. λέξεως ἐσήμανεν. 6 R. Ἐνέργεια. ἐστὶ, quod vitium etiam in seqq. recurrit. — Boissonadio ad Tiber. p. 540. magis placeret ἐνάργεια. 7 MA. μυρίοισιν [A. μυρίοι] οὐκ ἀνδράσιν. — Od. κ. 120. 8 MA. γάρ. Mox RMA. post ἐνεργείας addunt ἐπιπολύ. 9 R. ἑνός ἐστιν ἡ ἐπαγγ. MA. ἑτέρου ἐστὶν ἡ ἐπαγγ. [M. ἀπαγγελία] τὸ δὲ ἕτερον κατὰ τὸ ἀνάλογον νοεῖται. 10 RMA. ὁ [R. ὅ] Διομήδης. — Il. φ, 17. 11 MA. Gal. R. ἔθηκεν. Blomf. scripsit λίπεν. 12 γὰρ MA. om.

βάλλομεν· εἴδη δὲ αὐτῆς[13] εἰσὶ τρία· εἰκών, παράδειγμα, παραβολή. Εἰκών[14] ἐστι λόγος ἐναργῶς ἐξομοιοῦν πειρώμενος[15] διὰ τοῦ παραλαμβανομένου, πρὸς ὃ παραλαμβάνεται· οἷον,

Ἠΰτε βοῦς ἀγέληφι[16] μέγ' ἔξοχος ἔπλετο πάντων.

παρέπεται δὲ τῇ εἰκόνι μέγεθος· σχῆμα· χρῶμα· εἰκονίζεται δὲ, ἤτοι ὅλα πρὸς ὅλα· οἷον περίφρων Πηνελόπεια,[17] Ἀρτέμιδι ἰκέλη· ἢ μέρη πρὸς μέρη· οἷον,

Ἄρεϊ μὲν[18] ζώνην, στέρνον δὲ Ποσειδάωνι·

σχῆμα δὲ πρὸς σχῆμα, οἷον,

Ἠΰτε ἔθνεα εἶσι[19] μελισσάων ἀδινάων·

χρῶμα δὲ πρὸς χρῶμα, οἷον,

Ὡς δ' ὅτε τίς τ' ἐλέφαντα γυνὴ φοίνικι μιήνῃ.[20]

μέγεθος δὲ πρὸς μέγεθος, οἷον,

Κύκλωπος γὰρ ἔκειτο μέγα ῥόπαλον παρὰ σηκῷ
Ὡς ἱστὸς νηὸς ἐεικοσόροιο·[21]

παράδειγμά ἐστι[22] τοῦ προγεγονότος πράγματος παρένθεσις καθ' ὁμοιότητα τῶν ὑποκειμένων πρὸς παραίνεσιν, προτροπῆς ἢ ἀποτροπῆς ἕνεκεν· προτροπῆς μὲν, οἷον,[23]

---

13 MA. αὐτοῦ. Sq. εἰσι MAR. om. Mox habent παράδειγμα καὶ παραβ. 13 R. post εἰκὼν addit μὲν οὖν. 15 R. πειρώμενος ἐξομ. ἐναργῶς. MA. πειρ. ἐξομ. sine ἐναργ. 16 Il. β, 480. In Gal. nihil praeter tria prima verba. BLOMF. MAR. ἀγέληφι sine ι subscr. 17 Gal. MA. Πηνελόπη. Od. ρ, 36. sq. τ, 53 sq. 18 Il. β, 479., ubi Ἄρει δὲ ζώνην, ut est in MA. tum MAR. Ποσειδάονι, Iidem h. l. inserunt quae infra leguntur verba: μέγεθος δὲ πρὸς μέγεθος, οἷον, Κύκλ. παρὰ σηκῷ [R. παρασηκῷ]· ὡς ἱστὸς νηὸς ἐἰκοσόροιο. [A. ὡς ἱστὸν νηὸς ἐοικὸς ὅρους. M. ἱστῷ νηὸς ἐοικός.] Ed. Vratisl. in not.: „Od. IX. 319.“ 19 Gal. εἰσὶ. RMA. εἶσι, ut Il. β, 87. 20 Desunt voces φοίνικι μιήνῃ in Gal. MA. Exstant in R. Posuit etiam Blomf. Il. δ, 141. 21 Sic Gal. pro ὅσσον θ' ἱστὸν νηός. 22 R. παράδειγμα ἐστί. tum MAR. παράθεσις. 23

Οὐκ ἀΐεις οἷον κλέος ἔλλαβε[24] δῖος Ὀρέστης,
Πάντας ἐπ' ἀνθρώπους,[25] ἐπεὶ[26] ἔκτανε πατροφονῆα,
Αἴγισθον δολόμητιν ὅς οἱ πατέρα κλυτὸν ἔκτα;

ἀποτροπῆς δὲ,[27]

Οὐδὲ γὰρ οὐδὲ Δρύαντος υἱὸς κρατερὸς Λυκόεργος
Δὴν ἦν, ὅς ῥα θεοῖσιν ἐπουρανίοισιν[28] ἔριζε·

διαφέρει δὲ παράδειγμα παραβολῆς, ὅτι τὸ μὲν παράδειγμα ἀπὸ γεγονότων πραγμάτων παραλαμβάνεται· ἡ δὲ παραβολὴ ἐξ ἀορίστων καὶ ἐνδεχομένων γενέσθαι.

Κόμμα ἐστὶ φράσις βραχύ τι νόημα ἔχουσα, οἷον,[29]

---

οἷον RMA. om. tum R. ἦ οὐκ ἀκούεις. MA. οὐκ ἀΐεις. — Od. χ, 298. ubi Ἦ οὐκ ἀΐεις. 24 Gal. ἤνεγε. MAR. ἔλαβε. Blomf. scripsit ἔλλαβε. 25 πάντας ἐπ' ἀνθρώπους, et mox ὅς οἱ πατέρα κλυτὸν ἔκτα Gal. om., recepi ex R. 26 Gal. MA. ἐπήν. 27 MAR. δὲ, οἷον. 28 Gal. pro Δὴν ἦν, ὅς ῥα θεοῖσιν ἐπουρανίοισιν ἔριζε, quod est in Iliad. ζ, 131., habet δὴν ἦν, ἐπεὶ ἀθανάτοισι ἔριζε. [consentit MA.] In priore versu nullus dubito quin dederit Homerus, Οὐ μὴν οὐδὲ Δρύαντος, ut in Iliad. ψ, 441. Ἀλλ' οὐ μὴν οὐδ' ὥς. Theocrit. VIII. 74. Οὐ μὰν οὐδὲ λόγον. XIX, 35. Οὐ μὰν οὐ κιθάραν. Eurip. Alc. 89. Οὐ μὰν οὐδέ τις ἀμφιπόλων. Epicharm. ap. Diog. Laërt. Οὐ μὰν, οὐδὲ ποτὶ μέτρον. Restituenda est haec formula Hermesianacti ap. Athenaeum XIII. p. 597. v. 63. Οὐ μὴν οὐδ' ὁπόσοι σκληρὸν βίον ἐστήσαντο· ubi vulgo Οὐδὲ μὲν οὐδ'. Idem recte v. 15. Οὐ μὴν οὐδ' υἱὸς Μήνης. Corrigendus etiam Dionysius Geographus v. 240. Οὐ μὴν οὐδ' ὀλίγη. Vulgo: Οὐδὲ μὲν οὐδ'. Idem v. 839. recte: Οὐ μὴν οὐδὲ γυναῖκας ὀνόσσεαι. BLOMF. recepi ex R. v. 6. ὅς ῥα θεοῖσιν ἐπουρανίοισιν ἔριζε. Quibus RMA. subjiciunt: Παραβολή ἐστι, λόγος etc., quae in R. extenduntur usque ad δηϊουν (v. infra not. 42.). Annectit R. διαφέρει δὲ — — — γενέσθαι. Desiderantur in RMA. quae Gal. de commate et de characteribus rhetoricis habet. Pro quibus sequuntur statim Χαρακτηρισμός ἐστι, λόγος etc. 29 Deest οἷον in Gal.

„δεῖ δὲ χρημάτων·“[30] κῶλον δὲ, μέρος νοήματος· οἷον, ἄλλως τε κἂν Ὅμηρον ἔχωσιν.

Χαρακτῆρες ῥητορικοὶ τρεῖς, τουτέστιν εἴδη φράσεων· αὐστηρὸν, μέσον, ἰσχνόν· καὶ τὸν μὲν αὐστηρὸν ὁ Θουκυδίδης ἐπετήδευσε χαρακτῆρα, καὶ Ἀντιφῶν ὁ τούτου διδάσκαλος· τὸν δὲ μέσον Δημοσθένης, Ὑπερίδης, Δείναρχος, Λυκοῦργος· τὸν δὲ ἰσχνὸν Αἰσχίνης, Ἰσοκράτης, Λυσίας, Ἀνδοκίδης,[31] Ἰσαῖος.[32]

Παραβολή ἐστι[33] λόγος[34] διὰ παραθέσεως ὁμοίου πράγματος τὸ ὑποκείμενον μετ' ἐνεργείας παριστάνων· οἷον,

Κινήθη δ' ἀγορὴ, ὡς κύματα μακρὰ θαλάσσης
Πόντου Ἰκαρίοιο·[35]

γίνονται δὲ αἱ παραβολαὶ τετραχῶς· ἤτοι[36] πάθους πάθει ἢ διαθέσεως διαθέσει ἢ φύσεως φύσει ἢ πράξεως πράξει. πάθους μὲν οὖν πάθει,

Ὡς δ' ὅταν ἀσπασίως·[37]

διαθέσεως δὲ διαθέσει,

Ὡς δ' ὅτε τίς[38] τε δράκοντα ἰδὼν παλίνορσος ἀπέστη,[39]
Ὡς αὖθις[40] καθ' ὅμιλον ἔδυ Τρώων ἀγερώχων.

---

30 Dem. Ol. I. p. 15. 31 M. Gal. Ἀνδροκίδης. 32 Gal. Ἰσσαῖος. De horum rhetorum stylis vide Hermogen. περὶ Ἰδ. II. BLOMF. 33 R. παραβολὴ ἐστί. 34 M. φράσις — παριστῶσα. A. λόγος — παριστῶσα, MA. ἢ δι' ὁμοίων καὶ γινωσκομένων ἐπ' ὄψιν ἄγουσα τὸ νοούμενον· ὡς ἡ τοῦ Κυρίου περὶ τοῦ ἀσώτου παραβολὴ, ἐν ᾗ δείκνυσι τὴν πολλὴν εὐσπλαγχνίαν τοῦ θεοῦ καὶ πατέρος, καὶ τὴν αὐτοῦ ἀγαθότητα καὶ φιλανθρωπίαν. 35 Gal. Ἰκαρήϊο. — Il. β, 144. 36 MA. ἢ πάθους πάθει, ὡς δ' ὅταν ἀσπασίως. ἢ διαθέσεως διαθέσει. 37 Od. ε, 394. ἀσπάσιος. 38 MA. ὡς δ' ὅταν τις. R. τίς δράκ. sine τε. Il. γ, 33. 39 Gal. ἀπέστης. R. ἀπέστη, οὔρεος ἐν βήσσης ὑπό τε τρόμος ἔλαβε γυῖα, ἄψ δ' ἀνεχώρησεν, ὦχρος (sic) τέ μιν εἷλε παρειάς, ὡς αὖτις καθ' ὅμιλον. 40 Gal. ὡς αὖ τις. MA. καὶ ας ἄν τις.

φύσεως[41] δὲ φύσει, οἷον,

*Οἵη περ[42] φύλλων γενεὴ, τοιήδε καὶ ἀνδρῶν.*

πράξεως[43] δὲ πράξει·

*Οἱ δ' ὡς[44] ἀμητῆρες ἐναντίοι ἀλλήλοισι.[45]*

## ς'. ΠΕΡΙ ΧΑΡΑΚΤΗΡΙΣΜΟΥ.

Χαρακτηρισμός ἐστι λόγος τῶν περὶ τὸ σῶμα ἰδιωμάτων ἀπαγγελτικός· ὃν καί τινες εἰκονισμὸν λέγουσιν· οἷον,

*Γυρὸς ἐν ὤμοισιν,[1] μελανόχροος, οὐλοκάρηνος.*

## ζ'. ΠΕΡΙ ΕΙΚΑΣΜΟΥ.

Εἰκασμός ἐστιν ὁμοιότης εἴδους, παρασπῶσα[2] τὴν φαντασίαν πρὸς τὸ γελοιότερον·[3] ὃ δὴ ἀπό τινων σκῶμμα καλεῖται· διαφέρει δὲ τῆς εἰκόνος, ὡς γένος εἴδους· ἡ μὲν γὰρ εἰκὼν οὐκ εὐθέως εἰκασμός· ὁ δὲ εἰκασμὸς πάντως[4] εἰκών.

---

41 MA. ἢ φύσεως φύσει, οἵη περ φ. 42 R. οἵηπερ. — Il. ζ, 146. 43 MA. ἢ πράξ. πράξει, οἱ δ' ὥστε μητέρες. R. πράξει, ὡς τὸ, οἱ δ' ὥς τ'. 44 Sic recte Phavorinus ex Iliad. λ, 67. Corrupte MS. ὡς δ' ὅτε μητέρες ἐναντίαι ἀλλήλησι. BLOMF. 45 R. ἀλλήλοισιν,

*Ὄγμον ἐλαύνωσιν ἀνδρὸς μάκαρος κατ' ἄρουραν,*
*Πυρῶν ἢ κριθῶν, τὰ δὲ δράγματα ταρφέα πίπτει,*
*Ὣς Τρῶες καὶ Ἀχαιοὶ ἐπ' ἀλλήλοισι θορῶντες*

δῄουν. Quibus subjunguntur Διαφέρει δὲ παράδειγμα παραβολῆς — — — γενέσθαι.

1 R. ἔην ὤμοισι μελάγχροος. MA. ἐν ὤμοισι. Od. τ, 246. 2 MS. et Phavorinus περισπῶσα. BLOMF. Item RMA. 3 RMA. τελειότερον. Dein ὃ δὴ καὶ κόμμα [M. σκόμα, pro quo Titz. scribendum putat σκέμμα. A. σκῶμμα.] 4 R. πάντως καὶ εἰκών. καὶ τὸ μὴ εἰδέναι ἀκριβῶς, εἰκασμὸν λέγομεν. MA. τὸ μὴ εἰδ. — λέγομεν post εἰκὼν addunt.

## η΄. ΠΕΡΙ ΣΥΝΤΟΜΙΑΣ.

Συντομία ἐστὶ φράσις αὐτὰ τὰ ἀναγκαῖα τοῦ δηλουμένου [5] ἔχουσα· οἷον, [6]

Κεῖται Πάτροκλος· νέκυος δὲ δὴ ἀμφιμάχονται
Γυμνοῦ· ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαίολος Ἕκτωρ·

καὶ,

Σφαῖραν ἔπειτ' [7] ἔῤῥιψε μετ' ἀμφίπολον βασίλεια, [8]
Ἀμφιπόλου μὲν ἅμαρτε, [9] βαθείῃ δ' ἔμπεσε [10] δίνῃ·
Ταὶ δ' ἐπὶ μακρὸν ἄϋσαν· ὁ δ' [11] ἔγρετο δῖος Ὀδυσσεύς.

## θ΄. ΠΕΡΙ ΒΡΑΧΥΤΗΤΟΣ.

Βραχύτης ἐστὶ φράσις πλέον τι [12] τοῦ ἀκουομένου νοούμενον [13] ἔχουσα· οἷά ἐστι [14] τὰ Δελφικὰ ἀποφθέγματα· [15] Γνῶθι σαυτόν· χρόνου φείδου· μηδὲν ἄγαν· βραχύτητα δὲ ἔχει καὶ τὸ, [16] Λακεδαιμόνιοι Φιλίππῳ, Διονύσιος ἐν Κορίνθῳ· [17] βούλονται γὰρ εἰπεῖν, μὴ ὑψαύχει, ἀφορῶν [18] εἰς Διονύσιον τανῦν [19] γράμματα ἐν Κορίνθῳ διδάσκοντα, ὃς πρότερον ἐτυράννει.

ι. ΠΕΡΙ

---

5 R. δηλ. πράγματος ἔχουσα. MA. ἔχουσα τὰ ἀναγκαῖα τοῦ δηλ. πράγμ. 6 Il. σ, 20. 7 RMA. ἐπεὶ δ' [MA. γ'] ἔριψε. 8 MS. βασιλείαν. et deinceps Ἀμφὶ πύλου μὲν γὰρ ἅμαρτε, βαθείη δ' ἔμβαλε δίνη. Correxi ex Od. ζ, 115. ubi αἱ v. 117. pro ταί. BLOMF. MA. βασιλῆα, πόλου μὲν ἅμαρτε, Ἀθηναίῃ δ' ἔβαλλε δίνῃ· τὰ δ' ἐπὶ μακρὸν ἄυσαν [A. ἄϋσεν] ὃ δ' ὀδύρετο δ. Ὀ. 9 R. ἅμαρτε. 10 R. ἔμβαλε. 11 R. ὃ δ'. 12 R. πλέόν τι. sic. Gal. τί πλέον. MA. πλέον. 13 R. τὸ νοούμ. 14 MA. εἰσι. 15 MA. addunt: ὡς λέγει — ἄγαν, καὶ τὰ ὅμοια. Cetera ignorant. 16 τὸ Gal. om., recepi ex R. 17 Plut. de garrul. p. 511. a. 18 MS. ἄπων. De epistolis Laconicis vide Valckenaer ad Theocrit. Adoniaz. p. 257. BLOMF. Bl. scripsit ἀπιών. R. ἀφορῶ. 19 R. τὰ νῦν.

### ί. ΠΕΡΙ ΣΥΛΛΗΨΕΩΣ.

Σύλληψίς ἐστι[20] φράσις τὸ ἰδίᾳ τινὶ συμβὰν κατὰ δύο τιθεῖσα· οἷον,

Βορέης[21] καὶ Ζέφυρος τώ τε Θρῄκηθεν ἄητον.[22]

καὶ,

Τὼ δὲ δύω σκάζοντε βάτην·

καὶ φὰν δ' ἔμμεναι Ζηνὸς υἱοὶ καὶ κλυτοπώλου Ποσειδάωνος.[23]

### ιά. ΠΕΡΙ ΕΠΑΝΑΛΗΨΕΩΣ.

Ἐπανάληψίς ἐστι[1] δὶς ἢ καὶ[2] πολλάκις ἐπαλλήλως τιθεμένη φράσις· δὶς μὲν,

Ἀλλ' ὁ μὲν Αἰθίοπας μετεκίαθε[3] τῆλοθ' ἐόντας,
Αἰθίοπας, τοὶ διχθὰ δεδαίαται ἔσχατοι ἀνδρῶν.

πλεονάκις δὲ,

Νιρεὺς Αἰσύμνηθεν[4] ἄγεν τρεῖς νῆας ἐΐσας,
Νιρεὺς, Ἀγλαΐης υἱὸς, χαροποῖό τ' ἄνακτος,
Νιρεὺς, ὃς κάλλιστος ἀνὴρ ὑπὸ[6] Ἴλιον ἦλθε.

γίνεται δὲ ἐπανάληψις, ὅτε[7] τὸ καθάπαξ ῥηθὲν ὑπο-

20 R. σύλληψις ἐστί. 21 M. βορέας. tum MA. θρηΐκηθεν. 22 MS. τότε θρήκηθεν ἀήττον. Legendum in Homeri loco Il. ι, 5. Βοῤῥῆς — ἀήτην. Dein MS. τὸ δὲ βάτη σκάζοντε. Correxi ex Il. τ, 47. BLOMF. RMA. Τὼ δὲ, βάτην σκάζοντε. MA. praec. καὶ om. 23 MAR. κλυτοπώλου Ποσειδάωνος. Gal. κλυτοπόλου Ποσειδάονος.

1 R. ἐπανάληψις ἐστί. 2 καὶ RMA. om. 3 MA. Gal. Αἰθ. μετεκίαθεν [M. μετοικίσθω. A. Αἰθ. μετ. om.] Αἰθίοπας, omissis τῆλοθ' ἐόντας et ἔσχατοι ἀνδρῶν, quae recepi ex R. — Od. α, 22. 4 Il. β, 671. ubi Νιρεὺς δ' αὖ Σύμηθεν. An legendum Αἰσύμηθεν ut in Il. θ, 304. Mox edd. Ἀγλαΐης θ' υἱός. BLOMF. — αὖ Ἐσύμηθεν R. αὐσονίηθεν M. αὖ συνίηθεν A. 5 τρεῖς νῆας ἐΐσας ex R. recepi. Gal. MA. om. 6 MA. ἐπί. Gal. ὑπὸ Ἴλ. ἦλθε om. Recepi ex R. 7 MA. ὅταν. Gal. ὅτι. Blomf. legendum censet ὅτε, ut est in R. Sq. τὸ Gal.

διαιρεῖται[8] κατὰ μέρος. Νιρεὺς δὲ[9] ἐκ τοῦ ἵπτω·[10] Νειρεὺς δὲ ἐκ τοῦ νέω τὸ πορεύομαι· Νηρεὺς ἐκ τοῦ νήχω τὸ κολυμβῶ.

## ιβʹ. ΠΕΡΙ ΠΡΟΑΝΑΦΩΝΗΣΕΩΣ.

Προαναφώνησίς ἐστι[11] λέξις περὶ τῶν μελλόντων προαναφωνουμένη, μεταξὺ τῆς συνεχούσης διηγήσεως·

Αἶψα[12] δ' ἑταῖρον ἑὸν Πατροκλῆα προσέειπε
Φθεγξάμενος παρὰ νηός· ὁ δὲ κλισίηθεν ἀκούσας
Ἔκμολεν[13] ἶσος Ἄρηϊ· κακοῦ δ' ἄρα οἱ πέλεν ἀρχή.

## ιγʹ. ΠΕΡΙ ΠΑΡΕΚΒΑΣΕΩΣ.

Παρέκβασίς ἐστι[1] λόγος χάριν ἱστορίας ἢ γενεαλογίας παραλαμβανόμενος· ὥσπερ ἃ φησὶν[2] ὁ Φοῖνιξ περὶ Κουρήτων.[3]

---

om., recepi ex RMA. 8 MA. ὑποδιαιρεῖται. Titz. scripsit ὑποδιαιρῆται. Sqq. Νιρεὺς — κολυμβῶ MA. om. 9 δὲ R. h. l. et paullo post om. 10 R. ἵπτω. 11 R. προαναφώνησις ἐστὶ, tum RMA. λόγος — προαναφωνούμενος. 12 Gal. αἶψα δὲ τ' ἄρ' ἑὸν Π. MA. αἶψα δ' ἑτάρον υἱόν. Correxit Blomf. Recte se habent in R. — Il. λ, 602. 13 Gal. ἔκμελεν. R. ἔκμολον. MA. ἔκμολεν.

1 R. παρέκβασις ἐστί. 2 MS. ὡς παρά φησιν. Emendavi ex Phavorino in voce παρέκβασις. Respicitur immunis ista Phoenicis oratio apud Il. ι, 524. seqq. BLOMF. R. ὥσπερ ἃ φησιν ὁ Φοῖνιξ. MA. ὥσπερ ἃ φησι Φοίνιξ. [Gal. ὁ Φοίνιξ] 3 R. addit ex Il. ι, 527. sqq.:

Μέμνημαι τόδε ἔργον ἐγὼ πάλαι, οὔτι νέον γε,
Ὡς ἦν, ἐν δ' ὑμῖν ἐρέω πάντεσσι φίλοισι·
Κουρῆτές τ' ἐμάχοντο καὶ Αἰτωλοὶ μενεχάρμαι,
Ἀμφὶ πόλιν Καλυδῶνα καὶ ἀλλήλους ἐνάριζον.
Αἰτωλοὶ μὲν ἀμυνόμενοι Καλυδῶνος ἐραννῆς·
Κουρῆτες δὲ διαπραθέειν μεμαῶτες Ἄρηϊ.

## ιδ΄. ΠΕΡΙ ΑΜΦΙΒΟΛΙΑΣ.

Ἀμφιβολία ἐστὶ λέξις ἢ λόγος δύο καὶ[4] πλείονα πράγματα δηλοῦσα· λέξις μὲν γὰρ εἴρηται, ὅτι αἱ ὁμωνυμίαι ἀμφίβολοί εἰσιν·[5] οἷον, Αἴας, ἄδηλον γάρ,[6] πότερον τῶν Αἰάντων δηλοῖ. λόγος δέ, ἐπεὶ καὶ ἐν λόγῳ[7] ἀμφιβολίαι εἰσίν· οἷον,

Ἅρματα δ᾽ ἔγκλιναν πρὸς ἐνώπια[8] παμφανόωντα·

καί,

Δός δέ τέ μ᾽ ἄνδρα ἑλεῖν, καὶ ἐς ὁρμὴν ἔγχεος ἐλθεῖν.[9]

## ιε΄. ΠΕΡΙ ΑΝΤΙΦΡΑΣΕΩΣ.

Ἀντίφρασίς ἐστι[10] λέξις διὰ τοῦ ἐναντίου ἢ παρακειμένου[11] τὸ ἐναντίον παριστῶσα[12] χωρὶς ὑποκρίσεως· πρόσκειται δὲ χωρὶς ὑποκρίσεως διὰ τὴν εἰρωνείαν, διὰ μὲν τοῦ ἐναντίου τὸ ἐναντίον ἀντιφράζεται οὕτως·

Ἐπεὶ οὔ μιν ἀφαυρότατος[13] βάλ᾽ Ἀχαιῶν·

ἀλλ᾽ ὁ ἄριστος[14] δηλονότι· καί,

Οὐδ᾽ ἄρα τώ[15] γε ἰδὼν γήθησεν Ἀχιλλεύς·

ἀλλὰ συνεχύθη καὶ ἐλυπήθη· ἐνίοτε καὶ αὐτὸ προτίθεται τὸ ἐκ τοῦ ἐναντίου· οἷον, „οὐχ ὁ κάκιστος,[16] ἀλλ᾽

---

4 MA. ἤ. tum R. δηλῶν. Sq. γὰρ MA. om. 5 R. ἀμφίβολοι εἰσίν. 6 γὰρ MA. om. Tum R. ὁπότερον. MA. ὁπότερος τ. A. δηλοῦται. 7 ἐν λόγῳ MA. om. Tum M. ἀμφιβολογίαι. 8 Gal. πρὸς ἐνώπιον. MAR. προςενώπια. R. παμφανόοντα. Il. ϑ, 435. 9 Il. ε, 118. 10 R. ἀντίφρασις ἐστί. 11 ἢ παρακειμένου MA. om. 12 R. παριστῶσα. Gal. περιστῶσα. MA. σημαίνουσα, ὡς ὅταν τις τὸν τυφλὸν πολυβλέποντα εἴπῃ· ἢ τὸν Αἰθίοπα μαργαρίτην καλέσῃ· καὶ πάλιν διὰ τοῦ ἐναντίου κ. τ. λ. 13 MA. οὔ μιν ἀφαυρότατος. Gal. ἄφαυρος βάλλ᾽. R. οὔ μιν ἀφαυρότερος. Blomf. edidit: οὐ μὲν ἀφαυρότατος. Il. ο, 11. 14 R. ἰσχυρός. MA. δηλονότι, ἀλλ᾽ ὁ ἰσχυρός. 15 MA. τόνδε. — Il. α, 330. 16 RMA. inserunt: τὸ [MA. τὸν] καλὸν πράττει. Tum MA. pergunt: ἐντεῦθεν δεικνύει, ὅτι ὁ ἄριστος· καί, οὐκ ὀλίγον καιρὸν ἐγένετο τόδε, δει-

ὁ ἄριστος· διὰ δὲ τοῦ παρακειμένου, τὰ κατ' εὐφημισμὸν λεγόμενα καὶ τὴν κακίαν περιστέλλοντα· ὡς ὅταν τὴν χολὴν ἡδεῖαν [17] λέγωμεν, καὶ τὰς Ἐριννύας [18] Εὐμενίδας· καὶ ἄχαριν [19] τὸν λύπης ποιητικόν· καὶ τὸν δυσειδῆ πίθηκον κάλλιστον· [20] καὶ τὴν σκαιὰν [21] εὐώνυμον· καὶ τοὺς ἅλας ἡδυντῆρας. [22]

## ιϛ΄. ΠΕΡΙ ΜΕΤΑΤΥΠΩΣΕΩΣ. [23]

Μετατύπωσις ἐστὶ λέξις ἐνηλλαγμένα στοχεῖα ἔχουσα, οἷον· „ὑπαὶ [24] πόδα, ἀντὶ τοῦ ὑπὸ πόδα· καὶ τὸ Βορέης, Βορέας· καὶ τὸ Ἕως, Ἠώς. [25]

## ιη΄. ΠΕΡΙ ΑΝΤΟΝΟΜΑΣΙΑΣ.

Ἀντονομασία [1] ἐστὶ λέξις ἢ φράσις διὰ συνωνύμων [2]

---

κνύει, ὅτι πολύν. διὰ δὲ τοῦ παρακειμένου, τὰ κατ' εὐφημισμὸν λεγόμενα, ὡς ὅταν λέγωμεν, τὸν μήδε κλῦοντα, ἄδδην κλυόμενον· καὶ τὰς Ἐριννύας, Εὐμενίδας· καὶ Χάρονα, τὸν λύπης ποιητικόν· καὶ τὴν σκαιὸν, εὐώνυμον· καὶ τὸ πάνυ θερμὸν, ἄγαν ψυχρόν· καὶ τὸν πολλὰ ἀναίσχυντον, ἤρεμον· καὶ τὸ πολλὰ ταριχευτὸν, ἡδύτατον, καὶ τὰ ὅμοια. 17 MS. σχολὴν ἡδεῖαν, unde Blomf. scripsit σχολὴν ἄδειαν, duce Phavorino in v. Ἀσχολία — σχολὴ ἡ ἄδεια. — R. χολὴν ἡδεῖαν, ut emendavit Boisson. Anecd. T. III. p. 279. 18 R. Ἐριννύας. 19 Pro ἄχαριν MS. χάροντα. Vide quae dedi in Glossario ad Prometh. 31. ed. 2dae. BLOMF. R. Χάροντα. 20 R. κάλλιστον. Gal. καλλίαν. „Suspicor hanc vocem καλλίαν corruptam esse ex καὶ λαιὰν, et voces καὶ τὴν σκαιὰν ejiciendas. MS. vero καὶ τὴν σκίαν." BLOMF. Boiss. Anecd. T. III. p. 292. καλλίαν defendit. 21 R. τὸν σκαιόν. 22 Hesych. Ἡδυντῆρες· οἱ ἅλες. Ἐρατοσθένης. Cfr. Photium, et Polluc. VI. 71. p. 608. BLOMF. 23 Tropum hunc Gal. om., quamvis in enumeratione troporum continetur. Restitui ex RMA. 24 M. ὑποί. A. ὑπό. MA. παῖδα. 24 M. ἕως, εἴως. A. τὸ βορέης, ης βορε καὶ τὸ ἕως ὦ. ες.

1 R. Ἀντωνομασία. 2 R. addit: ἤγουν ἐπιθέτων.

ὀνομάτων τὸ κύριον παριστῶσα·[3] λέξις μὲν,[4] Φοῖβε ἀντὶ τοῦ Ἄπολλον· καὶ Ἐννοσίγαιε,[5] ἀντὶ τοῦ Πόσειδον· καὶ[6]

Ὄφρα ἴδῃ[7] γλαυκῶπις, ὅταν ᾧ πατρὶ[8] μάχηται·

ἀντὶ τοῦ Ἀθηνᾶ· Φράσις[9] δὲ, Λητοῦς καὶ Διὸς υἱὸς, ἀντὶ τοῦ Ἀπόλλων. Ἔνιοι[10] δὲ τὴν ἔλλειψιν καὶ τὴν ἀντονομασίαν ὑποτάττουσι τῇ συνεκδοχῇ.

## ιθ'. ΠΕΡΙ ΕΙΡΩΝΕΙΑΣ.

Εἰρωνεία ἐστὶ λόγος διὰ τοῦ ἐναντίου τὸ ἐναντίον[11] μετά τινος ἠθικῆς ὑποκρίσεως δηλῶν· ὡς παρ' Εὐριπίδῃ ἡ Μήδεια[12] τὸν πολλὰ ἠδικηκότα Ἰάσονα μακαρίαν αὐτὴν φησὶ πεποιηκέναι· ὁμοίως δὲ καὶ Τηλέμαχος[13] πρὸς ἕνα τῶν μνηστήρων φησίν·[14]

---

3 RMA. παριστῶσα. Gal. περιστῶσα. Post παριστῶσα RMA. inserunt haec: ὡς ὅταν δύο ἡμῖν ἐγνωσμένων ἀνθρώπων, τὸ αὐτὸ κύριον ὄνομα ἐχόντων, θέλοντες [MA. θέλωμεν ἐξ αὐτῶν ἑνὸς μν. π. καὶ οὐ λ.] ἑνὸς ἐξ αὐτῶν μνήμην ποιήσασθαι, οὐ λέγωμεν τὸ κύριον ὄνομα διὰ τὴν συνωνυμίαν, [MA. ὁμωνυμίαν] ἀλλ' ἐκ τῶν συμβεβηκότων ὀνομάζωμεν [MA. ὀνομάσωμεν] αὐτόν· τὸν χαλκέα ἢ τὸν τέκτονα λέγοντες· εἰ δὲ καὶ [καὶ M. om. A. εἰ δὲ καὶ — παραβλ. λέγομεν om.] σωματικὰ ἔχει πάθη, τὸν χωλὸν ἢ τὸν φαλακρὸν ἢ τὸν παραβλῶπα λέγομεν. [M. λέγοντες, omisso ἢ τὸν παραβλῶπα] 4 Pro λέξις μὲν R. habet: καὶ διὰ μὲν λέξεως ἐπιθετικῶς λέγομεν. MA. καὶ πάλιν διὰ μὲν λέξεως Φοῖβε λέγε [M. λέγει] ἀντὶ τοῦ Ἄ. 5 RMA. Ἐνοσίγαιε. Il. θ, 406. 6 MA. καὶ ὄφρα — Ἀθηνᾶ om. 7 Il. θ, 406. ubi ὄφρ' εἰδῇ. BLOMF. 8 Gal. πρίν. R. πατρί. 9 RMA. διὰ δὲ φράσεως, οἷον. 10 Verba ἔνιοι δὲ — — — τῇ συνεκδοχῇ R. om. 11 R. τὸ ἐναντίον om. MA. μετά τινος ἠθικῆς ἀποκρίσεως δηλῶν τὸ ἐναντίον· ὡς Τηλέμαχος κ. τ. λ. 12 R. ἡ Μήδεια. Eurip. Med. 496. Elmsl. Blomf. scripsit Μηδείᾳ, adjecta nota: „MS. Μίδεια. Simile fere errore citatur apud Schol. Venet. in Il. κ, 56. Εὐριπίδης Μιδίᾳ pro quo Μηδείᾳ recte Codex Lipsiensis." 13 R. ὁ Τηλέμαχος. Od. ρ, 397. 14 R. φησὶ Ἀντί-

Ἀντίνο᾽ ἦ μεν καλὰ πατὴρ ὣς κήδεαι υἷος.[15]

οὐ γὰρ ὁ Ἀντίνοος[16] ὡς πατὴρ ἐφρόντιζεν αὐτοῦ· τοὐναντίον μὲν οὖν καὶ[17] ἐβούλετο ἀποκτεῖναι αὐτὸν[18], καὶ ὅταν ὁ Ὀρέστης φησὶ[18] Τυνδαρέῳ,

Ὁ τὰς ἀρίστας[20] θυγατέρας σπείρας πατήρ·[21]

ὁ τὰς κακίστας φύσας· τῆς δὲ εἰρωνείας τὸ μὲν ἐπὶ τῶν πέλας λέγεται, τὸ δὲ ἐφ᾽ ἡμῶν αὐτῶν·[22] τὸ μὲν οὖν ἐπὶ τῶν πέλας καλεῖται μυκτηρισμὸς καὶ χλευασμὸς, τὸ δὲ ἐφ᾽ ἡμῶν ἀστεϊσμός.

## κ΄. ΠΕΡΙ ΣΑΡΚΑΣΜΟΥ.

Σαρκασμός[1] ἐστι μέχρι τοῦ σεσηρέναι τοὺς ὀδόντας

---

νο᾽. MA. Ἀντίνοε. 15 Gal. MA. υἱοῦ. R. υἱός. Tum R. addit:

Ὃς τὸν ξεῖνον ἄνωγας ἀπὸ μεγάροιο διέσθαι
Μύθῳ ἀναγκαίῳ· μὴ τοῦτο θεὸς τελέσειε.

16 RMA. ὡς πατὴρ ὁ Ἀντίνοος. 17 καὶ MA. om. 18 RMA. αὐτὸν ἀποκτεῖναι. 19 R. φησίν· οὗτος ἦλθ᾽ ὁ τὰς ἀρίστας. MA. φησὶ, Τυνδάρεως ὁ τάς. 20 ἀρίστους MS. Locus est Orest. 740. ed. Porson. BLOMF. 21 Post πατὴρ R. inserta habet haec: ἤγουν ὁ Τυνδάρεως et post φύσας addit: καὶ ὁ Ἰδομενεὺς δὲ μετὰ τὸ φονεῦσαι τὸν Ὀθρυονέα, καταγελῶν αὐτοῦ φησιν· Il. ν, 374.

Ὀθρυονεῦ, πέρι [μὲν] δή σε βροτῶν αἰνίζομαι πάντων.
Εἰ ἐτέον δὴ πάντα τελευτήσεις ὅσ᾽ ὑπέστης
Δαρδανίδῃ Πριάμῳ· ὃ δ᾽ ὑπέσχετο θυγατέρα ἥν.

Adjungit τῆς δὲ εἰρωνείας κ. τ. λ. 22 αὐτῶν — — τὸ δὲ ἐφ᾽ ἡμῶν Gal. om. Inserui ex RMA. Post ἀστεϊσμὸς sequitur in MA. ταύτῃ γὰρ τῇ εἰρωνείᾳ χρῶνται οἱ ῥήτορες, ὡς ὅταν ἐπιγελῶν τις καὶ ἕτερον, ἀντὶ τοῦ δεῖξαι φανερῶς, ὅτι ψέγει αὐτὸν, δοκῇ τοῖς λόγοις ἐπαινεῖν· καλὲ ἄνθρωπε, παῦσαί μου κατηγορῶν· ἢ ὡς ὅταν θέλῃς δεῖξαί τινα μωρὸν, λέγεις αὐτῷ, χαῖρε ὦ φρονιμώτατε ἀδελφέ· ὥσπερ καὶ ὁ ποιητὴς εἰσάγει τὸν Ὀθρυονέα μετὰ τὸ φονευθῆναι καταγελώμενον ὑπὸ τοῦ Ἰδομενῆος.

1 RMA. Σαρκασμὸς ἐστὶ σχῆμα χλευαστικὸν, μέχρι τ. σ. Pro παραφαίνειν habent καὶ παρεμφαίνειν, addentes ἄλογον ὑπουλό-

παραφαίνειν· ὅπερ ἦν εἰκὸς ποιῆσαι τὸν Ἀχιλλέα λέγοντα·

Τοῖσι [2] μὲν ἔμπεδα κεῖται, ἐμεῦ δ' ἀπὸ μούνου Ἀχαιῶν
Εἵλετο,

### κά. ΠΕΡΙ ΜΥΚΤΗΡΙΣΜΟΥ.

Μυκτηρισμός ἐστι [3] τὸ μετὰ ποιᾶς [4] κινήσεως καὶ συναγωγῆς τῶν μυκτήρων γινόμενον· ὥσπερ καὶ Μένανδρός φησιν, οἱ δὲ πάλιν ἐμυκτήρισαν· [5] καὶ τὸ ἐπέμυξαν [6] τινὲς οὕτως εἰλήφασι.

### κβ'. ΠΕΡΙ ΧΑΡΙΕΝΤΙΣΜΟΥ.

Χαριεντισμὸς ἐστὶ λόγος εὐτράπελος, ἐν ᾧ διαχεῖται ὅ τε λέγων καὶ ὁ ἀκούων·

Ἦ μάλα δή τινα [7] Κύπρις Ἀχαιϊάδων ἀνιεῖσα [8]
Τρωσὶν ἅμ' ἑσπέσθαι, [9] τοὺς νῦν ἔκπαγλ' ἐφίλησε,
Τῶν τινα καῤῥέζουσα Ἀχαιϊάδων ἐϋπέπλων,
Πρὸς χρυσῇ περόνῃ κατεμύξατο χεῖρα ἀραιήν.

---

τητα. 2 MA. τοῖς μὲν — δ' ἀπὸ μόνου — Il. Θ, 335. 3 R. Μυκτηρισμὸς ἐστί. 4 RMA. ποιᾶς. Gal. ποίας. Verba seqq. ὥσπερ καὶ usque ad εἰλήφασι R. nescit. Pro quibus idem habet haec: ὡς τὸ, αἵ δ' ἐπέμυξαν Ἀθηναίη τε καὶ Ἥρη. 5 Forsan legendum, οἱ δὲ πάλιν ἐμοῦ μυκτήρισαν. Pollux II, 78.: καὶ τὸν εἴρωνα τινὲς μυκτῆρα καλοῦσι· καὶ μυκτηρισμὸν τὴν ἐξαπάτην Μένανδρος. Vide Schleusn. Lex. Nov. Foed. v. μυκτηρίζειν. BLOMF. — MA. ἐμυκτήρισαν καὶ τὸ om. 6 Il. δ, 20. Vid. Hemsterhus. ad Hesych. in v. BLOMF. 7 Gal. τοι. 8 ἀνιεῖσα — χεῖρα ἀραιὴν Gal. MA. om. Recepi ex R. Cod. Gal. in hoc tropo desinit, unde Blomf. notat: „Cetera invidit nobis vetustas. Quod si de Tryphone verum sit illud ἐξ ὀνύχων τὸν λέοντα, ceteros nescio, ego certe Tryphonia deperdita ne triobolo quidem redemta vellem." Adjeci sequentia ex RMA. 9 R. ἅμα σπέσθαι. emendavi ex Il. ε, 423.

## κγ΄. ΠΕΡΙ ΕΠΙΚΕΡΤΟΜΗΣΕΩΣ.

Ἐπικερτόμησις ἐστὶν ἀλληγορία μετὰ χλευασμοῦ ἐκφερομένη ἐφ᾽ ἡδονῇ τοῖς κατορθωθεῖσιν ὑπ᾽ αὐτῆς.[10] οἷον,

Τῷ[11] δ᾽ ἐπικερτομέων προσέφης Πατρόκλεις ἱππεῦ·
Ὢ πόποι[12] ἦ μάλ᾽ ἐλαφρὸς ἀνὴρ, ὃς ῥεῖα κυβιστᾷ·
Ἦ ῥα καὶ ἐν Τρώεσσι[13] κυβιστητῆρες ἔασι.

## κδ΄. ΠΕΡΙ ΑΣΤΕΙΣΜΟΥ.

Ἀστεϊσμὸς ἐστὶ λόγος ἀφ᾽ ἑαυτοῦ διασυρτικὸς γενόμενος. ὡς εἴ τις πλουτῶν λέγει· ἐγὼ δέ εἰμι πάντων πενέστατος· καὶ ὁ πάντας καταπαλαίων λέγει ὑπὸ πάντων πίπτειν. παρὰ δὲ Καλλιμάχῳ ἀστεϊζομένη ἡ ἐλαία φησίν· ἐγὼ φαύλη πάντων τῶν δένδρων εἰμί. καλεῖται δὲ τοῦτο καὶ[14] προσποίησις.

## κέ. ΠΕΡΙ ΠΑΡΟΙΜΙΑΣ.

Παροιμία ἐστὶ λόγος εἰρημένος ἐν ἀρχῇ πρὸς ἕτερον. λεγόμενος δὲ ὑφ᾽ ἡμῶν κατὰ ἀνακύκλησιν πρός τινα τῶν ὁμοηθῶν· ὡς παρὰ Σαπφοῖ· μήτ᾽ ἐμοὶ μέλι,[15] μήτε μέλιττα.[16].

---

10 M, ad marg. αὐτοῖς, quod recepit Titzius. 11 A, τόδ᾽ M, τὸν δ᾽. tum MAR. προσέφη Πατρόκλης. correxi ex Il. π, 744. [M. ἱππεύς.] 12 MA. πόππoι. 13 MA. Τρώεσι. 14 καὶ om. MA. et Cod. Oxon., ex quo hunc περὶ ἀστεϊσμοῦ locum exhibuit Bentleius ad Callim. Fragm. XCIII. 15 R, μέλει. MA. μέλι. 16 MA. μάλιστα. Titz. scripsit μέλισσα. Cod. Med. Plut. LVI. 16. μήτε καὶ μέλι μήτε μέλιττα.

## XVI.

# ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΚΟΡΙΝΘΙΟΥ

## ΠΕΡΙ ΤΡΟΠΩΝ.

---

Caussam, propter quam hunc libellum in codicibus Parisinis Tryphoni tributum et a Boissonadio in Anecdotis Graecis Tom. III. p. 270. sub hoc nomine editum, Gregorio Corinthio tribuimus, paullo ante in Praefatione Tryphonis p. 727. exposuimus: superest, ut hoc loco de codicibus, quibus usi sumus, disseramus.

Boissonadius codicibus Paris. 2929. [apud nos Par. 1.] et 2551. [apud nos Par. 4.] usus est. Ab his codicibus aliquantulum differunt Par. 2008. [Par. 3.] et Baroccianus 76., cujus specimina in Museo Philologico nr. IV. a. 1832. p. 432. edita sunt; nam praeter lectionis varietatem non XXVII sed XXVI tropos continent, omittentes *τὸ σχῆμα*, quod ultimo loco positum est: praeterea commentationem anonymi, quae in Par. 2929. annexa est, ignorant. Singulari modo compilata est ea, quae in Par. 2087. [Par. 2.] continetur, commentatio. Initium enim sensu cum reliquis codicibus consentit: „*ὁ τρόπος ἀντίκειται τῇ κυριολογίᾳ· κυριολογία μὲν γάρ ἐστιν ἡ τῶν κατὰ φύσιν λέξεων τετευχυῖα φράσις· τρόπος δὲ λέξις ἢ φράσις ἐκ τῶν κατὰ φύσιν*

τόπων αὐτῆς μετακινηθεῖσα· εἰσὶ δὲ τρόποι ποιητικοὶ κυρίως ιδ΄. μεταφορὰ, κατάχρησις, μετάληψις, μετωνυμία, ἀλληγορία, αἴνιγμα, συνεκδίκησις, ὀνοματοποιΐα, περίφρασις, ὑπερβατὸν, ἀναστροφὴ, σύλληψις, παραπλήρωμα καὶ ὑπερβολή. λέγονται δὲ ποιητικοὶ, διότι παρὰ τοῖς ποιηταῖς πλεονάζουσι, τὴν κοινὴν συνήθειαν ὑπερβαίνοντες.“ In troporum vero expositione cum Choerobosco fere ad verbum consentit, quod uno allegoriae exemplo demonstravisse satis esse duxi.

# ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΚΟΡΙΝΘΙΟΥ

## ΠΕΡΙ ΤΡΟΠΩΝ.

*Τοῦ λόγου εἰς εἴδη*[1] *μεριζομένου, τὸ μὲν ἐστι κυριολογία, τὸ δὲ σχῆμα καὶ*[2] *τρόπος.*

*Κυριολογία μέν ἐστιν ἡ τῶν κατὰ φύσιν λέξεων τετευχυῖα*[3] *φράσις· τότε γὰρ οἰκείως προφέροιτο ἄν τις, ὅταν μὴ παρατραπῇ τοῦ κυρίως λεγομένου· οἷον·*

*Πὺξ*[4] *μὲν ἐνίκησα . . . . .*

*Ἴφικλον δὲ πόδεσσι*[5] *παρέδραμον ἐσθλὸν ἐόντα.*

*Τρόπος δέ ἐστι λέξεως φράσις ἐκ τῆς καθ' ἑαυτὴν ὁπωσοῦν ἰδιότητος μετατροπὴν εἰληφυῖα· διὸ καὶ τρόπος καλεῖται· παρείληπται δὲ ἤτοι χρείας ἕνεκα ἢ*[6] *κόσμου περὶ τὴν φράσιν.*

*Τρόποι δέ εἰσι κζ'.*[7] *Ἀλληγορία, μεταφορά, κατά-*

---

1 Par. 1. ἤδη. in Par. 4. videtur esse εἴδη e correctione. Matritensis liber, cujus prima verba protulit Yriartus in Catal. p.373. et Barocc. 76. recte habet εἴδη. 2 σχῆμα καὶ Par.3. Bar. om. tum iidem: κυριολ. μὲν οὖν. 3 τετευχυῖα Par. 2. τετυχ. rell. Mox Par.3. Bar. οἰκείως προςφέροιτο. Par. 1. οἰκεῖον προφέροιτο. Boiss. οἰκείως προφέροιτο. 4 Par. 3. πῦρ. — Il. ψ, 634. 5 Par. 3. πόδεσι. 6 Par. 1. 4. τοῦ κόσμου, unde Boiss. scripsit ἢ τοῦ κόσμου. Bar. ἢ κόσμου. 7 Par. 3. Bar. εἰσιν εἴκοσι ἕξ. omit-

χρησις, μετάληψις, ὑπερβατὸν, ἀναστροφὴ, συνεκδοχὴ, ὀνοματοποιΐα, μετωνυμία, περίφρασις, πλεονασμὸς, παραπλήρωμα, ἔλλειψις, ὑπερβολὴ, εἰρωνεία, σαρκασμὸς, ἤγουν χλεύη,[8] ἀστεϊσμὸς, ἀντίφρασις, ἐναντίωσις, ἀντονομασία,[10] ἀμφιβολία, σύλληψις, αἴνιγμα,[11] ἐπαύξησις, ἐξοχὴ, ὑστερολογία καὶ σχῆμα.

### α΄. ΑΛΛΗΓΟΡΙΑ.

Ἀλληγορία ἐστὶ φράσις, ἕτερον μέν[12] τι δηλοῦσα, ἑτέρου δὲ ἔννοιαν παριστῶσα·[13] τότε δὲ καταχρῶνται δεόντως τῇ ἀλληγορίᾳ, ὅταν ἢ δι' εὐλάβειαν, ἢ δι' αἰσχύνην οὐ δύνωνται φανερῶς ἀπαγγεῖλαι, ὃν τρόπον

---

tunt sc. ultimum: καὶ σχῆμα. 8 ἤγουν χλεύη Par. 3. Bar. om. 9 ἐναντίωσις infra in troporum explicatione non comparebit, sed post ἀμφιβολίαν exhibebitur παρεκβάσεως, quae ab indice abest, explicatio. Matritensis troporum index ἐναντίωσιν hoc ipso loco tenet. BOISS. 10 Bar. Par. 1. h. l. et infra c. ιθ΄. ἀντωνομασία, quod servavit Boiss. 11 Par. 3. αἴνηγμα. 12 μέν Par. 2. om. Par. 3. Bar. μέν τοι. Trypho a Blomfieldio editus p. 732. ἀλλ. ἐστὶ λόγος, ἕτερον μέν τοι κυρίως δηλῶν. Scribendum esse τι vidit Boiss. 13 Sequitur in Par. 2. Παραλαμβάνεται δὲ ἀλληγορία ἢ διὰ σεμνότητα ἢ δι' εὐλάβειαν· σεμνότητα μὲν, ὡς ἔχει τὰ περὶ τῆς Ἥρας, ἐν οἷς φησὶν ὁ Ζεὺς πρὸς αὐτήν·

Ἦ οὐ μέμνησ' ὅτε ἐκρέμω ὑψόθεν· ἐκ δὲ ποδοῖιν
Ἄκμονας ἧκα δύο· περὶ χερσὶ δὲ δεσμὸν ἴηλα χρύσειον·

Τῷ πέρατι γὰρ τοῦ ἀέρος ἥ τε γῆ καὶ τὸ ὕδωρ συνάπτονται, ἃ καὶ ἄκμονας ὡς βαρύτερα τῶν ἄλλων στοιχείων λέγει· χρύσειον δὲ δεσμὸν τὴν αἴγλην τοῦ αἰθέρος, τῷ ἥνωται ὁ ἀήρ· δι' εὐλάβειαν, ὡς τό·

Λῦσε δὲ παρθενίην ζώνην· [Il. λ, 244.]

ἀντὶ τοῦ ἔφθειρεν· καὶ παρὰ Καλλιμάχῳ· τὸ πῦρ δέ τ' ἀνέκαυσας, νύσσῃ δίφρου ἄξωσιν· ἐκ δὲ κύβιχος κυβιστήσῃς· ταῦτα οὐ κυρίως εἴρηται, οὔτε γὰρ περὶ πυρὸς, οὔτε περὶ ἱπποδρόμου ὁ λόγος, ἀλλ' ὥσπερ αἰδούμενος ἐκδήλως εἰπεῖν, ὃ ἐβούλετο, ἐχρήσατο τῇ ἀλληγορίᾳ.

παρὰ Καλλιμάχῳ ἐν ἰάμβοις·[14] „Τὸ πῦρ ὅπερ ἀνέκαυσας,[15] πολλὴν πρόσω κέχρηκε φλόγα· ἴσχε δὲ δρόμον μαργοῦντος ἵππου.“ Ταῦτα γὰρ οὐ κυρίως εἴρηται· οὔτε γὰρ περὶ[16] πυρὸς, οὔτε περὶ ἱπποδρομίας ἐστὶν ὁ λόγος, ἀλλ' ὥσπερ αἰδούμενος ἐκδηλῶν ἤλεγξε[17] τὴν ὑπερβολὴν τῆς θρασύτητος.

### β'. ΜΕΤΑΦΟΡΑ.

Μεταφορά ἐστι λόγου μέρος μεταφερόμενον ἤτοι ἐμφάσεως ἢ ὁμοιώσεως ἕνεκα· τῶν δὲ μεταφορῶν εἴδη ἐστὶ πέντε· αἱ μὲν γὰρ αὐτῶν εἰσιν ἀπὸ ἐμψύχων[18] εἰς ἄψυχα, αἱ δὲ τοὐναντίον ἀπὸ ἀψύχων ἐπὶ ἔμψυχα· αἱ δὲ ἀπὸ ἐμψύχων ἐπὶ ἔμψυχα·[19] αἱ δὲ ἀπὸ ἀψύχων ἐπὶ ἄψυχα· αἱ δὲ ἀπὸ πράξεως ἐπὶ[20] πρᾶξιν· ἀπὸ μὲν ἐμψύχων ἐπὶ ἄψυχα, ὅταν ὁ ποιητὴς ἐπὶ τῶν δοράτων λέγῃ·[21]

Πολλὰ δὲ[22] καὶ μεσσηγὺ πάρος χρόα λευκὸν[23] ἐπαυρεῖν,

---

14 Edidit hunc locum ex codice Leidensi Hemsterhus. ad Callim. Fragm. 456. 15 Par. 3. ὅτε ἐνέκαυσας [etiam Bar. ἐνέκαυσας] π. π. κέχρηται φλ. ἴ. δ. δρόμον μαργοῦντας ἵππους. Etiam Bar. μαργοῦντας ἵππους. — [Hemsterhus. μαργῶντος. Sed Ernstius ex eodem Leidensi libro eadem recitans verba in epistola ad Ernestium p. 45. collectionis Tittmannianae habet πολλὴν προσακέχρηκε — μαργοῦντος — Et μαργοῦντος recitat ibid. p. 47. Valckenarius. Mei libri μαργοῦντος. BOIS.] 16 Bo. ex Par. 1. 4. οὐ πυρὸς οὐδὲ ἱπποδρ. ἐστὶ λόγος. Initium emendavi ex Par. 2. ultima ex Par. 3. et Bar. qui legunt ἐστὶν ὁ λόγος. 17 Par. 3. ἤλλυξε. Bar. ἐκδήλως ἤλλαξε. Par. 1. ἔλεγξε. 18 Par. 3. ἀπὸ ἀψ. ἐπὶ ἐμψ. αἱ δὲ τοὐναντίον ἀπὸ ἐμψύχων ἐπὶ ἄψυχα. 19 Par. 1. 3. 4. ἄψυχα. correxit Bo. 20 Par. 3. εἰς πρᾶξιν· ἀπὸ μὲν ἀψύχων ἐπὶ ἔμψυχα, οἷον, ὡς ὅταν ὁ ποιητὴς λέγῃ· πολλὰ δὲ καὶ μεσσηγὺς π. χρ. λευκὸν ἐπ. ἐν γέῃ κ. τ. λ. 21 Par. 1. λέγει. — Il. λ, 573. 22 δὲ Par. 1. 3. 4. om. 23 Par. 3. κακόν.

Ἐν γαίῃ ἵσταντο λιλαιόμενα χροὸς ἆσαι.

Τὸ γὰρ προθυμεῖσθαι ἐπὶ ἐμψύχων ἐστὶν, ὅπερ τῷ δόρατι περιέθηκεν ἀψύχῳ ὄντι· τοῦτο δὲ εἴρηται κατ' ἔμφασιν. Ἀπὸ δὲ ἀψύχων ἐπὶ ἔμψυχα· ὡς τό·

Ἄσβεστος δ' ἄρ'[24] ἐνῶρτο γέλως·

τὸ γὰρ ἄσβεστον ἀπὸ ἀψύχου τοῦ πυρὸς μετηνέχθη ἐπὶ ἔμψυχον τὸν γέλωτα· καὶ τοῦτο κατ' ἔμφασιν. Ἀπὸ δὲ ἐμψύχων ἐπὶ ἔμψυχα· οἷον ποιμένα λαῶν τὸν βασιλέα τῶν ὄχλων· καὶ γὰρ ἀμφότερα ἐπὶ ἔμψυχα, ὡς γὰρ ὑποτέτακται τῷ ποιμένι τὰ ποίμνια, οὕτω τῷ βασιλεῖ οἱ ὄχλοι· ποιμὴν δὲ ὁ βασιλεύς· εἴρηται δὲ τοῦτο καθ' ὁμοιότητα. Ἀπὸ δὲ ἀψύχων ἐπὶ ἄψυχα, ὡς ἐπὶ τοῦ·[25]

Σπέρμα πυρὸς σώζων ἵνα μήποθεν ἄλλοθεν αὔοι.

Καὶ γὰρ ἀμφότερα ἄψυχα· ἀπὸ δὲ πράξεως ἐπὶ πρᾶξιν, οἷον·

Ἤδη πού τινα κεῖνος ἐνὶ φρεσὶ μῆτιν ὑφαίνει.[26]

τὸ γὰρ ὑφαίνειν ἐπὶ τῶν ὑφασμάτων τάσσεται κυρίως· νῦν δὲ ἐπὶ τῆς κατασκευῆς τῆς βουλῆς εἴληπται.

Τῶν δὲ μεταφορῶν αἱ μὲν εἰσιν ἐμφάσεων δηλωτικαὶ, καὶ οὐ σώζουσαι τὴν ὁμοιότητα, αἱ δὲ ὁμοῦ καὶ τὴν ἔμφασιν.

## γ'. ΚΑΤΑΧΡΗΣΙΣ.

Κατάχρησίς ἐστι μέρος λόγου κυρίως καὶ ἐτύμως[27] κατονομασθὲν, λεγόμενον ἐπί τινος ἑτέρου ἀκατονομάστου[28] κατὰ τὸ οἰκεῖον· οἷον· πυξὶς, χαλκὶς[29] καὶ τριήραρχος·[30] καὶ ἡ μὲν πυξὶς κυρίως καὶ ἑτοίμως ἐστὶν ἡ ἐκ

---

24 ἄρ' Par. 1. 4. om. Par. 1. post ἄσβεστον repetit vv. δ' ἄρ' ἐνῶρτο γέλως. — Il. α, 599. 25 Od. ε, 490. 26 Par. 1. 4. ὑφαίνῃ. Boiss. correxit ὑφαίνει. Od. δ, 739. εἰ δή πού τινα — ὑφήνας. 27 Par. 1. 4. ἑτοίμως. Bo. ἐτύμως, ut est in recensione Blomf. 28 Par. 1. 4. ἀκατανομάστου. 29 Par. 1. χαλκῆς. Boiss. χαλκίς. Par. 4. πὺξ χαλκῆ. 30 Boissonadio videtur excidisse καὶ ἀνδριάς.

ξύλου πύξου κατεσκευασμένη, καὶ τὰ μολίβδινα χαλκίδας προσαγορεύομεν, καὶ τριήραρχον οὐ μόνον τοὺς τριήρεων ἄρχοντας, ἀλλὰ καὶ πεντήρεων καὶ ἑξήρεων, καὶ τὸν ἀνδριάντα καὶ γυναικὸς λέγομεν· καὶ Ὅμηρος·

Νέκταρ ἐῳνοχόει·[31]

οὐ κατὰ τὸ οἰκεῖον, ἀλλ' ἀκατονόμαστόν[32] ἐστι.

## δ'. ΜΕΤΑΛΗΨΙΣ.

Μετάληψίς ἐστι λέξις διὰ τῆς συνωνύμου τὸ ὁμώνυμον δηλοῦσα· οἷον·[33]

Ἔνθεν δ' αὖ νήσοισιν ἐπιπροέηκε θοῇσι·

καὶ γὰρ ἀπὸ τοῦ σχήματος μεταληπτικῶς τὰς νήσους θοὰς εἴρηκε· τὸ γὰρ θοὸν[34] καὶ ὀξὺ συνώνυμόν ἐστι· καὶ τούτῳ[35] δὲ ὁμώνυμόν ἐστι πᾶν τὸ κατὰ σχῆμα ὀξύ· ὀφείλων γὰρ ὀ ξ ε ί α ι ς εἰπεῖν, θ ο ῇ σ ι ν εἶπεν· ἐπεὶ τὸ θοὸν σημαίνει καὶ τὸ ταχὺ καὶ τὸ ὀξύ. καὶ πάλιν·

Τεῦκρος δὲ τόξου χρώμενος φειδωλίᾳ[36]
Ὑπὲρ τάφρου πηδῶντας ἔστησε Φρύγας.

ὁ γὰρ κατὰ τὸν βίον φειδωλὸς συνωνύμως καὶ ἀκριβὴς καλεῖται· ὃ δὲ συνωνυμεῖ[37] τῷ κατὰ τὴν τέχνην ἀκριβεῖ, τουτέστιν εὐστόχῳ.

---

31 Il. δ, 3. De illa catachresi verbi οἰνοχοεῖν, ut et de οἰκονομεῖν πόλιν ac similibus cfr. Niceph. Gregorus inter meas ad Aristaen. notas p. 721. notula ad Phoen. 28. ubi ἱπποβουκόλοι. Schachtius ad Matth. XXI. 33. ubi ᾠκοδόμησε πύργον. Incertus scriptor, ex quo Eusthatius, referente Valckenario Schol. in N. T. t. I. p. 222. citavit verba ᾠκοδόμησε δικαστήριον, auctor est libri Geneseos XII. 7. BOIS. 32 Par. 1. 4. ἀλλὰ κατονομ. 33 Od. ο, 299. 34 Par. 1. 4. θοὰς. Bo. ex recens. Blomf. recepit θοὸν καὶ ὀξύ. 35 Par. 1. 4. τοῦτο. Bo. τούτῳ. 36 Par. 1. 3. 4. τεύκρ. δὲ τόξον φειδωλία. [Par. 3. φειδόλιος.] tum Par. 3. ὑπὲρ τάφου πηδόντας. Boiss. versum restituit ex recens. Blomfieldii, qui hos versus sumtos putat e Sophoclis Teucro. 37 Bo. mavult ὁμωνυμεῖ.

### ἑ. ΥΠΕΡΒΑΤΟΝ.

Ὑπέρβατόν ἐστι φράσις ἀναμέσον τὰ [38] ἑξῆς ἔχουσα· γίνονται [39] δὲ τὰ ὑπερβατὰ ἐν εἴδεσι δυσὶν, εἴτε ἐν λέξει, οἷον

Πάντῃ [40] γὰρ περὶ τεῖχος ὀρώρει θεσπιδαὲς πῦρ
Λάϊνον. [41]

Ἔστι δὲ καὶ ἐν συνθέτοις λέξεσιν ὑπερβατὰ γινόμενα· οἷον·

Νήπιοι, οἳ κατὰ βοῦς Ὑπερίονος ἠελίοιο
Ἤσθιον· [42]

ἀντὶ τοῦ κατήσθιον· τὰ δ' [43] ἐν λόγῳ γινόμενα ἔχει οὕτως [44] παρ' Ὁμήρῳ· [45]

Ὣς ἔφατ'· Ἀργεῖοι δὲ μέγ' ἴαχον· ἀμφὶ δὲ νῆες
Σμερδαλέον κονάβησαν ἀϋσάντων ὑπ' Ἀχαιῶν —
Μῦθον ἐπαινήσαντες Ὀδυσσῆος θείοιο.

Τὸ γὰρ ἑξῆς οὕτως ἀποδίδοται· ὡς ἔφατο· [46] Ἀργεῖοι δὲ μέγ' ἴαχον μῦθον ἐπαινήσαντες· ἔνιοι δὲ καὶ ἐν ταῖς [47] συλλαβαῖς ὑπερβατὰ πεποιήκασιν, ὡς καὶ Σιμωνίδης ἐν ἐπιγράμμασιν· „Ἑρμῆν τόνδ' ἀνέθηκε [48] Δημήτριος· ὄρθια δ' οὐκ ἐν προθύροις," ἀντὶ τοῦ, οὐκ ὄρθια δέ.

### ϛ'. ΑΝΑΣΤΡΟΦΗ.

Ἀναστροφὴ δέ ἐστι λέξις ἣν χρὴ προηγεῖσθαι τῆς σημαινομένης διανοίας δευτέραν ἔχουσαν τάξιν· ἔνιοι δὲ καὶ ἐπὶ πλειόνων λόγου μερῶν· ἐν μὲν προθέσει οὕτως·

Ὠΐ

38 Bar. τῶν. 39 Bar. γίνεται. 40 Bar. πάντη περίτροχος. — Il. μ, 177. 41 λάϊνον Par. 1. 4. om., addit Bar. et ex conj. Bois. — Verba εἴτε ἐν λέξει non habere suam antithesin videntur, scilicet εἴτε ἐν λόγῳ. Sed mox eam habebunt, syntaxi immutata, idque legitime. BOIS. 42 Od. α, 8. 43 Bar. δέ. 44 Bar. οὕτω. 45 Il. β, 333. 46 Bar. ἔφατ'. 47 ταῖς Bar. om. 48 Bar. ἀνέθηκε. Par. 1. 4. ἀνέθηκεν.

Ὤι ἔπι πολλ' ἐμόγησα· [49]

ἐν δ' ἐπιῤῥήματι·

Τὰς Εὔμηλος ἔλαυνε ποδώκεας ὄρνιθας ὥς. [50]

ἀντὶ ὡς ὄρνιθας· ἐν δὲ συνδέσμοις·

Ἤτοι μὲν τρηχεῖα καὶ οὐχ [51] ἱππήλατός ἐστιν·
Οὐδὲ λίην λυπρὴ αὐτὰρ δ' [52] εὐρεῖα τέτυκται.

ταῦτα μὲν πρὸς μίαν [53] ἀναστρέφεται λέξιν· ἀλλαχοῦ δέ ἐστι πρὸς πλείονα μέρη λόγου τὴν ἀναστροφὴν ἔχειν· οἷον·

Ἕκτορος ὠφέλετ' [54] ἀντὶ θοῆς ἐπὶ νηυσὶ πεφάσθαι·

ἡ γὰρ ἀντὶ πρόθεσις οὐκέτι μιᾷ συντάσσεται, ἀλλὰ δυσὶ λέξεσιν, καὶ τὸ ἑξῆς· ἀνθ' Ἕκτορος ὠφείλετε. [55]

## ζ. ΣΥΝΕΚΔΟΧΗ.

Συνεκδοχή ἐστι φράσις οὐ κατὰ τὸ πλῆρες ἐκφερομένη, προσδεομένη δέ τινος ἔξωθεν διανοίας. ἔχει δὲ τέσσαρας διαφοράς· καὶ γὰρ ἀπὸ τοῦ μέρους τὸ ὅλον δηλοῖ, καὶ ἀπὸ τοῦ ὅλου τὸ μέρος· καὶ ἀπὸ τοῦ συμβαίνοντος τὸ προηγούμενον, καὶ ἀπὸ τοῦ συμβόλου τὸ κύριον· ἀπὸ μὲν οὖν μέρους τὸ ὅλον, οἷον·

Θεὰ λευκώλενος Ἥρη· [56]

ἀπὸ γὰρ τοῦ βραχίονος τὸ ὅλον σῶμα δηλοῖ· ἀπὸ δὲ τοῦ ὅλου τὸ μέρος· οἷον βόας αὔας, [57] ἀντὶ τοῦ βύρσας, τουτέστι τὰς ἀσπίδας· ἀπὸ γὰρ ὅλου τοῦ βοὸς ἐδήλωσε τὸ μέρος, ἤγουν τὸ δέρμα· ἀπὸ δὲ συμβαίνοντος τὸ προηγούμενον, οἷον·

Ἑζόμενοι λεύκαινον ὕδωρ ξεστῇς ἐλάτῃσι. [58]

---

49 Il. α, 162. 50 Il. β, 764. 51 οὐχ Par. 1. om. Par. 3. τρηχία καὶ οὐχιπνίλα το. — Od. ν, 242. 52 Par. 1. δὲ εὐρ. 53 Par. 1. λίαν. 54 Par. 1. ὠφείλετ'. Par. 3. 4. ὠφέλετ'. — Il. ω, 254. 55 Par. 3. ὠφειλετῆς. 56 Il. α, 55. 57 Il. μ, 137. 58 Od. μ, 172. Poterit conferri auctor vitae Homeri p. 295. Galeanae, ubi de synekdoche apud poëtam

*τὸ λεύκαινον[59] γὰρ ἀντὶ τοῦ συντόνως ἤρεσσον· ἐκ γὰρ τοῦ κωπηλατεῖσθαι συμβαίνει λευκαίνεσθαι τὸ ὕδωρ· ἀπὸ δὲ συμβόλου τὸ κύριον, οἷον·[60]*

*Σκῆπτρον μέντοι δῶκε τετιμῆσθαι περὶ πάντων·[61]*

*Ἀντὶ γὰρ τοῦ εἰπεῖν τὴν βασιλείαν, εἶπε τὸ σύμβολον, δεικνὺς ἐκ τούτου τὸ κύριον ἤγουν[62] τὴν βασιλείαν· σύμβολον γάρ ἐστι τῆς βασιλείας τὸ σκῆπτρον.*

## ή. ΟΝΟΜΑΤΟΠΟΙΙΑ.

*Ὀνοματοποιΐα ἐστὶ μέρος λόγου πεποιημένον κατὰ μίμησιν τῶν ἀποτελουμένων ἤχων· οἷον· λίγξε βιός·[63]*

*Αὐλῶπις τρυφάλεια[64] χαμαὶ βόμβησε πεσοῦσα·*

*φωνῆς δὲ τὸ τοιοῦτον, οἷον ἡ ὀλολυγὴ, καὶ ὁ μυκηθμὸς,[65] καὶ*

*Τοὺς ἐλεεινὰ κατήσθιε τετριγῶτας.[66]*

## θ΄. ΜΕΤΩΝΥΜΙΑ.

*Μετωνυμία ἐστὶ μέρος λόγου ἀφ'[67] ἑτέρου μέν τινος κυρίως κείμενον, ἕτερον δὲ σημαῖνον κατὰ τὸ οἰκεῖον· ὑπείρεχον Ἡφαίστοιο·[68] σημαίνει δὲ τοῦ πυρὸς· ὅπερ ἐστὶν οἰκεῖον τοῦ Ἡφαίστου· καὶ πάλιν·*

---

agit. BOIS. 59 Par. 1. repetit: *τὸ λεύκαινον ὕδ. ξεστ. ἐλάτῃσι, τὸ λεύκ.* sine *γὰρ*, quod offert Par. 4. 60 *οἷον* Par. 4. om. 61 Il. *ι*, 38. 62 Par. 1. *ῥῆμα*. Par. 4. *ἤγουν*. 63 Il. *δ*, 125. 64 Par. 1. *τρυφάλεια* bis ponit. — Il. *ν*, 530. 65 Par. 3. *μηκυθμός*. 66 Il. *β*, 314. 67 Par. 1. 4. *ἀφ'*. 68 Il. *β*, 426. Hesychius: *Ἥφαιστος ὅτὲ μὲν ὁ θεὸς, ὅτὲ δὲ μετωνυμικῶς τὸ πῦρ.* Male editum fuit *ὅτε...ὅτε*. De tropo cf. Fabric. ad S. Empir. p. 552. Exempla latinae metonymiae in nomine Vulcanus collegit Roselus, qui contendebat in Horatianis verbis: „graves Cyclopum Vulcanus ardens urit officinas" Vulcanum esse tropice ignem, quod nemini probabit, qui oden lyrice, ut fuit a poëta composita, intellexerit.

*Ἔνθα δ' ἔπειτ' ἀφίει*[69] *μένος ὄμβριμος Ἄρης*·

ἀντὶ τοῦ ὁ σίδηρος, καὶ ὅταν λέγωμεν τὸν οἶνον Διόνυσον, καὶ τὸν σῖτον Δήμητραν, καὶ τὰ παραπλήσια.

### ι. ΠΕΡΙΦΡΑΣΙΣ.

Περίφρασίς ἐστι διὰ[70] τῆς αὐτοτελοῦς καὶ κυρίας λέξεως διὰ πλειόνων αὐτὸ τὸ κύριον δηλοῦσα, πρὸς αὔξησιν τοῦ σημαινομένου· οἷον βίη Ἡρακλείη,[71] καὶ ἱερὸν μένος Ἀλκινόοιο·[72] ἀντὶ τοῦ ὁ Ἡρακλῆς καὶ ὁ Ἀλκίνοος.

### ιά. ΠΛΕΟΝΑΣΜΟΣ.

Πλεονασμός[73] ἐστι φράσις ἐν αὐτῇ[74] πλεονάζουσα, ἣ ὡς ἐνδέχεται κατὰ ἀναλογίαν· τῶν δὲ λεγομένων πλεονασμῶν ἃ μὲν μέτρων ἕνεκα φράζονται, ἃ δὲ ἐμφάσεως· καὶ μέτρων μὲν τὰ τοιαῦτα, οἷον, Αἰνείαο, Πριάμοιο, λελόγχασιν, καὶ πᾶν ὃ λέγεται κατὰ παραγωγήν· ἐμφάσεως δὲ σημαντικὰ τὰ τοιαῦτα·

*Ὠμοφάγοι μιν θῶες ἐν οὔρεσι δαρδάπτουσι*·[75]

καὶ·

*Ἑρπίζων παρὰ θῖνα*.[76]

τὸν νωθρὸν ἐμφαίνει καὶ ἄστατον, καί·

*Πόντον ἐπ' ἀτρύγετον δερκέσκετο*[77] *δάκρυα λείβων*.

### ιβ'. ΠΑΡΑΠΛΗΡΩΜΑ.

Παραπλήρωμά ἐστι φράσις ἢ λέξις ἐκ περισσοῦ παραλαμβανομένη, οἷον·

*Ἀρχοὺς αὖ νηῶν ἐρέω*[78] *νῆάς τε προπάσας*·

---

BOIS. 69 Par. 1. ἐφῆκεν. — Il. ν, 444. 70 Bo. conjicit διασάφησις. 71 Bo. scripsit ἡρακληΐη. 72 Od. η, 167. 73 Par. 1. ὁ πλεον. 74 Par. 1. αὐτῇ. 75 Il. λ, 479. 76 Od. ν, 220. 77 Par. 1. 4. δερδέσκετο. — Od. ε, 84. 78 Par. 1. ναῶν ἐρέων. Par. 4. νεῶν ὠρώων. Il. β, 493.

ἡ γὰρ πρὸ παρέλκει· καὶ

'Αστέρ' [79] ὀπωρινῷ ἐναλίγκιος, ὅς τε μάλιστα

ἀντὶ τοῦ ὃς μάλιστα· καὶ ἐπὶ τοῦ·

Καί κέ [80] κις ὧδ' ἐρέει Τρώων ὑπερηνορεόντων.

## ιγ'. ΕΛΛΕΙΨΙΣ.

Ἔλλειψίς [81] ἐστι φράσις οὐ κατὰ τὸ πλῆρες ἐκφερομένη, ἀλλὰ μιᾷ λέξει ἢ πλείοσιν ἐλλείπουσα, οἷον, κόπτων ἀμφοτέρῃσιν· [82] ἐλλείπει γὰρ ταῖς χερσίν· ὁμοίως·

'Εν καθαρῷ ὅθι [83] δὴ νεκύων διεφαίνετο χῶρος·

'Αλλ' εἰ μὲν [84] δώσουσι γέρας μεγάθυμοι 'Αχαιοί,

Ἄρσαντες κατὰ θυμὸν ὅπως ἀντάξιον ἔσται.

Ἐλλείπει γὰρ τὸ [85] καλῶς ἂν ἔχοι· ἀπεκρέματο γὰρ ἡ διάνοια· ἔνιοι δὲ τὸν τρόπον τοῦτον προσυπακουόμενον καλοῦσιν.

## ιδ'. ΥΠΕΡΒΟΛΗ.

Ὑπερβολή ἐστι λόγος ὑπεραίρων, ἐμφάσεως ἕνεκα, τὸ ἀληθὲς, ὡς τό·

'Αλλ' ὅτε δὴ σκιρτῷεν [86] ἐπὶ ζείδωρον ἄρουραν,

Ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέον οὐδὲ κατέκλων.

καί·

'Αλλ' ὅτε δὴ σκιρτῷεν ἐπ' εὐρέα νῶτα θαλάσσης

Ἄκρον ἐπὶ ῥηγμῖνος [87] ἁλὸς πολιοῖο θέεσκον.

---

79 Par. 1. ἀστέρι. — Il. ε, 5. 80 Par. 1. κέν τις. Par. 4. κε τις sine καί. — Il. δ, 176. 81 Par. 3. ἔλληψις. 82 Par. 3. ἀμφοτέροισιν. — Od. σ, 28. 83 Par. 1. ἴθι δὴ διεφ. χῶρος νεκύων. Par. 3. ὅθει δὴ νεκοίων διεφαίνετο χῶρος. Il. κ, 199. — Librarios annotationem de ea, quae est in καθαρῷ, ellipsi omisisse monet Bois. 84 Il. α, 135. 85 Par. 1. 4. τοῦ καλῶς ἂν εὖ ἔχοι· recepi lectionem Par. 3. 86 Par. 1. σκιρτῶμεν — καρπῶν θεων sine acc. — Il. υ, 226. 87 Par. 1. ῥιγμῖνος.

Εἰ μὲν οὖν μυθικῶς τις ἀκούει τὸ τοιοῦτον, ἀκυρολογία φανήσεται, εἰ δὲ μή, ὑπαχθήσεται τῇ ὑπερβολῇ· ὡς τό,

Λευκότεροι [88] χιόνος, θείειν δ' ἀνέμοισιν ὁμοῖοι·

## ιέ. ΕΙΡΩΝΕΙΑ.

Εἰρωνεία [89] ἐστὶ φράσις τοῖς ῥητοῖς λεγομένη τοὐναντίον μεθ' ὑποκρίσεως· οἷον·

Ἀντίνο' ἦ μάλα [90] καλὰ πατὴρ ὣς κήδεαι υἱοῦ.

## ις'. ΣΑΡΚΑΣΜΟΣ.

Σαρκασμός ἐστι φράσις τοῖς ῥητοῖς λεγομένη τοὐναντίον μετὰ χλευασμοῦ· οἷον·

Νῦν μὲν δὴ [91] μάλα πάγχυ Μελάνθιε νύκτα φυλάξεις
Εὐνῇ ἐνὶ μαλακῇ καταλέγμενος.

## ιζ'. ΑΣΤΕΙΣΜΟΣ.

Ἀστεϊσμός ἐστι φράσις διὰ τῶν ἐναντίων τὸ κρεῖττον ἠθικῶς ἐμφαίνουσα· οἷον, εἴ τις πλούσιος ὢν εἶναι πένης λέγοι, καὶ ὁ τεχνίτης ἄτεχνος, καὶ ἀγαθὸς φαῦλος. ἔνιοι δὲ τὸν ἀστεϊσμὸν ὡρίσαντο προσποίησιν εἶναι τῆς ἀληθείας.

## ιή. ΑΝΤΙΦΡΑΣΙΣ.

Ἀντίφρασίς ἐστι φράσις τοῖς κρείττοσι τοῦ παρισταμένου [92] τὴν κακίαν ὅσον ἐφ' ἑαυτῇ περιστέλλουσα, οἷον ὅταν πτωχὸν πλούσιον καλῶμεν, τὴν χολὴν [93] γλυκεῖαν·

---

88 Par. 1. λευκότερος χ. θεόν. Par. 3. λευκότερον — — ὅμοιον. — Il. κ, 437. 89 Par. 3. cap. ιέ. et ις'. miscet: Εἰρων. ἐστὶ κολακεῖα [sic] τοῖς ῥητοῖς λεγομένοις τοὐναντίον μετὰ χλευασμοῦ, οἷον, νῦν μὲν etc. 90 Par. 4. ἦ μευ καλά. — Od. ρ, 397. 91 δὴ Par. 1. om. tum idem: Μελάνθιε κατὰ φυλάκεις. Par. 3. νῦν μὲν μάλιστα Μελ. νύκτα φυλάξεις. — Od. χ, 195. 92 Par. 1. περισταμένου — ἐφ' ἑαυτήν. 93 Par. 4.

ἢ ἀντίφρασίς ἐστι λέξις τὸ ἐναντίον διὰ τοῦ ἐναντίου σημαίνουσα χωρὶς ὑποκρίσεως· τίθεται δὲ ἤτοι κατ' εὐφημισμὸν, ἢ κατ' ἐναντίωσιν· κατ' εὐφημισμὸν μὲν, ὅταν τὴν ἄκανθαν βάτον λέγωμεν, ἧς οὐκ ἔστιν ἐπιβῆναι, καὶ τὴν χολὴν γλυκεῖαν· κατ' ἐναντίωσιν δέ·

Οὐδ' ἄρα τώγε ἰδὼν γήθησεν Ἀχιλλεύς·[94]

ἀντὶ τοῦ ἠνιάθη.

## ιθ'. ΑΝΤΟΝΟΜΑΣΙΑ.

Ἀντονομασία ἐστὶν ὄνομα ἐπιθετικὸν, ὃ καὶ μόνον ἀντὶ κυρίου παραλαμβάνεται· οἷον·

Ὄφρ' εἰδῇ Γλαυκῶπις, ὅταν ᾧ πατρὶ μάχηται,[95]

ἀντὶ τοῦ ἡ Ἀθηνᾶ· καὶ οὕτω γὰρ δηλοῖ·

— — Γαιήοχε κυανοχαῖτα,[96]

ἀντὶ τοῦ ὦ Πόσειδον· ἢ ἀντονομασία ἐστὶ λέξις δι' ἐπιθέτων ἢ διὰ συσσήμων ὄνομα ἴδιον ἢ προσηγορικὸν σημαίνουσα· δι' ἐπιθέτων μὲν, οἷον· Ἀτρείδη κύδιστε,[97] ἀντὶ τοῦ ὦ Ἀγάμεμνον· διὰ δὲ συσσήμων· οἷον

— — ἐρίγδουπος πόσις Ἥρης.[98]

καὶ

Λητοῦς καὶ[99] Διὸς υἱός.

## κ'. ΑΜΦΙΒΟΛΙΑ.

Ἀμφιβολία ἐστὶ φράσις δύο ἢ πλείονας ἐννοίας σημαίνουσα· οἷον·

Χεῖρας ἐπ' ἀνδροφόνους θέμενος στήθεσσιν ἑταίρου,[1]

ἄδηλον γὰρ, πότερον τὰς τοῦ Πατρόκλου χεῖρας λέγει, ἢ τοῦ Ἀχιλλέως, καὶ τὰ ἐπὶ[2] τοῦ Ἑρμοῦ εἰρημένα·

---

σχολήν. in Par. 1. litera prima fuit erasa. 94 Il. α, 330. 95 Par. 1. μάχεται. Il. θ, 406. 96 Il. ο, 174. 97 Par. 1. μέγιστε, supra lin. κύδιστε. cfr. Il. α, 122. 98 Il. η, 411. 99 καὶ Par. 1. 4. om. Par. 1. λητοῦς δῖος. Il. α, 9.

1 Par. 1. ἑταίρους. Il. σ, 317.

*Σεύατ᾽ ἔπειτ᾽ ἐπὶ κῦμα λάρῳ ὄρνιθι ἐοικώς·*
*Ὅστε κατὰ*[3] *δεινοὺς κόλπους ἁλὸς ἀτρυγέτοιο*
*Ἰχθῦς ἀγρώσσων*[4] *πυκινὰ πτερὰ δεύεται ἅλμη·*

ληπτέον, ἵν᾽ ᾖ πυκινὰ[5] ἀγρώσσων, ἢ πυκινὰ πτερὰ δεύεται ἅλμη.

*Κήρυκες δ᾽ ἀνὰ*[6] *ἄστυ θεῶν φέρον ὅρκια πιστά,*

τοῦ θ ε ῶ ν δυναμένου κεῖσθαι ἐπί τε τῶν κηρύκων καὶ[7] τῆς πόλεως καὶ τῶν ἱερῶν· ἐπεὶ ἡ Ἴλιος τετείχισται ὑπὸ τῶν θεῶν. διὸ καὶ πολλάκις αὐτὴν λέγει· Ἴλιον ἱρήν.[8] καὶ πάλιν·

*Τρῆχόν*[9] *τ᾽ αἰχμητὴν Αἰτώλιον Οἰνόμαόν τε·*

καὶ ὁμοίως·

*Δεινὸν*[10] *δ᾽ ἀμφ᾽ Ἀχιλῆα κυκώμενον ἵστατο κῦμα·*

γίνεται δὲ ἡ ἀμφιβολία λέξει, ὡς Αἴας· ἄδηλον γάρ, τίς τῶν δύο· καὶ λόγῳ·

*Δὸς δέ*[11] *γέ μ᾽ ἄνδρα ἑλεῖν καὶ ἐς ὁρμὴν ἔγχεος ἐλθεῖν.*

## κά. ΠΑΡΕΚΒΑΣΙΣ.

Παρέκβασίς ἐστι λόγος χάριν ἱστορίας ἢ γενεαλογίας παραλαμβανόμενος· ὡς τὰ τοῦ Φοίνικος περὶ Κουρήτων·[12]

*Μέμνημαι τόδε ἔργον ἐγὼ πάλαι, οὔτι νέον γε*

---

2 ἐπὶ codd. om., inseruit Boiss. 3 Par. 1. ὥς τε καὶ τοὺς δειν. κόλ. ἀτρυγέτοιο θαλάσσης. Od. ε, 51. 4 Par. 1. ἰχθῦς ἀγρέσσων. Lexicon in Bekkeri Anecdotis p. 332. male exhibet ἰχθύσιν ἀγρώσσων. Recte ἰχθῦς in alio Lexico ibid. p. 213. BO. πυκινὰ — ἅλμη adjecit Boiss. 5 Par. 1. πυκινόν. tum Par. 3. ἀγρέσσων· ἢ π. πτ. δεύετ᾽ ἅλμη. 6 Par. 1.3. δὲ ἀν᾽. Par. 4. δ᾽ ἀνά. Par. 1. 4. πιστὰ om. adjeci ex Par. 3. — Il. γ, 245. 7 καὶ add. Bo. 8 Par. 1. 4. Ἴλ. εἰς ἱρήν. Par. 1. ἱερήν. 9 Codd. τρῆχυν. Il. ε, 706. 10 Il. φ, 240. Par. 1. δεινὰ δ᾽ ἀμφ᾽ Ἀχιλλῆα. Par. 3. δεινῶν. quae post hunc versum adduntur, omittit. Par. 4. δεινά. 11 Codd. δή γε. — Il. ε, 118. 12 Il. ι, 527.

Ὣς ἦν, ἐν δ' ὑμῖν ἐρέω πάντεσσι φίλοισι.
Κουρῆτές τ' ἐμάχοντο καὶ Αἰτωλοὶ μενέχαρμοι·

καὶ τὰ ἑξῆς.

## κβ'. ΣΥΛΛΗΨΙΣ.

Σύλληψίς ἐστι δυοῖν ὑποκειμένων πραγμάτων τὸ πραχθὲν ἰδίᾳ ὡς[13] κοινῶς παραλαμβάνουσα· οἷον Ὀδυσσεὺς περὶ τῆς ἀναιρέσεως Δόλωνος λέγει Νέστορι·[14]

Τὸν τρισκαιδέκατον σκοπὸν εἵλομεν,

καίτοι τοῦ Διομήδους μόνον αὐτὸν ἀνελόντος· τὸ μὲν ὑπόδειγμα τοῦ ἑνὸς ἔχει πρὸς ἕνα τὴν σύλληψιν· ἀλλαχοῦ δέ ἐστιν ἃ συλλαμβάνει ἕνα πρὸς πολλοὺς, ὡς ἔχει τὰ ὑπὸ Θερσίτου λεγόμενα πρὸς Ἀγαμέμνονα·[15]

Πλεῖαί τοι χαλκοῦ κλισίαι, πολλαὶ δὲ γυναῖκες,
Εἰσὶν ἐνὶ κλισίῃς ἐξαίρετοι, ἅς τοι Ἀχαιοὶ
Πρωτίστῳ δίδομεν εὖτ' ἂν πτολίεθρον ἕλωμεν.

Συγκαταριθμεῖ γὰρ ἑαυτὸν τοῖς ἀριστεῦσιν ἀσθενὴς καὶ οὐδαμινὸς τυγχάνων.

## κγ'. ΑΙΝΙΓΜΑ.

Αἴνιγμά ἐστι φράσις διάνοιαν ἀποκεκρυμμένην καὶ σύνθετον πειρωμένη ποιεῖν, ὡς τὰ παρ' Ἡσιόδῳ τὰ[16] περὶ τῆς κύλικος λεγόμενα·

Μηδέποτ' οἰνοχόην τιθέμεν κρητῆρος ὕπερθεν·[17]
Αὐτὰρ[18] ἐπεὶ δ' αὐτοὶ μὲν κνίσσης ἐξ ἔρον ἕντο·

---

13 Codd. ἢ. Boiss. ὡς. 14 Il. κ, 561. 15 Il. β, 226. 16 τὰ Bar. om. Tum Par. 1. 3. 4. Barocc. παρὰ, editor Cantabrig. suadet περὶ, ut scripsit Boiss. 17 Hes. Ἔ. κ. Ἡ. 742. Par. 1. ὕπερθεν κρατῆρος. Par. 4. κρητ. ὕπερθεν. Par. 3. Bar. versum hunc om. 18 Bar. αὐτὰρ ἐπεὶ δαιτὸς μὲν ἐΐσης ἐξ ἔρον ἕντο οἷον οὐ μητέρα μητρὸς ἄγοντο ἀζαλέην. Par. 4. αὐτὰρ ἐπεὶ δαιτὸς μὲν τεθείσης. — Id et sequentia non poterunt intelligi, nisi meliore codice reperto, vel noto aenigmate quod

καὶ,[19] οὐ μητέρα μητρὸς ἄγοντο αὐαλέην καὶ ὀπταλέην, ἐπεὶ δοκεῖ πρῶτα μὲν ξηραίνεσθαι, εἶτα ὀπτᾶσθαι· ἐφ' ἑτέροισι τεκέεσσι,[20] τοῖς ἑαυτοῦ τέκνοις, λέγει δὲ τοῖς ξένοις,[21] τὸ δὲ τεθνάναι, καθὸ δοκεῖ ἐκ τῆς ὕλης εἰλῆφθαι.[22]

### κδ'. ΕΠΑΥΞΗΣΙΣ.

Ἐπαύξησίς ἐστι φράσις κατὰ πρόσθεσιν[23] αὐξάνουσα τὸ σημαινόμενον, ὡς ἔχει τὰ τοιαῦτα.

Τῶν νέες ὠκεῖαι ὡσεὶ πτερὸν ἠὲ νόημα·[24]

Ὠκύπτερον γὰρ παρέστησε τῶν νεῶν[25] τὸ τάχος· ἐπισυνάψας τῷ προτέρῳ[26] τὸ νόημα·

— — ἀμφὶ δὲ χαλκὸς ἐλάμπετο ἴκελος αὐγῇ·
Ἢ πυρὸς αἰθομένου[27] ἢ ἠελίου ἀνιόντος·

ἱκανὸν γὰρ τὸ ἴκελος αὐγῇ· προστιθεὶς δὲ τὸ ἑξῆς ηὔξησε τὸ σημαινόμενον.

### κέ. ΕΞΟΧΗ.

Ἐξοχή ἐστιν ὀνόματος διαστολὴ κατὰ διαφορὰν πρὸς τὰ σημαινόμενα·[28] οἷον·

Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα νηυσὶ πέλασσεν·[29]

ὥσπερ τοῦ Ἕκτορος οὐχὶ ἑνὸς τῶν Τρώων, ἐπὶ τοῦτον[30] ἤνεγκε· κατ' ἐξοχὴν γὰρ αὐτὸν ἐδήλωσε· καὶ ὁμοίως·

Οὐ γὰρ ἔτ'[31] Οἰνῆος μεγαλήτορος υἱέες ἦσαν,
Οὐδ' ἄρ' ἔτ'[32] αὐτὸς ἔην· θάνε δὲ ξανθὸς Μελέαγρος.

---

Trypho explicavit. BO. 19 Par. 4. οἷον, quod recepit Bo. 20 Bar. τέκεσι. 21 Editor Cantabrig. in uncis ponit: ξύλοις. 22 Bar. ἐκκεκόφθαι. Par. 4. ἐκκόφθαι. 23 Par. 1. πρόθεσιν. 24 Od. η, 36. 25 Bois. νηῶν, fort. ex Par. 4. 26 Imo, ut videtur, τῷ πτερῷ. BO. 27 Par. 1. 3. αἰθομένοιο ἢ ἠελίοιο. Bois. servavit αἰθομένοιο. Il. χ, 134. 28 Par. 4. γράφ. τὰ ὅμοια. 29 Il. ν, 1. 30 Par. 1. ἐπὶ τούτων. Par. 4. ἐπὶ τοῦτον. Bois. tmesin in tali oratione aegre ferens conjicit, ἐπὶ τούτων τοῦτον ἤνεγκε. 31 Par. 3. οὐ γὰρ ἔτι νηός.

## κϛ΄. ΥΣΤΕΡΟΛΟΓΙΑ.

Ὑστερολογία ἐστὶ μέρος λόγου, ὅταν ὃ δεῖ πρῶτον λέγειν ὕστερόν τις ἐπιφέρῃ·[33] οἷον·

— — ἅμα τράφεν ἠδ' ἐγένοντο·[34]

ἀντὶ τοῦ ὁμοῦ[35] ἐγένοντο καὶ ἐτράφησαν, καὶ δούπησε δὲ πεσὼν,[36] ἀντὶ τοῦ πεσὼν ἐδούπησε· καὶ,

Ἀλλ' ἄγε μοι τὸν ὄνειρον ὑπόκριναι[37] καὶ ἄκουσον·

ἀντὶ τοῦ ἄκουσον καὶ ὑπόκριναι· καὶ

Εἵματα δ' ἀμφιέσασα θυώδεα καὶ λούσασα·[38]

καί·

Λαοὶ δ' ἠρήσαντο,[39] θεοῖσι δὲ χεῖρας ἀνέσχον.

## κζ΄. ΣΧΗΜΑ.

Σχῆμά ἐστι σολοικισμὸς ἀπολογίαν ἔχων, ὡς ὅταν εἴπωμεν· ὁ Φίλιππος, ὃν πάντες μισοῦσιν, ἀγαθός ἐστι. Διαφέρει[40] δὲ σχῆμα σολοικισμοῦ· ἐπειδὴ σχῆμα μέν ἐστι ποιητοῦ ἢ συγγραφέως ἁμάρτημα ἑκούσιον διὰ τέχνην ἢ ξενοφωνίαν ἢ καλλωπισμὸν, σολοικισμὸς δὲ ἁμάρτημα ἀκούσιον, οὐ διὰ τέχνην, ἀλλὰ δι' ἀμαθίαν γινόμενον.

---

Par. 1. οὐ γὰρ οἰνῆος. — Il. β, 641. 32 Par. 1. οὔτ' αὐτός. 33 Par. 1. ἐπιφέρει. Par. 4. om. 34 Par. 1. 4. ἠδ' ἐγένοντο om., recepi ex Par. 3. Addidit etiam Bois. — Il. α, 251. 35 Par. 3. ὁμοῦ om. 36 Il. δ, 504. 37 Codd. ὑπόκρινε h. l. et v. sq. — Od. τ, 535. 38 Od. ε, 264. 39 Par. 1. εἰρήσαντο — χεῖρε. 40 Hanc ultimam sententiam e cod. Leidensi adtulit Valckenarius ad Lesbon. p. 177. Vellem et praecedentem adtulisset, ob illud de Philippo exemplum, in quo quid sit schematis non perspicio. Par. 4. ὁ Ἰωάννης ὃν πάντες ἐμοῦσιν ἀγαθός ἐστι. Ceterum de differentia schematis et soloecismi vide Grammaticum Valckenarii p. 192. BO.

# XVII.

# ΑΝΩΝΥΜΟΥ

## ΠΕΡΙ ΤΡΟΠΩΝ.[1]

Τρόπος ἐστὶ λέξις ἢ φράσις πεποιημένη ἢ τετραμμένη ἀπὸ τοῦ κυρίου ἐπὶ τὸ μὴ κύριον, κατά τινα λόγον εἰς δήλωσιν εὐπρεπεστέραν. Τὸ δὲ ὄνομα ῥηματικόν· ὡς παρὰ τὸ λέγω λόγος, καὶ παρὰ τὸ τρέπω, τρόπος. λέγεται δὲ τρόπος ἑξαχῶς· τὸ ἑκάστου ἦθος, καθὸ εὔτροπόν τινα καὶ κακότροπόν φαμεν, καὶ σχῆμα λόγου τὸ ἐν διαλεκτικῇ· εἰ ἡμέρα ἐστὶ, φῶς ἐστιν, ἀλλὰ μὴν ἡμέρα ἐστὶν, φῶς ἐστιν ἄρα· καὶ ὁ ἐν μουσικῇ Λύδιος, Φρύγιος, καὶ ἡ ἐπὶ πολλῆς[2] τῆς διανοίας τροπὴ, καθ' ὃ σημαινόμενον καὶ ὁ ποιητὴς τὸν Ὀδυσσέα πολύτροπον εἴρηκεν·

Ἄνδρα μοι ἔννεπε Μοῦσα πολύτροπον·

---

1 Haec commentatio in codd. Par. 2929. et 2551. nullo titulo a praecedentibus separatur, in codice Matritensi apud Yriartum p. 573. peculiari lemmate περὶ τρόπων insignita est: a Par. 2008. abest. Quum igitur, utrum ejusdem auctoris sit, an non, certo statui non possit, recepi titulum a Boissonadio positum. 2 Par. 4. ἐπιπολῆς — τροπῆς. Boiss. conjicit: ἐπὶ πολλοῖς.

καὶ ἡ αἰτία, ὅτε φαμὲν, τίνα τρόπον ἀναπνοή· καὶ ὁ ἐν τῇ φράσει, εἰς ὃν ἐμπίπτει ἡ μεταφορά, καὶ τὰ λοιπὰ τῶν τροπικῶν ὀνομάτων. Τρόποι δέ εἰσι πλείονες· γενικώτατοι μέντοι τάξιν ἔχοντες ιέ· μεταφορὰ, κατάχρησις, συνεκδοχὴ, μετωνυμία, ἀλληγορία, ὑπερβολὴ, εἰρωνεία, αἴνιγμα, ὑπερβατὸν, ἀντονομασία, ἀντίφρασις, μετάληψις, πεποιημένον, ὀνοματοποιΐα, σύλληψις.

Εἰσὶ δ' οὗτοι κοινοὶ μὲν καὶ τῆς ἡμετέρας συνηθείας, ἐπιπολάζουσι δὲ ἐν ποιητικῇ, διὸ καὶ ποιητικοὶ κέκληνται· παρελήφθησαν [3] δ' αὐτῶν οἱ μὲν κόσμου χάριν, ὡς ἡ μεταφορά, οἱ δὲ τοῦ ἀναγκαίου, ὡς ἡ κατάχρησις.

Μεταφορά ἐστι λέξις ἀπὸ τοῦ κυρίως ὠνομασμένου ἐφ' ἕτερον ὠνομασμένον μετηνεγμένη· ἀπὸ τοῦ κυρίου ἐπὶ τὸ μὴ κύριον, ἢ ὁμοιώσεως ἢ ἐμφάσεως ἕνεκα· ὁμοιώσεως μέν·

Πάντες δ' ἐσσείοντο [4] πόδες πολυπιδάκου Ἴδης·

ὃν γὰρ ἔχουσιν οἱ πόδες ἐπὶ τοῦ σώματος λόγον, τοῦτον ἐπὶ τοῦ ὄρους ἡ ὑπώρεια· ἐμφάσεως δέ·

— — τὴν δὲ γυναῖκα
Εὗρον ὅσην [5] τ' ὄρεος κορυφήν.

μεταφορικῶς γὰρ ὄρους ἐξοχὴν εἶπε, βουλόμενος ἐμφῆναι τὸ μέγεθος τῆς γυναικός.

Ἔτι τῶν μεταφορῶν αἱ μὲν [6] ἀπὸ πράξεως εἰς πρᾶξιν μεταφέρονται, αἱ δὲ ἀπὸ σώματος ἐπὶ σῶμα· ἀπὸ μὲν οὖν σώματος ἐπὶ σῶμα, ὡς τό·

Αἴας δὲ πρῶτος Τελαμώνιος ἕρκος Ἀχαιῶν· [7]

ἀπὸ δὲ πράξεως εἰς πρᾶξιν, ὡς τὸ ὑφαίνειν τὸ βουλεύεσθαι· ἔτι τῶν μεταφορῶν αἱ μὲν ἀντιστρέφουσιν, αἱ δὲ οὔ· καὶ ἀντιστρέφουσι μὲν αἱ τοιαῦται·

---

3. Codd. παρελείφθησαν. 4 Par. 1. ἐσείοντο. — Od. υ, 59. 5 Par. 1. ὡς ἠΰτ' ὄρεος. — Od. κ, 112. 6 αἱ μὲν Codd. om., inseruit Boiss. 7 Respicit, puto, Il. ξ, 511.

Φθέγξατο δ' ἡνίοχος νηὸς κυανοπρώροιο, 8

καὶ ἵππων κυβερνητῆρες· 9 ἔχουσι γάρ τι μέσον πρὸς ἀλλήλους· ὁ μὲν γὰρ τὴν 10 τῶν ἵππων ἐξιθύνει πορείαν, ὁ δὲ τὴν τῶν νεῶν· οὐκ ἀντιστρέφουσι δὲ αἱ τοιαῦται·

Νῆσος τὴν περὶ πόντος ἀπείριτος 11 ἐστεφάνωται·

ἐστεφανῶσθαι γὰρ εἴρηκε τὴν νῆσον ἀντὶ τοῦ κύκλωθεν περιῤῥεῖσθαι, ὅπερ οὐκ ἀντιστρέψας εἴποι, ὅτι στέφανος ἡμῶν κύκλῳ τὴν κεφαλὴν περιῤῥεῖ· τὸ γὰρ τοιοῦτον γελοῖον. Ἔτι τῶν μεταφορῶν αἱ μὲν ἀπὸ γένους ἐπὶ γένη μεταφέρονται·

Νηῶν ὠκυπόρων ἐπιβαινέμεν, αἵθ' ἁλὸς ἵπποι
Ἀνδράσι γίνονται· περόωσι δὲ πουλὺν 12 ἐφ' ὑγρήν.

ἵππους μὲν εἴρηκε κατὰ μεταφορὰν τὰς ναῦς· ὥσπερ γὰρ ἐπὶ τῆς γῆς διὰ τῶν ἵππων ὀχούμεθα, οὕτως ἐπὶ τῆς θαλάσσης διὰ τῶν νεῶν κουφιζόμεθα. 13

---

8 Adfertur, ut Homeri, ab auctore Vitae Homeri p. 294. Galeanae editionis. BO. 9 Dixit Oppianus Cyn. I. 96. ἵππων κυβερνητῆρα χαλινόν. 10 Par. 1. τῆς. 11 Par. 1. ἀπείρητος. Od. κ, 195. 12 Par. 1. πάλιν. 13 In hac voce desinit libellus. Codicis Matritensis, qui amplior est, alius est finis, scilicet: οἷον, οὕνεκα τὸν Χρύσην ἠτίμασεν ἀρητῆρα· ἀντὶ τοῦτον [l. τοῦ τόν] ἀρητῆρα Χρύσην, quae pertinere ad ὑπερβατὸν videntur. Ea articuli trajectio fuit a Scholiastis ad Homeri locum animadversa. BOIS.

# XVIII.

# ΚΟΚΟΝΔΡΙΟΥ

## ΠΕΡΙ ΤΡΟΠΩΝ.[1]

Τρόπος ἐστὶ φράσις ἐκβεβηκυῖα τὴν κοινὴν καὶ πρωτότυπον τοῦ λόγου χρῆσιν ἐπὶ τὸ κρεῖττον, ἢ λέξις ἢ φράσις ἐκ τοῦ συνήθους παρατετραμμένη ὡς ἐπὶ τὸ βέλτιον. Εἴρηται δὲ τρόπος ἀπὸ τοῦ τετράφθαι παρὰ τὴν κυρίαν καὶ νενομισμένην τοῦ λόγου φράσιν, κατὰ μεταφορὰν τῶν ὁδῶν τῶν μὴ [2] ἐχουσῶν ἐκτροπὰς μηδὲ ἀποκλίσεις· μετατρέποντες γὰρ ἀπὸ τῆς κυρίας καὶ πρωτοτύπου φράσεως ἐγκλίσεις καὶ ἐκτροπὰς μεταφορικῶς κατὰ τὸ ἀῤῥενικὸν σχηματίσαντες τρόπους ἐκάλεσαν.

Λέγεται δὲ τρόπος κατὰ πρῶτον μὲν σημαινόμενον τὸ ἑνὸς ἑκάστου ἦθος, καθ᾽ ὃν τρόπον κακότροπον καὶ κακοήθη λέγομεν. κατὰ δεύτερον δὲ ὁ ἐν μουσικῇ, οἷον Λύδιος, Φρύγιος, Δώριος· κατὰ τρίτον δὲ τὸ ἐν μουσικῇ[3] σχῆμα λόγου ἴδιον ἢ τὸ πρῶτον ἢ τὸ δεύτερον.[4]

1 Descripsi ex cod. Par. 1270. Fol. 215 — 218. Deinde contuli cum editione Boissonadii, Anecd. Gr. T. III. p. 288. — Cocondrii nomen nusquam alibi inveni. 2 Ita codex. Boisson. conjicit: τῶν ἐχ. ἐκτρ. καὶ ἀποκλ. 3 Forsan λογικῇ vel διαλεκτικῇ. Sed est et in proximis vitium. BOIS. 4 Cod.

Καλεῖται δὲ καὶ ἡ αἰτία τρόπος· κατὰ τοῦτο συν[...] τοῦμεν, τίνι τρόπῳ ἐπιγίνεται ὕπνος ἢ ἀναπνοὴ, ἀντὶ τοῦ τίνι αἰτίᾳ· λέγεται δὲ τρόπος καὶ ἡ τροπὴ ἐπὶ πολλὰ καὶ ποικίλα τῆς διανοίας, καθ' ὃ σημαινόμενον τρόποι νῦν εἴρηνται.

Τῶν δὲ τρόπων οἱ μὲν περὶ μίαν λέξιν θεωροῦνται, οἱ δὲ περὶ σύνταξιν, οἱ δὲ περὶ ἀμφότερα. Περὶ μὲν οὖν μίαν λέξιν ὀνοματοποιΐα, πεποιημένον, κατάχρησις, μεταφορὰ, μετάληψις, ἀντίφρασις, μετωνυμία, ἀντονομασία·[5] περὶ δὲ σύνταξιν ἀλληγορία καὶ τὰ εἴδη αὐτῆς, καὶ ἡ συνεκδοχὴ καὶ ὑπερβολὴ καὶ περίφρασις καὶ σύλληψις· περὶ δὲ ἀμφότερα ταῦτα ὑπερβατὸν, ἀναστροφὴ, ὥστε εἶναι τοὺς σύμπαντας τρόπους δέκα καὶ πέντε· ὀνοματοποιΐαν, πεποιημένον, κατάχρησιν, μεταφορὰν, μετάληψιν, ἀντίφρασιν, μετωνυμίαν, ἀντονομασίαν, ἀλληγορίαν, συνεκδοχὴν, ὑπερβολὴν, περίφρασιν, σύλληψιν, ὑπερβατὸν, ἀναστροφήν· τὴν δὲ εἰρωνείαν καὶ τὸ αἴνιγμα οὐ τακτέον ἐν τοῖς γενικοῖς τρόποις, ὥσπερ οὐδὲ τὴν ἀναστροφήν· ἡ μὲν γὰρ τοῦ ὑπερβατοῦ εἶδος, ἡ δὲ εἰρωνεία καὶ τὸ αἴνιγμα τῆς ἀλληγορίας.

## ά. ΟΝΟΜΑΤΟΠΟΙΙΑ.

Ὀνοματοποιΐα ἐστὶ λέξις ὑπὸ τοῦ ποιητοῦ παρὰ τὰς τῶν ἤχων ἰδιότητας μιμητικῶς κατεσκευασμένη· γίνεται δὲ ἐπὶ ὀνόματος, ἐπὶ πάθους, ἐπὶ φωνῆς· ἐπὶ μὲν ὀνόματος·

— — Σίζ' ὀφθαλμὸς[6] ἐλαΐνέῳ περὶ μόχλῳ·

ἐπὶ δὲ πάθους·

Σὺν[7] τῇ παιφάσσουσα διέσσυτο λαὸν Ἀχαιῶν.

ἐπὶ δὲ φωνῆς· ῥοῖζος, βόμβος, κολοσυρτὸς, ὀρυγμαδός.[8]

---

ἴδιον, supra lin. δεύτερον. 5 Cod. ἀντωνομ. h. l. et infra. 6 Od. ι, 394. Cod. ὀφθαλμοὺς ἐνελαΐῳ. vide Choerobosc. θ'. ubi Morell. etiam ὀφθαλμοὺς impressit. 7 Il. β, 450. Cod. πεφάσσουσα δ. λαῶν. 8 Frustra esset qui corrigeret ὀρυ-

### β'. ΠΕΠΟΙΗΜΕΝΟΝ.

Πεποιημένον ἐστὶ λέξις ἀπὸ τῶν ἐν βίῳ πεποιημένων ὑπὸ τοῦ ποιητοῦ γεγονυῖα· εἴδη δὲ αὐτῆς εἰσι τρία, μετωνομασία, μετασχηματισμὸς, μετατύπωσις.

### γ'. ΜΕΤΩΝΟΜΑΣΙΑ.

Μετωνομασία μέν ἐστιν, οἷον[8*] ὅταν ὁ Εὐριπίδης[9] τὸ στεφανῶσαι καὶ κισσῶσαι λέγῃ, καὶ Σοφοκλῆς[10] ἀπὸ τοῦ παιδαγωγῶ, γεροντα γωγῶ· μετασχηματισμὸς δὲ, ὅταν ἡ Πηνελόπη λέγηται[11] Πηνελόπεια, καὶ ἡ ἑσπέρα ἕσπερος, καὶ ὁ Βριαρὴς Βριάρεως[12] λέγηται· μετατύπωσις δὲ, ὅταν ἡ ἀκρόπολις πόλις[13] ἄκρα λέγηται.

### δ'. ΚΑΤΑΧΡΗΣΙΣ.

Κατάχρησίς ἐστι μέρος λόγου ἀπὸ τοῦ πρώτως κατωνομασμένου κυρίως καὶ ἐτύμως ἐπί τινος ἀκατονομάστου τασσόμενον κατὰ οἰκεῖον, ὥςπερ ὅταν ὀφθαλμὸν ἀμπέλου λέγωμεν,[14] καὶ πυξίδα, κἂν μὴ ἐκ ξύλου ὑπάρχῃ· ἀνδριάντα κἂν γυναικὸς εἰκών· γαλεάγραν τε καὶ τὴν ἄρκτου καὶ λέοντος· ἁλιέα τε καὶ τὸν κατὰ τὸν ποταμὸν ἰχθύας ἀγρεύοντα· τριήραρχον καὶ τὸν πεντήρους ἢ ἑξήρους νηὸς ἐπιμελητήν· ἀνδροφόνον τε καὶ τὸν γυναικὸς ἢ παιδὸς φονέα.

### ε'. ΜΕΤΑΦΟΡΑ.

Μεταφορά ἐστι μέρος λόγου ἀπὸ τοῦ κυρίως λεγομένου

---

μαγδός. Nam et ὀρυγμαδὸς reperitur, v. c. in Scholiis ad Dionys. Thr. p. 877., quae videsis. Lexicon in Bachm. Anecd. t. 1. ὀρυμαγδός. θόρυβος, τάραχος, κτύπος. BOIS. 8* Cod. οἷον ἐστίν. 9 Bacch. 201. κρᾶτα κισσώσας ἐμόν. 10 Oed. Col. 348. et Pelei Fragm. 1. 11 Cod. λέγεται. 12 Il. α, 402. 13 Il. ζ, 257. et 317. 14 Cod. λέγομεν.

μένου μεταφερόμενον εἰς ἕτερον ὁμοιώσεως ἢ ἐμφάσεως ἕνεκα·

Γέλασε[15] δὲ πᾶσα περὶ χθών.

καὶ

— — Τὰ[16] δ' ἐπιῤῥέεν ἔθνεα πεζῶν.

καὶ τὰ δόρατα λιλαιόμενα[17] χροὸς ἆσαι· γίνεται δὲ ἡ μεταφορὰ κατὰ τρόπους τέσσαρας· ἤτοι γὰρ ἀπὸ ἐμψύχου ἐπὶ ἄψυχον, ἢ ἀπὸ ἀψύχου ἐπὶ ἔμψυχον, ἢ ἀπὸ ἐμψύχου ἐπὶ ἔμψυχον, ἢ ἀπὸ ἀψύχου ἐπὶ ἄψυχον. ἀπὸ μὲν οὖν ἐμψύχου ἐπὶ ἄψυχον· κορυφὴν[18] ὄρεος, πόδας[19] Ἴδης, κυρίως μὲν γὰρ κορυφὴ λέγεται ἐπὶ τῶν ζώων καὶ πόδες, ἐπὶ δὲ ὄρους ἀκρώρεια καὶ ὑπώρεια· ἀπὸ δὲ ἀψύχου ἐπὶ ἔμψυχον,

Ἕρκος[20] Ἀχαιοῖσι πέλεται[21] πολέμοιο κακοῖο.

Ἕρκος γὰρ εἴρηκε τὸν Ἀχιλλέα μεταφορικῶς τῶν Ἑλλήνων· ἥνπερ γὰρ ἀσφάλειαν παρέχει τὰ τείχη ταῖς πόλεσιν, ταύτην ὁ Ἀχιλλεὺς τοῖς Ἕλλησιν.[22] Ἀπὸ δὲ ἐμψύχου ἐπὶ ἔμψυχον,

Βῆ[23] δ' ἄρ' ἐπ' Ἀτρείδην Ἀγαμέμνονα, ποιμένα λαῶν·

Κυρίως γὰρ ποιμὴν καλεῖται ὁ νομεὺς τῶν προβάτων· ἔμψυχος δὲ ὁ ποιμὴν καὶ ἔμψυχος ὁ βασιλεύς. Ἀπὸ δὲ ἀψύχου ἐπὶ ἄψυχον·

Σπέρμα[24] πυρὸς σώζων, ἵνα μή πόθεν ἄλλοθεν αὔοι·

καὶ γὰρ τὸ σπέρμα τὸ εἰς γῆν βαλλόμενον ἄψυχον, ὁμοίως καὶ ὁ σπινθὴρ τοῦ πυρός.

## ϛ'. ΑΝΤΙΦΡΑΣΙΣ.

Ἀντίφρασίς ἐστι λέξις διὰ τῶν ἀντικειμένων τὸ ἐναν-

---

15 Il. τ, 362. 16 Il. λ, 724. 17 Il. λ, 574. 18 Od. κ, 113. 19 Il. β, 824. 20 Il. α, 284. 21 Cod. πέλλεται. 22 Cod. ταῖς πόλεσιν. τοῖς Ἕλλησιν. 23 Versus ex duobus diversis compositus memoriae fraude: Il. β, 18. βῆ δ' ἄρ' ἐπ' Ἀτρ. Ἀγ. τὸν δ' ἐκίχανε. 24 Od. ε, 490.

τίον ἢ παρακειμένων [25] παράγουσα· καὶ διὰ μὲν τῶν ἐναντίων·

Οὐδ' [26] ἄρα τώγε ἰδὼν γήθησεν Ἀχιλλεύς·

ἀντὶ τοῦ ἐλυπήθη· καὶ

Τὼ [27] δ' οὐκ ἀέκοντε πετέσθην,

ἀντὶ τοῦ ἑκόντες· διὰ δὲ τῶν παρακειμένων, καθάπερ εἰώθαμεν τὰς Ἐριννύας καλεῖν καὶ [28] σεμνὰς θεάς, [29] καὶ Μελιτώνην [30] τὴν Περσεφόνην, καὶ καλιὰν τὸν πίθηκον, καὶ τὰ τούτοις παραπλήσια.

## ζ. ΜΕΤΩΝΥΜΙΑ.

Μετωνυμία δέ ἐστιν λέξις ἀντὶ ἑτέρας λέξεως παραλαμβανομένη, κατά τινα κοινωνίαν τῶν πραγμάτων· γίνεται δὲ πολλαχῶς, ἢ γὰρ ἀπὸ τοῦ εὑρόντος τὸ εὑρεθέν, [31] ὅταν Δημήτηρ ὁ σῖτος καὶ ὁ οἶνος Διόνυσος· „ἐπίσθη [32] δὲ Διονύσῳ κύπελλα·“ ἢ ἀπὸ τοῦ εὑρεθέντος τὸν εὑράντα·

Οἶνός μ' ἔπεισε [33] δαιμόνων ὑπέρτατος,

ἀντὶ τοῦ Διόνυσος· ἢ ἀπὸ τοῦ κυριεύοντος τὸ κυριευόμενον, ὡς ὅταν σίδηρος ὁ Ἄρης, καὶ τὸ πῦρ Ἥφαιστος λέγωνται· ἢ ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον, ὡς ἔκπιε τὸ ποτήριον, ἀντὶ τοῦ τὸν ἐκ τοῦ ποτηρίου οἶνον· ἢ ἀπὸ τοῦ περιεχομένου τὸ περιέχον· οἷον ὅταν Ἀμφιτρίτην τις τὴν θάλασσαν λέγῃ, καὶ

---

25 Cod. παρακείμενον. corr. Boiss. 26 Il. α, 330. 27 Od. γ, 484. 28 Boiss. legere jubet: Εὐμενίδας καὶ σ. 29 Soph. Oed. Col. 458. σὺν ταῖς δὲ ταῖς σεμναῖσι δημούχοις θεαῖς et saepe. 30 Theocritus XV, 94. Proserpinam vocavit μελιτώδη. notat Scholiastes id nomen dictum esse κατ' ἀντίφρασιν. Huc respexisse puto grammaticum, quem fefellit memoria, vel corrupit librarius. BOIS. 31 Cod. εὑρηθέν. Post εὑρεθὲν Boiss. omissum putat σημαίνεται, et mox λέγωνται post Διόνυσος. 32 Boiss. conj. ἐπλήσθη. 33 Cod. με πεῖσε.

Τοῖον[34] οἱ πῦρ δαῖεν ἀπὸ κρατός τε καὶ ὤμων·

ἀπὸ γὰρ τῶν ἐπικειμένων ὅπλων ἐπιφέρει·

Δαῖέ[35] οἱ ἐκ κόρυθός τε καὶ ἀσπίδος ἀκάματον πῦρ·

ἀπὸ δὲ τοῦ πάσχοντος τὸ διακρῖναι, ὡς τό· χλωρὸν[36] δέος καὶ πόλεμον[37] πολύδακρυν, καὶ μαινόμενον Διόνυσον, καθάπερ ἀποσημαίνεται ὁ ποιητὴς λέγων·

Ὅς[38] τότε μαινομένοιο Διωνύσοιο[39] τιθήνας
Σεῦε κατ' ἠγάθεον Νυσήϊον.

## η΄. ΑΝΤΟΝΟΜΑΣΙΑ.

Ἀντονομασία ἐστὶ λέξις ἀντὶ τοῦ κυρίου ὀνόματος παρειλημμένον ἔχουσα ὁτὲ μὲν τὸ ἐπίθετον, ὁτὲ δὲ τὸ πατρωνυμικὸν, ὁτὲ δὲ τὰ παρακολουθοῦντα ἰδίως τῷ κυρίῳ· τὸ μὲν οὖν ἀντίθετον· ἐνοσίχθονι[41] κυανοχαίτῃ· ἀντὶ τοῦ τῷ Ποσειδῶνι, καὶ ἐϋσκόπῳ[42] Ἀργειφόντῃ, ἀντὶ τοῦ τῷ Ἑρμῇ· ὁτὲ δὲ τὸ πατρωνυμικόν·

Πηλείδης[43] μὲν ἐπὶ κλισίας καὶ νῆας ἐΐσας
Ἤϊε, σύν τε Μενοιτιάδῃ·

ἀντὶ τοῦ, Ἀχιλλεὺς καὶ Πάτροκλος παρείληπται· ποτὲ δὲ τὰ παρακολουθοῦντα, ὡς Διὸς[44] καὶ Λητοῦς υἱὸς, ἀντὶ τοῦ· ὁ Ἀπόλλων· καὶ Πριάμοιο πόλιν, ἀντὶ τοῦ τὴν Ἴλιον, καὶ παρὰ Εὐφορίωνι· ἠελίους τριακοσίους ἐφόρησα, ἀντὶ τοῦ ἡμέρας.

## θ΄. ΑΛΛΗΓΟΡΙΑ.

Ἀλληγορία ἐστὶ φράσις, ἕτερον μὲν δηλοῦσα κυρίως, ἑτέραν δὲ ἔννοιαν παριστῶσα, ὡς παρὰ Ἀλκαίῳ·[45]

---

34 Il. ε, 7. 35 Il. ε, 5. 36 Il. η, 479. Vide Fabricium ad S. Empir. p. 366. Dixit χλωρὸν δεῖμα Aeschylus Suppl. v. 567. BOIS. 37 Il. χ, 487. 38 Il. ζ, 132. 39 Cod. Διωνύσου. 40 Cod. ἠγαθέης νηῦσίν. 41 Od. γ, 6. 42 Od. η, 137. 43 Il. ι, 306. 44 Il. α, 9. 45 cfr. Ephemer. Halens. a. 1832, Supplem. nr. 97.

*Συνίημι τῶν ἀνέμων τὴν στάσιν.*
*Τὸ μὲν γὰρ ἔνθεν κῦμα κυλίνδεται,*
*Τὸ δὲ ἔνθεν, ἄμμε δὲ τὸ μέσον*
*Αἰεὶ φορήμεθα· σὺν μέλανι*
*Χειμῶνι μογέοντες μάλα.*

διὰ γὰρ τούτων ἐξῆς, ἐκ μὲν τοῦ προςτυχόντος χειμὼν θαλάσσιος ὑπακούεται, κατὰ δὲ τὴν ἀλήθειαν πολιτικῶν πραγμάτων ταραχή τις ἐκφαίνεται· ἤδη δὲ καὶ παρ' Ὁμήρῳ ἀλληγορίαι μόναι·

*— — εἰ μὴ*
*Λάϊνον ἕσσο[46] χιτῶνα κακῶν ἕνεχ', ὅσσα ἔοργας.*

Καὶ τό·

*Καὶ δὴ φυλόπιδος[47] πέλεται κόρος ἀνθρώποισι.*

Καὶ τό·

*Καὶ δὴ χθονὶ χαλκὸς ἔχευε·[48]*

καὶ τὸ ἄμητος δ' ὀλίγιστος· καὶ τό·

*— — ἐπὴν κλίνῃσι τάλαντα*
*Ζεὺς, ὅς τ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται·*

Εἴδη δὲ τῆς ἀλληγορίας εἰσὶ δύο· εἰρωνεία καὶ τὸ αἴνιγμα.

## ί. ΕΙΡΩΝΕΙΑ.

Εἰρωνεία ἐστὶ λόγος διὰ τοῦ ἐναντίου τὸ ἐναντίον μετά τινος ἠθικῆς ὑποκρίσεως δηλῶν· ἔστι δὲ αὐτοῦ τὸ μὲν ἐφ' ἡμῶν, τὸ δὲ ἐπὶ τῶν πλησίον· καὶ τὸ μὲν ἐφ' ἡμῶν ἀστεϊσμὸς καλεῖται καὶ ἀντιμετάθεσις· τὸ δὲ ἐπὶ τῶν πλησίον χλευασμὸς, μυκτηρισμὸς, χαριεντισμὸς, ἐπικερτόμησις, διασυρμὸς, ἐναντίωσις· ταῦτα γὰρ τῆς εἰρωνείας τὰ εἴδη· ἀστεϊσμὸς μὲν οὖν ἐστι λόγος, ἀφ' ἑαυτοῦ πρὸς ἕτερον ἔχων τὴν διαβολὴν, οἷον·

*Ἀντίνο',[49] ἦ μευ καλὰ πατὴρ ὣς κήδεαι υἱός.*

Ἀντιμετάθεσις δέ ἐστιν εἰρωνεία προςποίησιν ἐμφαίνου-

---

46 Cod. ἔσο. Il. γ, 57. 47 Cod. φιλόπιδος. Il. τ, 221. 48 Il. τ, 222. et ἄμητος ὀλ. sq. v. 223. 49 Od. ρ, 297. Cod. Ἀντίνοε, ἢ μὲν πατὴρ ὣς κήδεται.

σα· ψόγου μὲν εἰς αὑτὸν, ἐπαίνου δὲ εἰς πλησίον· οἷον οὐ γὰρ ἐμαχόμην, οὐδ' ἐστρατευόμην, ἀλλ' ἔφευγον. τὸ ἐναντίον δὲ οὗτος ἔδρασε. μυκτηρισμὸς δέ ἐστιν χλευασμὸς μετὰ ποιᾶς κινήσεως καὶ συναγωγῆς τῶν μυκτήρων· σαρκασμὸς δὲ καὶ χλευασμὸς μέχρι τοῦ σεσηρέναι[50] καὶ παρεμφαίνεσθαι τοὺς ὀδόντας· χαριεντισμὸς δὲ μετὰ προςποιήτου φιλοφροσύνης εἰρωνεία ἐπὶ κακῷ καὶ βλάβῃ γινομένη· ἐπικερτόμησις δέ ἐστιν εἰρωνεία ἡδονὴν ἐκφέρουσα τοῦ λέγοντος, ὡς ἔχει·

Ὢ πόποι,[51] ἦ μάλ' ἐλαφρὸς ἀνὴρ, ὡς ῥεῖα κυβιστᾷ,
Εἰ δήπου καὶ πόντῳ ἐν ἰχθυόεντι γένοιτο,
Πολλοὺς ἂν κορέσειεν.

Διασυρμὸς δὲ εἰρωνεία διασύρουσα τὸ ἔπος· οἷον·

Θέρσιτ'[52] ἀκριτόμυθε, λιγύς περ ἐὼν ἀγορητής.

Ἐναντίωσις δέ ἐστι λέξις διὰ τοῦ ἐναντίου τὸ ἐναντίον σημαίνουσα· οἷον, „οὐ μὴν[53] ἔφευγεν Ὀδυσσεὺς, οὐδὲ μανίαν ὑπεκρίνετο·“ ἅπασι δὲ τούτοις παρακολουθεῖ τὸ σκῶμμα οὐ διακεχωρισμένον. Τὸ δὲ εἴκασμά ἐστι σκῶμμα καθ' ὁμοιότητα, ὡς ἔχει τὸ παρ' Εὐπόλιδι·

Βολβῷ κατεικάζουσιν[54] ἡμᾶς, ἰσχάδι.

τινὲς δὲ καὶ τὰς παροιμίας τάσσουσιν ὑπὸ τὰς ἀλληγορίας καὶ τοὺς μύθους οὐ πάνυ ἀστείως.

## ιά. ΑΙΝΙΓΜΑ.

Αἴνιγμά ἐστι λέξις ἢ λόγος ἀποκρύπτων τὸ νοούμενον διὰ τὰ ἀνακεχωρηκότα τῶν συμβεβηκότων, οἷόν ἐστι Χαιρήμονος·

Ἔαρος ἡ νύμφη, τέκνον τι μετὰ θέρους ἐς ὕστερον·

---

50 Cod. σεσυρέναι, καὶ παρ' ἐμφ. 51 Il. π, 745. 52 Il. β, 246. 53 Auctor cujus haec sunt verba, cum Philostrato consentit Her. p. 708. BOIS. 54 Cod. κατεικάζουσιν ἡμᾶς σχάδι βολβῷ. Boiss. legit σχεδὸν βολβῷ. Facilius videtur ἰσχάδι, quo transposito integrum habes senarium.

*Ἐν χειμῶνι δ' οἴχεται σὺν τῷ ἀνέμῳ κεκαρμένη.*[55] ἄμπελον γὰρ δηλοῖ διὰ τούτου.

### ιβʹ. ΣΥΝΕΚΔΟΧΗ.

Συνεκδοχή ἐστι λέξις ἢ φράσις ἀπὸ μέρους ὅλην διάνοιαν ἐμφαίνουσα, ἢ διὰ τοῦ παντὸς τὸ μέρος· γίνονται δὲ αἱ συνεκδοχαὶ κατὰ τρόπους τέσσαρας· ἢ γὰρ ἀπὸ μέρους τὸ ὅλον, ἢ ἀπὸ ὅλου τὸ μέρος, ἢ ἀπὸ ἐπωνύμου τὸ κύριον, ἢ ἀπὸ τοῦ παρεπομένου τὸ κύριον· ἀπὸ μὲν οὖν μέρους τὸ ὅλον·

*Ἀτρεῖδαί*[56] *τε καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοί.*

ἀπὸ γὰρ τοῦ εὐκνήμιδες συνεκδοχικῶς τὸ ὅλοι εὔοπλοι· καὶ ἔτι· λευκώλενος Ἥρη,[57] ἀντὶ τοῦ ὅλη λευκή· ἀπὸ δὲ ὅλου τὸ μέρος·

*Οἱ δ' εὐθὺς*[58] *πρὸς τεῖχος ἐΰδμητον βόας αὔας·*

βόας γὰρ αὔας λέγει τὰς ξηρὰς βύρσας, ἐκ δὲ τῶν βυρσῶν τὰς ἀσπίδας, ὥστε ἀπὸ τοῦ ὅλου τὸ μέρος δεδήλωται, ἀπὸ δὲ ἐπωνύμου τὸ κύριον·

*Φοῖβος*[59] *ἀκερσεκόμης, ἠδ' Ἄρτεμις ἰοχέαιρα·*

ἀπὸ γὰρ τοῦ Φοῖβος ἐπωνύμου τὸν Ἀπόλλωνα δεῖ κυρίως συνεκδέξασθαι, καὶ

*Ὄρσεο*[60] *Τριτογένεια, φίλον τέκος·*

πάλιν γὰρ ἀπὸ τῆς Τριτογενείας τὴν Ἀθηνᾶν δέον συνεκδέξασθαι· ἀπὸ δὲ τοῦ συμβαίνοντος τὸ προηγούμενον·

*Οἱ δὲ*[61] *πανημέριοι σεῖον ζυγὸν ἀμφὶς ἔχοντε,*

---

55 Puto dictam fuisse vitem veris conjugem ob florem; aestatis filiam ob fructum qui tunc maturescit; serius, autumno nempe, fieri matrem, vini scilicet; dein hieme mori vento attonsam. BOIS. 56 Il. α, 17. 57 Il. α, 55. 58 Il. μ, 137. 59 Φοῖβος Cod. om. Addidit Boiss. — Il. υ, 39. 60 Il. ϑ, 39. ϑάρσει τριτ. 61 Cod. δή. Od. γ, 486.

ἀντὶ τοῦ ἔτρεχον· πρότερον γὰρ ἔτρεχον οἱ ἵπποι, ἐπὰν οὕτως συνέβαινε σείεσθαι τὸν ζυγόν· καὶ

Ἑζόμενοι[62] λεύκαινον ὕδωρ ξεσταῖς ἐλάτῃσιν,

ἀντὶ τοῦ ἐκωπηλάτουν· ἀπὸ δὲ τοῦ παρεπομένου τὸ προηγούμενον·

Λῦσε[63] δὲ παρθενίην ζώνην,

ἀντὶ τοῦ διεκόρευσεν.

## ιγ΄. ΥΠΕΡΒΟΛΗ.

Ὑπερβολή ἐστι λόγος σημαίνων μετὰ πλήθους ἐπιτατικὸς, ἢ λόγος ὑπεραίρων τὴν ἀλήθειαν· βλέπονται δὲ ἐν τρισὶν αἱ ὑπερβολαί· αἱ μὲν καθ' αὑτὰς, αἱ δὲ πρὸς ἕτερον, αἱ δὲ κατ' ἐξίσωσιν. καθ' αὑτὰς μὲν, ὡς σιδήρειόν[64] νύ τοι ἦτορ· πρὸς ἕτερον δέ·

Λευκότεροι[65] χιόνος, θείειν δ' ἀνέμοισιν ὁμοῖοι.

κατ' ἐξίσωσιν δέ·

Ἶσος Ἐνυαλίῳ, κορυθάϊκι[66] πολεμιστῇ·

## ιδ΄. ΠΕΡΙΦΡΑΣΙΣ.

Περίφρασίς ἐστι φράσις διὰ πλειόνων ὀνομάτων δηλοῦσα τὸ κεφαλαιωδῶς ἐξενεχθῆναι δυνάμενον. βίη Ἡρακλείη,[67] ἀντὶ τοῦ Ἡρακλῆς· καὶ ἱερὸν μένος Ἀλκινόοιο,[68] ἀντὶ τοῦ Ἀλκίνοος, καὶ Πυλαιμενέος λάσιον κῆρ,[69] ἀντὶ τοῦ Πυλαιμένης· καὶ βοῶν ἴφθιμα κάρηνα,[70] ἀντὶ τοῦ τὰς βοῦς.

## ιε΄. ΥΠΕΡΒΑΤΟΝ.[71]

Ὑπερβατόν ἐστι πρώτης καὶ συνήθους τάξεως λό-

---

62 Od. μ, 172. 63 Il. λ, 244. 64 Il. ω, 205. 65 Il. κ, 437. 66 Cod. κορυθαιόλῳ. Il. χ, 132. 67 Imo Ἡρακλείη. cfr. Il. λ, 690. BOIS. 68 Od. η, 167. 69 Cod. λασίοιο. Boiss. reposuit λάσιον κῆρ ex Il. β, 851. 70 Il. ψ, 260. 71 Omisit librarius regulam de συλλήψει. BOIS.

γου μετακίνησις· γίνεται δὲ τετραχῶς, ἤτοι ἐν λέξει ἤτοι ἐν λόγῳ· ἢ ἐν νοήματι, ἢ ἐν πράγματι· λέξει μέν· „νήπιοι,[72] οἳ κατὰ βοῦς ἠελίοιο ἤσθιον·“ τὸ γὰρ ἑξῆς κατήσθιον, καὶ ...

Ἂν[73] δὲ κύων κεφαλήν τε καὶ οὔατα κείμενος ἔσχεν.

τὸ γὰρ ἑξῆς ἐστιν ἀντέσχεν· λόγῳ δέ·

Ὣς ἔφατ᾽·[74] Ἀργεῖοι δὲ μέγ᾽ ἴαχον, ἀμφὶ δὲ νῆες
Σμερδαλέον κονάβησαν ἀϋσάντων ὑπ᾽ Ἀχαιῶν,
Μῦθον ἐπαινήσαντες Ὀδυσσῆος θείοιο.

νοήματι δέ·

Πάντη[75] γὰρ περὶ τεῖχος ὀρώρει θεσπιδαὲς[76] πῦρ
Λάϊνον·

οὐ γὰρ λέγει τὸ πῦρ λάϊνον, ἀλλὰ τὸ τεῖχος· πράγματι δὲ, ὅταν τὸ πρῶτον γινόμενον δεύτερον τάξῃ ὁ ποιητής, οἷον·

Τὰς[77] μὲν ἄρα θρέψασα τεκοῦσά τε.

καὶ,

Ἡ δ᾽ ἐπεὶ[78] εἰσῆλθεν καὶ ὑπέρβαλε[79] λάϊνον οὐδόν.

ἀντὶ τοῦ πρότερον ὑπέρβη, καὶ τότε εἰσῆλθεν· εἶδος δὲ ὑπερβατοῦ ἐστιν ἡ ἀναστροφή.

## ις΄. ΑΝΑΣΤΡΟΦΗ.

Ἀναστροφή ἐστιν λέξις, ἣν χρὴ προηγεῖσθαι τῆς σημαινομένης διανοίας, δευτέραν ἔχουσα τάξιν, οἷον·

Ὧι[80] ἔπι πόλλ᾽ ἐμόγησα,

ἀντὶ τοῦ ἐφ᾽ ᾧ· καὶ

Εἰ[81] μέν κεν λείπω κάτα τεύχεα καλά,

ἀντὶ τοῦ καταλείπω. καὶ, νεῶν ἄπο καὶ κλισιάων·[82] ἔστι

---

72 Od. α, 8. 73 Od. ρ, 291. Cod. ἄνθ᾽ ὁ κύων κεφ. τ. κ. οὔατα ἔσχεν ἄργος. 74 Il. β, 333. 75 Il. μ, 137. 76 Cod. σπιδαές. 77 Od. μ, 134. 78 Cod. κείνη δ᾽ ἐπεί. Il. ψ, 88. 79 Boiss. scripsit ὑπέρβη. 80 Il. α, 162. 81 Il. ρ, 91. εἰ μέν κε λίπω. 82 Il. β, 91.

γὰρ ἀπὸ νεῶν· καί, ὄρνιθες [83] ὥς, ἀντὶ τοῦ ὡς ὄρνιθες.

### ιζ'. ΜΕΤΑΛΗΨΙΣ.

Μετάληψίς ἐστι λέξις διὰ τῆς ὁμωνύμου τὴν συνώνυμον δηλοῦσα, ἢ κατὰ συνωνυμίαν μόνον παραλαμβανομένη, οἷον·

Ἔνθεν δ' αὖ νήσοισιν ἐπιπροέηκε [84] θοῇσιν·

τὰς γὰρ ὀνόματι ἀπὸ τοῦ σχήματος ὀξείας καλουμένας νήσους μεταληπτικῶς θοὰς εἴρηκεν, τὴν ὁμώνυμον εἰς τὴν συνώνυμον μεταβαλών· τῷ γὰρ θοῷ συνωνυμεῖ πᾶν τὸ κατὰ κίνησιν ὀξύ· τούτῳ δὲ ὁμώνυμον πᾶν τὸ ἀκμὴν ἔχον, κατὰ τὸ ἄκρον ἠκονημένον· καὶ πάλιν ἐπὶ τοῦ Κύκλωπος· „δαλὸν [85] ἀποξῦναι δ' ἐκέλευσεν, ἐγὼ δ' ἐθόωσα παραστάς·“ κέχρηται δὲ τῷ ἐθόωσα ἀντὶ τοῦ ὤξυνα. Τινὲς μέντοι τήν τε ἔλλειψιν καὶ πλεονασμὸν καὶ ἀμφιβολίαν καὶ ὁμοίωσιν καὶ ἀνταπόδοσιν [86] τοῖς τρόποις οὐ θέλουσιν ὑπαγαγεῖν.

### ιη'. ΟΜΟΙΩΣΙΣ.

Ὁμοίωσίς ἐστι παράθεσις ἢ σώματος ἢ πράγματος εἰς δήλωσιν τοῦ ὑποκειμένου· οἷον·

Σεύατ' [87] ἔπειθ' οἷός τε πελώριος ἔρχεται Ἄρης.

Εἴδη δὲ ὁμοιώσεώς εἰσιν ἕξ· παραβολή, εἰκών, εἰκονογραφία, χαρακτηρισμός, εἰδωλοποιΐα, [88] παράδειγμα.

### ιθ'. ΠΑΡΑΒΟΛΗ.

Παραβολή ἐστι πράγματος πρὸς τὸ πρᾶγμα παράθεσις κατά τινας ἀναλόγους ὁμοιότητας· οἷον, ὡς ἕδρα-

---

83 Il. γ, 2. 84 Cod. ἐπιπροέηκα. — Od. ο, 299. 85 Od. ι, 326. 327. Cod. δαλοῦ, 86 Cod. ἀνταπόδωσιν. — Omisit librarius τὴν ἐπανάληψιν, quae infra tractabitur. 87 Il. η, 208. 88 Cod. εἰδοποιΐα.

κον ἐπεὶ χερειότερος ἀνδραμένης· γίνεται δὲ ἢ πρᾶξις πρὸς πρᾶξιν, ἢ πάθος πρὸς πάθος, ἢ διάθεσις πρὸς διάθεσιν, ἢ φύσις πρὸς φύσιν· καὶ ὁτὲ μὲν πρᾶξις πρὸς πρᾶξιν·

Οἱ[89] δ' ὥστ' ἀμητῆρες ἐναντίοι ἀλλήλοισιν·

ὁτὲ δὲ πάθος πρὸς πάθος·

Ὡς δ' ὅταν[90] ἀσπασίως βίοτος παίδεσσι φανείη
Πατρὸς, ὃς ἐν νούσῳ κεῖται κρατέρ' ἄλγεα πάσχων.

ἢ διαθέσεως πρὸς διάθεσιν·

Ὡς δ' ὅτε τις δράκοντα ἰδὼν παλίνορσος ἀπέστη·[91]

ἢ φύσεως πρὸς φύσιν·

Οἵη[92] περ φύλλων γενεὴ, τοιήδε[93] καὶ ἀνδρῶν.

Εἰσὶ δέ τινες τῶν παραβολῶν, αἵ τινες αὐξήσεις ἡδονῆς καὶ λύπης καὶ πάθους καὶ φόβου[94] καὶ ἐννοίας παρέχουσιν· ἡδονῆς μέν·

Ὥς[95] τε λέων ἐχάρη μεγάλῳ ἐπὶ σώματι κύρσας·

λύπης δέ·

Ὡς δὲ[96] χιὼν κατατήκετ' ἐν ἀκροπόλοισιν ὄρεσσι.[97]

πάθους δέ·

Ὡς δὲ[98] λέων ἐλάφοιο ταχείης νήπια τέκνα·

φόβου δέ·

Ὡς δ' ὅτε τις δράκοντα ἰδὼν παλίνορσος ἀπέστη·

ἐννοίας δέ·

Ὡς δ' ὅταν[99] ἄγραυλοι πόριες[1] περὶ βοῦς ἀγελαίας.

## κʹ. ΕΙΚΩΝ.

Εἰκών ἐστιν, ὅταν ὅλα σώματα σώμασιν ἀντιπαρατεθῇ· οἷον·

---

89 Il. λ, 67. 90 Od. ε, 394. Cod. ἀσπασίοις παίδεσι φανείῃ πατήρ, ὅς. 91 Il. γ, 33. Cod. ἐπέστη. 92 Il. ζ, 146. 93 Cod. τοιήδε δέ. 94 Cod. φόβους. 95 Il. γ, 23. 96 Od. τ, 205. 97 Cod. ὄρεσι. 98 Il. λ, 113. ὡς δὲ Cod. om. 99 Od. κ, 410.

1 Cod. ἀγραύλοιο πολλῆς.

"Ομματα[2] καὶ κεφαλὴν ἴκελος Διῒ τερπικεραύνῳ·
"Αρεϊ[3] τε ζώνην, στέρνον δὲ Ποσειδάωνι.

### κά. ΕΙΚΟΝΟΓΡΑΦΙΑ.

Εἰκονογραφία ἐστὶν, ὅταν τὰ μέρη τοῖς μέρεσιν ἀντιπαρατεθῇ· οἷον·

"Ηϊε[4] δ' ἐν μεγάροισι περίφρων Πηνελόπεια·
'Αρτέμιδι ἰκέλη, ἠὲ χρυσῇ 'Αφροδίτῃ.

### κγ'. ΧΑΡΑΚΤΗΡΙΣΜΟΣ.

Χαρακτηρισμός ἐστιν, ὅταν ὁ τύπος τοῦ ὑποκειμένου σώματος περιγράφηται, οἷον·

Γυρὸς ἐν ὤμοισιν, μελανόχροος[5] οὐλοκάρηνος.

### κδ'. ΕΙΔΩΛΟΠΟΙΙΑ.

Εἰδωλοποιΐα ἐστὶν ἀνάπλασις προσώπων, ἢ ἐπὶ πραγμάτων, ἢ ἐπὶ ζώων, λογικῶν μὲν, ἀποιχομένων δὲ, ἢ ἀλόγων, λογοποιουμένων δέ· πραγμάτων μὲν, ὡς ὅταν[6] τὴν ἀρετὴν πρὸς τὴν κακίαν πλάττωμεν διαλεγομένην· ἀνθρώπων δὲ ἀποιχομένων, ὡς ὅταν λέγωμεν ποίους λόγους[7] εἶπεν 'Αχιλλεὺς, ἰδὼν τὸν Πάτροκλον ἐν τῷ "Αιδῃ· ἀλόγων δὲ, ὡς ὅταν λέγωμεν, ποίους λόγους εἶπεν ἡ ἀλώπηξ πρὸς τὸν λύκον.

### κέ. ΠΑΡΑΔΕΙΓΜΑ.

Παράδειγμά ἐστι παράστασίς τινος πρός τινα, δεικτικῶς· γίνεται δὲ ἢ προτροπῆς ἢ ἀπαγωγῆς ἕνεκα· καὶ προτροπῆς μὲν, ὡς ἐπὶ τοῦ Τηλεμάχου·

---

2 Il. β, 478. 3 Cod. "Αρηϊ. 4 Od. ο, 37. 5 Od. τ, 246. — Cod. μελανόχρωος. 6 Ut fere in Xenophontea de Hercule Prodicio narratione. BOIS. 7 Cod. λόγους οὕς.

Ἢ οὐκ ἀΐεις οἷον κλέος ἔλλαβε [8] δῖος Ὀρέστης
Πάντας ἐπ' ἀνθρώπους, ἐπεὶ ἔκτανε πατροφονῆα;
Καὶ σὺ, φίλος (μάλα γάρ σ' ὁρόω καλόν τε μέγαν τε)·
Ἄλκιμος ἔσσ' ἵνα τίς σε καὶ ὀψιγόνων εὖ εἴπῃ.

Ἀποτροπῆς δέ·

[Ὁρᾷς τὸν Ἀκταίωνος ἄθλιον μόρον,
Ὃν ὠμόσιτοι [9] σκύλακες, ἃς ἐθρέψατο,
Διεσπάσαντο.

ἀπαγωγῆς δὲ ἕνεκα·

Μή τι [10] τοι δρυτόμος μέγ' ἀμείνων ἠὲ βίηφι·
Μή τι δ' αὖτε κυβερνήτης ἐνὶ οἴνοπι πόντῳ
Νῆα θοὴν [11] ἰθύνει ἐρεχθομένην ἀνέμοισιν.

## κς'. ΑΝΤΑΠΟΔΟΣΙΣ.

Ἀνταπόδοσίς ἐστι φράσις ἀκολούθως ἐκφερομένη ταῖς ὑποκειμέναις ὁμοιώσεσιν καὶ παραβολαῖς, οἷον·

Ὡς ἐχάρη [12] Μενέλαος·

καὶ

Ὡς [13] τῶν ἔθνεα πολλά....

καί·

Ὡς [14] δ' αὖτις καθ' ὅμιλον ἔδυ Τρώων ἀγερώχων.

## κζ'. ΕΛΛΕΙΨΙΣ.

Ἔλλειψίς ἐστι φράσις μέρει λόγου τινὶ ἐλλείπουσα·

Αἰτωλοὶ [15] μὲν ἀμυνόμενοι Καλυδῶνος ἐραννῆς.[16]

ἀντὶ τοῦ περὶ Καλυδῶνος· καί·

Ἕως [17] τὸν πεδίοιο διώκετο πυροφόροιο.

---

8 Od. α, 299. Cod. ἔλαβε. 9 Cod. ὁμῶς σιτίοις. — Eurip. Bacch. 337. 10 Il. ψ, 315. 11 Cod. θοὴν ἰθύνει νῆα ἐνεχθομ. 12 Il. γ, 24. Cod. Μενέλεος. 13 Il. β, 91. 14 Il. γ, 36. 15 Il. ι, 531. 16 Cod. ἐρατεινῆς. 17 Il. φ, 602. Cod. ἕως ὅταν πεδ. διΐκετο πυρφόροιο.

ἀντὶ τοῦ· διὰ πεδίου· καὶ

Χωόμενος [18] κατὰ θυμὸν ἐϋζώνοιο γυναικός.

ἀντὶ τοῦ περὶ γυναικός.

## κή. ΠΛΕΟΝΑΣΜΟΣ.

Πλεονασμός ἐστι φράσις μέρει λόγου τινὶ περισσεύουσα, οἷον· νῆάς τε προπάσας, [19] καὶ βοῶν [20] ἐπιβουκόλος ἀνὴρ ἀντὶ τοῦ βουκόλος.

## κθ'. ΕΠΑΝΑΛΗΨΙΣ.

Ἐπανάληψίς ἐστι τῶν προειρημένων πάλιν ἐξ ὑπαρχῆς κατάλογος οἷον·

Ἀλλ' ὁ μὲν [21] Αἰθίοπας μετεκίαθε τηλόθ' ἐόντας,
Αἰθίοπας, οἳ διχθὰ δεδαίαται [22] ἔσχατοι ἀνδρῶν.

καί·

καὶ εἰ πυρὶ χεῖρας ἔοικεν, [23]
Εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ.

καί·

Τῷ ὀαριζέμεναι, [24] ἅτε παρθένος ἠΐθεός τε,
Παρθένος ἠΐθεός τ' ὀαρίζετον ἀλλήλοισιν.

## λ'. ΑΜΦΙΒΟΛΙΑ.

Ἀμφιβολία ἐστὶ φράσις [25] δύο ἢ καὶ πλείονα σημαίνουσα δι' αὐτῆς· οἷον·

Ἅρματα [26] δ' ἔκλιναν πρὸς ἐνώπια παμφανόωντα·

---

18 Il. α, 429. 19 Il. β, 493. Post exemplum omisit librarius ἀντὶ τοῦ πάσας. BOIS. 20 Od. γ, 422. 21 Od. α, 22. 22 Cod. δαιδέατα. 23 Il. υ, 371. Cod. καὶ εἰ π. χ. ἔοικεν om. 24 Cod. καί τις ἐριζέμεναι, ἅτε παρθ. ἠΐθεος ὀαρίζετον ἀλλ. — Il. χ, 127. 25 φράσις addidit Boiss. 26 Il. θ, 435.

ἀμφίβολον γάρ, πότερον τὰ ἅρματα εἴρηκεν ἢ τὰ ἐνάπια· καί·

Αἰδὼς[27] δ' αὖ νέον ἄνδρα γεραίτερον ἐξερέεσθαι·

καί·

Χαλεπὸν[28] γὰρ ἐρυκακέειν ἕνα πολλούς.

καί· ζεῦγος βοῶν ἤλαυνεν· ἀμφίβολον γάρ, πότερον βοῶν, ἢ τῶν βοῶν.[29]

---

27 Od. γ, 24. 28 Od. υ, 313. 29 scilicet ambiguum utrum clamans, an boum.

## XIX.

# ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΧΟΙΡΟΒΟΣΚΟΥ

## ΠΕΡΙ ΤΡΟΠΩΝ ΠΟΙΗΤΙΚΩΝ.

Fabricius Biblioth. VII. p. 42. Vol. VI. p. 338. ed. Harles.

Georgii Choerobosci *περὶ τρόπου τῶν κατὰ ποιητικὴν καὶ θεολογικὴν χρῆσιν.* Citat Meursius Glossar. in *Κῦρις.* MS. Colbert. 1825. [nunc Reg. 2929.] Barocc. 36. 68. 71. — — — De XXVII. tropis et figuris poëticis et de spiritibus atque accentibus exstat MS. in bibl. Vindobonensi. FABRICIUS.

Florentiae in cod. Medic. cod. XVI. plut. 87. et cod. X. plut. 91. nr. 3. explicatio figurarum poëticarum, atque nr. 4. (eodem Choerob. auctore, uti probabiliter suspicatur Bandin. Catal. III. col. 428.) aliae figurae poëticae XXVII. demonstrativae locutionis figuratae, rhetoricae et logicae institutionis. — Florentiae in bibl. monasterii B. Mariae Ge. Choeroboscus de poëticis, cod. bombyc. teste Montfaucon. in diario ital. p. 369. Neapoli in bibl. reg. cod. 27. de figuris poëticis, de vocc. adfectionibus, quae soloecismi speciem habent. In bibl. publ. Paris. codd. 854. 1270. 2008. 2495. 2650. 2758. 2761. 2762. 2787. 2929. est Choer. de figuris aut tropis poëticis. In Anglia, Oxoniae in bibl.

Bodlej. cod. XXXV. Georg. Choerob. de tropis poëticis lib. VI. num ejusdem sint opusculum — — non clare significatur. In cod. LXVIII. opusc. de tropis poët. et alia grammaticalia. Inter codd. Voss. (qui nunc sunt in bibl. Leidensi nr. 100. Choer. de tropis poëtarum etc. In bibl. Escoriali Ge. Choerob. de tropis et de grammatica, teste Plüero in itiner. p. 169. HARLES. adde Par. 2087.

Georgius Choeroboscus quarto vel quinto post Christum seculo vixit. Vide Schoell. hist. litter. Gr. T. III. p. 172. interpr. German. Libellus noster a bibliographis, quamvis in impresso bibliothecae Regiae Parisiensis catalogo consignatus est, plerumque praetermissus, primum editus est Parisiis 1615. „Georgii Choerobosci de figuris poëticis, oratoriis et theologicis liber. Nunc primum Graece prodit, ex Biblioth. Fed. Morelli Professorum et Interpr. Reg. Decani, cum Latina ejusdem versione, et Procli, de Poëtica dissertatione. Lutetiae, apud Federicum Morellum, Architypographum Regum. MDCXV. Non sine Regis Privilegio.“ Dedicatus Henrico Borbonio, Marchioni de Vernevil, Metensium Episcopo digniss. Forma, si ex visu judices, duodecima: secundum signa typopraphica, octava. — Cfr. Leonem Allat. Diatr. de Georgiis p. 319. ed. Paris.

Codices supra nominati in duas dividuntur recensiones.

I. Editio Morelli ad fidem Cod. Par. 2929. facta esse videtur. Accensendi huic recensioni Par. 2758. qui cum impr. consentit, sed ut codd. secundae recensionis in in schemate ὑστερολογίας explicit, et Vatic. 1405. qui post schema ὑστερολογίας addit quaedam, quae in nullo alio inveniuntur, et Par. 2495.

II. Secundae recensioni prima breviori, adscribendi sunt codd. Parr. 854. 1270. 2008. 2650. 2758. 2761. 2762. [caret nomine auctoris; tituli loco liquore rubro inscriptum est: ποιητικοὶ τρόποι εἰσὶ κζ'.] 2787. [qui inter

lineas

lineas et ad marginem varios aliorum adnotat lectiones.] Ceterum ambigi possit, utra recensio sit Choerobosci, cum omnes codices sint seculi XV. chartacei: excepto 854. seculi XIV. bombycinus, qui ipse ceteris secundae recensionis est brevior.

Fragmenta nonnulla Choerobosci in Codice Med. 58. 2. ad marginem Josephi Rhacendytae adjecta sunt. Vide supra p. 720. 725.

Mea recensio nititur codice Vaticano, a quo describendo cum feriae ingruentes me impedivissent, Carolus Schluttigius, quem praematura morte abreptum litterae atque amici lugent, opera sua mihi praesto fuit. Contuli cum hoc editionem Morelli, et Cod. Par. 2929. ex parte, alterius recensionis specimen exhibui schema μεταφορᾶς.

---

# *ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΧΟΙΡΟΒΟΣΚΟΥ*

## *ΠΕΡΙ ΤΡΟΠΩΝ ΠΟΙΗΤΙΚΩΝ.*[1]

*Πάσης παλαιᾶς*[2] *καὶ νέας γραφῆς ποιητικοὶ τρόποι εἰσὶν κζ. ἀλληγορία, μεταφορὰ, κατάχρησις, μετάληψις, ὑπερβατὸν, ἀναστροφὴ, συνεκδοχὴ, σύλληψις, ὀνοματοποιΐα, πεποιημένον, ἀντονομασία,*[3] *μετωνυμία, ἀντίφρασις, περίφρασις, ἔλλειψις, πλεονασμὸς, ἐπανάληψις, ἐξοχὴ, ὑπερβολὴ, αἴνιγμα, παραβολὴ, ἀνταπόδοσις, προσωποποιΐα, παράδειγμα, εἰρωνεία, σχῆμα καὶ ὑστερολογία. λέγονται*[4] *δὲ ποιητικοὶ τρόποι, διότι παρὰ τοῖς*

1 Impr. Par. 2495. 2929. *Γεωργίου τοῦ Χοιροβοσκοῦ περὶ τρόπων τῶν κατὰ τὴν* [Par. 2029. *τὴν* om.] *ποιητικήν τε καὶ θεολογικὴν χρῆσιν.* Par. 2908. *Τοῦ σοφωτάτου καὶ λογιωτάτου καὶ οἰκομενικοῦ* [sic] *διδασκάλου κυρίου Γεωργίου τοῦ Χοιροβοσκοῦ περὶ τρόπων.* Par. 2758. *Γεωργίου γραμματικοῦ τοῦ Χοιροβοσκοῦ περὶ τῶν ποιητικῶν τρόπων.* Par. 854. *Γεωργ. Χοιρ. περὶ τρόπων ποιητικῶν.* 1270. *Γεωργίου τοῦ Χειροβ.* [sic] *περὶ ποιητικῶν.* 2650. *Γεωργ. τοῦ Χοιρ. περὶ τρόπων ποιητικῶν.* 2761. *Γεωργ. Χοιρ. ποιητικοὶ τρόποι εἰσὶν εἴκοσι ἑπτά.* 2762. et 2087. omisso auctoris nomine incipiunt: *Ποιητικοὶ τρόποι εἰσὶν εἴκοσι ἑπτά.* 2 *Πάσης παλ. κ. ν. γραφῆς* Codd. secundae rec. om. Impr. *παλαιᾶς τε καί.* 3 Impr. Par. 2929. 2762. *ἀντωνομασία.* 4 *λέγονται δὲ ποιητ. — — ὑπερβαίνοντες.* codd. secundae rec. om.

ποιηταῖς πλεονάζουσιν τὴν κοινὴν συνήθειαν ὑπερβαίνοντες.

## ά. ΑΛΛΗΓΟΡΙΑ.

Ἀλληγορία [5] ἐστὶ λέξις ἕτερόν τι λέγουσα καὶ ἑτέραν ἔννοιαν παριστῶσα, ὡς τὸ λεγόμενον ἐν τῇ θείᾳ γραφῇ, ἐν οἷς [6] πρὸς τὸν ὄφιν φησὶν ὁ θεός· „ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν κτηνῶν·“ [7] ὁ γὰρ λόγος πρὸς τὸν ὄφιν ἐστίν· ἐπὶ δὲ τοῦ διαβόλου ἀναλόγως αὐτὸν ἐκλαμβάνομεν, ἤγουν ἀλληγορικῶς· παραλαμβάνεται δὲ [8] αὕτη καὶ διὰ σεμνότητα καὶ δι' εὐλάβειαν· σεμνότητα μὲν, ὡς ἔχει τὰ περὶ τῆς Ἥρας, ἐν οἷς φησὶν ὁ Ζεὺς πρὸς αὐτήν·

Ἦ οὐ [9] μέμνησ' ὅτε ἐκρέμω ὑψόθεν· ἐκ δὲ ποδοῖϊν [10]
Ἄκμονας [11] ἧκα δύο· περὶ χερσὶ δὲ [12] δεσμὸν ἴηλα
Χρύσειον·

ἧς ἡ ἔννοια αὕτη· τῷ πέρατι τοῦ ἀέρος ἥ τε γῆ καὶ τὸ ὕδωρ συνάπτονται, ἃ καὶ ἄκμονας ὡς βαρύτερα τῶν ἄλλων στοιχείων λέγει, χρύσειον δὲ δεσμὸν τὴν [13] περικεχυμένην τῷ ἀέρι αὐγὴν ἐκ τοῦ ἡλιακοῦ φωτὸς, ᾧ ἥνωται ὁ ἀήρ· δι' εὐλάβειαν δὲ, ὡς τό· „λῦσε δὲ [14] παρ-

---

5 Impr. Par. 2929. 2495. ἀλληγορία μὲν οὖν ἐστι λόγος ἕτερόν τι λέγων καὶ ἑτέρου ἔννοιαν παριστῶν. Cod. 2495. ad marg. γρ. λέξις ἑ. τ. λέγουσα κ. ἑ. ἔ. παριστῶσα. [Vat. παρεστῶσα.] 6 Vat. ἐν ᾗ. Par. 2929. 2495. et impr. ἐν οἷς. 7 Par. 2493. ad marg. γρ. θηρίων. — Gen. III. 14. 8 Impr. καὶ αὕτη καί. 9 Il. ο, 18. 10 Par. 2929. ποδοῖν. 11 Vat. ἄκμωνας. h. l. et paullo post. 12 Impr. περὶ δὲ δεσμὸν ἴηλα χρ. Vat. Par. 2929. 2495. χρ. δεσμὸν ἴηλα. 2495. ad marg. περὶ χερσὶ δὲ δεσμὸν ἴηλα, χρύσειον, ἄῤῥηκτον. 13 Vat. τὴν αὐγὴν τοῦ ἀέρος, ᾧ ἕνωται ὁ ἀήρ. emendavi ex impr. Par. 2929. 2495. 14 δὲ impr. Par. 2929. om. idem cod. λῦσαι. tum Vat. et Par. 2788. παρθενίην. Il. λ, 244.

θενικὴν ζώνην," ἀντὶ τοῦ ἔφθειρεν·[15] ὡς καὶ παρὰ Καλλιμάχῳ·[16] „τὸ πῦρ δέ τ' ἀνέκαυσας, ἕως οὗ πολλῇ κεχώρηκε φλογί·" καὶ πάλιν· „ἴσχε δὲ[17] δρόμου μαργῶντας ἵππους, μὴ δευτέραν κάμψῃς, μήτι παρὰ νύσσῃ δίφρον ἄξωσιν, ἐκ δὲ κύμβαχος[18] κυβιστήσῃς·" ταῦτα οὐ κυρίως εἴρηται· οὔτε γὰρ περὶ πυρὸς οὔτε περὶ[19] ἱπποδρομίας ὁ λόγος αὐτῷ, ἀλλ' ὥσπερ αἰδούμενος εἰπεῖν, ὃ ἐβούλετο, τῇ ἀλληγορίᾳ ἐχρήσατο.

## β'. ΜΕΤΑΦΟΡΑ.

Μεταφορά ἐστι λέξις[1] ἀφ' ἑτέρου εἰς ἕτερον μεταφερομένη, ἢ ἀπὸ τοῦ κυρίως λεγομένου μεταφερομένη ὁμοιώσεως ἢ ἐμφάσεως ἕνεκα· ἔχει δὲ εἴδη δ'. ἢ γὰρ ἀπὸ ἐμψύχων εἰς ἔμψυχα μετάγεται,[2] ἢ ἀπὸ ἀψύχων ἐπὶ[3] ἄψυχα, ἢ ἀπὸ ἀψύχων εἰς ἔμψυχα, ἢ ἀπὸ ἐμψύχων εἰς ἄψυχα. καὶ ἀπὸ μὲν[4] ἐμψύχων ἐπ' ἔμψυχα, ὡς ὅταν τις τὸν βασιλέα λέγῃ[5] ποιμένα λαῶν· τὸ γὰρ ποιμαίνειν ἐμψύχων ὂν πάλιν ἐπ'[6] ἔμψυχα μετενήνεκται· ἐπειδὴ ὥσπερ τοῖς ποιμέσιν ὑποτέτακται τὰ ποίμνια, οὕτω καὶ τοῖς βασιλεῦσιν οἱ ὑπὸ χεῖρα· ποιμὴν γὰρ κυρίως ὁ τῶν

---

15 Vat. ἔφθειρον. impr. Par. 2929. ἔφθειρεν. 16 cfr. Gregorium Corinth. p. 765. 17 δὲ Par. 2929. impr. om. 18 Impr. κύμβαλος. tum impr. et Par. 2929. κυμβιστήσῃς. 19 περὶ impr. Par. 2929. om.

1 Par. 854. λόγος — μεταφερόμενος. sqq. ἢ ἀπὸ τοῦ κυρίως — — ἐμφάσεως ἕνεκα Codd. secundae rec. om. 2 Par. 854. μετάγονται. 2008. μετάγομεν. 2762. μεταγίνεται. 3 Impr. Par. 2929. εἰς. et paullo post ἀπὸ ἐμψ. εἰς ἔμψ. 4 καὶ ἀπὸ μὲν bis est in Vat. 5 Impr. Par. 2929. ποιμ. λέγει λαῶν. Par. 854. ποιμένα λαῶν λέγει. 2008. π. λ. λέγοι. 2762. et Vat. βασ. λέγει ποιμένα. scripsi λέγῃ. — Sqq. usque ad προβάτων νομεὺς Par. 858. om. 2008. τὸ γὰρ ποιμαίνειν — — οἱ ὑπὸ χεῖρα om. et ita reliqui secundae rec. 6 Impr. Par. 2929. ἐπί.

προβάτων νομεὺς λέγεται· ἀμφότεροι γοῦν[7] ἔμψυχοι, ὅ τε βασιλεὺς καὶ ὁ τῶν προβάτων νομεύς· ἀπὸ δὲ ἀψύχων ἐπὶ ἄψυχα, ὡς ὅταν τις ἄνθρακα πυρὸς ἐν σποδῷ[8] κρύψας λέγῃ σπέρμα πυρὸς διασώσασθαι. τὸ γὰρ σπέρμα κυρίως ἐπὶ τῶν σπειρομένων καρπῶν λεγόμενον νῦν ἐπὶ τῆς ἀνθρακιᾶς ἐλήφθη·[9] ἢ εἴπῃ[10] πολλὴ κέχυται τῇ ὕλῃ φλόξ· τὸ γὰρ χεῖσθαι τοῖς ὑγροῖς συμβέβηκεν.[11] ἀπὸ δὲ ἀψύχων εἰς ἔμψυχα, ὡς ὅταν ὁ Ὀδυσσεὺς λέγῃ[12] πρὸς τὸν Αἴαντα·

Τοῖος γάρ σφισι πύργος ἀπώλετο·

ὁ γὰρ πύργος ἄψυχος ὢν ἐπὶ τοῦ Αἴαντος ἐμψύχου ὄντος[13] εἴρηται· καί· „ἡ θάλασσα[14] εἶδε καὶ ἔφυγε·“ τὸ γὰρ ὁρᾶν ἐπὶ ἐμψύχων κυρίως λέγεται, ἡ δὲ θάλασσα ἄψυχός ἐστιν· ἀπὸ δὲ ἐμψύχων ἐπὶ ἄψυχα, ὡς ὅταν τις τὴν ἀκρώρειαν τοῦ ὄρους κορυφὴν ἢ κεφαλὴν εἴπῃ,[15] κορυφὴ γὰρ καὶ κεφαλὴ ἐπὶ ἐμψύχων λέγεται. καὶ πάλιν· „αἰχμὴ δὲ διέσσυτο μαιμώωσα·“[16] καὶ πάλιν·

---

7 Impr. Par. 2929. γάρ. 2008. καὶ ἀμφότεροι ἔμψυχα. 8 Par. 854. ἐν σπονδῷ λέγῃ omisso κρύψας. 2008. κρύψας ἐν σποδῷ λέγοι. [Vat. λέγει. Impr. Par. 2929. λέγῃ.] Sqq. τὸ γὰρ σπέρμα — — ἀνθρ. ἐλήφθη 854. 2008. om. — Il. ε, 490. 9 Impr. Par. 2929. 2495. ἐπὶ τοῦ ἄνθρακος μετελήφθη. 10 Vat. εἴποι πολλή. Impr. Par. 2929. εἴπῃ πολλῇ. 854. εἴποι πολλά. 2008. λέγοι πολλύ. 11 Par. 2008. συντέθεικεν. 854. συμβέβηκε· ἀπὸ δὲ ἐμψύχων ἐπὶ ἄψυχα, ὡς ὅταν ἂν [sic etiam supra ὅταν ἄν τις ἄνθρ.] τις τὴν ἀκρώρειαν τ. ὄ. κ. ἢ κεφ. εἶναι λέγῃ. Eodem modo reliqui codd. secundae rec. metaphoram ἀπὸ ἐμψύχων ἐπὶ ἄψυχα tertio loco ponunt. Par. 2008. ὡς ὅταν τις τὰς ἀκρωρίας τοῦ ὄρους κορυφὴν κεφαλὴν εἶναι λέγοι. κορυφὴ γὰρ κεφαλὴ [854. καὶ κεφ.] ἐπὶ ἐμψύχων κυρίως λέγεται. ἀπὸ δὲ ἀψύχων ἐπὶ ἔμψυχα, ὡς τὸ λεγόμενον ἐν τῇ θείᾳ γραφῇ· ἡ θάλασσα εἶδε καὶ ἔφυγε — — — ἡ δὲ θάλασσα ἄψυχός ἐστιν. [854. ἐστὶν om.] 12 Vat. λέγει. Par. 2929. impr. λέγῃ. Il. λ, 555. 13 ὄντος impr. Par. 2929. om. 14 Ps. 113, 3. 15 Vat. εἴποι. 2929. impr. εἴπῃ.

*Πολλὰ δὲ καὶ μεσσηγὺ πάρος χρόα [17] καλὸν ἐπαυρεῖν*
*Ἐν γαίῃ ἵσταντο λιλαιόμενα χροὸς ἆσαι·*

τὸ γὰρ μαιμώωσα καὶ τὸ λιλαιόμενα [18] καὶ τὸ ἆσαι ἔμψυχα ὄντα ἐπὶ τῶν ἀψύχων λέλεκται δοράτων· ὁμοίως καὶ τὸ „οὔρεος [19] ἐν κορυφῇσι·" καὶ, „πόδες πολυπιδάκου Ἴδης·" δέον [20] ἀκρώρειαν καὶ ὑπώρειαν εἰπεῖν· ἔστι δὲ καὶ πέμπτον εἶδος μεταφορᾶς ὡς ἀπὸ πράξεως εἰς [21] πρᾶξιν· οἷον

*Ἤδη [22] πού τινα κεῖνος ἐνὶ φρεσὶ μῆτιν ὕφαινε.*

τὸ γὰρ ὑφαίνειν ἐπὶ τῶν ὑφασμάτων λεγόμενον νῦν ἐπὶ τὴν τῆς βουλῆς κατασκευὴν μετενήνεκται.

## γ΄. ΚΑΤΑΧΡΗΣΙΣ.

Κατάχρησις ἐστὶ φράσις μετενεχθεῖσα ἀπὸ τοῦ πρώτως κατονομασθέντος κυρίως καὶ ἐτύμως ἐπὶ τὸ ἀκατονόμαστον. ὡς ὅταν τὸ ἀπὸ χαλκοῦ ἐπίπεδον πυξίδα εἴπωμεν· [1] πυξὶς γὰρ ἡ ἐκ πύξου γεγονυῖα καλεῖται. ἐπειδὴ δὲ καὶ τὰ [2] ἐξ ἄλλης οἱασοῦν ὕλης κατασκευασθέντα ἀκατονόμαστα εἰσὶ, πυξίδας καὶ ταῦτα καλοῦμεν καταχρώμενοι τῷ ὀνόματι· καὶ ἀνδροφόνος κυρίως μὲν [3] ἐστὶν ὁ ἄνδρα φονεύσας, καταχρηστικῶς δὲ καὶ ἐπὶ γυναικὸς λέγεται· καὶ τριήραρχος κυρίως ὁ τριήρους ἄρχων, καταχρηστικῶς δὲ καὶ ὁ διήρους [4] καὶ ὁ πεντήρους· τοιοῦτόν ἐστι καὶ τὸ, „νέκταρ ᾠνοχόει·" [5] τὸ γὰρ οἰνοχοεῖν κυ-

---

16 Il. ε, 661. Vat. Par. 2445. *μαιμόωσα.* impr. *μαιμώωσα.* Sqq. *πολλὰ δὲ καὶ μεσσηγὺ — — τὸ γὰρ μαιμώωσα* impr. et codd. Parr. om. oculi lapsu. Sunt ex Il. λ, 573. 17 Vat. *χρεία καλόν.* Hom. *χρόα λευκόν.* tum Vat. *ἵστατο.* 19 Il. β, 456. sq. Il. ξ, 157. 20 Impr. Par. 2929. *εἰ δέον.* 21 *πράξεως εἰς* Vat. om. restitui ex impr. 22 Od. δ, 739.

1 Impr. *εἴπωμεν.* Vat. *εἴποιμεν.* 2 Vat. *τήν.* 3 *μὲν* Vat. om., recepi ex Impr. 4 Impr. *ὁ διήρης καὶ ὁ πεντήρης.* 5 Il. δ, 3. Utitur hoc exemplo Schol. ad Eurip. Phoen. 28.

ρίως ἐπὶ τοῦ οἴνου λεχθὲν νῦν ἐπὶ τοῦ νέκταρος ἐλέχθη· ὡσαύτως καὶ τράχηλος κεραμίου [6] καὶ γόνυ [7] καλάμου καὶ γαστὴρ νηὸς καὶ γλῶσσα ὑποδήματος καὶ τὰ τοιαῦτα· καὶ ψηφίζειν κυρίως τὸ ταῖς ψήφοις μετρεῖν· καταχρηστικῶς δὲ καὶ τοῖς δακτύλοις. ταῦτα γὰρ ἐπὶ τῶν κυρίως ὀνομασθέντων λεγόμενα καταχρηστικῶς καὶ ἐπὶ τῶν ἀνονομάστων λέγεται· διαφέρει δὲ κατάχρησις μεταφορᾶς, ὅτι ἡ μὲν μεταφορὰ ἀπὸ [8] κατωνομασμένου ἐπὶ κατωνομασμένον πάλιν λέγεται· ἡ δὲ κατάχρησις ἀπὸ κατωνομασμένου ἐπὶ πάντη ὀκατονόμαστον. ὡς ὅταν τὸν [9] ἐν λίμνῃ ἢ ποταμοῖς ἰχθύας ἀγρεύοντα ἁλιέα εἴποι τις· κυρίως γὰρ ἁλιεὺς [10] ὁ ἐπὶ τῆς θαλάσσης λέγεται· ἐπειδὴ δὲ καὶ ὁ ἐν τοῖς ποταμοῖς ἀγρεύων ἀνονόμαστός ἐστι, καλοῦμεν καὶ τοῦτον ἁλιέα καταχρώμενοι τῷ ὀνόματι.

## δ'. *ΜΕΤΑΛΗΨΙΣ.*

Μετάληψίς ἐστι φράσις μεταλαμβάνουσα τῆς ὁμωνυμίας ἐκ τοῦ κυρίως [11] ὄντος ἢ διὰ τῆς συνωνυμίας τὸ ὁμώνυμον δηλοῦσα· ὡς ὅταν τις τὸν γοργῶς τρέχοντα

---

Πολύβου δέ νιν λαβόντες ἱπποβουκόλοι. cfr. Aristoph. Plut. 819.

Καὶ νῦν ὁ δεσπότης μὲν ἔνδον βουθυτεῖ
Ὗν καὶ τράγον καὶ κριὸν ἐστεφανωμένος.

Nub. 602. αἰγίδος ἡνίοχος πολιοῦχος Ἀθάνα. Xen. Cyrop. VII. 1. 48. οἱ ἐπὶ τῶν καμήλων ἱππεῖς. Achill. Tat. VIII. 16. ναυκλήρῳ τινὶ — — ἐπὶ τοῦ σκάφους. Cfr. Boisson. supra p. 767. Bernhardi Synt. p. 193. 6 Impr. addunt: σκεύους. 7 Impr. et Vat. γόνος. scripsi γόνυ. Cfr. Philostrat. Heroic. p. 74. Boiss. καὶ δῆτα ὁ μὲν πρὸς ἀμπέλῳ τινι ἦν, γόνυ αὐτῆς ἰώμενος. cfr. Wyttenb. ad. Plut. p. 76. F. 8 ἀπὸ κατωνομασμ. — — πάλιν λέγεται impr. om. 9 impr. τῶν. 10 Impr. κυρ. γὰρ ἐπὶ τῆς θαλάσσης λέγεται ἁλιεύς, ἐπεὶ δὲ ὁ ἐν ποτ. 11 Impr. κυρίου.

ὀξὺν παρὰ τὸν δρόμον εἴπη,[12] ἢ τὸν ταχυπαθῆ[13] χυμὸν ὀξὺν καλέσῃ χυμόν· ὀξὺ γὰρ κυρίως τὸ ἠκονημένον ξίφος[14] λέγεται· ὅθεν καὶ τὸ ὤξυνεν ἐπὶ μαχαίρας ἢ ἑτέρου τινὸς ξίφους παραλαμβάνεται· ἢ ὡς παρὰ τῷ Ὁμήρῳ·

Ἔνθεν δ' αὖ νήσοισιν[15] ἐπιπροέηκα θοῇσιν.

τῷ μὲν γὰρ θοῷ συνωνυμεῖ τὸ ὀξὺ κατὰ τὴν κίνησιν, ὁμωνυμεῖ τὸ ὀξὺ κατὰ τὸ σχῆμα· τοιοῦτόν ἐστι καὶ τό·

Τεῦκρος δὲ τόξων χρώμενος φειδωλίᾳ·[16]

τουτέστιν ἀκριβείᾳ καὶ εὐστοχίᾳ· τῇ μὲν γὰρ φειδωλίᾳ συνωνυμεῖ καὶ ἡ κατὰ δόσιν ἀκρίβεια· τῇ δὲ ὁμωνυμεῖ ἡ κατὰ τέχνην ἀκρίβεια ἤγουν[17] ἡ εὐστοχία.

## ι. ΥΠΕΡΒΑΤΟΝ.

Ὑπερβατόν ἐστι λέξις ὑπερβαίνουσα ἐκ τοῦ προηγουμένου εἰς αὐτὸ τὸ ἑπόμενον· οἷον ὡς ὅταν τις ἀντὶ τοῦ εἰπεῖν ἐπικαλοῦμαι τὸν κύριον, εἴποι ἐπὶ τὸν κύριον καλοῦμαι.

## ϛ'. ΑΝΑΣΤΡΟΦΗ.[18]

Ἀναστροφή ἐστι λέξις ἀναστρέφουσα ἐκ τοῦ ὑποκειμένου εἰς τὸ προκείμενον, μηδενὸς μέρους λόγου μεταξὺ πίπτοντος. οἷον ὅταν τις[19] ἀντὶ τοῦ εἰπεῖν ἕως ἡμῶν ἐλθεῖν εἴπῃ ἡμῶν ἕως ἐλθεῖν.

---

12 Vat. εἴποι. Impr. εἴπῃ. 13 Adde lexicis vocem ταχυπαθής. Eadem occurrit apud Jo. Sicel. p. 404. 16. ad Herm. Id. II. cap. περὶ δριμύτητος καὶ ὀξύτητος. α. δριμὺ δὲ λέγεται καὶ ὄξος και σίνηπι, καὶ ταχυπαθὴς χυμὸς καὶ ἐπὶ τῶν νοημάτων. 14 Vat. σίδηρον. 15 Vat. νήσησιν. impr. νήεσσιν. Od. o, 298. 16 Idem fragmentum vide apud Tryphonem p. 738. 17 ἤγουν Vat. om. 18 Abest titulus a Vat. 19 ὅταν τις posui de meo, Vat. et impr. om. — Mox Vat. εἴποι. Impr. εἴπῃ.

## ζ. ΣΥΝΕΚΔΟΧΗ.

Συνεκδοχή ἐστι λέξις δι᾽ ἑτέρου καὶ ἕτερον συνεκδηλοῦσα νόημα· ὡς ὅταν εἰρήνης οὔσης ἀντὶ τοῦ εἰπεῖν οὐκ ἔστι πόλεμος, εἴπῃ,[20] „οὐκ ἔνι ὅπλα νῦν“, ἢ „ἀργοῦσιν ὅπλα νῦν“· ἢ συνεκδοχή ἐστι λέξις ἢ φράσις[21] οὐ κατὰ τὸ πλῆρες ἐκφερομένη, προσδεομένη δέ τινος ἔξωθεν διανοίας· ἔχει δὲ διαφορὰς τέσσαρας, ἢ γὰρ ἀπὸ ὅλου δηλοῖ τὸ μέρος, οἷον βόας[22] αὔας ἀντὶ τοῦ ἀσπίδας τὰς ἐκ βοείων βυρσῶν· μέρος δὲ τοῦ ὅλου βύρσα· καὶ χάλκεον ἔγχος·[23] μέρος γὰρ τοῦ ὅλου ἔγχους ὁ χαλκός· ἢ ἀπὸ μέρους τὸ πᾶν. οἷον θεὰ λευκώλενος[24] Ἥρη· αἰνίττεται γὰρ ἀπὸ μέρους τῶν χειρῶν τὴν ὅλην λευκὴν εἶναι. καὶ ἀργυρόπεζα[25] Θέτις. ἢ ἀπὸ τῆς ὕλης τὸ ἀποτέλεσμα, οἷον·

Χρυσὸν δ᾽ αὐτὸς ἔδυνε[26] περὶ χροΐ·

ἀντὶ τοῦ χρυσῆν πανοπλίαν· ἢ ἀπὸ τοῦ συμβόλου τὸ κύριον. οἷον·

Σκῆπτρον[27] μέν τοι δῶκε τετιμῆσθαι περὶ πάντων.

ἀντὶ τοῦ βασιλείαν, ἧς τὸ σκῆπτρον σύμβολον.

## η. ΣΥΛΛΗΨΙΣ.

Σύλληψίς ἐστι φράσις ἀφ᾽ ἑνός τινος κυρίου κατὰ δύο ἢ καὶ πλειόνων λαμβανομένη· ἢ φράσις τὸ ἄλλῳ πραχθὲν ἐφ᾽ ἕτερον ἕλκουσα· οἷον

Βορέης[1] καὶ Ζέφυρος, τώ τε Θρῄκηθεν ἄητον·

μόνος γὰρ ὁ Βοῤῥᾶς[2] ἀπὸ Θρᾴκης πνεῖ. συλληπτικῶς δὲ λέγει καὶ τὸν Ζέφυρον ἐκεῖθεν πνεῖν, καὶ πάλιν·[3]

---

20 Vat. Impr. εἴποι. 21 ἢ φράσις impr. om. contra Vat. om. οὐ. 22 Il. μ, 137. 23 Il. γ, 317. 24 Il. α, 55. 25 Il. α, 538. 26 Vat. ἔνδυνε περὶ χρωτί. corr. impr. Il. ϑ, 43. 27 Il. ι, 38.

1 Vat. βορέης κ. ζ. τότε θράκηθεν. impr. βοῤῥῆς καὶ ζ. τότε Θρῃκ. Il. ι, 5. 2 Vat. βορεᾶς. 3 καὶ πάλιν impr. om. Il. τ, 47.

Τὼ δὲ δύο σκάζοντε βάτην Ἄρεως θεράποντε·[4]
Τυδεΐδης τε μενεπτόλεμος καὶ δῖος Ὀδυσσεύς·

καὶ γὰρ Διομήδης μόνος ἔσκαζε τρωθεὶς τὸν ταρσὸν τοῦ ποδός, Ὀδυσσεὺς δὲ τὴν πλευρὰν ἐβέβλητο. συλληπτικῶς δὲ λέγει καὶ τοῦτον σκάζειν.

## θ'. ΟΝΟΜΑΤΟΠΟΙΙΑ.

Ὀνοματοποιΐα ἐστὶ λέξις κατὰ μίμησιν[5] καὶ ὁμοιότητά τινα τοῦ σημαινομένου γεγονυῖα· ὡς ὅταν τις τοὺς ἀσήμους κτύπους φωνὰς ὀνομάζῃ, αἵ εἰσι πυρός, ξύλου,[6] λίθου καὶ τῶν ὁμοίων· καὶ ὡς ἡ θεία λέγει γραφή· „φωνὴν ἔδωκαν αἱ νεφέλαι,"[7] δηλοῦσα τὴν βροντήν, φωνὴν ταύτην ὀνομάζουσα διὰ τὴν ὑπὲρ ἡμᾶς[8] περιηχήν. φωνὴ δὲ[9] κυρίως ἡ ἐκ νοῦ προερχομένη λέγεται, ἐπεὶ καὶ φῶς νοῦ ἐτυμολογεῖται[10] ἡ φωνή. ἢ ὀνοματοποιΐα ἐστὶ λέξις ἢ μέρος λόγου πεποιημένον κατὰ μίμησιν τῶν ἀποτελουμένων ἤχων ἢ φωνῆς· ἤχων μέν, οἷον

Αὐλῶπις τρυφάλεια χαμαὶ βόμβησε[11] πεσοῦσα.

καὶ πάλιν·

Ὡς τοῦ σίζ' ὀφθαλμὸς[12] ἐλαϊνέῳ περὶ μοχλῷ.

φωνῆς δὲ ταῦτα·

Αἵ δ' ὀλολυγῇ[13] πᾶσαι Ἀθήνῃ χεῖρας ἀνέσχον·

καὶ πάλιν·

Μυκηθμοῦ[14] δ' ἤκουσα βοῶν αὐλιζομενάων.

## ι'. ΠΕΠΟΙΗΜΕΝΟΝ.

Πεποιημένον ἐστὶ λέξις λεγομένη κατά τινα τοῦ ἐξ

---

4 impr. θεράποντες. 5 Med. 58. 2. μίμησίν τινα καὶ ὁμοιότ. — v. 8. idem τοῦ ἀσίμου κτύπου [τύπους Vat. Impr.] φ. ὀνομάζει, omissis sqq. αἳ — ὁμοίων. 6 Impr. λίθου, ξύλου. 7 Ps. 76, 16. Med. νεφέλαι· τὴν βροντὴν διὰ τὸ περιέχειν ἡμᾶς φωνὴν ὀνομάζουσα· φωνὴ γὰρ κυρ. 8 Impr. περὶ ἡμῶν περιοχήν. 9 Impr. γάρ. 10 Impr. ἡ φωνὴ ἐτυμολ. 11 Vat. βόμβυσα. Il. ν, 530. 12 Vat. ὀφθαλμὸς ἐλαϊνέῳ. impr. ὀφθαλμοὺς λαϊνέῳ. Od. ι, 394. 13 Impr. ὀλολυγμῶν. Il. ζ, 301. 14 Od. μ, 265.

οὗ λέγεται ὁμοιότητα, οἷον ὡς ὅταν τὸν μετὰ θυμοῦ ἡμᾶς ὑποβλεψάμενον εἴποιμεν· „ὡς λέων ὑπεβλέψατο ἡμᾶς ὁ δεῖνα.“

### ιά. ΑΝΤΟΝΟΜΑΣΙΑ.[15]

Ἀντονομασία ἐστὶ λέξις δι' ἐπιθέτων ἢ συσσήμων αὐτὸ τὸ κύριον ὄνομα δηλοῦσα. ὡς ὅταν δύο ἢ καὶ πλείονες ἡμῖν ἐγνωσμένων ἀνθρώπων καὶ αὐτὸ κύριον ὄνομα ἐχόντων, θελήσωμεν ἐξ αὐτῶν ἑνὸς τὴν μνήμην ποιήσασθαι πρὸς ἀλλήλους,[16] καὶ μὴ εἴπωμεν[17] τὸ κύριον ὄνομα διὰ τὴν ὁμωνυμίαν, ἀλλ' ἐκ τῶν συμβεβηκότων αὐτὸν ὀνομάσωμεν, τὸν χαλκέα τυχὸν λέγοντες ἢ τὸν τέκτονα. εἰ δὲ καὶ σωματικὰ ἔχει πάθη, τὸν χωλὸν, εἰ τύχοι, ἢ τὸν φαλακρὸν λέγοντες.

### ιβ΄. ΜΕΤΩΝΥΜΙΑ.

Μετωνυμία ἐστὶν, ὅταν ἐκ τῶν περιεχόντων τὰ περιεχόμενα μετονομάσωμεν[18] κατὰ τὴν θείαν γραφὴν, ἥ φησι·[19] „παιδεύθητε πάντες οἱ κρίνοντες τὴν γῆν·“ ἀντὶ τοῦ[20] ἐν τῇ γῇ· ἢ ἐκ τῶν οἰκούντων τὰ οἰκούμενα, ὡς ὅταν τὴν ἀσέλγειαν Σοδομιτικὴν ἐργασίαν εἴποιμεν· καὶ γὰρ ἐκ τῶν οἰκούντων τηνικαῦτα ἀσελγῶν τὰ Σόδομα τὸν σχετλιασμὸν ἐπιφέρεται·[21] ἢ μετωνυμία ἐστὶ λέξις διὰ τῆς ὁμωνυμίας τὸ συνώνυμον δηλοῦσα· οἷον

Σπλάγχνα[22] γὰρ ἐμπείραντες ὑπείρεχον Ἡφαίστοιο·

Ἥφαιστος μὲν γὰρ παρὰ τοῖς Ἕλλησιν ὁ δαίμων καὶ τὸ

15 Impr. ἀντονομασία ἐστὶν, ὅταν δι' ἐπιθέτων ἢ συσσήμων; αὐτὸ τὸ κύριον ὄνομα ἐχόντων. 16 πρὸς ἀλλήλους impr. om. Vat. sq. καὶ om. 17 Impr. εἴποιμεν. 18 Impr. Med. 58. 1. μετονομάσωμεν. Vat. ὀνομάσ. 19 Ps. 2, 10. 20 Impr. ἀντὶ τοῦ τούς. Vat. ἀντὶ τούς. Med. ἀντὶ τοῦ. 21 in ἐπιφέρεται impr. finiunt. Quae adjuncta legis huic tropo, Vaticano propria sunt. 22 Il. β, 426.

πῦρ, ἅπερ καθὸ ἀμυδράν τινα διαφορὰν ἔχειν δοκοῦσιν, ὁμώνυμά ἐστιν, ἀϋλότερον γὰρ καὶ θειότερον τὸν δαίμονα λέγουσιν· καθὸ δὲ οὐδέν τι ἄλλο ἐστὶ κυρίως ὁ μυθικὸς οὗτος Ἥφαιστος ἢ τὸ πῦρ, συνώνυμα λέγεται· τοιοῦτόν ἐστι καὶ τό·

Ἐνθάδ' [23] ἔπειτ' ἀφίη μένος ὄβριμος Ἄρης.

ἀντὶ τοῦ ὁ σίδηρος· καὶ ὅταν λέγηται· [24] ὁ οἶνος Διόνυσος, ὡς τό·

Οἶνός μ' ἔπεισε, δαιμόνων ὑπέρτατος.

## ιγ'. ΑΝΤΙΦΡΑΣΙΣ.

Ἀντίφρασίς ἐστι λέξις δι' ἐναντίων τὸ ἐναντίον σημαίνουσα, ὡς ὅταν τις τὸν τυφλὸν πολυβλέποντα [1] εἴποι, ἢ τὸ ὄξος γλυκάδιον, ἢ [2] τὸ λευκός ἐστιν ὡς Αἰθίοψ.

## ιδ'. ΠΕΡΙΦΡΑΣΙΣ.

Περίφρασίς ἐστι περισσὴ [3] φράσις διὰ πλειόνων λέξεων ἕν τι σημαίνουσα, ὡς ὅταν [4] ἀντὶ τοῦ εἰπεῖν μὰ τὸν θεόν, εἴπῃ [5] τις· μὰ τὴν φοβερὰν ἡμέραν τοῦ θεοῦ. οὐδὲ γὰρ πλέον τι ἐσήμαινε διὰ τῶν πολλῶν τούτων λέξεων εἰ μὴ τὸν θεόν· διαφέρει δὲ φράσις, περίφρασις, μετάφρασις, ἔκφρασις, ἀντίφρασις καὶ σύμφρασις. φράσις μὲν γὰρ ἡ ἁπλῶς λέξις λέγεται· περίφρασις δὲ ἡ περισσὴ φράσις· ὡς τό· [6] „κάλεσόν μοι τὴν βίην τοῦ Ἡρακλέους," ἀντὶ τοῦ τὸν Ἡρακλῆν· μετάφρασις δὲ ἡ ἐναλλαγὴ τῶν λέξεων κατὰ τὸ [7] ποσὸν ἢ πλειόνων ἢ ἐλαττόνων

τόνων

23 Il. ν, 444. 24 Vat. λέγεται.

1 Impr. εἴποι πολὺ βλέποντα. 2 Impr. καὶ λευκός ἐστιν ὡς ἡ ἐλαία, καὶ ἴδε ἀργυροῦς Αἰθίοψ. 3 Impr. περιττή. 4 Vat. ὅταν om. Impr. ὡς ὅταν ἀντὶ τοῦ εἰπεῖν Ἡρακλῆς, βία Ἡρακλέους, εἴποι τις. διαφέρει δὲ φράσις, περίφρασις καὶ σύμφρασις. 5 Vat. impr. εἴποι. 6 Impr. ὡς τὸ, ὦ φθέγμ' Ἀθάνας· ἀντὶ τοῦ ὦ Ἀθηνᾶ. 7 τὸ impr. om.

τόνων μετὰ ῥητορικοῦ κάλλους γινομένη, ὡς ὁ Μεταφραστὴς ἡμῖν δείκνυσιν ἐν ταῖς [8] μεταφράσεσι· παράφρασις δὲ [9] ἡ ἐναλλαγὴ τῶν λέξεων κατὰ τὸ ποσὸν τῶν αὐτῶν, [10] ὡς τό·

Μῆνιν ἄειδε θεά,

παραφράζων εἶπε, [11] τὴν ὀργὴν εἰπὲ ὦ Μοῦσα. ἔκφρασις δὲ ἡ λεπτομερὴς διήγησις, ἡ ἐνεργῶς καὶ σχεδὸν εἰς ὄψιν φέρουσα ἡμῖν τὸ διηγούμενον, ὅπως ἔχει θέσεως καὶ κάλλους. ὡς ἡ ἔκφρασις τοῦ ἱεροῦ Ἀλεξανδρείας [12] ἢ πόλεων ἑτέρων [13] τινῶν. ἀντίφρασις δὲ ἡ δι' ἐναντίων λέξεων τὸ ἐναντίον σημαίνουσα, ὡς ἀργυροῦς Αἰθίοψ. σύμφρασις δὲ ἡ συνακολούθησις τοῦ λόγου ἢ λέξεων σύνθεσις, ὡς νωβελήσιμος ὑπέρτατος.

## ιε΄. ΕΛΛΕΙΨΙΣ.

Ἔλλειψίς ἐστι [14] λόγος ὁ μὴ κατὰ τὸ πλῆρες ἐκφερόμενος, παρέχων δὲ ἡμῖν νοεῖν τὸ ἑπόμενον, ὡς ὅταν τις πενθῶν καὶ ὀδυρόμενος εἴπῃ· [15] „τὸ στῆθός μου ἔτυπτον ἀμφοτέραις·“ δηλονότι χερσὶν, ἢ ὡς παρὰ τῷ ποιητῇ. „κόπτων ἀμφοτέραις,“ τουτέστι χερσίν. [16]

## ιϛ΄. ΠΛΕΟΝΑΣΜΟΣ.

Πλεονασμός ἐστιν, ὅταν πλεονάζῃ [17] λέξις μηδέν τι

---

8 Impr. ἐν τοῖς τῶν μαρτύρων καὶ ἁγίων αὐτοῦ μεταφράσεσι. τούτων γὰρ οἱ βίοι καὶ τὰ μαρτύρια πρὸς τὸ ἰδικώτερον ἐξ ἀρχῆς συγγραφέντα, παρ' ὧν δῆτα καὶ συνεγράφησαν, ὑπ' αὐτοῦ πρὸς τὸ ἔντεχνόν τε καὶ πάνυ ὡραῖον μετεφράσθησαν. 9 Impr. παράφρασις, ἡ δέ. 10 Impr. addunt: διαμενουσῶν δι' ἑτέρων λέξεων σαφεστέρων. 11 παραφράζων εἶπε Vat. om., recepi ex impr. 12 Impr. Ἀλεξάνδρου. addito asterisco. 13 Vat. ἑτέρων om. Impr. τινῶν om. Quae sequuntur usque ad ὑπέρτατος, impr. om. 14 Impr. ἐστὶν, ὅταν ὁ λόγος μὴ κατὰ τὸ πλῆρες ἐκφέρηται. 15 Vat. Impr. εἴποι. 16 Impr. χερσί. Od. σ, 28. 17 Impr. πλεονάζῃ. Vat. πλεονάζει.

πλέον σημαίνουσα, εἰ μὴ τὸ [18] αὐτὸ, ὡς ἔχει τὸ, ἀντίος ἐναντίος, καὶ ἔναντι κατέναντι. [19]

### ιζ΄. ΕΠΑΝΑΛΗΨΙΣ.

Ἐπανάληψίς ἐστι λέξις δὶς παραλαμβανομένη ἐπιτάσεως εἴτουν αὐξήσεως χάριν· ὡς ὅταν τις τοῦ ἐγνωσμένου πράγματος τὴν εἴδησιν ἡμῖν διαβεβαιούμενος εἴπῃ· [20] „οἶδα τὸ πρᾶγμα, οἶδα·" δὶς τὸ οἶδα λέγων· ἢ εἴπῃ· κακὸν τὸ ἁμαρτάνειν, κακόν.

### ιη΄. ΕΞΟΧΗ.

Ἐξοχή ἐστιν ἡ μετὰ τὴν κοινὴν σημασίαν ἰδικῶς καθ' ὑπεροχὴν τῷ ὀφείλοντι προσνεμομένη· ὡς τὸ ἐν τῷ εὐαγγελίῳ ῥηθὲν [21] ὑπὸ τοῦ Κυρίου· „εἴπατε τοῖς μαθηταῖς μου καὶ τῷ Πέτρῳ." κατ' ἐξοχὴν γὰρ τὸ ὄνομα τοῦ Πέτρου ἐνταῦθα εἴληπται, ἐπεὶ καὶ διὰ τοῦ, [22] „εἴπατε τοῖς μαθηταῖς μου," συμπεριελήφθη· εἷς γὰρ τῶν μαθητῶν καὶ αὐτός.

### ιθ΄. ΥΠΕΡΒΟΛΗ.

Ὑπερβολή ἐστι φράσις ὑπερβαίνουσα τὴν ἀλήθειαν αὐξήσεως χάριν· ὡς ὅταν τις τὸν γοργῶς τρέχοντα εἴπῃ, [23] ὅτι τρέχει, ὡς ὁ ἄνεμος· [24] ἢ ὑπερβολή ἐστιν λόγος ὑπεραίρων τὴν ἀλήθειαν ἐμφάσεως ἢ ὁμοιώσεως ἕνεκα. ἐμφάσεως, οἷον·

Ἄκρον [25] ἐπ' ἀνθερίκων καρπὸν θέον οὐδὲ κατέκλων·

---

18 τὸ impr. om. 19 Impr. addunt: ὅπερ καὶ ἐκ παραλλήλου τὸ αὐτό φασιν. 20 Impr. εἴπῃ. Vat. εἴποι h. l. et v. sq. 21 Impr. ὑπὸ τοῦ κυρίου ῥηθέν. — Ev. Marc. 16, 7. 22 Impr. τό. 23 Impr. εἴπῃ. Vat. εἴποι. 24 Impr. addunt: ἢ τὸν λευκὸν, ὅτι λευκός ἐστιν ὡς ἡ χιών. contra sq. καὶ λευκότεροι χιόνος abest ab impr. 25 Il. υ, 227. Vat. et impr. ἐπ' ἄκρων ἀ. καρπῶν. correxi ex Homero.

καὶ φαεινότεροι[26] πυρὸς αὐγῆς, καὶ λευκότεροι χιόνος·[27] ἐμφαίνουσι γὰρ τὸ λίαν[28] ἐν τῷ τρέχειν μετέωρον· καὶ τὸ[29] πάνυ φωτεινὸν, καὶ τὸ λίαν λευκόν· ὁμοιώσεως δὲ, ὡς τό· θείειν δ' ἀνέμοισιν ὁμοῖοι·[30] καὶ ἀδαμάντινος ἦν τὸ σῶμα, φοῖνιξ τὴν εὐθύτητα τοῦ σώματος καὶ εἴ τι ὅμοιον.

## κ'. ΑΙΝΙΓΜΑ.

Αἴνιγμα ἐστὶ λόγος σκοτεινὸν καὶ κεκαλυμμένον[1] ἔχων ἐν ἑαυτῷ τὸ νοούμενον, ὡς τὸ προβληθὲν ζήτημα παρὰ τοῦ Σαμψὼν τοῖς ἀλλοφύλοις, ἐν ᾧ[2] φησιν· ἐκ τοῦ ἐσθίοντος[3] ἐξῆλθε βρῶσις, σημάναντος τὸν λέοντα ὅνπερ ἀνεῖλε, καὶ τὸ εὑρεθὲν ἐν τῷ στόματι αὐτοῦ ἀπὸ μελισσείου κηρίου· καὶ ὡς ἐκεῖνο τὸ λέγον· ζυγὸν μὴ ὑπερβαίνειν, ἀντὶ τοῦ δίκαιον,[4] καὶ γαμψώνυχας μὴ τρέφειν, ἤγουν ἅρπαγας φεύγειν· μελάνουρον μὴ ἐσθίειν, ἤτοι ψεῦδος μὴ προΐεσθαι· τοῦτο γὰρ ὕστερον ἀμαυροῦται· μαχαίρᾳ τὸ πῦρ μὴ σκαλεύειν, ἀντὶ τοῦ, θυμούμενον μὴ προσερεθίζειν· λέγεται δὲ καὶ αἴνιγμα καὶ ἀπὸ τοῦ ἐναντίου· οἷον ἄνθρωπος καὶ οὐκ ἄνθρωπος, ὡς ὁ

---

26 Il. σ, 689. 27 Il. κ, 7. et 437. 28 Impr. ἄγαν. 29 τὸ impr. om. h. l. et ante λίαν λευκόν. 30 Il. κ, 437. Vat. ὁμοῖος. Impr. ὁμοῖοι. Sequitur in impr. καὶ ὡς ὁ πεζός φησι λόγος, ἀδαμάντινον ἦν τὸ σῶμα· ἀνδριὰς ἦν τὴν καρτερίαν, φοῖνιξ τὴν εὐθύτητα τοῦ σώματος, κίων τὸ μῆκος, ἀστὴρ δὲ τὴν αὐγὴν τοῦ κάλλους, ἅ τινα καὶ ἐπίτασίν τινες ὠνόμασαν. cfr. p. 721, 17.

1 Vat. κεκαλυμμένον. impr. κεκρυμμένον. 2 ἐν ᾧ φησιν impr. om. — Jud. XIV, 14. 3 Impr. μὴ ἐσθίοντος. Eadem post βρῶσις addunt: καὶ ἐκ του πικροῦ γλυκὺ, σημαίνοντος τὸν λ. ὅ. ἀνεῖλε· καὶ μετὰ ταῦτα, ὃ εὗρεν ἐν τῷ κρανίῳ αὐτοῦ κηρίον ἀπὸ μελισσίου· καὶ ὡς ἐκεῖνο τὸ λέγον. 4 Vat. addit: καὶ μαχαίρᾳ τὸ πῦρ μὴ σκ. ἀ. τ. θ. μὴ προσερεθίζειν. Alia omnia, quae sub hoc capite leguntur, ex impr. recepi.

εὐνοῦχος διὰ τὸ μὴ δύνασθαι γεννᾷν ὅμοιον αὐτῷ, καὶ τό· ὄρνις καὶ οὐκ ὄρνις ἡ νυκτερὶς διὰ τὸ δερμόπτερον καὶ ὠδοντωμένον· καθημένη καὶ οὐ καθημένη· ὑπτία γὰρ ἦν· λίθος καὶ οὐ λίθος, ἡ κίσσηρις δηλονότι, διὰ τὸ ἐπὶ τοῦ ὕδατος πλέειν· ἔβαλε κ' οὐκ ἔβαλε, διὰ τὸ βαλεῖν μὲν, ἀστοχῆσαι δέ· γίνεται δὲ καὶ κατὰ συμβεβηκὸς, ὡς τό· εἰσὶ κασίγνητοι δύο, ὧν ἡ ἑτέρα τίκτει τὴν ἑτέραν· αὕτη δὲ ἡ τεκοῦσα ταύτην ὑπὸ τῆςδε τεκνοῦται· λέγονται δὲ οὕτως ἡ ἡμέρα καὶ ἡ νύξ· διαφέρει δὲ τὸ αἴνιγμα τῆς ἀλληγορίας, ὅτι ἐκείνη προτροπῆς ἢ ἀποτροπῆς ἢ σεμνότητος ἕνεκεν ἢ εὐλαβείας λαμβάνεται, τοῦτο δὲ χάριν ἀσαφείας μόνης, καὶ ὅτι ἐκείνη σαφεστέρα τούτου πολλῷ.

### κα΄ ΠΑΡΑΒΟΛΗ.

Παραβολή ἐστι φράσις δι' ὁμοίων καὶ γινωσκομένων ἐπ' ὄψιν ἄγουσα τὸ νοούμενον, ὡς ἔχει ἡ τοῦ Κυρίου περὶ τοῦ ἀσώτου παραβολή,[5] ἐν ᾗ δείκνυσι τὴν τοῦ θεοῦ φιλανθρωπίαν καὶ τὴν τοῦ ἑαυτοῦ πατρὸς ἀγαθότητα, καὶ πῶς προσίεται τοὺς μετανοοῦντας.

### κβ΄. ΑΝΤΑΠΟΔΟΣΙΣ.[6]

Ἀνταπόδοσίς ἐστιν ἐπεκδιδαχὴ τῶν ἐν τῇ παραβολῇ ὑποκειμένων πραγμάτων, ὡς ἵνα εἴπωμεν, ᾧ λόγῳ ἐχρήσατο ὁ πατὴρ τοῦ ἀσώτου, τοιούτῳ καὶ ὁ θεὸς προσαρμόζεται τοῖς ἀνθρώποις, καὶ δείξωμεν συγκρίνοντες τὰ πράγματα τῆς παραβολῆς, τὴν ὁμοίωσιν.

### κγ΄. ΠΡΟΣΩΠΟΠΟΙΙΑ.

Προσωποποιΐα ἐστὶν, ὡς ὅταν τις τοῖς ἀψύχοις πρόσωπα ἔσθ' ὅτε καὶ λόγους ἁρμοδίους προσάπτῃ·[7] ὡς τὸ, „οἱ οἰωνοὶ[8] διηγοῦνται δόξαν θεοῦ."

---

5 Luc. 15, 11. sqq. 6 Vat. hunc tropum om. 7 Vat. προσάπτει. 8 Ps. XIX, 1. οἱ οὐρανοὶ διηγ. δοξ. θ.

## κδ'. ΠΑΡΑΔΕΙΓΜΑ.

Παράδειγμά ἐστι λόγος πρὸς ἕτερόν τι συγκριτικῆς δείξεως ἔμφασιν ἔχων, ὡς τὸ Σολομῶντι ῥηθέν·[9] „μίμησαι τὸν μύρμηκα, ὦ ὀκνηρὲ, καὶ ζήλωσον τὰς ὁδοὺς αὐτοῦ," τὸ πονικὸν αὐτοῦ ζηλοῦν ἡμᾶς παρακελευόμενος, οὐ τὴν φύσιν.

## κέ. ΕΙΡΩΝΕΙΑ.[10]

Εἰρωνεία ἐστὶ λόγος ὑποκοριστικὸς δι' ἐναντίου τὸ ἐναντίον δηλῶν. τῆς δὲ εἰρωνείας εἴδη δ'· χλευασμὸς,[11] μυκτηρισμὸς, σαρκασμὸς,[12] ἀστεϊσμός· χλευασμὸς λόγος μετὰ μειδιάματος ἐξερχόμενος· ὡς ὅταν τις τὸν ῥιψάσπιδα[13] γελῶν ἀνδρεῖον πολεμιστὴν εἴποι. μυκτηρισμὸς δὲ λόγος διασυρτικὸς μετὰ τῆς[14] τῶν ῥινῶν ἐπιμύξεως γινόμενος, ὡς ὅταν τὸν ἐπὶ κακῷ ἁλόντα ὀνειδίζοντες εἴπωμεν, πνεῦμα διὰ τῶν ῥινῶν ἐκφέροντες, „καλὸν ἔργον ἐποίησας, ὦ ἑταῖρε, καὶ ἀναγκαῖον καὶ φρονίμου ἀνδρός." σαρκασμὸς δὲ λόγος τὴν ἀλήθειαν διὰ χρηστῶν ῥημάτων ἐκφέρων, ὡς ὅταν τὸν ἐν προλήψει τιμῆς περιπεσόντα κακοῖς καὶ διὰ τοῦτο ἀτιμαζόμενον ἐπεγγελῶντες[15] εἴπωμεν, „εἰς μεγάλην δόξαν καὶ τιμὴν ἤγαγες σεαυτον, ὦ ἑταῖρε. ἀστεϊσμὸς δὲ λόγος ἀφ' ἑαυτοῦ διασυρτικὸς, ὡς ὅταν τῷ μηδὲν ἐπισταμένῳ εἴποιμεν. „σὺ εἶ ὦ, ἑταῖρε, τῶν λόγων τὸ κλέος."

## κς'. ΣΧΗΜΑ.

Σχῆμά ἐστιν[16] ἀπολογίαν ἔχων σολοικισμὸς, ὡς ἵνα

---

9 Prov. VI, 6. 10 Vat. εἰρωνία et v. 9. εἰρωνίας. 11 Vat. χαλασμὸς bis. 12 Impr. ἀστεϊσμὸς, καὶ χλευασμὸς μέν ἐστι λόγος. 13 Impr. ῥίψασπιν ἀναγελῶν — εἴπῃ. 14 τῆς impr. om. 15 Vat. ἐπεγγελῶντα εἴποιμεν. impr. ἐπεγγελῶντες εἴπωμεν. 16 Impr. ἐστὶ σολοικισμὸς ἀπ. ἔχων.

εἴπωμεν· „ὁ κύριος Ἰωάννης, ὃν ὁ θεὸς ἐλεήσει,[17] καλὸς ἄνθρωπός ἐστιν.“

## κζ΄. ΥΣΤΕΡΟΛΟΓΙΑ.

Ὑστερολογία ἐστὶ λόγος πρῶτος ὕστερος λεγόμενος καὶ διὰ τοῦτο πρωθύστερος ὀνομαζόμενος. ὡς ὅταν εἴποιμεν· καλῶς ἐτελειώθη ὁ δεῖνα καὶ καλῶς ἐβίωσεν, ἀντὶ τοῦ εἰπεῖν· καλῶς ἐβίωσε καὶ καλῶς ἐτελειώθη. πρῶτον γὰρ βιοῖ τις καὶ ὕστερον τελειοῦται.[18]

---

## ΠΑΡΑΠΛΗΡΩΜΑ.

Παραπλήρωμά ἐστι λέξις ἐκ περισσοῦ λαμβανομένη κόσμου χάριν ἢ μέτρου. κόσμου μὲν, οἷον· καί κέ[19] τις ὧδ' ἐρέει· περισσεύει γὰρ τὸ κὲ, οὗ καὶ χωρὶς σώζεται τὸ μέτρον· μέτρου δὲ, οἷον·

Ἀρχοὺς[20] αὖ νηῶν ἐρέω νῆάς τε προπάσας.

ἀναγκαία γὰρ ἐνταυθοῖ ἡ πρὸ πρόθεσις ἐγίνετο διὰ τὸ μέτρον. καὶ αὖθις·

Πάνδαρος ᾧ καὶ τὸ τόξον Ἀπόλλων αὐτὸς[21] ἔδωκε.

τοῦ καὶ συνδέσμου καὶ ἐνταυθοῖ διὰ τὸ μέτρον ληφθέντος· τούτων τῶν συνδέσμων καὶ ἐνταυθοῖ περισσῶν ὄντων, ὅμως διὰ τὸ σωθῆναι τὸ μέτρον ἐλήφθησαν.

---

17 Impr. ἐλεήσει. Vat. ἐλεήσοι. 18 Terminantur hic codd. secundae recensionis: Vatic. addit: παραπλήρωμα et χαριεντισμόν. quibus ἐπεξήγ. ἀπὸ κοινοῦ, ἑτερογ. et ἑτεροπρόσ. ex impr. subjeci, sed haec a scriba quodam, non a Choerobosco profecta esse apparet ex indice troporum, in fronte libelli posito. Etiam scholium, quod e margine rhetoricae Jos. Rhacendytae supra p. 720. adtulimus, notat: παραπλήρωμα οὐκ ἔχει ὁ Χοιροβοσκός. 19 Il. δ, 176. 20 Il. β, 493. 21 Il. β, 827. Vat. αὐτὸς Ἀπόλλων.

### ΧΑΡΙΕΝΤΙΣΜΟΣ.

Τί ἐστι χαριεντισμός; λόγος εὐτράπελος, ἐν ᾧ διαχεῖται ὅ τε λέγων καὶ ὁ ἀκούων.

### ΕΠΕΞΗΓΗΣΙΣ.

Ἐπεξήγησίς ἐστιν ἀσαφοῦς λέξεως ἢ λόγου σαφηνισμός· λέξεως μὲν, ὡς τό· λάβετε ἀκινάκην, ὅ ἐστι Περσικὸν ξίφος· λόγου δὲ, ὡς τό· ὁ οἶκος βεβαίως οὐκ οἰκειοῦται· λέγω δὲ, ὡς οἱ μένοντες ἐν τούτῳ ταχέως μετέρχονται.

### ἈΠΟ ΚΟΙΝΟΥ.

Ἀπὸ κοινοῦ ἐστι λέξις ἅπαξ μὲν λεγομένη, καὶ ἔξωθεν λαμβανομένη· οἷον, ἀπελθὼν ᾔτησε τοὺς ἄνδρας, μάλιστα δὲ Χαρίδημον καὶ Ἵππαρχον· καὶ Ὅμηρος·[22]

ἐλίσσετο πάντας Ἀχαιούς,
Ἀτρείδα δὲ μάλιστα.

Ἀπὸ κοινοῦ γὰρ, ἐπ' ἐκείνους μὲν, τὸ ᾔτησεν, ἐπὶ τούτου δὲ τὸ ἐλίσσετο.

### ΕΤΕΡΟΓΕΝΕΣ.

Ἑτερογενές ἐστι μετάβασις ἀπὸ γένους εἰς γένος πρὸς τὸ νοούμενον· οἷον τὰ περὶ θαλάσσης φοβερά εἰσιν ἐρημίαι οὖσαι· καὶ ὁ θεολόγος· παρ' ἑαυτοῦ δὲ πνοὴν ἐνθεὶς, ὃ δὴ νοερὰν ψυχὴν οἶδεν ὁ λόγος.

### ΕΤΕΡΟΠΡΟΣΩΠΟΝ.

Ἑτεροπρόσωπόν ἐστιν, ὅταν ἕτερον πρόσωπον ὑποβάλλωμεν λέγον, ἃ ἡμεῖς ἐμέλλομεν λέγειν, οἷον· πάντες

---

22 Il. α, 15.

οἱ Αἰγύπτιοι βοῶσι τὴν ἀδικίαν ἡμῶν· ἢ ὅταν αὐτοὶ μὲν λέγωμεν, πρὸς ἕτερον δὲ ἀποτεινώμεθα καὶ οὐ πρὸς τὸν ἀδικήσαντα, οἷον· ἐγὼ δὲ εἰδώς τινα βλάπτοντα τὸν πέλας εἶπον πρὸς αὐτὸν, ὡς ἀδικεῖς τὸν πέλας.

---

## Corrigenda.

### T. I.

In praefatione p. VI. not. corrigendum, in bibliotheca Darmstadtina et Jenensi integra Rhetorum Aldinorum exemplaria exstare.

### T. III.

Praef. ad Hermog. p. V. l. 12. annotatum, l. annotatam.
p. 386. v. 4. a. i. T. PII. l. T. XII.
p. 616. v. 1. epitome, l. epitomes et dele comma.

### T. VIII.

p. 464. 13. ΣΥΜΠΔΟΚΗΣ l. ΣΥΜΠΛΟΚΗΣ.
14. μικρὸν l. μικτόν.
p. 677. not. 47. l. προτάξαντα.
not. 50. post ἀποστρέψομεν dele σὺ et pone ad not. 51. post σκαιότατε.
p. 757. 3. ab infr. simile l. simili.
p. 800. 7. a. i. dele in.

---

3

PA
3484
W35
v.8

Robarts Library
DUE DATE:
Aug. 27, 1991

Fines increase
50¢ per day

Return all currently overdue books before September 3, 1991 when the new fine rate of 50¢ per item per day takes effect.

This new rate will apply for all overdue days including those prior to September 3, 1991.

CAR

UN